Stipendium ex eo dicitur, quod per stipes siue minutos numulos colligatur. Idem & tributum uocatur, ex eo, quod diuidatur [siue distribuatur] in soluentes [uel conferentes:] uel quod tribuatur [hoc est, distribuatur] in milites.

XXIIX.

Rem alienat, & qui patitur usucapi, uel qui non utendo, seruitutes eius amittit. Qui uero non adquirit, non uidetur alienare: ueluti qui hereditatem omittit, uel optione concessa non utitur.

XXIX.

Oratio quae neque coniunctionem, neq. disiunctionem habet, ex mente pronuntiantis uel disiuncta uel coniuncta intelligitur.

XXX.

Noualis est terra praecisa, quae anno cessauit, a Graecis ΝΕΑΣΙΣ *dicta.*

XXXI.

Pratum est, in quo ad fructum percipiendũ falce duntaxat opus est.

XXXV.

Is RESTITVIT*, qui actori sic reddit, ut habiturus erat accepti iudicij tempore.*

XXXVIII.

Ostentum Labeo definit, quidquid contra naturam cuiusq. rei genitum & factum est.

XXXIX.

Subsignatum dicitur, quod ab aliquo subscriptum est. Nam ueteres subsignationis nomine pro subscriptione uti solebant.

Eod.

Detestari est per testes denuntiare.

XL.

Familiae liberi quoq. continentur. Vnicus autem, uel duo serui, familiam non faciunt.

XLI.

Armorum appellatione tam ligna, quã lapides continentur.

XLIII.

Nomine VICTVS *& esculenta & potulenta continentur. item uestis, & res ad uiuendum necessaria, tum quae ad tuẽdũ curandũ ue corpus idonea sunt.*

XLV.

Nomine INSTRATVS *omne uestimentũ cõtinetur, & stragula, & pallia, & omne quod iniicimus.* VICTVS *autẽ uocabulo uestis, non etiam stragula, continetur.*

XLVI.

Pronuntiare ac statuere idem significant.

Eod.

Matrem familias accipere debemus eam, quae non inhoneste uixit. Etenim matrem familias a ceteris feminis mores discernunt atq. separant. Proinde nihil interest, nupta sit, an uidua: ingenua sit, an libertina. nã neq. nuptiae, neque natiuitas faciunt matrem familias, sed boni mores.

κη.

Ἐκποιεῖ πρᾶγμα καὶ ὁ ἀνεχόμενος αὐτοῦ τῇ χρήσει διαπατοθῆναι, ἢ τῇ ἀχρησίᾳ ἀπόλλων τὰς δουλείας αὐτοῦ. ὁ δὲ μὴ ἐπικτώμενος, οὐ δοκεῖ ἐκποιεῖν, ὡς ἐπὶ τοῦ ἀπαγορεύοντος κληρονομίαν, ἢ μὴ χρωμένου τῇ καταλειφθείσῃ αὐτῷ ἐπιλογῇ.

κθ.

Ὁ λόγος ὁ μὴ ἔχων συμπλοκὴν ἢ διάζευξιν, ἀπὸ τῆς διαθέσεως τοῦ εἰπόντος ἢ διαζευκτικὸς ἢ συμπλεκτικὸς νοεῖται.

λ.

Νεατὴ γῆ ἐστιν, ἡ περιτμηθεῖσα, ἡ ἐπὶ ἐνιαυτὸν ἀργήσασα· ἣν οἱ Γραικοὶ ΝΕΑΣΙΝ καλοῦσι.

λγ.

Λειμών ἐστιν, ἐν ᾧ εἰς τὸ λαβεῖν καρπὸν, δρεπάνου μόνου ἐστὶ χρεία.

λε.

Ἐκεῖνος ἀποκαθιστᾷ, ὁ διδοὺς οὕτως τῷ ἐνάγοντι, ὡς ἔμελλεν αὐτὸ ἔχειν ἐν καιρῷ προκατάρξεως.

λη.

Τέρας ὁρίζεται ὁ Λαβέων, ἅπαν τὸ παρὰ φύσιν ἑκάστου πράγματος γεννηθὲν καὶ γεγονός.

λθ.

Ὑποσημανθὲν λέγεται, τὸ ὑφ᾽ ἑτέρου ὑπογραφόμενον. οἱ γὰρ παλαιοὶ τῷ τῆς ὑποσημειώσεως ὀνόματι, ἀντὶ τῆς ὑπογραφῆς χρῆσθαι εἰώθεσαν.

τοῦ αὐτοῦ κεφ.

Διαμαρτύρεσθαί ἐστι, τὸ ἐπὶ μαρτύρων παραγγεῖλαι.

μ.

Τῇ φαμιλίᾳ καὶ οἱ ἐλεύθεροι περιέχονται. εἷς δὲ ἢ δύο δοῦλοι φαμιλίαν οὐ ποιοῦσιν.

μα.

Τῷ ὀνόματι τῶν ὅπλων καὶ τὰ ξύλα, καὶ οἱ λίθοι περιέχονται.

μγ.

Τῷ τῆς τροφῆς ὀνόματι, καὶ τὰ βρώσιμα, καὶ τὰ πόσιμα περιέχεται. καὶ τὸ ἔνδυμα, καὶ τὰ πρὸς ζωὴν ἀναγκαῖα, καὶ τὰ πρὸς φυλακὴν ἢ φροντίδα τοῦ σώματος ἐπιτήδεια.

με.

Τῷ ὀνόματι τῆς στρωμνῆς πᾶσα ἐσθὴς περιέχεται, καὶ τὰ στραγλία, καὶ τὰ παλλία, καὶ πᾶν, ὃ περιβαλλόμεθα. τῷ ὀνόματι δὲ τῆς τροφῆς, ἡ ἐσθὴς, οὐ μὴν τὰ στραγλία περιέχεται.

μϛ.

Τὸ ψηφίσασθαι τῷ διορίσασθαι τὸ αὐτὸ δηλοῖ.

τοῦ αὐτοῦ κεφ.

Σεμνὴν γυναῖκα νοεῖν ὀφείλομεν, τὴν μὴ ἀπρεπῶς ζήσασαν. τὴν γὰρ σεμνὴν γυναῖκα ἐκ τῶν λοιπῶν γυναικῶν οἱ τρόποι διακρίνουσι καὶ χωρίζουσιν. ἀμέλει οὐδὲν διαφέρει πότερον γεγάμηται, ἢ χήρα ἐστίν· εἴτε εὐγενής, εἴτε ἀπελευθέρα ἐστίν. οὔτε γὰρ γάμος, οὔτε γέννησις ποιεῖ τὴν σεμνὴν γυναῖκα, ἀλλὰ τρόποι χρηστοί.

μζ.

Τὸ τῆς ἐλευθερίας ὄνομα τὴν αὐτὴν δύναμιν ἔχει τῷ τῆς καταβολῆς ὀνόματι.

ν.

Τῷ ὀνόματι τῆς νύμφης, καὶ προνύμφη, καὶ ἡ περαιτέρω δηλοῦται.

να.

Τῇ τοῦ γονέως προσηγορίᾳ πάντες οἱ ἀνιόντες, ἄρρενες καὶ θήλειαι δηλοῦνται.

νβ.

Τῇ προσηγορίᾳ τοῦ πάτρωνος, ἡ πατρώνισσα περιέχεται.

νγ.

Ὁ συμπλεκτικὸς καὶ διαζευκτικὸς ἔσθ' ὅτε ἀντ' ἀλλήλων παραλαμβάνονται. καὶ παρατίθεται τὰ παραδείγματα, ἐν οἷς φησὶν, ὅτι ἐπίτροπος χωρὶς οὐσίας οὐ δίδοται. ὁμοίως καὶ ἐν τῷ κθ κεφαλαίῳ ἔφη. καὶ ἐρεῖται εἰς τὸ Η.

νδ καὶ νε.

ὁμοίως φησὶ περὶ δανειστῶν.

νϛ.

Γινώσκειν δικαίωμα, ἐστὶν ἀναγινώσκειν καὶ καταγινώσκειν. διαστίζειν δέ ἐστι δικαιώματα, τὸ ἀντεξετάζειν τὰς λήψεις καὶ τὰς δόσεις.

Τοῦ αὐτοῦ κεφ.

Παῖδες λέγονται, καὶ οἱ αὐτεξούσιοι, καὶ οἱ ἐξ ἀρρενογενείας, καὶ οἱ ἐκ θηλυγενείας κατιόντες. τῷ παίδων καὶ ὁ εἷς μόνος περιέχεται.

νζ.

Μαγίστροι λέγονται, ἀπὸ μεταφορᾶς τῶν ἀρχόντων, οἱ πλέον τῶν ἄλλων προνοεῖν ὀφείλοντες τῶν ἐπιτεταγμένων αὐτοῖς πραγμάτων. καὶ οἱ διδάσκαλοι οἱασδήποτε ἐπιστήμης.

νθ.

Λιμήν ἐστι τόπος περικεκλεισμένος, εἰς ὃν εἰσάγονται τὰ φορτία, καὶ ἐξ οὗ ἐξάγονται. τὸ αὐτὸ καὶ στατίων λέγεται.

ξ.

Ὁ τόπος μέρος ἀγροῦ ἐστιν, ὁ δὲ ἀγρὸς ὁλόκληρόν ἐστι, καὶ ὡς ἐπίπαν χωρὶς τῶν οἰκημάτων. δύναται δὲ ἀπὸ τῆς διαθέσεως τοῦ κεκτημένου καὶ ὁ τόπος ἀγρὸς εἶναι. ὡς ὅταν ἀντὶ ἀγροῦ παραδῶμεν αὐτόν: καὶ ὁ ἀγρὸς εἶναι τόπος, ὡς ὅταν αὐτὸν ἑτέρῳ παραθήσωμεν ἀγρῷ. ὁ δὲ τόπος καὶ ἐπὶ πολιτικῶν καὶ ἐπὶ ἀγροικικῶν λέγεται. καὶ ὁ ἀγρὸς ἰδίοις ὅροις περικλείεται, ὁ δὲ τόπος δύναται λανθάνειν μέχρι τοῦ διήκει.

ξα.

Τῇ προσηγορίᾳ τῆς ἱκανοδοσίας ἔσθ' ὅτε καὶ ὁμολογία περιέχεται.

ξβ.

Τῇ προσηγορίᾳ τοῦ ξύλου πᾶσα ὕλη πρὸς οἰκοδομὴν ποιοῦσα δηλοῦται.

XLVII.

Liberationis nomen eandem uim habet, quã solutionis.

L.

Appellatione nurus & pronurus, & si qua ulterior etiam est, significatur.

LI.

Appellatione parentis omnes adscendẽtes, tam mares, quam feminæ, continentur.

LII.

Patroni appellatione patrona continetur.

LIII.

Coniuncta & disiuncta oratio non nũquã pro se inuicem accipiuntur. Adijcit & exempla [iurisconsultus] inter alia dicens, tutorem separatim sine bonis non dari. Consimile quiddam in XXIX. capite protulit. dicitur etiam aliquid [de hoc] in coniunctione AVT.

LIV. LV.

Loquitur de creditoribus.

LVI.

Cognoscere instrumentum est relegere ac recognoscere. Dispungere autem instrumenta, est conferre accepta & data.

Eod.

Liberi dicuntur & qui sui iuris sunt, & qui ex uirili, siue feminino sexu descendunt. Appellatione liberorum etiam unus continetur.

LVII.

Magistri dicuntur per deriuationem à magistratibus, qui magis quam ceteri sollicitudinem & curam rebus sibi commissis debent; & cuiuslibet scientiæ præceptores.

LVIIII.

Portus est conclusus locus, quo importantur & exportantur merces. Idem & statio dicitur.

LX.

Locus est fundi portio. Fundus autem integrum aliquid est, & plerumq́ sine ullis seu ædificijs. Potest autẽ ex animo & adfectione possidentis etiam locus esse fundus. ut quum pro fundo eum tradimus. itidem fundus esse locus potest, ueluti quum eum alij fundo adiugimus. locus quoq́ tam de urbanis, quam rusticis [prædijs] dicitur. & fundus quidem suis finibus includitur, locus autem latere potest, quatenus porrigatur.

LXI.

Satisdationis appellatione interdum & repromissio continetur.

LXII.

Tigni appellatione omnis materia, ad ædificium apta, significatur.

LXIII.

PENES TE amplius est, quã APVD TE. nã APVD TE est, quod qualiter qualiter à te tenetur: PENES TE est, quod modo quodam possidetur.

LXIIII.

Intestatus est, non tantum qui testamentum non fecit: sed etiam cuius hereditas ex testamento adita non est.

LXV.

Heres dicitur, non solum primus, sed etiam heredis heres, & ceteri deinceps.

LXVII.

Quod uenditum est, & adhuc est apud uenditorem, non alienatum dicitur, sed uenditum.

LXX.

Appellatio heredis & ad ulteriores porrigitur. raro autem * primus significatur. uelut in substitutione impuberis. Nã si dixero, QVI HERES MIHI EST, IDEM [FILII] IMPVBERIS HERES ESTO, heres heredis mei non continetur.

* proximus.

LXXI.

Aliud est capere, aliud est accipere. Capere, cum effectu intelligitur. Accipere, & si quis non sic accepit, ut habeat. ideoque non uidetur quis capere, quod erit restituturus. sicut PERVENISSE proprie illud dicitur, quod est remansurum.

Eod.

Hac uerba, IN HIS REBVS RECTE PRAESTARI PROMISIT, hoc significant, ne quod periculum uel damnum ex ea re stipulator sentiat.

LXXIII.

Stipulari, REM RECTE RESTITVI, significat cum fructibus.

LXXV.

Is restituere uidetur, qui reddit actori, quod habiturus erat, si controuersia facta non esset.

LXXVII.

Frugem pro reditu appellari placuit, non solum quod ex frumẽtis aut leguminibus: uerum etiam quod ex uino, uel siluis caeduis [capitur.]

LXXVIII.

Interdum quoque nomine POSSESSIONIS proprietas significatur. Veluti quum quis possessiones suas legat.

LXXIX.

Vtiles impẽsas esse placuit, quae meliorẽ dotẽ faciant, * non etiam deteriorem eam esse sinant; ex quibus mulieri reditus adquiratur. sicut in arbusti pastinatione, ultra quam erat necesse. item in doctrina puerorum. quorũ nomine onerari mulierẽ ignorantem uel inuitã non oportet. ne fundo uel mancipijs carere cogatur.

* Sic Graeci legũt. aliter Florant. editio.

ξγ.

Τὸ παρὰ σοὶ πλέον ἐστὶ, τοῦ πρὸς σέ. πρὸς σὲ γάρ ἐστι, τὸ ὁπωσοῦν ὑπὸ σοῦ κρατούμενον: παρὰ σοὶ δέ ἐστι, τρόπῳ τινὶ νεμόμενον.

ξδ.

Αδιάθετός ἐστιν, οὐ μόνον ὁ μὴ διαθέμενος, ἀλλὰ καὶ ὁ μὴ κληρονομούμενος ἐκ διαθήκης.

ξε.

Κληρονόμος λέγεται, οὐ μόνον ὁ πρῶτος, ἀλλὰ καὶ ὁ τοῦ κληρονόμου κληρονόμος, καὶ οἱ ἑξῆς.

ξζ.

Τὸ πραθὲν καὶ ὂν παρὰ τῷ πράτῃ, οὐ λέγεται ἐκποιηθὲν, ἀλλὰ πραθέν.

Ἡ τοῦ κληρονόμου προσηγορία καὶ εἰς τοὺς πορρωτέρω ἐκτείνεται. σπανίως δὲ ὁ πρῶτος δηλοῦται, ὡς ἐπὶ τῆς ἀνήβου ὑποκαταστάσεως. ἐὰν γὰρ εἴπω, κληρονόμον εἶναι τοῦ ἀνήβου τὸν γενόμενόν μου κληρονόμον, οὐ περιέχεται ὁ τοῦ κληρονόμου μου κληρονόμος.

οα.

Ἕτερον λαβεῖν, καὶ ἕτερον δέξασθαι. τὸ λαβεῖν ἐνδυνάμως νοεῖται. δέξασθαι δὲ, κἂν οὐχ οὕτως τις ἐδέξατο, ἵνα ἔχῃ. διὰ τοῦτο οὐ δοκεῖ τις λαβεῖν, ὅπερ μέλλει ἀποκαταστῆσαι. ὥσπερ ἐληλυθέναι κυρίως ἐκεῖνο λέγεται, τὸ ἀπομένειν μέλλον.

τῷ αὐτῷ κεφ.

Ταῦτα τὰ ῥήματα, ΕΠΙ ΤΟΥΤΟΙΣ ΤΟΙΣ ΠΡΑΓΜΑΣΙ ΤΟ ΟΡΘΩΣ ΠΑΡΑΣΧΕΘΗΝΑΙ ΩΜΟΛΟΓΗΣΕ, τοῦτο σημαίνει, ἵνα μή τινα κίνδυνον ἢ ζημίαν ἐκ τούτου τοῦ πράγματος ὁ ἐπερωτήσας ὑπομείνῃ.

ογ.

Τὸ ἐπερωτῆσαι ΠΡΑΓΜΑ ΟΡΘΩΣ ΑΠΟΚΑΤΑΣΤΗΝΑΙ, δηλοῖ μετὰ τῶν καρπῶν.

οε.

Ἀποκαταστῆσαι δοκεῖ, ὁ διδοὺς τῷ ἐνάγοντι, ὅπερ ἤμελλεν ἔχειν μὴ δικαζόμενος.

ος.

Τὸν καρπὸν αὐτὸ πρόσοδον καλεῖσθαι ἤρεσεν, οὐ μόνον τὸν ἀπὸ πυρῶν, ἢ ὀσπρίων, ἀλλὰ καὶ τὸν ἀπὸ οἴνου, ἢ ὑλῶν τεμνομένων.

οη.

Ἔσθ' ὅτε δὲ καὶ τῷ ὀνόματι τῆς νομῆς ἡ δεσποτεία δηλοῦται. ὡς ἐνθάδε τις τὰς νομὰς αὐτοῦ ληγατεύει.

οθ.

Χρησίμους δαπάνας ἤρεσεν εἶναι, τὰς βελτίω ποιούσας τὴν προῖκα, οὐ μὴν συγχωρούσας εἶναι αὐτὴν χείρω. ἐξ ὧν πρόσοδος τῇ γυναικὶ προσπορίζεται. οἷον ... τοῦ ἄλσους φιλοκαλίας, πέρα οὗ ἐπαναγκες ἦν. ὁμοίως καὶ ἐπὶ τῆς † διδασκαλίας τῶν παίδων, ὧν ἕνεκα βαρύνεσθαι τὴν γυναῖκα ἀγνοοῦσαν ἢ ἄκουσαν οὐ χρὴ, ἵνα μὴ ἀναγκασθῇ τοῦ ἀγροῦ ἢ τῶν ἀνδραπόδων στερεῖσθαι.

† διδαχῆς.

ἐπι-

ἐπιτερπεῖς δὲ δαπάναι εἰσὶν, αἱ τὸ εἶδος μόνον κοσμοῦσαι, οὐ μὴν καὶ τὸν καρπὸν αὔξουσαι, ὡς ἔστι τὰ χλοηφόρα γήδια, καὶ τὰ ἀναβρυτὰ ὕδατα, καὶ αἱ μαρμαρώσεις, καὶ αἱ λωρικατίωνες, καὶ αἱ ζωγραφίαι.

π.

Τῇ γενικῇ τῶν λεγάτων ἐπαναλήψει, καὶ ἐλευθερίαι περιέχονται.

πα.

Ὅτι διακαλεῖται, ἀποκαταστῆναι κτίσμα, καὶ τὴν συμβᾶσαν ζημίαν λαμβάνει ὁ ἐνάγων. τῷ γὰρ ῥήματι τῆς ἀποκαταστάσεως ἡ χρησιμότης τοῦ ἐνάγοντος περιέχεται.

πγ.

Τῇ τοῦ υἱοῦ προσηγορίᾳ πάντας τοὺς παῖδας νοοῦμεν.

πδ.

Τρεῖς σύστημα ποιοῦσι.

πε.

Τὰ δικαιώματα τῶν ἀγρῶν, αὐτοὶ οἱ ἀγροί εἰσι, τουτέστιν ἡ καλλονή, ἡ ὑγεία, καὶ τὸ μέγεθος.

πη.

Σχεδὸν τοσαῦτα ἕκαστος χρήματα καταλιμπάνει, ὅσα ἐκ τῆς οὐσίας αὐτοῦ ἀθροισθῆναι δύναται. οὕτω λέγομεν, ἑκατοντάκις ἑκατὸν χρυσοῦς ἔχειν, τὸν † μόνον ἐν κτήμασι καὶ τοῖς λοιποῖς πράγμασιν ἔχοντα οὐσίαν.

† Rectius uertisset, τὸν τοσαῦτα ἐν κτήμ.

πθ.

Οἱ βόες τῶν βουκολίων εἰσὶ μᾶλλον, ἢ τῶν ὑποζυγίων.

τοῦ αὐτοῦ κεφ.

Διαφέρει ἀποδοῦναι λόγους τοῦ ἐκδοῦναι. ὁ γὰρ κελευσθεὶς ἐκδοῦναι, οὐ δίδωσι τὰ λειπαζόμενα.

ϙγ.

Τὸ, κινητὰ καὶ κινούμενα, τὸ αὐτὸ δηλοῖ. εἰ μὴ ἄρα δειχθῇ ὁ διαθέμενος τό, κινούμενα, νοήσας ἐπὶ τῶν ἐμψύχων.

ϙδ.

Ἀναδοῦναι καὶ τὴν δόσιν δηλοῖ.

ϙε.

Τῷ ὀνόματι τῶν λοιπῶν, καὶ τὸ πᾶν σημαίνεται.

ϙζ.

Ἐὰν ἐπερωτήσωσι, ΟΣΑ ΧΡΗΜΑΤΑ ΕΙΣ ΣΕ ΠΕΡΙΕΛΘΗ ΑΠΟ ΤΗΣ ΚΛΗΡΟΝΟΜΙΑΣ ΤΟΥΔΕ, αὐτὰ τὰ πράγματα δοκῶ ἐπερωτᾶν, οὐ μὴν τὰ τιμήματα αὐτῶν.

ϙθ.

Γνῶσιν νοεῖν δυνάμεθα, καὶ τὴν διάγνωσιν, καὶ τὴν δικαιοδοσίαν.

τοῦ αὐτοῦ κεφ.

Δικαιώματά ἐστι, καὶ τὰ πρὸς ἀπόδειξιν τῆς δίκης συμβαλλόμενα πρόσωπα.

Voluptaria uero impensa sunt, quæ speciem duntaxat ornant, non etiam fructum augent. Vt sunt uiridia, & aquæ salientes, & incrustationes, & loricationes, & pictura.

LXXX.

In generali repetitione legatorum etiam libertates continentur.

LXXXI.

Quum interdicitur, ut opus factum restituatur: etiam damnum datum actor consequitur. nam uerbo RESTITVTIONIS *utilitas actoris continetur.*

LXXXIII.

Filij appellatione omnes liberos intelligimus.

LXXXIV.

Tres collegium faciunt.

LXXXV.

Iura prædiorum sunt ipsa prædia, hoc est, bonitas, salubritas, & amplitudo.

LXXXIIX.

Fere tantum quisque pecuniæ relinquit, quantum ex bonis eius colligi potest. Sic dicimus, centies centenos aureos eum habere, qui tantum bonorum in prædijs ceterisq́ rebus habeat.

LXXXIX.

Boues ad armenta potius pertinent, quam ad iumenta.

Eod.

Differunt REDDERE *rationes, &* EDERE. *Nam qui* EDERE *iussus est, non reddit reliqua.*

XCIII.

Hæ uoces, MOVENTIA, *&* MOBILIA, *idem significant. nisi si probetur, testatorem per* MOVENTIA *intellexisse animantia.*

XCIIII.

Verbum REDDERE *etiam dare significat.*

XCV.

Nomine RELIQVORVM *& uniuersum significatur.*

XCVII.

Si abs te stipuler, QVANTA PECVNIA AD TE PERVENERIT EX ILLIVS HEREDITATE, *res ipsas stipulari uideor, non earum pretia.*

XCIX.

Notionẽ accipere possumus, & cognitionem, & iurisdictionem.

Eod.

Instrumenta sunt etiã personæ, quæ ad litis instructionem facere possunt.

ς.Spe-

C.

Speciosæ personæ dicuntur personæ clarissimorum uirorum & mulierum.

CI.

Inter stuprum & adulterium hoc interesse quidam putant, quod adulterium in nuptam, stuprum in uiduam committatur. sed lex Iulia de adulterijs hoc uerbo indifferenter utitur.

Eod.

Diuortium inter uirum & uxorem fieri dicitur. Repudium uero & sponsæ mitti uidetur, quod in uxoris personam non absurde cadit.

Eod.

Verum est, MORBVM esse temporalem corporis imbecillitatem. at VITIVM, perpetuum corporis impedimentum est.

Eod.

Seruis legatis etiam ancillæ debentur.

CII.

DEROGATVR *quid legi, uel* ABROGATVR. . . . .

ABROGATVR, *quum lex prorsus tollitur.*

CIII.

CAPITALIA *mortem significant, & ciuitatis amißionem.*

CIIII.

Liberorum appellatio etiam ad nepotes extenditur.

CV.

Hæc uerba, LIBERTI MEI, *non significant & libertorum libertos.*

CVIIII.

Bonæ fidei emtor esse uidetur, qui ignorauit eam rem alienam esse: uel putauit eum, qui uendidit, ius uendendi habere. puta, procuratorem uel tutorem esse.

CX.

Sequester est, apud quem multi rem, de qua controuersia est, deponunt.

CXI.

Censere, est aliquid præcipere, ut fiat. item aliquid apud se constituisse. Inde Censoris nomen uidetur tractum.

CXII.

Litus est, quousque maximus maris fluctus excurrit.

CXIII.

Morbus sonticus est, qui cuique rei nocet.

CXV.

*Fundus * est omne, quicquid solo tenetur.*

* Vide cap. ccxj. hoc tit. ubi tractatur & de ædificijs, & uillis, & solo, & agro.

ρ.

Ἐπίσημα πρόσωπα λέγεται, τὰ τῶν λαμπροτάτων ἀνδρῶν τε καὶ γυναικῶν.

ρα.

Μεταξὺ φθορᾶς καὶ μοιχείας τοῦτο διαφέρειν τινὲς δοξάζουσιν, ὅτι ἡ μοιχεία εἰς τὴν γεγαμημένην, ἡ δὲ φθορὰ εἰς τὴν χήραν πλημμελεῖται. ὁ δὲ περὶ μοιχείας † λόγος, * ἀδιαφόρως τούτῳ τῷ λόγῳ χρῆται. † νόμος * ἀδιαφόρως.

τοῦ αὐτοῦ κεφ.

Διαζύγιον μεταξὺ ἀνδρὸς καὶ γαμετῆς γίνεσθαι λέγεται. διαζύγιον δὲ καὶ μνηστῇ πέμπεσθαι δοκεῖ, ὅπερ εἰς πρόσωπον τῆς γαμετῆς οὐκ ἀηθῶς πίπτει.

τοῦ αὐτοῦ κεφ.

Ἀληθές ἐστι τὸ ΝΟΣΟΝ εἶναι τὴν πρόσκαιρον τοῦ σώματος ἀσθένειαν. πάθος δέ ἐστι διηνεκὲς τοῦ σώματος ἐμπόδιον.

τοῦ αὐτοῦ κεφ.

Δούλων ληγατευομένων, καὶ δοῦλαι κεχρεώστηνται.

ρβ.

Ἀπομειοῦται νόμου τι, ἢ ἀποδαπανᾶται. ἀποδαπανᾶται, ὅταν παντελῶς ὁ νόμος ἀναιρεῖται.

ργ.

Τὰ κεφαλικὰ θάνατον δηλοῦσι, καὶ πολιτείας ἔκπτωσιν.

ρδ.

Ἡ τῶν τέκνων προσηγορία καὶ εἰς τοὺς ἐκγόνους ἐκτείνεται.

ρε.

Τὸ εἰπεῖν, ΤΟΥΣ ΑΠΕΛΕΥΘΕΡΟΥΣ ΜΟΥ, οὐ δηλοῖ καὶ τῶν ἀπελευθέρων τοὺς ἀπελευθέρους.

ρθ.

Καλῇ πίστει ἀγοραστὴς εἶναι δοκεῖ, ὁ ἀγνοήσας τοῦτο τὸ πρᾶγμα ἀλλότριον εἶναι, ἢ νομίσας τὸν πωλήσαντα δίκαιον ἔχειν τοῦ πωλεῖν. οἷον φροντιστὴν, ἢ ἐπίτροπον εἶναι.

ρι.

† Μεσεγγυητής ἐστι, παρ' ᾧ πολλοὶ ἐπιδίδωσι παρατίθενται πρᾶγμα. † μεσεγγυητής.

ρια.

Κενσερὲ ἐστι, τὸ διατάττεσθαί τι ποιῆσαι. καὶ τὸ καθ' ἑαυτὸν τί ποτε κεκρικέναι. ἐκεῖθεν τὸ τοῦ κένσωρος ὄνομα δοκεῖ εἱλκύσθαι.

ριβ.

Αἰγιαλός ἐστι, μέχρις οὗ τὸ μέγιστον τῆς θαλάσσης ἐκτρέχει κῦμα.

ριγ.

Νόσος ὀλεθρία ἐστὶν, ἡ ἑκάστῳ πράγματι λυμαινομένη.

ριε.

Φοῦνδός ἐστι, πᾶν † ὅ τι δή ποτε ὑπὸ τοῦ ἐδάφους κρατεῖται. † ἐπιδέχεται.

ρις. τῷ

ρις.

Τῇ τοῦ υἱοῦ προσηγορίᾳ καὶ ἡ θυγάτηρ περιέχεται.

ριη.

Πολέμιοι εἰσίν, οἱ πρὸς ἡμᾶς, ἢ πρὸς οὓς ἡμεῖς δημόσιον ψηφιζόμεθα πόλεμον. οἱ δὲ ἄλλοι, λῃσταὶ ἢ κλέπται εἰσίν.

ρκ.

Ὁ τόκος τοῦ ἀργυρίου οὐκ ἔστι καρπός.

ρκβ.

Τὸ ῥῆμα τὸ, ΕἼΗ, ἐνίοτε καὶ τὸν παρῳχηκότα δηλοῖ. ὅπερ ἀναγκαῖόν ἐστιν ἡμῖν εἰδέναι. καὶ ὅταν κωδίκελλοι οὕτω βεβαιωθῶσιν ἐν διαθήκῃ, ΟΠΕΡ ΕΝ ΤΟΙΣ ΚΩΔΙΚΕΛΛΟΙΣ ΓΡΑΦΕΝ ΕΙΗ, πότερον τοῦ μέλλοντος χρόνου δήλωσις ἔσται, ἢ καὶ τοῦ παρελθόντος, εἴγε προγραφέντας κωδικέλλους τις καταλίπῃ; ἅπερ ἐκ τῆς βουλήσεως τοῦ γράψαντος ἑρμηνευτέον ἐστίν.

ρκγ.

† ἐνεστῶτα. Τὸ, ΕΣΤἸ, καὶ τὸν † ἑστῶτα καὶ τὸν παρεληλυθότα σημαίνει, ὥσπερ καὶ τὸ ΕΙΗ.

ρκδ.

Τὸ εἰπεῖν, ΤΟ͂ΔΕ Ἢ ΤΟ͂ΔΕ ἼΝΑ ΓΈΝΗΤΑΙ, Ἢ ΔΟΘΗ͂, οὐ πάντως διαζευκτικόν ἐστιν, ἀλλ' ἔσθ' ὅτε καὶ ὑποδιαζευκτικὸν, καὶ δεῖ τὰ δύο γενέσθαι ἢ δοθῆναι.

ρκη.

Ὁ τεχθεὶς νεκρὸς, οὔτε γεννᾶσθαι δοκεῖ, οὔτε παῖς λέγεται.

ρλα.

Ἕτερόν ἐστι βλάβος, καὶ ἕτερον ποινή. βλάβος μὲν γὰρ, δίχα ποινῆς δύναται εἶναι· ποινὴ δὲ δίχα βλάβους, οὐ δύναται. ποινή ἐστιν ἁμαρτήματος ἐκδίκησις· βλάβος δὲ καὶ τὸ ἁμάρτημα λέγεται, καὶ ὡσανεὶ ποινῆς προπαρασκευή τις.

ρλβ.

Ἐνιαυσιαῖος δοκεῖ τελευτᾶν, ὁ ἐν τῇ ὑστέρᾳ τοῦ ἐνιαυτοῦ ἡμέρᾳ τελευτῶν. καὶ ὅτι γὰρ λέγομεν, ΠΡΟ ΔΕΚΑΤΗΣ ΚΑΛΑΝΔΩΝ, ἢ ΜΕΤΑ ΔΕΚΑΤΗΝ ΤΩΝ ΚΑΛΑΝΔΩΝ, οὐ δηλοῦμεν τὴν ἑνδεκάτην ἡμέραν.

Καὶ κεφάλαιον ρλε. ὁμοίως φησί.

ρλγ.

Οὐ λέγεται γεννῆσαι ἡ ἀνατμηθεῖσα.

ρλη.

Καὶ ἡ διακατοχὴ, κληρονομία λέγεται.

ρμα.

Δοκεῖ ἡ γυνὴ υἱὸν ἔχειν ἐν τῷ τελευτᾶν, ἧς ἀνατμηθείσης ἐξῆλθε τὸ βρέφος.

ρμγ.

Ἔχειν δοκῶ τὸ πρᾶγμα, ἐφ' ᾧ ἁρμόζει μοι ἀγωγή.

ρμδ.

Παλλακή ἐστιν, ἡ συζῶσα τινὶ, ἐν τῷ οἴκῳ αὐτοῦ νομίμως χωρὶς γάμου.

CXVI.

Filij appellatione filia quoque continetur.

CXVIII.

Hostes sunt, qui nobis, uel quibus nos publicum bellum decernimus. Ceteri, latrones aut pradones sunt.

CXX.

Vsura pecunia, non est fructus.

CXXII.

Verbum ERIT *interdum etiam praeteritũ significat. quod est nobis necessarium scire. Et quum codicilli sic confirmati fuerint testamẽto,* QVOD IN CODICILLIS SCRIPTVM ERIT, *utrum'ne futuri temporis erit significatio, an etiam praeteriti, siquidẽ antea scriptos codicillos quis relinquat? Haec ex uoluntate scribentis interpretanda sunt.*

CXXIII.

Verbum EST, *tam praesens, quam praeteritũ tẽpus significat, sicut & uerbum* ERIT.

CXXIV.

Haec uerba, ILLVD AVT ILLVD, *nimirum* FIERI AVT DARI, *nõ omni modo disiunctiua sunt oratio, sed interdum & subdisiunctiua: & oportet utrũque fieri aut dari.*

CXXIIX

Qui mortuus nascitur, neque procreari uidetur, neque filius appellatur.

CXXXI.

Aliud est fraus, aliud poena. fraus enim sine poena esse potest, poena sine fraude, non potest. Poena est noxa uindicta, fraus uero et ipsa noxa dicitur, & quasi poenae praeparatio quaedam.

CXXXII.

Anniculus uidetur mori, qui ultimo anni die moritur. Nam quum dicimus, ANTE DIEM DECIMVM KALENDARVM, *uel,* POST DIEM DECIMVM KALENDARVM, *undecimum diẽ non significamus. Simile quiddam in capite* CXXXV *traditur.*

CXXXIII.

Peperisse nõ dicitur, cui partus exsectus est.

CXXXVIII.

Etiã bonorũ possessio hereditas appellatur.

CXLI.

Videtur ea mulier, quum moreretur, filium habere, cuius exciso utero infans est editus.

CXLIII.

Habere uideor rem, in quã mihi actio competit.

CXLIV.

Pellex est, quae cum aliquo, in eius domo, legitime sine nuptijs uiuit.

CXLV.

Virilis portionis appellatione tota interdum hereditas significatur.

CXLVI.

Soceri appellatio, prosocerū quoq; continet.

CLII.

Hominis appellatione tam masculus quam femina continetur.

CLIII.

Etiam qui in utero est, relictus fuisse mortis tempore uidetur.

CLV.

Proximus dicitur etiam qui solus est.

CLVII.

Paries est sine murus ambiens, sine materia.

CLVIII.

Quæ sunt eiusdem generis, etiam quum plura sunt, appellatione singulari efferri possunt. ueluti quum dicimus multum hominem, multum piscem. Vel, quum mihi & heredi meo stipulor. nam & plures continentur.

CLVIIII.

Etiam aureos numos as dicimus.

CLX.

Pupillus non dicitur, qui in utero est.

CLXII.

Etiam quum unicus tantum superstes est, recte substituimus his uerbis, EI QVI SVPREMVS MORIETVR. Nam & solus adgnatus, proximus dicitur.

Eod.

Hæc uerba, SI QVID FILIO MEO ACCIDERIT, mortem significant.

CLXIIII.

Nomine filiarum etiam postuma continentur.

CLXV.

Qui portionem dicit, nec adiecit quotam, dimidiam significat.

CLXVI.

Nihil ad heredem uenisse uidetur, nisi deducto ære alieno.

CLXVII.

Tractat de materia ad fabricandum idonea.

CLXXI.

Peruenire uidetur etiam id, quod per adquisitionem alij factam peruenit.

CLXXIII.

Appellatione liberti etiam liberta continetur.

CLXVV.

Faciendi uerbo, reddendi etiam caussa continetur.

ρμε.

Τῇ τοῦ ἀναλογοῦντος μέρους προσηγορίᾳ, ἐσθ᾽ ὅτε καὶ ἡ πᾶσα κληρονομία δηλοῦται.

ρμϛ.

Ἡ τοῦ πενθεροῦ προσηγορία καὶ τὸν προπενθερὸν δηλοῖ.

ρνβ.

Τῇ τοῦ ἀνθρώπου προσηγορίᾳ καὶ ἀνὴρ, καὶ γυνὴ δηλοῦται.

ρνγ.

Καὶ ὁ ἐν γαστρὶ ὢν, δοκεῖ καταλελεῖφθαι ἐν καιρῷ τελευτῆς.

ρνε.

Ἐγγύτερος λέγεται, καὶ ὁ μόνος ὤν.

ρνζ.

Τοῖχός ἐστιν, ἔιτε περίβολος, ἔιτε θριγκός.

ρνη.

Τὰ τοῦ αὐτοῦ γένους ὄντα, δύναται καὶ πολλὰ ὄντα ἑνικῶς ἐκφωνεῖσθαι. ὡς ὅταν λέγωμεν, πολὺς ἄνθρωπος, πολὺς ἰχθύς. ἢ ὅτι ἐμοὶ καὶ τῷ κληρονόμῳ μου ἐπερωτήσω. καὶ ἡ πολλοὶ γὰρ περιέχονται.

ρνθ.

Καὶ τὰ νομίσματα νοῦμμος λέγεται.

ρξ.

Οὐ λέγεται ἄνηβος, ὁ ἐν γαστρὶ ὤν.

ρξβ.

Καὶ ἑνὸς μόνου ὑπόντος, καλῶς ὑποκαθιστῶμεν λέγοντες, ΤΩ ΤΕΛΕΥΤΑΙΟΝ ΑΠΟΘΝΗΣΚΟΝΤΙ. καὶ ὁ μόνος γὰρ συγγενὴς, πλησιάζων λέγεται.

τοῦ αὐτοῦ κεφ.

Τὸ εἰπεῖν, ἐὰν συμβῇ τῷ υἱῷ μου τί ποτε, θάνατον δηλοῖ.

ρξδ.

Τῇ τῶν θυγατέρων προσηγορίᾳ, καὶ αἱ κυοφορούμεναι δηλοῦνται.

ρξε.

Ὁ λέγων μέρος, καὶ μὴ προστιθεὶς ποῖον, τὸ ἥμισυ δηλοῖ.

ρξϛ.

Οὐ δοκεῖ περιελθεῖν εἰς τὸν κληρονόμον, εἰ μὴ τὸ μετὰ τὰ χρέα.

ρξζ.

Περὶ ἐργασίμης ὕλης.

ροα.

Περιέρχεσθαι δοκεῖ, καὶ τὸ διὰ προσπορισμοῦ κτώμενον.

ρογ.

Τῇ προσηγορίᾳ τοῦ ἀπελευθέρου, καὶ ἀπελευθέρα δηλοῦται.

ροε.

Τῷ ῥήματι τοῦ ποιῆσαι, καὶ ἡ τοῦ ἀποδοῦναι αἰτία περιέχεται.

ροζ. σω-

ροζ.

Σωρείτης λέγεται, ὁ παραλογισμὸς, ἤτοι ἡ εἰρωνεία.

ροη.

Οὐ μόνον τὰ ἀργυρᾶ περιλαμβάνεται τῇ τῶν χρημάτων προσηγορίᾳ, ἀλλὰ πάντα τὰ σώματα.

ρπ.

Καλύβη καλεῖται, πᾶν ἀγροικικὸν οἰκοδόμημα.

ρπβ.

Τὸ διαφέρειν δηλοῖ καὶ τὰ ὄντα τῆς δεσποτείας ἡμῶν, καὶ ἅτινα νεμόμεθα, ἢ ἐλπίζομεν κτᾶσθαι, ἢ νέμεσθαι.

ρπγ.

Σκηνὴ λέγεται πᾶσα οἴκησις.

ρπδ.

Εὐτρεπισμένον ἐργαστήριον, τὸ καὶ πράγμασι, καὶ ἀνθρώποις, πρὸς πραγματείαν ἕτοιμον.

ρπη.

Επαρχιῶταί εἰσιν, οἱ τὴν οἴκησιν ἐν ταῖς ἐπαρχίαις ἔχοντες, οὐ μὴν οἱ ἐν αὐταῖς τεχθέντες.

ρπθ.

Τὸ προστιθέμενον ἐν τοῖς συμβολαίοις, ΔΕΚΑ Ἢ ΠΛΕΟΝ, οὐκ εἰς ἄμετρον, ἀλλ' εἰς ἐλαχίστην ἀναφέρεται ποσότητα.

ρϙ.

Τὸ εἰπεῖν, ΟΣΟΥ ΦΑΝΗ ΤΟ ΠΡΑΓΜΑ, οὐ πρὸς τὸ διαφέρον, ἀλλὰ πρὸς τὴν τοῦ πράγματος διατίμησιν † φέρεται.

† ἀναφέρεται.

ρϙγ.

Τὰ λεγόμενα περὶ ἄρρενος, ὡς περὶ τὸ πλεῖστον καὶ περὶ θηλείας λέγεται.

ρϙδ.

Ἡ φαμιλία καὶ πρᾶγμα δηλοῖ, ὡς ὅταν ὁ νόμος λέγῃ, ἐγγύτερος συγγενὴς ἐχέτω τὴν φαμιλίαν. δηλοῖ καὶ πρόσωπα, ὡς ὅταν λέγομεν περὶ τοῦ πάτρωνος καὶ τῶν ἀπελευθέρων. λέγεται καὶ φαμιλία κοινῶς ἐπὶ παντὸς γένους. λέγεται καὶ περὶ τῶν ὑπεξουσίων τοῦ ἑνὸς προσώπου.

ρϙϛ.

Μεμηνυκέναι ἐστὶ τὸ προσηγγελκέναι, τὸ ἐλέγξαι, τὸ κατηγορῆσαι, * τὸ συναλλάξαι.

* καὶ τὸ συνελέγξαι.

ρϙζ.

Ἀστικὰ κτήματα, τὰ οἰκήματα δεχόμεθα, οὐ μόνον τὰ ἐν πόλεσιν ὄντα, ἀλλὰ καὶ εἰ τύχοι σταθμοὶ εἰσιν, ἢ ἄλλα ἐργαστήρια ἐν ταῖς χώραις καὶ ἐν ταῖς κώμαις· ἢ ἐὰν ἐπαύλια τέρψει μόνον δουλεύοντα. ἐπειδὴ τὸ ἀστικὸν κτῆμα οὐχ ὁ τόπος ποιεῖ, ἀλλ' ἡ ὕλη. ἀμέλει καὶ τοὺς κήπους, οἵτινες εἰσὶν ἐν οἰκήμασι κατεσκευασμένοι, λεκτέον τῇ τῶν ἀστικῶν προσηγορίᾳ περιέχεσθαι. δηλαδὴ δὲ καὶ εἰ τὸ πλέον οἱ κῆποι ἐν προσόδῳ εἰσὶν, ἀμπελικοὶ τυχὸν, ἢ λαχανικοὶ ὄντες, μᾶλλον οὐκ εἰσὶν † ἀστικοί.

† ἀστικά. scilicet κτήματα.

ρϙη.

Ἄπεστιν, ὁ μὴ παρὼν ἔνθα ἀπαιτεῖται, καὶ ὁ μὴ περιὼν ἐν τῇ περιοικίδι.

σ.

Τῇ τοῦ υἱοῦ προσηγορίᾳ, καὶ τῇ τῶν ὑπεξουσίων, καὶ οἱ ἔκγονοι περιέχονται.

CLXXVII.

Sorites dicitur captiosa ratiocinatio, siue cauillatio.

CLXXVIII.

Non numerata tantum pecunia continetur appellatione pecuniæ, sed omnia corpora.

CLXXX.

Tugurium appellatur omne rusticum ædificium.

CLXXXII.

Verbum PERTINERE *cõtinet & ea, quæ dominij nostri sunt, & quæ possidemus, uel quæ speramus nos adquisituros, aut possessuros.*

CLXXXIII.

Taberna dicitur omne ædificium.

CLXXIV.

Instructa taberna dicitur, quæ & rebus, & hominibus, ad negotiationem est parata.

CLXXXVIII.

Prouinciales sunt, qui domicilium in prouincijs habent: non ij, qui sunt in prouincijs nati.

CLXXXIX.

Quod in instrumentis adijcitur, DECEM PLVRISVE, *non ad infinitam, sed minutissimã quantitatẽ refertur.*

CXC.

Hæc uerba, QVANTI PAREBIT EAM REM ESSE, *non ad quod interest, sed ad rei æstimationem referuntur.*

CXCIII.

Quæ de masculo dicuntur, ut plurimum & de femina intelliguntur.

CXCIV.

Familia nomen & rem significat, ut quum lex inquit: ADGNATVS PROXIMVS FAMILIAM HABETO. *Significat & personas, ut quum de patrono & libertis loquimur. Præterea dicitur familia communiter de uniuersa gente. Itẽ de ijs, qui sunt in unius personæ potestate.*

De familia uide tract. de legatis.

CXCVI.

INDICASSE *est detulisse, arguisse, accusasse, & conuicisse.*

CXCVII.

Vrbana prædia intelligimus ædificia, non ea solũ, quæ sunt in oppidis, sed & si forte stabula sint, uel alia meritoria in uillis & in uicis. uel si prætoria, uoluptati tãtũ deseruientia. quia prædiũ urbanum non locus facit, sed materia. proinde hortos quoque, quicũque sunt in ædificijs constituti, dicendũ est urbanorum appellatione contineri. plane si plus horti in reditu sunt, puta uinearij uel olitorij, potius non sunt urbana.

CXCVIII.

Absens est, qui non adest eo loci, in quo petitur. itẽ qui non adest intra urbis continentia.

CC.

Appellatione filij, & filiorum familias, etiã nepotes continentur.

CCI.

Appellatiõe patris, auus quoq; significatur.

CCII.

Pueri appellatio tres significationes habet. unam, quum omnes seruos, pueros appellamus. alteram, quum puerum nomine puellæ contrario, dicimus tertiam; quum quamlibet ætatem puerilem significamus.

CCVII.

Mercis appellatione homines non continentur. ob eam rem mangones non mercatores, sed uenaliciarij uocantur.

CCXI.

Fundus appellatur & ædificium, & ager. Aedificia uero in urbe dicuntur ædes, ruri uillæ. Locus sine ædificio in urbe quidem area: rure autem ager appellatur.

CCXII.

Munus proprie dicitur, quod obimus necessario, uel lege, uel more, uel magistratu iubente.

CCXIIII.

Lata culpa est nimia negligentia, id est, non intelligere, quod omnes intelligunt.

CCXVI.

Qui simpliciter est in carcere, uinctus esse non uidetur.

CCXVII.

Hoc uerbũ, QVVM FARI POTVERIT, ab illo, POSTEA QVAM FARI POTVERIT, differt: Nam in priori existit condicio, ut primum fari potuerit.

Eod.

Qui iubet facere IN DIEBVS, nec quot diebus adiecit: intra biduum dicere uidetur.

CCXVIII.

Verbum FACERE, omnem faciundi caussam complectitur: dandi, soluendi, numerandi, iudicandi, ambulandi.

CCXIX.

In conuentionibus non uerba, sed mentẽ contrahentiũ spectamus. ideo si a municipio sic conducam, ut ad heredes conductio trãseat: etiam transit ad legatarios.

CCXX.

Liberorum & filiorum familias appellatiõe nepotes, & pronepotes, & omnes ex eis [descendentes] significantur.

CCXXI.

Falsus tutor est, qui non est tutor. itidem falsum testamentum est, quod testamentum nõ est. & falsus modius, qui modius non est.

CCXXII.

Pecuniæ nomine non solum numerata pecunia, sed omnes res mobiles, & immobiles, & corporales, & iura continentur.

σα.

Τῇ τοῦ πατρὸς προσηγορίᾳ καὶ ὁ πάππος περιέχεται.

σβ.

Ἡ τοῦ παιδὸς προσηγορία τρεῖς ἔχει σημασίας. μίαν, ὅταν πάντας δούλους παῖδας προσαγορεύομεν. ἑτέραν, ἐπειδὰν παῖδα τῷ ὀνόματι † αὐτοῦ τῆς κόρης † ἐναντίως τῷ λέγωμεν. τρίτην, ἣν ἑκάστην παιδικὴν ἡλικίαν δηλοῦμεν.

σζ.

Τῇ τοῦ φορτίου προσηγορίᾳ οὐ περιέχονται οἱ ἄνθρωποι. οὔτε οἱ σωματέμποροι οὐ λέγονται ἔμποροι, ἀλλὰ σωματέμποροι.

σια.

Φοῦνδος καλεῖται καὶ τὸ οἴκημα, καὶ ὁ ἀγρός. αἱ δὲ οἰκοδομίαι ἐν μὲν τῇ πόλει οἰκίαι λέγονται, ἐν δὲ τοῖς χωρίοις βίλλαι. ὁ δὲ χωρὶς οἰκοδομῆς τόπος, ἐν πόλει μὲν ἔδαφος λέγεται, ἐν χωρίῳ δὲ ἀγρὸς προσαγορεύεται.

σιβ.

Μουνοὺς κυρίως μὲν, τὸ ἐξ ἀνάγκης νόμου, ἢ ἔθους, ἢ ἄρχοντος γινόμενον, λέγεται.

σιδ.

Πλατεῖα ῥαθυμία ἐστὶν, ἡ σφοδρὰ ἀμέλεια, τουτέστι, τὸ μὴ νοεῖν, ὃ πάντες νοοῦσιν.

σις.

Ὁ ψιλῶς ὢν ἐν φυλακῇ, οὐ δοκεῖ δεδέσθαι.

σιζ.

Διαφέρει τὸ, ΟΤΕ δυνηθῇ λαλῆσαι, τοῦ ΜΕΘ' Ὃ δυνηθῇ λαλῆσαι. ἐπὶ γὰρ τοῦ πρώτου ἐκβαίνει ἡ αἵρεσις, ὅτε πρῶτον λαλῆσαι δυνηθῇ.

Τοῦ αὐτοῦ κεφ.

Ὁ λέγων ποιῆσαι εἴσω ἡμερῶν, καὶ μὴ προσθεὶς πόσων, εἴσω δύο δοκεῖ λέγειν.

σιη.

Τῷ ῥήματι τῷ ΠΟΙΗΣΑΙ, πάντα τὰ ποιητὰ περιέχεται, δοῦναι, καταβαλεῖν, ἀριθμῆσαι, δικάσαι, περιπατῆσαι.

σιθ.

Ἐν τοῖς συναλλάγμασιν οὐ τοῖς ῥήμασιν, ἀλλὰ τῇ διανοίᾳ τῶν συναλλασσόντων προσέχομεν. ὅθεν ἐὰν παρὰ πόλεως μισθώσωμαι, ἐφ' ᾧ διαβῇ καὶ τὴν μίσθωσιν εἰς κληρονόμους, διαβαίνει καὶ εἰς λεγαταρίους.

σκ.

Τῇ τῶν παίδων προσηγορίᾳ, καὶ τῇ τῶν ὑπεξουσίων, ἔκγονοι καὶ ἀπέκγονοι, καὶ πάντες οἱ ἐξ αὐτῶν, δηλοῦνται.

σκα.

Πλαστὸς ἐπίτροπός ἐστιν, ὁ μὴ ὢν ἐπίτροπος. καὶ πλαστὴ διαθήκη, ἡ μὴ οὖσα διαθήκη. καὶ πλαστὸς μόδιος, ὁ μὴ ὢν μόδιος.

σκβ.

Τῷ ὀνόματι τῶν χρημάτων οὐ μόνα τὰ χρήματα, ἀλλὰ καὶ πάντα τὰ κινητὰ, καὶ τὰ ἀκίνητα, καὶ τὰ σωματικὰ, καὶ τὰ δίκαια δηλοῦνται.

σκδ

σκδ.

Δεσμὰ λέγεται καὶ τὰ ἰδιωτικὰ, καὶ τὰ δημόσια. Φυλακὴ δὲ μόνη ἡ δημοσία.

σκε.

Κλέπτην, καὶ φυγάδα, καὶ ῥέμβον, καὶ μοιχὸν, καὶ κοττιστὴν, οὐκ ἀπὸ τῆς προθέσεως αὐτῶν, ἀλλ᾽ ἀπὸ τοῦ πρᾶξαι λέγομεν.

σκϛ.

Κοῦλπα ἐστὶν, ἡ μεγάλη ἀμέλεια. ἡ δὲ μεγάλη κοῦλπα, δόλος ἐστίν.

σλγ.

Ακόντιον λέγεται, οὐ μόνον τὸ ἀπὸ τόξου, ἀλλὰ καὶ τὸ ὁπωσοῦν βαλλόμενον.

σλδ.

Κυρίως ΦΕΡΕΣΘΑΙ λέγομεν, τὰ τῷ σώματι ἡμῶν βασταζόμενα. ΚΟΜΙΖΕΣΘΑΙ δὲ, διὰ τῶν ὑποζυγίων. ΑΓΕΣΘΑΙ δὲ, τὰ ἔμψυχα ὄντα.

σλε.

† τέκτονας ξύλων. † Τέκτον ξύλον λέγομεν, οὐ μόνον τοὺς τὰ ξύλα πελεκοῦντας, ἀλλὰ πάντας τοὺς οἰκοδομοῦντας.

σλϛ.

Τῶν μέσων ἐστὶ τὸ ὄνομα τοῦ φαρμάκου, καὶ δεῖ προστίθεσθαι καλὸν ἢ κακόν.

τοῦ αὐτοῦ κεφ.

Τῷ ὀνόματι τῆς βαλάνου πάντες οἱ καρποὶ δηλοῦνται.

τοῦ αὐτοῦ κεφ.

Τῷ ὀνόματι τῶν ἀκροδρύων ὁμοίως πάντες οἱ καρποὶ δηλοῦνται.

σλη.

Πλῆθός ἐστιν, οἱ λοιποὶ πολῖται, χωρὶς τῶν ἀξιωματικῶν.

τοῦ αὐτοῦ κεφ.

Κυρίως ἐνέχυρον τὸ κινητὸν λέγεται, διὰ τὸ ἐν χειρὶ δίδοσθαι.

σλθ.

Τῷ ὀνόματι τῆς νόξης πᾶν ἁμάρτημα περιέχεται.

τοῦ αὐτοῦ κεφ.

Πούπιλός ἐστιν, ὁ ἄνηβος αὐτεξούσιος.

τοῦ αὐτοῦ.

Σέρβοι ἀπὸ τοῦ φυλάττεσθαι καὶ μὴ φονεύεσθαι ἐκλήθησαν.

τοῦ αὐτοῦ.

Ἴγκολα ἐστὶν, ὁ λεγόμενος πάροικος, ὃς ἀλλαχοῦ ἐν πόλει ἢ ἐν χωρίῳ τὴν οἴκησιν ἐκτήσατο.

τοῦ αὐτοῦ.

Αδβενα λέγεται ὁ ἄποικος.

σμ.

Οὖρβις ἡ πόλις λέγεται, ἀπὸ τοῦ οὐρβάρε, τουτέστιν ἀρότρῳ περιχαράξαι τὸν μέλλοντα πολίζεσθαι τόπον.

τοῦ αὐτοῦ.

Ὀππιδοὺμ, ἀπὸ τοῦ ἔργου τῆς τειχῶν κατασκευῆς.

τοῦ αὐτοῦ.

Τερριτώριουμ, πάντες οἱ ὑπὸ τὴν πόλιν ἀγροί.

CCXXIIII.

Vincula dicuntur tam ea, quæ priuata sunt, quam quæ publica. Custodia uero tantum intelligitur ea, quæ publica est.

CCXXV.

Furem, & fugitiuum, & erronem, & adulterum, & aleatorem, non ex eorum animi propositione, sed ex actu dicimus.

CCXXVI.

Magna negligentia, culpa est: magna culpa, dolus.

CCXXXIII

Telum dicitur, non solum quod ab arcu, sed etiam quod quocunque modo mittitur.

CCXXXIIII.

FERRI de ijs proprie dicimus, quæ corpore nostro baiulantur. PORTARI, *quod per iumenta fit.* AGI, *quæ animalia sunt.*

CCXXXV.

Fabros tignarios dicimus, nō eos dumtaxat, qui tigna dolant: sed omnes, qui ædificant.

CCXXXVI.

Appellatio ueneni media est, & adijci oportet bonum uel malum.

Eod.

Glandis appellatione oēs fructus cōtinentur.

Eod.

Itidem ΑΚΡΟΔΡΥΑ *quosuis fructus significant.*

CCXXXVIII.

Plebs est, ceteri ciues, sine ijs, qui positi sunt in dignitate.

Eod.

Proprie pignus de re mobili dicitur, quod in pugnum, hoc est, manum tradatur.

Eod.

Appellatione noxæ omne delictū cōtinetur.

CCXXXIX.

Pupillus est, qui impubes in potestate esse desinit.

Eod.

Serui ex eo dicti sunt, quod seruentur, nec occidantur.

Eod.

Incola est, quem πάροικον *uocant, qui alicubi uel in opido, uel in agro domiciliū adquisiuit.*

Eod.

Aduena dicitur, qui est ἄποικος, *quasi dicas domo extorrem.*

CCXL.

Vrbs dicitur ab urbare, quod aratro locū ei definiret, qui urbem aliquo loco cōditurus erat.

Eod.

Opidum, * *ab opere cōstructionis mœnium.* * *uel a re, duo* ꝗ ἔργο. *h. e. a caussa, propter quam mœnia struuntur.*

Eod.

Territorium, uniuersi agri sub una ciuitate.

 CCXLI.

CCXLI.

Proiectum est, quod prouehitur & eminet, ut ei mentana imponantur.

Eod.

Immissum dicitur trabs, quæ parieti immittitur.

CCXLII.

Vidua dicitur, non solum matrimonio soluta: sed etiam ea, quæ omnino uirum nō habuit.

Eod.

Vecors & uesanus dicuntur, qui sine corde uel sanitate sunt.

CCXLIII.

De pœna prouocatio non est, sed simul atque quis condemnatus est, pœna legum tenetur. Singulis autem maleficijs a lege pœna statuta est.

CCXLV.

Restituere uidetur, qui nō solum petitū corpus, sed & totam corporis caussam condicionē q́; præstat. Omnis enim restitutio non solum corporis, sed & iuris est.

DE DIVERSIS REGVLIS Iuris.

TIT. III. CAP. I.

Regula est breuis rei enarratio & cōstrictio, quæ simul ac in aliquo impegit, rē subiectā non significat. Regula uerò ex iure, non ius ex regula sumitur.

III.

Qui potest uelle, potest & nolle.

IIII.

Velle non uidetur, qui patris aut domini paret imperio.

VIII.

Heres idem ius habet, quod defunctus.

IX.

In obscuris quod minus est eligimus.

XI.

Qui rei cōmodum habet, habet & damnū.

XV.

Qui actionem habet ad rei recuperationē, ipsam rem habere uidetur.

XVI.

Non est imaginaria uenditio, quum pretiū soluitur.

XVIIII.

Seruus nec tenetur, nec obligatur.

XX.

Casus animalium fortuitos, & mortem quæ sine culpa accidit, & fugam seruorū qui custodiri non solent, & rapinam, & tumultum, & incendium, & aquarum magnitudines, & impetum prædonum nemo agnoscit.

σμα.

Προκείμενόν ἐστι, τὸ ἐξέχον, ὥστε ἐπιτίθεσθαι αὐτῷ ἐξώστην.

τῶ αὐτῶ.

Ἰμμίσσυμ λέγεται, ἡ ἐμβαλλομένη τῷ τοίχῳ δοκός.

σμβ.

Χήρα λέγεται οὐ μόνον ἡ διαζευχθεῖσα, ἀλλὰ καὶ ἡ μηδὲ ὅλως ἄνδρα ἐσχηκυῖα.

τῶ αὐτῶ.

Ἀκάρδιος καὶ † ἄνοος λέγεται, ὁ μὴ ἔχων καρδίας ἢ ὑγείας. † ἀνυγίδα

σμγ.

Ἐπὶ τῆς ποινῆς οὐκ ἔστιν ἔκκλητος, ἀλλ' ἅμα τις καταδικασθῇ, ὑπόκειται τῇ ἀπὸ τῶν νόμων ποινῇ. ὥρισται δὲ ἡ ποινὴ ὑπὸ τοῦ νόμου ἐφ' ἑκάστῳ ἁμαρτήματι.

σμε.

Ἀποκαθιστᾶν δοκεῖ, ὁ μὴ μόνον τὸ σῶμα τὸ ζητούμενον, ἀλλὰ καὶ ὅλην τὴν τοῦ σώματος αἰτίαν καὶ τύχην διδούς. πᾶσα γὰρ ἀποκατάστασις οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τοῦ δικαίου ἐστίν.

ΠΕΡΙ ΚΑΝΟΝΩΝ ΔΙΑφόρων νομίμων.

ΤΙΤ. Γ. ΚΕΦ. Α.

Κανών ἐστι σύντομος τοῦ πράγματος ἀφήγησις καὶ σύνδεσμος, ὅστις ἅμα τῷ περί τι πταίσῃ, οὐ σημαίνει τὸ ὑποκείμενον. ὁ δὲ κανὼν ἐκ τῶν νόμων, οὐ μὴν ὁ νόμος ἐκ τοῦ κανόνος λαμβάνεται.

γ.

Ὁ δυνάμενος θέλειν, δύναται καὶ μὴ θέλειν.

δ.

Οὐ δοκεῖ θέλειν, ὁ πειθαρχῶν πατρὶ καὶ δεσπότῃ.

η.

Ὁ κληρονόμος τὸ αὐτὸ δίκαιον ἔχει, ὅπερ ὁ τελευτήσας.

θ.

Ἐπὶ τῶν ἀσαφῶν, τὸ ἧττον ἐπιλεγόμεθα.

ια.

Τὴν ὠφέλειαν ἔχων τοῦ πράγματος, καὶ τὴν βλάβην αὐτοῦ ἔχει.

ιε.

Ὁ περὶ πράγματος ἀγωγὴν ἔχων εἰς ἀπαίτησιν, αὐτὸ τὸ πρᾶγμα δοκεῖ ἔχειν.

ις.

Οὐκ ἔστιν εἰκονικὴ πρᾶσις, καταβαλλομένου τιμήματος.

ιθ.

Δοῦλος οὐκ ἐνέχεται, οὔτε ἐνοχοποιεῖται.

κ.

Τὰ τυχηρὰ τῶν ἀλόγων, καὶ τὸν χωρὶς ῥαθυμίας θάνατον, καὶ τὴν φυγὴν τῶν μὴ φυλάττεσθαι εἰωθότων δούλων, καὶ τὴν ἁρπαγήν, καὶ τὸν θόρυβον, καὶ τὸν ἐμπρησμόν, καὶ τὰ πλήθη τῶν ὑδάτων, καὶ τὴν ἐπέλευσιν τῶν λῃστῶν, οὐδεὶς διαγινώσκει.

κϛ.

Ἐὰν δύο ἀγωγαὶ περίκεινται, ἡ μὲν ποσότητα μείζονα ἕλκουσα, ἡ δὲ ἀτιμοποιός, προτιμᾶται ἡ ἀτιμοποιός. εἰ δὲ δύο ἀτιμοποιοί εἰσι, καὶ διάφορον ἔχωσι ποσὸν, ἴσαι νομίζονται.

κζ.

Ἀπὸ ἰδιωτικοῦ συμφώνου τὸ νόμιμον οὐκ ἐναλλάσσεται, εἰ καὶ τὰ μάλιστα κατ᾽ ἀρχὰς αἱ ἀγωγαὶ ἀπὸ συμφώνου ἐναλλάσσονται τῷ αὐτῷ δικαίῳ, ἢ διὰ παραγραφῆς.

κθ.

Τὸ ἐξ ἀρχῆς ἀνυπόστατον, οὐ βεβαιοῦται τῇ χρονίᾳ παραδρομῇ.

λ.

Τὸν γάμον οὐ τὸ συγκαθευδῆσαι, ἀλλ᾽ ἡ συναίνεσις ἀποτελεῖ.

λγ.

Δύο περὶ κέρδους ἀγωνιζομένων, χείρων ἐστὶν ἡ τοῦ ἐνάγοντος αἵρεσις.

λδ.

Καὶ ἐν τῇ ἐπερωτήσει, καὶ ἐν τοῖς λοιποῖς συναλλάγμασιν, εἰ μὴ δηλοῦται τὸ δόξαν τοῖς μέρεσιν, ἀκολουθοῦμεν τῷ ἔθει τοῦ κλίματος, ἐν ᾧ γέγονε τὸ συνάλλαγμα. εἰ δὲ καὶ αὐτὸ ἄδηλον εἴη, ἢ διάφορον, τότε τῷ ἥττονι ἀκολουθοῦμεν.

λζ.

Ἐπὶ τῶν ἁμαρτημάτων οὐκ εἰς τὴν ποινὴν, ἀλλ᾽ εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται.

μ.

Ἐπὶ τοῦ ἀσαφοῦς πράγματος κρεῖττόν ἐστιν εὐνοεῖν τῇ ἀπαιτήσει, ἤπερ τῷ ἐπεισάκτῳ κέρδει.

μα.

Ὁ γινώσκων καὶ συναινῶν, οὐκ ἀπατᾶται.

μβ.

Ὁ ἀρνησάμενος χρεωστεῖν, οὐ κωλύεται καὶ ἑτέρᾳ δικαιολογίᾳ χρήσασθαι, εἰ μὴ νόμος ἐμποδίζει.

μγ.

Πολλῶν ἀγωγῶν περὶ τοῦ αὐτοῦ συντρεχουσῶν, τὴν μίαν τις κινεῖν ὀφείλει.

μδ.

Τότε εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνάγεται, ὅτε οὐκ ἐξ οἰκείου δόλου, ἀλλὰ τοῦ τελευτήσαντος ἐνάγεται.

με.

Οὔτε ἐνέχυρον, οὔτε παραθήκη, οὔτε παράκλησις, οὔτε ἀγορασία, οὔτε μίσθωσις, ἐπὶ ἰδίῳ πράγματι συνίσταται.

τῷ αὐτῷ κεφ.

Τὸ ἰδιωτικὸν σύμφωνον οὐκ ἀναιρεῖ τὸ κοινὸν νόμιμον.

μϛ.

Ἡ ἄδολος συμβουλὴ οὐκ ἐνοχοποιεῖ. ἐπὶ δὲ τῆς κατὰ δόλον, ἁρμόζει ἡ περὶ δόλου.

μζ.

Ὁ κοινωνὸς τοῦ κοινωνοῦ μου, οὐκ ἔστι μου κοινωνός.

μη.

Τὸ κατ᾽ ὀργὴν ἢ θερμότητα λεγόμενον, οὐκ ἔστι βέβαιον, † εἰ μὴ τοῖς αὐτοῖς ἐπιμείνῃ.

† ἐμμένειν.

XXII.

Si duabus actionibus propositis, una summã maiorem trahat, altera infamiam irroget: praponitur infamia caussa. Si uero utraq; famosa est, licet imparem summã habeant, pares existimantur.

XXVII.

Conuentione priuatorum ius non immutatur, quamuis maxime ab initio actiones conuentione immutentur, ipso iure uel per exceptionẽ.

XXIX.

Quod ab initio ualere nequit, diuturno temporis decursu non confirmatur.

XXX.

Nuptias non concubitus, sed consensus facit.

XXXIII.

Duobus de lucro certantibus, deterior est actoris conditio.

XXXIV.

Tam in stipulatione, quam in ceteris contractibus, ut pareat quid a partibus actum est, mores eius regionis sequimur, in qua actum est. quod si mos regionis non appareat, aut uarius sit: quod minus est, sequimur.

XXXVII.

In delictis heres non pœna, sed de eo, quod ad eum peruenit, tenetur.

XL.

In re obscura melius est fauere repetitioni, quam aduenticio lucro.

XLI.

Qui scit & consentit, non defraudatur.

XLII.

Qui negauerit se debere, nõ prohibetur etiã alia defensione uti, nisi lex impedit.

XLIII.

Quoties plures actiones eiusdem rei nomine concurrunt, una quis experiri debet.

XLIIII.

Tunc in heredem de eo, quod ad eum peruenit, agitur: quum non ex suo dolo, sed defuncti conuenitur.

XLV.

Neq; pignus, neq; depositum, neq; precariũ, neq; emtio, neq; locatio in re sua consistit.

Eod.

Priuatorũ cõuentio iuri publico nõ derogat.

XLVI.

Consilij non fraudulenti nulla est obligatio. ceterũ si dolus & calliditas intercessit; actio de dolo competit.

XLVII.

Socij mei socius, meus socius non est.

XLIIX.

Quod iracundia uel calore dicitur, ratũ non est, nisi quis in eisdem perseueret.

XLIX.

Furiosi & prodigi nulla uoluntas est.

LII.

Non uidetur quis id capere, quod ei necesse sit alij restituere.

LV.

Nemo plus iuris ad alium transferre potest, quam ipse habeat.

LVII.

In dubijs quod benignius est, ualet.

LX.

Licet unicuiq; domum suam reficere, quatenus alteri non officit inuito: nisi ius habeat.

LXI.

Hæc definitio, nō regula est. propterea uidetur male repeti hoc loco, ex tit. præcedente, l. 24.

Hereditas est successio in uniuersum ius, quod testator habuit.

LXIII.

Quæ raro accidunt, non facile in agēdis negotijs computamus.

LXIIII.

Qui iustam exceptionem habet, non est debitor.

LXV.

Si idem sermo dupliciter intelligatur, id ualet, quod iuri, & rei, quæ agitur, magis consentaneum est.

LXVI.

Priuilegia personis concessa, cum eis extinguuntur. quæ uero ad actiones siue caussas pertinent, ad omnes transeunt.

LXVII.

Ius puniendi, quod quis habet, alij nō mādat.

LXXI.

Nemo paciscendo uel stipulādo alteri cauet.

LXXIII.

Quo hereditas, eodem & tutela peruenit. excepta muliere (herede.)

LXXVI.

Quum de fraude disputatur, non quid non habuerit actor, curiose inquirimus: sed quid per aduersarium prohibitus sit habere.

LXXVII.

Fraus & euentum, & consilium requirit.

LXXVIII.

Quæ in testamento non intelligūtur, perinde sunt, ac si scripta non essent.

LXXIX.

Quæ dubitationis tollendæ caussa cōtractibus inseruntur, ius commune non tollunt.

LXXX.

Donatio est, quum quid sine coactione conceditur.

LXXXII.

In ambiguis pro dote respondemus.

μθ.

Ὁ μαινόμενος καὶ ὁ ἄσωτος οὐδεμίαν ἔχει βούλησιν.

νβ.

Οὐ δοκεῖ τις λαμβάνειν, ὅπερ ἄλλῳ ἀποκαταστῆσαι ἀναγκάζεται.

νε.

Οὐ δύναταί τις πλέον οὗ ἔχει δικαίου, μετάγειν εἰς ἕτερον.

νζ.

Ἐν τοῖς ἀμφιβόλοις τὸ φιλανθρωπότερον ἐπικρατεῖ.

ξ.

Ἔξεστιν ἑκάστῳ τὸν ἴδιον οἶκον ἀνανεοῦν, ἐφ' ὅσον ἕτερον ἄκοντα μὴ βλάπτει, † ἢ μὴ δίκαιον ἔχει. † ἐ μή.

ξα.

Κληρονομία ἐστὶν ἡ εἰς ὁλόκληρον διαδοχὴ τοῦ δικαίου, ὅπερ ὁ διαθέμενος εἶχεν.

ξγ.

Τὰ † σπανία συμβαίνοντα, οὐκ εὐχερῶς ἐν τοῖς πραττομένοις συναλλάγμασι καταλογιζόμεθα. † σπανίως.

ξδ.

Ὁ δικαίαν ἔχων παραγραφήν, οὐκ ἔστι χρεώστης.

ξε.

Ἐὰν ἡ αὐτὴ φράσις διχῶς νοῆται, ἡ ἁρμόζουσα τῷ δικαίῳ καὶ κινουμένῳ πράγματι ἐπικρατεῖ.

ξϛ.

Τὰ προσώποις ὑπάρχοντα προνόμια, σβέννυται αὐτοῖς. τὰ δὲ προσόντα ταῖς ἀγωγαῖς, πρὸς πάντας μετέρχονται.

ξζ.

Τὸ δίκαιον, ὅπερ ἔχει τις, τοῦ τιμωρεῖσθαι, οὐκ ἐντέλλεται ἄλλῳ.

οα.

Οὐδεὶς συμφωνῶν ἢ ἐπερωτῶν ἀσφάλειαν ἑτέρῳ περιποιεῖ.

ογ.

Ὅπου κληρονομία, ἐκεῖ καὶ ἐπιτροπή. χωρὶς γυναικός.

οϛ.

Ὅτε περὶ ἀπάτης ζητεῖται, οὐ πολυπραγμονοῦμεν τί οὐκ ἔσχεν ὁ ἐνάγων, ἀλλὰ τί διὰ τοῦ ἐναγομένου σχεῖν † ἐνεποδίσθη. † ἐνεποδίσθη.

οζ.

Ἡ ἀπάτη καὶ ἀποτέλεσμα, καὶ σκέμμα ἐπιζητεῖ.

οη.

Τὰ ἐν διαθήκῃ † νοούμενα, αὐτὶ μὴ γεγραμμένων εἰσίν. † μὴ νοούμενα.

οθ.

Τὰ διὰ τὸ ἀνελεῖν ἀμφισβήτησιν ἐντιθέμενα τοῖς συναλλάγμασιν, οὐκ ἀναιρεῖ τὸ κοινὸν νόμιμον.

π.

Δωρεά ἐστι, τὸ χωρὶς ἀνάγκης διδόμενον.

πβ.

Ἐν τοῖς ἀμφιβόλοις ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα.

πδ. Τὰ

πδ.

Τὰ ἐξ ἀρχῆς βέβαια, ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦται.

LXXXIIII.

Quæ ab initio rata sunt, ex post factis non uitiantur.

πε.

Διὰ τῆς προκατάρξεως ὡς ἐπίπαν κρείττων ἡ αἵρεσις γίνεται τοῦ ἐνάγοντος. λοιπὸν γὰρ ἁρμόζει κληρονόμοις, καὶ κατὰ κληρονόμων.

LXXXV.

Per litis contestationem plerumq. melior fit actoris conditio deinceps enim heredibus, & in heredes actio competit.

πϛ.

Οὐ δοκεῖ γίνεσθαι ὑπέρθεσις, ἔνθα μὴ ἁρμόζει ἀπαίτησις.

LXXXVI.

Mora fieri non uidetur, ubi petitio nulla competit.

πζ.

Ἐν πᾶσι μὲν, μάλιστα δὲ τῷ νόμῳ τὸ δίκαιον σκοπεῖται.

LXXXVII.

In omnibus quidem, maxime tamen in iure, æquitas spectatur.

ϛδ.

Ἐν τοῖς ἀμφιβόλοις ἀφηγήσεσι, τῇ διανοίᾳ δεῖ προσέχειν τοῦ ἀφηγησαμένου.

XCIIII.

In ambiguis orationibus eius spectanda sententia est, qui eas protulit.

ϛη.

Τὰ νόμῳ συνιστάμενα, ἐναντίῳ νόμῳ ἀναιρεῖται.

XCVIII.

Quæ iure cōtrahūtur, cōtrario iure tollūtur.

ρα.

Οὐδεὶς ἐκ τοῦ ἰδίου οἴκου ἕλκεται.

CI.

Nemo de domo sua extrahitur.

ρδ.

Ἡ ἐλευθερία πρᾶγμα ἐστὶν ἀτίμητον.

CIIII.

Libertas est res inæstimabilis.

ρε.

Δοῦλος οὐκ ἐνάγεται οἱαδήποτε ἀγωγῇ.

CV.

Seruus actione nulla, quæcumq. tamdem sit, conuenitur.

ρϛ.

Σχεδὸν ἐν πάσαις ταῖς ποιναλίαις ἀγωγαῖς, καὶ τῇ ἡλικίᾳ καὶ τῇ ἀγνοίᾳ συντρέχομεν.

CVI.

Fere in omnibus pœnalibus iudiciis & ætati, & imprudentiæ succurrimus.

ρζ.

Οὐδὲν ἔγκλημα ὑπομένει ὁ δυνάμενος κωλῦσαι, καὶ μὴ κωλύων.

CVII.

Nullum crimen patitur is, qui nō prohibet, quum prohibere possit.

ρη.

Τὰ ἰδικὰ τῶν γενικῶν ἐπικρατέστερα.

CVIII.

Specialia plus ualent, quam generalia.

Τοῦ αὐτοῦ κεφ. θεμ. ε.

Ibid. them. v.

Ταῖς γυναιξὶν εἰς τὸ ἐκδικηθῆναι συντρέχομεν, οὐ μὴν συκοφαντούσαις.

Mulieribus ut defendantur, succurrimus: non si calumnientur.

ρθ.

Ὁ πλησιάζων τῇ ἥβῃ, καὶ κλοπῆς καὶ ὕβρεως ἐστὶ δεκτικός.

CIX.

Pubertati proximus & furti, & iniuriæ capax est.

ρια.

Ἐν τοῖς ἀσαφέσι τὸ πιθανὸν, ἢ τὸ ὡς ἐπὶ τὸ πλεῖστον γινόμενον, δεῖ σκοπεῖν.

CXI.

In obscuris inspici debet quod uerisimilius est, aut quod plerumq. fieri solet.

ριγ.

Οὐδὲν οὕτως ὑπεναντίον τῇ ἀγαθῇ πίστει, ὡς ἡ βία καὶ ὁ φόβος.

CXIII.

Nihil tam contrarium est bonæ fidei, quam uis atq. metus.

ριδ.

Ὁ τῷ κοινῷ νομίμῳ χρώμενος, οὐκ ἀπατᾶται.

CXIIII.

Qui utitur communi iure, non decipitur.

ριε.

Ὁ διάδοχος ἐν πᾶσι τόπον ἐπέχει κληρονόμου.

CXV.

Successor in omnibus locum heredis obtinet.

ριϛ.

Ὁ ἐν δουλείᾳ ὢν, οὐ διὰ τὸ χρῆσθαι διαστοζει· ἐπειδὴ νέμεσθαι οὐ δοκεῖ.

CXVI.

Qui in seruitute est, non usucapit: quum possidere non uideatur.

ριζ.

Οὐκ ἐκποιεῖ, ὁ μόνον τὴν νομὴν ἀποβαλλόμενος.

CXVII.

*Non alienat, qui dumtaxat * amittit possessionem.*

* In Florē. editione legitur Omittit.

CXVIII.

CXVIII.

Nemo plus ad heredem suum transmittit quam ipse habet.

CXIX.

Libertati magis, quam alli rei, fauemus.

CXXII.

Magis fauetur reis, quam actoribus.

CXXIII.

Non est malæ fidei possessor, qui pretium dedit.

CXXIV.

Quum ex dolo defuncti cõuenitur heres de eo, quod ad eũ peruenit, sufficit uel momẽto ad eum peruenisse.

CXXV.

In pari caussa potior est possessor.

CXXVI.

Qui succesit in uniuersum, heredis loco habetur.

CXXIIX.

Qui dolo posidere desijt, quasi posidẽs damnatur.

CXXX.

Per seruos melior fit dominorum condicio, non deterior.

CXXXII.

Nemo ex suo dolo condicionem suam meliorem facit.

CXXXIV.

Qui emit auctore iudice, bona fidei possessor est.

CXXXV.

Imperitia culpæ adnumeratur.

CXXXVII.

Absentia eius, qui abest reipublicæ caussa, neq; ei, neq; alij damnosa est.

CXXXVIII.

Quæ contra iuris regulas recepta sunt, ad similia non trahuntur.

CXXXIX.

Qui tacet, fateri non uidetur: sed tamen non negat.

CXL.

Non omne quod licet, mox & honestum est.

CXLI.

Semper specialia generalibus insunt.

CXLII.

Qui uim fecerit, uel in legem de ui publica, uel de ui priuata, incidit.

CL.

In pari delicto deterior est condicio petitoris, & melior habetur caussa possessoris.

CLII. them. III.

In petendo ac defendendo eamdẽ plerumq; caussam habet emtor, quam uenditor.

ρια.

Οὐδεὶς πλέον, ὃ ἔχει, τῷ ἰδίῳ παρεχπέμπει κληρονόμῳ.

ριθ.

Πλέον παντὸς πράγματος θάλπομεν τὴν ἐλευθερίαν.

ρκβ.

Θάλπονται μᾶλλον οἱ ἐναγόμενοι, ἤπερ οἱ ἐνάγοντες.

ρκγ.

Οὐκ ἔστι κακῇ πίστει νομεὺς, ὁ δεδωκὼς τίμημα.

ρκδ.

Ὅτι ἀπὸ δόλου τοῦ τελευτήσαντος εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνάγεται, ἀρκεῖ πρὸς ῥοπὴν περιελθεῖν εἰς αὐτόν.

ρκε.

Ἐν ἴσῃ αἰτίᾳ κρείσσων ἐστὶν ὁ νεμόμενος.

ρκϛ.

Ὁ εἰς ὁλόκληρον διαδεξάμενος, ἀντὶ κληρονόμου ἐστίν.

ρκη.

Ὁ δόλῳ παυσάμενος νέμεσθαι, ὡς νεμόμενος καταδικάζεται.

ρλ.

Διὰ τῶν δούλων κρείττων ἡ αἵρεσις δεσποτῶν γίνεται, οὐ μὴν χείρων.

ρλβ.

Οὐδεὶς ἐκ τοῦ ἰδίου δόλου κρείττονα ποιεῖ τὴν ἰδίαν αἵρεσιν.

ρλδ.

Ὁ κατὰ κέλευσιν ἀρχικὴν ἀγοράσας, καλῇ πίστει νομεύς ἐστι.

ρλε.

Ἡ ἀπειρία τῇ ἀμελείᾳ συναριθμεῖται.

ρλζ.

Ἡ ἀπουσία τοῦ διὰ πρᾶγμα δημόσιον ἀπόντος, οὔτε αὐτῷ οὔτε ἄλλῳ γίνεται ἐπιζήμιος.

ρλη.

Τὰ παρὰ κανόνας νόμου δεχθέντα, οὐχ ἕλκεται εἰς ὅμοια.

ρλθ.

Ὁ σιωπῶν οὐ δοκεῖ ὁμολογεῖν, ἀλλ᾽ ὅμως οὐκ ἀρνεῖται.

ρμ.

Οὐ πᾶν ὅπερ ἔξεστιν, ἤδη καὶ εὐπρεπές ἐστιν.

ρμα.

Τὰ ἰδικὰ τοῖς γενικοῖς ἔνεισι πάντοτε.

ρμβ.

Ὁ ποιήσας βίαν, ἢ τῷ περὶ βίας δημοσίας, ἢ τῷ περὶ βίας ἰδιωτικῆς ὑποπίπτει νόμῳ.

ρν.

Ἐν ἴσῳ ἁμαρτήματι χείρων ἐστὶν ἡ αἵρεσις τοῦ ἐνάγοντος, καὶ ὁ νεμόμενος κρείττων ἐστίν.

ρνβ. θεμ. γ.

Εἰς τὸ ἀπαιτεῖν καὶ ἐκδικεῖσθαι, τὴν αὐτὴν ὡς ἐπὶ τὸ πολὺ τάξιν ὁ ἀγοραστὴς ἔχει τῷ πράτῃ.

τῷ

τῷ αὐτῷ κεφ. θεμ. ε.

Ἐπὶ τοῖς μὴ τραχέσιν ἢ μυσαροῖς ἁμαρτήμασι, συγγινώσκονται οἱ δοῦλοι πειθαρχοῦντες τοῖς δεσπόταις, ἢ τοῖς ἐν τάξει δεσποτῶν, οἷον ἐπιτρόποις καὶ κουράτορσιν.

ρνς.

Εἰ ἐκεῖνος ἐμποδίσειε μὴ πληρωθῆναι τὴν αἵρεσιν, ᾧ τινι διαφέρει πληρωθῆναι αὐτὴν, ὡς ἀπὸ πεπληρωμένης ἐστίν. ὅπερ ἐστὶν ἐπὶ ἐλευθεριῶν, καὶ λεγάτων, καὶ † ἱστάσεων, καὶ ἐπερωτήσεων.

† ἰνστάσιων.

ρνη.

Ὁ ἔχων ἐξουσίαν δωρεῖσθαι πρᾶγμα, καὶ πιπράσκειν καὶ ἐκχωρεῖν αὐτὸ δύναται.

ρνθ.

Αἱ ποιναλίαι ἀγωγαὶ προκαταρχθεῖσαι παραπέμπονται κατὰ κληρονόμων.

ρξβ.

Τὰ δι' ἀνάγκην παρὰ κανόνα νόμου δεχθέντα, οὐχ ἕλκεται εἰς ὑπόδειγμα.

ρξδ.

Ἐν τοῖς ἀσαφέσι τὸ φιλάγαθον ἑρμηνεύομεν.

ρξς.

Τὸ ἔξω τῆς δικαιοδοσίας ἐκ τοῦ δικαστοῦ γινόμενον, οὐκ ἔρρωται.

ρξζ.

Τὸ ἀμφίβολον σύμφωνον κατὰ τοῦ πράτου ἐστίν· ἡ δὲ ἀμφίβολος ἐναγωγὴ τὸ πρᾶγμα τοῦ ἐνάγοντος οὐ καταβλάπτει.

ρξη.

Τὸ ἐπηρτημένον, οὐ δοκεῖ εἶναι.

ρξθ.

Οἱ μέχρις εὐπορίας καταδικαζόμενοι, οὐκ ἀπαιτοῦνται πᾶν, ὅσον ἔχουσιν· ἵνα μὴ πτωχεύσωσιν.

τῷ αὐτῷ κεφ.

Τῷ τῆς ἀποκαταστάσεως ῥήματι καὶ καρποὶ περιέχονται, κἂν μὴ οὗτος ῥητῶς ἐκφωνηθῇ.

ροα.

Οἱ ἰδιῶται τὰ τῶν ἀρχόντων πράττειν οὐ δύνανται.

ροβ.

Δυσχερῶς μὲν, ὅμως δὲ τοῦ δικαίου ἀπαιτοῦντος, † ἐναλλάσσομεν τὴν συνήθειαν.

† ἐναλλάσσομεν τὴν

ρογ.

Ὁ τὴν ἑτέρου δεσποτείαν ὑπεισιὼν, ἢ τὸ δίκαιον, τοῖς αὐτοῦ δικαίοις ὀφείλει κεχρῆσθαι.

ροδ.

Τῆς πρωτοτύπου αἰτίας μὴ ἐρρωμένης, οὐδὲ τὰ παρακολουθήματα ὡς ἐπίπαν ἔρρωται.

τοῦτο τὸ θέμα εὑρήσεις καὶ ἐν τῷ περὶ τόκων.

ροε.

Ἀδήλου τῆς γνώμης οὔσης τοῦ ἐλευθεροῦντος, ἡ ἐλευθερία θάλπεται.

ρος.

Ἐγὼ δοκῶ λαμβάνειν, ὅπερ κατὰ κέλευσίν μου ἑτέρῳ δοθῇ.

Eodem, them. V.

In delictis nõ atrocibus aut nefarijs, ignoscitur seruus, si uel dominis, uel his qui uice dominorum sunt, uelutι tutoribus & curatoribus, obtemperant.

CLVI.

Si per eum, cuius interest condicionẽ impleri, fiat quo minus impleatur: perinde est, ac si sit impleta. quod obtinet in libertatibus, & legatis, & heredum institutionibus, & stipulationib.

CLVIII.

Qui rem donandi potestatem habet, etiam uendere potest, & cedere.

CLVIIII.

Actiones pœnales quum occeptæ sunt, in heredes transmittuntur.

CLXII.

Quæ propter necessitatem contra iuris regulam recepta sunt, in exemplum nõ trahuntur.

CLXIIII.

In obscuris benignã interpretationẽ capimus.

CLXVI.

Quod a iudice fit, extra eius officium; ratũ non est.

CLXVII.

Ἀνάγνωθι καὶ τοῦ βιβλίου τούτου τίτλ. α. κεφάλ. ιϛ. καὶ λε. καὶ λϛ. καὶ μγ. καὶ κεφάλ. θ. ἐν ᾧ φασὶ περὶ τῆς ἐκκλησίας ῥώμης τὸ ἔχειν αὐτὴν τὴν τῶν ρ. χρόνων παραγραφήν. ἀνάγνωθι καὶ κεφ. μγ. καὶ νθ. ἐν οἷς φασὶ περὶ τῶν ἐργαστηρίων τῆς μεγάλης ἐκκλησίας, περὶ ὧν εὑρήσεις ἐν τῷ περὶ ταφῆς καὶ κηδείας τῶν τελευτώντων. ἀνάγνωθι καὶ κεφ. ξζ. ἐν ᾧ φασὶ περὶ εὐκτηρίων οἰκοδομουμένων, περὶ οὗ ἄρξαι καὶ ἐν τῷ περὶ διαδιδομένων τῶν ἐν διαθήκαις εὐσεβεῖς αἰτίας καταλιμπανόντων. ἀνάγνωθι καὶ νεαρὰν ρλα ἐν ᾗ φασὶ καὶ περὶ ἐκκλησιαστικῶν κανόνων καὶ προνομίων. καὶ ὅτι τεσσαρακοντα[illegible] βοηθεῖται. ἀνάγνωθι καὶ τοῦ γ. τίτλ. κεφ. γ. ὅπερ ἀνήχθη ἐν τῷ περὶ δεσποτείας.

SCHOLION.

Legendus etiam libri huius tit. I. cap. XVI, & XXXV, & XXXVI, & XLIII. Cap. IX. dicitur, Ecclesiam Romanam habere C annorū præscriptionem. Legito quoque lib. huius tit. I, cap. XLIII & LVIIII, in quibus tractatur de officinis magnæ ecclesiæ, de quibus inuenies in tit. de sepultura & exsequijs defunctorū. Legito & cap. LXVII, in quo tractatur de oratorijs ædificandis. de quo dicitur in titulo, De his qui testamento pias ad caussas relinquunt. Item lege nouel. CXXXI, in qua & de canonib. & de priuilegijs ecclesiasticis tractatur, & quod eis annorum XL præscriptione subueniatur. Lege & tit. III cap. III, quod ad tit. de dominio retulimus.

ΠΕΡΙ ΕΠΙΣΚΟΠΩΝ, ΚΑΙ ΧΕΙροτονιῶν αὐτῶν καὶ προνομίων.

ΤΙΤ. Δ. ΚΕΦ. ϛ. καὶ ζ.

Περὶ τῶν συνηθειῶν τῶν παρεχομένων παρὰ τῶν χειροτονουμένων ἐπισκόπων πρὸς τὴν εἴσοδον τῶν ἰδίων ἐπισκοπῶν καὶ μητροπόλεων κατὰ τὰ θεσπισθέντα φησί.

DE EPISCOPIS, ET EORVM electionibus atq; priuilegijs.

TIT. IIII. CAP. VI. & VII.

Loquitur [1] de consuetudinibus eorum, quæ secundum præscripta canonum ab ordinatis episcopis ad introitum in suos episcopatus atque metropoles præbentur.

[1] Nouel. 123.

SCHO-

SCHOLION.

Legenda & nouel. VI. & LXVII. cap. II. Item nouel. CXXI. in qua dicitur de cõsuetudinibus, quæ dãtur ab ordinatis. Legito & nou. CXXXI, cap. IX, & nouel. CXXXVII.

CAP. XI.

Hoc XI. cap. in titulo de clericis latius inuenies.

Amantißimos Dei episcopos atque monachos nulla lege tutores, uel curatores cuiuscũq. persona fieri permittimus.

SCHOLION.

Legendũ & XLI caput, in quo dicitur, episcopum non debere uxorem habere. quod ipsum & in titulo de clericis reperies.

CAP. XIII.

Nulli iudicum amantißimos Dei episcopos cogere licebit, ut testimony perhibẽdi caussa in iudicium ueniant: sed iudex ad eos quosdam ex personis sibi ministrantibus mittat, ut propositis sacrosanctis euangelys, ceu sacerdotes decet, sibi cognita dicant. Nec item ob pecuniariam uel criminalem quam caussam episcopum ad iudicem, uel ciuilem, uel militarem, inuitum perduci, uel sisti, absq. mandato imperiali permittimus: sed iudicem, qui hoc uel scripto uel citra scriptum iubere fuit ausus, post ademtionem cinguli, XX librarum pœnam illi ecclesiæ soluere præcipimus, cuius episcopus in iudicium perduci, uel comparere iussus fuit: etiam ipso executore consimiliter post ademtionem cinguli uerberibus multando, & in exsilium mittendo.

XIIII.

Interdicimus amantißimis Dei episcopis, ne suas ecclesias relinquant, & in alias prouincias sese conferant. quod si necessitas quædam accidat, ob quam hoc fieri oporteat; non aliter faciant, nisi cum litteris sui beatißimi patriarchæ, uel metropolitani, uel imperiali mandato. & quidem ita, ut nec illis episcopis, qui sub beatißimo archiepiscopo Constantinopolis atque patriarcha sunt, citra permißionem ipsius, uel mandatum nostrum, ad urbem imperatricem uenire liceat. quo pacto si episcopus cuiuscumq. loci peregre abeat, amplius uno anno ecclesiam suam ne relinquito.

XXIII.

Nec episcopo suis manibus quemquam percutere liceat. hoc enim a sacerdotibus alienum est.

Legendus & liber V, tit. III, cap. X, cuius hæc uerba sunt.

Nouel. 131. cap. 13.

Interdicimus pyßimis episcopis, ne res mobiles, uel immobiles, uel se mouentes, quacũq. post episcopatũ quoquo modo ad eos peruenerint, in suos cognatos uel alias quascũq. psonas

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν ϛ. καὶ ξζ. κεφ. β. καὶ νεαρὰν ρκα. ἐν ᾗ φησὶ περὶ συνηθειῶν τῶν διδομένων παρὰ τῶν χειροτονουμένων. καὶ νεαρὰν ρλα. κεφ. θ. καὶ νεαρὰν ρλζ.

ια.

τοῦτο ια. κεφ. εὑρήσεις καὶ ἐν τῷ περὶ κληρικῶν πλατύτερον.

Τοὺς δὲ θεοφιλεστάτους ἐπισκόπους καὶ μοναχοὺς ἐκ μηδενὸς νόμου, ἐπιτρόπους ἢ κουράτορας οἱουδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ τὸ μα. κεφ. φησὶ γὰρ τὸ μὴ ἔχειν γυναῖκα τὸν ἐπίσκοπον. εὑρήσεις καὶ τοῦτο ἐν τῷ περὶ κληρικῶν.

ιγ. κεφ.

Οὐδενὶ δὲ τῶν ἀρχόντων ἐξέσται τοὺς θεοφιλεστάτους ἐπισκόπους ἀναγκάζειν εἰς δικαστήριον παραγενέσθαι ὑπὲρ τοῦ νέμαι μαρτυρίαν: ἀλλ᾽ ὁ δικαστὴς πεμπέτω πρὸς αὐτοὺς τινὰς ἐκ τῶν προσώπων τῶν ὑπηρετουμένων αὐτῷ, ἵνα προκειμένων τῶν ἁγίων εὐαγγελίων κατὰ τὸ πρέπον ἱερεῦσιν, εἴπωσιν, ἅπερ γινώσκουσιν. ἀλλ᾽ οὐδὲ ὑπέρ τινος χρηματικῆς ἢ ἐγκληματικῆς αἰτίας ἐπίσκοπον πρὸς ἄρχοντα πολιτικὸν, ἢ στρατιωτικὸν ἄκοντα, ἢ διάγεσθαι, ἢ παρίστασθαι, δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν: ἀλλὰ τὸν ἄρχοντα τὸν τοῦτο, εἴτε ἐγγράφως εἴτε ἀγράφως προστάξαι τολμήσαντα, μετὰ τὴν τῆς ζώνης ἀφαίρεσιν εἴκοσι λιτρῶν ποινὴν καταβαλεῖν κελεύομεν τῇ ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος διαχθῆναι ἢ παραστῆναι προσετάχθη, δηθησομένην, καὶ τοῦ ἐκβιβαστοῦ ὁμοίως, μετὰ τὴν τῆς ζώνης ἀφαίρησιν καὶ βασάνοις ὑποβαλλομένου, καὶ ἐξορίᾳ παραπεμπομένου.

περὶ ποινῆς λιτρῶν κ.

ιδ.

Ἀπαγορεύομεν δὲ τοῖς θεοφιλεστάτοις ἐπισκόποις, τὰς οἰκείας καταλιμπάνειν ἐκκλησίας, καὶ εἰς ἄλλας ἐπαρχίας παραγίνεσθαι. εἰ δὲ καὶ ἀνάγκη τις τοῦ ποιῆσαι τοῦτο συμβῇ, μὴ ἄλλως, εἰ μὴ μετὰ γραμμάτων τοῦ μακαριωτάτου αὐτῶν πατριάρχου ἢ μητροπολίτου, ἢ κατὰ βασιλικὴν δηλαδὴ κέλευσιν, τοῦτο ποιείτωσαν. οὕτω μέντοι, ἵνα μηδὲ ἐκείνοις τοῖς ἐπισκόποις, οἵ τινες ὑπὸ τὸν μακαριώτατον ἀρχιεπίσκοπον κωνσταντινουπόλεως καὶ πατριάρχην εἰσὶν, ἐξείη δίχα ἐπιτροπῆς αὐτοῦ ἢ ἡμετέρας κελεύσεως, εἰς τὴν βασιλίδα πόλιν εἰσελθεῖν. εἰ δὲ κατὰ τοῦτον τὸν τρόπον ἐπίσκοπος οἱουδήποτε τόπου ἀποδημήσοι, μὴ πλέον ἑνὸς ἐνιαυτοῦ, τὴν ἰδίαν καταλιμπανέτω ἐκκλησίαν.

κγ.

Ἀλλ᾽ οὐδὲ οἰκείαις χερσὶν ἔξεστιν ἐπισκόπῳ τινὰ πλήττειν. τοῦτο γὰρ ἀλλότριόν ἐστιν ἱερέων.

Ἀνάγνωθι καὶ βιβλίον ε. τίτλον γ. κεφ. ι.

ἐν ᾧ φησίν.

Ἀπαγορεύομεν δὲ τοῖς ὁσιωτάτοις ἐπισκόποις πράγματα κινητὰ, ἢ ἀκίνητα, ἢ αὐτοκίνητα, ὅσα μετὰ τὴν ἐπισκοπὴν εἰς αὐτοὺς οἱῳδήποτε τρόπῳ περιέλθοι, εἰς ἰδίους συγγενεῖς ἢ ἄλλα οἱαδήποτε πρόσωπα, οἱῳδή-

πα, οἱωδήποτε τρόπῳ μεταφέρειν. εἰς αἰχμαλώτων ἢ ἀνάῤῥυσιν καὶ πτωχῶν ἀποτροφὰς, καὶ εἰς ἄλλας εὐσεβεῖς αἰτίας, ἢ ὑπὲρ τοῦ συμφέροντος τῆς ἰδίας ἐκκλησίας, ἐκ τούτων δαπανᾶν ἄδειαν ἐχέτωσαν. καὶ εἴτι ἐκ τῶν τοιούτων πραγμάτων μετὰ τελευτὴν αὐτῶν εἰς τὴν αὐτῶν περιουσίαν μείνοι, κελεύομεν τοῦτο ἢ δεσποτείᾳ τῶν ἁγιωτάτων ἐκκλησιῶν, ὧν τὴν ἱερωσύνην εἶχον, διαφέρειν. ἐπ' ἐκείνοις γὰρ μόνοις τοῖς πράγμασιν ἄδειαν αὐτοῖς τοῦ ἐκποιεῖν, ἢ καταλιμπάνειν, οἷς ἂν βουληθείησαν συγχωροῦμεν, ἅπερ πρὸ τῆς ἐπισκοπῆς ἀναδειχθῶσιν ἐσχηκότες, ἢ μετὰ τὴν ἐπισκοπὴν ἀπὸ τῶν κατὰ γένος αὐτοῖς συνημμένων εἰς αὐτοὺς περιέλθοι, οὓς ἐξ ἀδιαθέτου δύνανται μέχρι τετάρτου βαθμοῦ διαδέχεσθαι. ταῦτα δὲ ἅπαντα, ἅπερ εἰρήκαμεν περὶ τῶν πραγμάτων τῶν μετὰ τὴν ἐπισκοπὴν περιερχομένων εἰς τοὺς ὁσιωτάτους ἐπισκόπους, καὶ ἐπὶ τῶν εὐλαβεστάτων ὀρφανοτρόφων, καὶ πτωχοτρόφων, καὶ νοσοκόμων, καὶ γεροντοκόμων, καὶ ξενοδόχων, καὶ πάντων τῶν ἄλλων διοικητῶν τῶν σεβασμίων οἴκων, κρατεῖν θεσπίζομεν ἐπὶ τοῖς πράγμασι τοῖς ἐν τῷ καιρῷ τῆς ἰδίας διοικήσεως κατὰ τὸν εἰρημένον τρόπον εἰς αὐτοὺς † περιερχομένων. εἰ δέ τις ἐπίσκοπος ἢ κληρικὸς, ἢ οἱουδήποτε ἐκκλησιαστικοῦ βαθμοῦ ὑπηρέτης, ἢ ἐκκλησίας διακόνισσα τελευτήσει ἄνευ διαθηκῶν καὶ νομίμων διαδόχων: ἡ τούτων διαδοχὴ τῇ ἐκκλησίᾳ διαφερέτω, ἐν ᾗ ἔτυχον κεχειροτονημένοι.

† περιερχομένους.

Ἀνάγνωθι καὶ βιβλίον ϛ. τίτλον γ. κεφάλαιον κη. θεμ. β. καὶ τίτλον κβ. ἐν οἷς φησίν.

Ὅτι δεῖ αὐτοὺς ὑπερτιθεμένους τοὺς ἄρχοντας ἀκούειν τοῦ προσιόντος δικαίων, συνελαύνειν αὐτοὺς τοῦτο πράττειν. καὶ ἡνίκα τὶς ἐν ὑπονοίᾳ ἔχει καὶ τὸν ἄρχοντα, συνακροατὴν τῆς δίκης λαμβάνειν τὸν ἐπίσκοπον: μὴ πειθομένου δὲ τοῦ ἄρχοντος, καταμηνύειν περὶ αὐτοῦ τὸν ἐπίσκοπον τῷ βασιλεῖ.

ἀνάγνωθι συνεχῶς.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον ϛ. κεφάλαιον κα. ἐν ᾧ φησίν.

Ὅτι ἐὰν ὁ ἐπίσκοπος συγχωρήσῃ παραβαθῆναι τὸν νόμον, καὶ μὴ μηνύσει: καὶ τῷ θεῷ προσκρούει, καὶ βασιλικῆς κινήσεως πειραθήσεται.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. Δ.

ΠΕΡΙ ΜΟΝΑΣΤΗΡΙΩΝ οἰκοδομῆς, καὶ περὶ μοναζόντων, καὶ τῆς διαγωγῆς αὐτῶν καὶ προνομίων.

Τίτλ. α. κεφ. α.

Τὸν οἰκοδομεῖν βουλόμενον μοναστήριον, προσκαλεῖσθαι δεῖν φησὶ τὸν ἐπίσκοπον, καὶ ποιεῖν σταυροπήγιον.

β.

Περὶ τοῦ γίνεσθαι τὸν ἡγούμενον οὐ κατὰ βαθμὸν, ἀλλ' ὃν πάντες οἱ μοναχοὶ ἐκλέξονται.

quocunque modo transferant. Verum in redemtionem captiuorum, & alimenta pauperum, & alias pias caussas, uel in ecclesiæ suæ emolumentum ex ijs sumtum faciundi potestatem habento. Si quid etiam de rebus eiusmodi post eorum mortem in bonis ipsorum remanserit, hoc ad dominium sanctissimarum ecclesiarum, quarum sacerdotium habuerūt, pertinere iubemus. Nā in ijs tantum rebus alienandi, uel quibus noluerint relinquendi licentiam ipsis concedimus, quas res ante episcopatum eos habuisse probatū fuerit, uel quæ post episcopatum ab genere coniunctis ad ipsos peruenerint: quibus ex intestato poterunt ad quartum usque gradum succedere. Hæc autem omnia, quæ de rebus ad pijssimos episcopos a suscepto episcopatu peruenientibus diximus, etiam in religiosissimis orphanotrophis, & ptochotrophis, & nosocomis, & gerōtocomis, & xenodochis, & omnibus alijs uenerabilium domorum administratoribus ualere sancimus, in ijs scilicet rebus, quæ res ad eos administrationis tempore per indicatum modū peruenerint. Quod si quis episcopus, uel clericus, uel cuiuscumque gradus ecclesiastici minister, uel ecclesiæ diaconissa, sine testamēti tabulis & legitimis heredibus decedat: eorum successio pertineat ad eam ecclesiam, in qua constituti fuerant.

Legēdus & liber VI. tit. III. ca. XXVIII. them. II. itemq; tit. XXII. in quib. traditur, debere indices, qui allegata interpellantis audire differunt, ut hoc faciant, ab episcopis compelli. Et ubi quis iudicem suspectum habeat, adhibendum & episcopum ad caussam pariter audiendam. quod si iudex non obtemperet, episcopū id deferre ad imperatorem debere. Nouel. 86.

Legito etiam librū VII. tit. VI. cap. XXI. cuius hæc uerba sunt: Si peccari episcopus in legem permittat, nec indicet: & Deum offendit, & urgorem principis lacesset.

BASILICORVM LIBER IIII.

DE MONASTERIORVM EXTRVctione, deque monasticam agentib. eorum uitæ instituto, & priuilegijs.

Tit. I. Cap. I.

Qui monasterium ædificare uult, arcessere debet episcopum, & crucem in loco defigere. Nouel. 5. 133. cap. 33.

II.

Antistes non ratione gradus fiat, sed is quē omnes monachi elegerint.

III.

Intra trienium ne sumat habitum sacrum, qui uitam monasticã uult agere, nisi notus sit.

γ.

Περὶ τοῦ ἐντὸς τριῶν ἐνιαυτῶν μὴ λαμβάνειν τὸ ἅγιον σχῆμα τὸν μονάσαι βουλόμενον, εἰ μὴ τῶν γνωρίμων ἐστίν.

IIII.

Omnes monachi una in domo habitent atq; dormiant, & pariter cibum sumant.

δ.

Τοῦ ἐνὶ οἴκῳ οἰκεῖν πάντας τοὺς μοναχοὺς καὶ καθεύδειν, καὶ κοινῶς τρέφεσθαι.

V.

Si sub cõdicione matrimonij, uel susceptorũ liberorũ, alicui legatũ uel hereditas relicta fuerit, eaq; persona monachus aut clericus fiat: irrita istac condicio est, extra quã si ad captiuorũ redemtionẽ, uel alimẽta pauperũ fuerint ordinata.

ι.

Ὅτι ἐὰν ἐπὶ αἱρέσει γάμου ἢ παιδοποιίας καταλειφθῇ τινὶ λεγάτον ἢ κληρονομία, καὶ τὸ τοιοῦτο πρόσωπον μοναχὸς ἢ κληρικὸς γένηται, ἀνίσχυρός ἐστιν ἡ τοιαύτη αἵρεσις, εἰ μή τι γε πρὸς ἀνάρρυσιν αἰχμαλώτων ἢ τροφὴν πενήτων ἀφωρίσθησαν.

VIII. usq; ad XI.

De ijs tractatur, qui per caussam uitæ monasticæ, matrimonium uel sponsalia soluunt.

η. καὶ μέχρι τοῦ ια.

Περὶ τῶν ἐπὶ τῷ μονάσαι διαλυσάντων τὸν γάμον ἢ τὴν μνηστείαν.

XII.

Loquitur de parẽtib. & liberis amplexis uitã monasticã, ne tamquã ingrati successiõe sua excludantur.

ιβ.

Περὶ γονέων καὶ παίδων μονασάντων φησίν, τοῦ μὴ ὡς ἀχαρίστους αὐτοὺς ἀποκλείεσθαι τῆς ἰδίας κληρονομίας.

XIII.

Si monachus suum monasteriũ reliquerit, & aliud ingressus fuerit, uel res quasdam id tẽporis, quo monasterium reliquit, habere cõpertus fuerit: ad prius illas monasteriũ, in quod ab initio se contulit, pertinere iubemus.

ιγ.

Ἐὰν μοναχὸς καταλείψει τὸ ἴδιον μοναστήριον, καὶ εἰς ἄλλο ἔλθῃ, ἤ τινα πράγματα ἐν τῷ καιρῷ, καθ' ὃν τὸ μοναστήριον καταλέλοιπεν ἔχειν φανείη: τῷ πρώτῳ μοναστηρίῳ, ἐν ᾧ ἐξ ἀρχῆς εἰσῆλθε, ταῦτα διαφέρειν κελεύομεν.

XV.

Si monasterium monachus reliquerit, & ad uitã secularẽ fuerit reuersus: militia primũ, et honore, si quo præditus est, per episcopũ loci, ac prouinciæ præsidẽ exutus, in monasteriũ remittatur: & quascumq; res eum secundum hæc habere cõstiterit, eæ res ad illud monasteriũ pertineãt, in quod detruditur, quod si etiã denuo monasteriũ reliquerit, tunc eius prouinciæ præses, in qua repertus fuerit, hominẽ retineat, & officio sibi subiecto adnumeret.

ιε.

Ἐὰν μοναχὸς καταλείψῃ τὸ μοναστήριον, καὶ εἰς κοσμικὸν βίον μετέλθῃ: οὗτος τῆς στρατείας καὶ τῆς τιμῆς, εἴ τινα ἔχει, πρῶτον γυμνωθέντα ἐκ τοῦ ἐπισκόπου τοῦ τόπου καὶ τοῦ τῆς ἐπαρχίας ἄρχοντος, εἰς μοναστήριον βάλλεσθαι, καὶ τὰ πράγματα, ὅσα ἔχειν μετὰ ταῦτα δειχθείη, τῷ μοναστηρίῳ, ἐν ᾧ ἐμβάλλεται, διαφέρειν. εἰ δὲ καὶ πάλιν καταλείψῃ τὸ μοναστήριον: τότε αὐτὸν ὁ ἄρχων τῆς ἐπαρχίας, ἐν ᾗ ἂν εὑρεθῇ, κρατείτω, καὶ τῇ ὑποκειμένῃ αὐτῷ τάξει συναριθμείτω.

XVII.

Prorsus aũt omnib. uitam secularẽ agentib. & maximè scenicã tractantib. artem uiris atq; mulierib. & ipsis etiã prostitutis interdicimus, ne monachi uel ascetriæ habitu utãtur, eumue quocumq; modo imitẽtur: sciẽtib. uniuersis, qui uel uti eiusmodi habitu, uel illũ imitari, uel in quemcumq; statũ ecclesiasticũ illudere fuerint ausi, se & corporis supplicia subituros, & exsilio tradendos.

ιζ.

Πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικῷ † ἀναστρεφομένοις, καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις ἀνδράσι τε καὶ † γυναῖκας, καὶ μὴν καὶ ταῖς πεπορνευμέναις ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ, ἢ ἀσκητρίας, ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι· ἐπισταμένων πάντων τῶν τολμώντων, ἢ χρήσασθαι τῷ τοιούτῳ σχήματι, ἢ μιμήσασθαι, ἢ ἐμπαίζειν † οἱανδήποτε ἐκκλησιαστικὴν κατάστασιν, ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται, καὶ ἐξορίᾳ παραδοθήσονται.

† deest βίῳ.
† γυναιξί.
† deest εἰς.

XVIII.

Sancimus, ut nullus omnino peculiare domicilium habeat, neue cellula, quã uocant, in monasterio sit, ut uno quis scilicet uel duob. ministris utẽs, eorũ more, qui in cõtẽplatione ac trãquillitate degunt, uiuat: sed prorsus etiã si plures sint, unicus tamen eorum sit cõuentus, tam precantium, quã opera naturalia facientiũ, quæcũque reprehensionis expertia sunt. Una nimirum, ceu diximus, uictitent, & una dormiant;

ιη.

Θεσπίζομεν μηδένα παντελῶς ἰδίαν ἔχειν οἴκησιν, μηδὲ τὸ καλούμενον κελλίον εἶναι κατὰ μοναστήριον, ἵνα τυχὸν ἢ δύο χρώμενον ὑπουργοῖς κατὰ τὸ τῶν ἐν θεωρίᾳ τε καὶ ἡσυχίᾳ διαζώντων βίον, ἀλλ' ὅλως ὄντων πλειόνων ἀνδρῶν, μίαν εἶναι τὴν αὐτῶν συνέλευσιν, καὶ εὐχομένων, καὶ τὰ τῆς φύσεως ἔργα πραττόντων, ὅπως ἄμεμπτά τε καὶ ἀδιάβλητα καθέστηκε, καὶ κοινῇ μὲν (ὡς εἴρηται) σιτεῖσθαι, κοινῇ δὲ καθεύδειν·

εἰ μὲν

εἰ μὲν τοσοῦτον εἴη τὸ πλῆθος, ὅσον εἰς ἕνα οἶκον χωρεῖσθαι. ἐπεί τοι γε τυχὸν δύο ἢ τρεῖς οἴκους εἶναι, τοὺς δεχομένους αὐτούς. μηδενὶ μέντοι παντελῶς ἴδιον ἔχειν μηδέν, ἀλλ' ἐν κοινῷ ζῆν νύκτωρ τε καὶ μεθ' ἡμέραν, ἵνα αἱ νύκτες αὐτοῖς τὴν αὐτὴν ταῖς ἡμέραις ἔχοιεν παρατήρησιν. οὐ γὰρ καθεύδουσιν ἅπαντες ἀεί, ἀλλὰ πρόδηλον, ὡς οἱ μὲν ἐν τῷ καθεύδειν εἰσίν, οἱ δὲ ἐγρηγόρησαν, καὶ πάντως ἔσονταί τινες οἱ τοὺς καθεύδοντας ἐποπτεύοντες. μὴ πολλὰς δὲ ἔχειν τὰς εἰς τὸ μοναστήριον εἰσόδους, ἀλλὰ μίαν ἢ δύο τυχόν. ἐφεστάναι τε τῇ πυλίδι ἄνδρας γεγηρακότας, καὶ σώφρονας, καὶ μεμαρτυρημένους ἐξ ἁπάντων, οἵπερ οὔτε τοῖς εὐλαβεστάτοις μοναχοῖς συγχωρήσουσι χωρὶς τῆς τοῦ ἡγουμένου γνώμης ἐκφοιτᾶν ἐκ τοῦ μοναστηρίου, ἀλλ' εἴσω τούτους καθέξουσι τὰ πρὸς θεὸν † ζηλοῦντας, καὶ μὴ διασπῶντας ἑαυτούς: οὔτε ἑτέρους γενέσθαι τινὰς κατὰ τὸ μοναστήριον νύκτωρ τε καὶ καθ' ἡμέραν ἐάσουσιν. οὐκ εἰσελεύσεται δὲ οὔτε γυνὴ παντελῶς εἰς ἀνδρικὸν μοναστήριον, οὔτε ἀνὴρ εἰς γυναικεῖον, ἢ προφάσει τελευτήσαντος κἀκεῖσε κειμένου μνήμης, ἢ κατὰ ἄλλην † τινά· καὶ μάλιστα εἴ τις ἀδελφὸν τυχὸν ἢ ἀδελφὴν ἤ τινα τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φήσειε. συγγένεια γὰρ τοῖς μοναχοῖς ἐπὶ γῆς οὐκ ἔστι, τοῖς γε τὸν ἐν οὐρανῷ ζηλοῦσι βίον. καὶ μήτε ἄνδρας ἐν γυναικείων μοναστηρίων τάφοις ἀποτίθεσθαι, μήτε γυναῖκες ἐν ἀνδρικοῖς ἀσκητηρίοις κατορυττέσθωσαν, ἵνα μὴ πάροδος ἐντεῦθεν γένοιτο τῇ φύσει πρὸς ἑαυτήν, ἃ μὴ θέμις, τρυφᾶν τε καὶ παίζειν καὶ τὰ θεῖα καταισχύνειν πράγματα. ἀλλ' εἰ καὶ γυνή τις ἐν γυναικείῳ θάπτεσθαι μέλλοι μοναστηρίῳ, μόνους τοὺς τὴν κλίνην φέροντας, καὶ τοὺς ὀρύττοντας εἰς φοιτᾶν εἰς τὸ μοναστήριον: καὶ τὰς μὲν μοναχὰς ἐν τῷ ἰδίῳ μένειν καταγωγίῳ, μόνην δὲ τὴν θυρωρὸν καὶ τὴν ἡγουμένην (εἴγε βουληθείη) παρεῖναι τοῖς γινομένοις. καὶ θᾶττον ἐκείνους πράξαντας τὰ περὶ τὴν ὁσίαν νενομισμένα, καὶ τὸν τάφον ὀρύξαντας, καὶ τὸ σῶμα καλύψαντας, εὐθὺς ἀποχωρεῖν, μή τε θεασαμένους τινὰς τῶν εὐλαβεστάτων γυναικῶν, μή τε παρά τινος αὐτῶν θεαθέντας. ἀλλὰ μηδὲ προφάσει τῶν περὶ τὴν ὁσίαν πραττομένων, ἃς δὴ μνήμας καλοῦσιν, εἰς τρίτην καὶ ἐνάτην συνιόντες ἡμέραν, ἢ ἡνίκα μ. ἐξήκοι, ἢ καὶ ἐνιαυτός: τὴν εἰς τὰ γυναικεῖα πάροδον ἄνδρες ἐπινοείτωσαν μοναστήρια: ἐξόν, εἰ μὲν γυναικεῖον εἴη τὸ μοναστήριον, γυναῖκας ἅπαντα πράττειν, εἰ δὲ ἀνδρεῖον, ἄνδρας. κἀκεῖνο μέν γε πᾶσι φυλάττεσθαι βουλόμεθα τρόποις, ὥστε εἰ φανείη τις τῶν εὐλαβεστάτων μοναχῶν εἰς τι καπηλεῖον ἀναστρεφόμενος, τοῦτον εὐθὺς παραδίδοσθαι τοῖς τῶν πόλεων ἐκδίκοις, ἢ ἐνταῦθα τῷ δικαστηρίῳ τῆς σῆς ὑπεροχῆς σωφρονίζεσθαί τε διελεγχόμενον, καὶ μηνύεσθαι τοῦτο τῷ ἡγουμένῳ, ὥστε αὐτὸν ἐξελαύνειν τοῦ μοναστηρίου, τὸν ταῦτα πλημμε-

† βιοῦντας.

† αἰτίαν.

*si quidem is numerus est, ut eos una capere domus possit. ceteroqui duæ tresue domus sint, quæ eos capiant. Nullus quidem omnino peculiare quid habeat, sed in commune tam noctu quam interdiu uiuant: ut etiam noctes eamdem obseruationem, quam dies, habeant. Non enim semper omnes dormiunt, sed palam est, dum alij cubant, nonnullos uigilare. quo fiet, ut omnino quidam sint, qui dormientes inspiciant. Aditus ad monasterium multos ne habeant, sed unum uel alterum: & ianuæ præficiantur uiri graues ætate, casti, & omnium testimonijs probati, qui nec religiosissimos monachos citra uoluntatem antistitis egredi monasterio permittant, sed intus eos contineant, cum feruore diuinis rebus incumbentes, & sese nequaquam distrahentes: nec alios & extraneos quosdam in monasterio uel noctu esse, uel interdiu sinant. Prorsus uero neq; mulier in uirile monasteriũ, neque uir in muliebre, prætextu memoriæ defuncti & in eo sepulti, uel ex alia caussa quadam ingredietur: præsertim si quis fratrem, uel sororem, uel cognatum in monasterio se habere dicat. Quippe cognationem in terra monachi, qui uitam cælestem æmulantur, nullam habent. Nec item uiri in monasteriorum muliebrium sepulcris condantur, nec mulieres in uirilibus asceterijs defodiantur: ne patefiat hinc aditus sexui mutuas ad libidines, easque nefarias, & ad illusiones atque dehonestationes rerum diuinarum. Quod si etiam mulier quapiam sepelienda sit in monasterio muliebri, tantum ingredientur ij monasterium, qui capulum gestant, & defodiunt: manentibus monachis in contubernio suo, & sola ianitrice cum antistite, siquidem uelit, ijs præsente, quæ aguntur. Simul atque uero perfecerint illi, quæ in funere solent, sepulcrum foderint, cadauer humauerint: statim discedant, nec spectatis religiosis feminis, nec ipsi ab earum aliqua conspecti. Nec item prætextu eorum, quæ in funere fiunt, & memoriæ dicuntur, tertio nonoue die conuenientes, aut ubi dies quadragesimus, aut annus effluxerit, aditum sibi ad muliebria monasteria uiri moliantur. quum fieri possit, ut si muliebre sit monasterium, mulieres; sin uirile, uiri omnia peragant. Hoc quoque modis omnibus seruari uolumus, ut si quis religiosissimorum monachorum in taberna quadam uersari conspectus fuerit; mox ciuitatum defensoribus, uel heic * sublimitatis tuæ iudicio tradatur, & conuictus castigetur, & antistiti res indicetur, ut eum qui deliquit, & angelicam

*Hoc ad præf. prætorio dicitur. quamquã titulus habeat inscriptionem ad patriarchã.

hanc conditionem atque statum cum uita turpi commutauit, monasterio depellat. Debet enim duplex hoc monachorum opus esse, uel ut diuinis sint occupati litteris, uel ut operas manuarias ipsos decentes tractent & exerceant. quippe mens ignauiter otiosa, nihil boni parit.

Refer huc e libri III. titulo I. cap. XIIII. cuius hæc uerba sunt:

Nouel. 123, ca. 6.

Monachus neq; tutor, neque curator cuiuscumq; personæ fiat: nec itē susceptor uel exactor publicarum collationū, uel cōductor uectigaliū, alienorumue prædiorū, uel curator domus, uel procurator litis, uel fideiussor. Adde caput XII, XIX, XXIX, XXXIIX, XXXIX, & XL.

SCHOLION.

Lege nouellam CV, & LXXVI, in quo dicitur, quo pacto monachi testari debeant. Item nouel. LXXIX, in qua traditur, coram quibus litigare debeāt & nouellā CXXIII, a capite XLIX, in qua dicitur, ei qui sæcularem uitā agit, non esse fas uti habitu monachorū aut ascetrię, uel illū quocunq; modo imitari. Cōiūge deniq; nouellā CXXXIII.

BASILICORVM LIBER V.

DE ANGARIIS, ET PARANGArijs: tum qui, & quando cogantur ad eas præstandas, uel non cogantur.

Tit. I. Cap. V.

1 l. 4. C. de priu. dom. aug. l. 5. de sac. eccl.
2 l. 7. eod.
3 l. 11. eod. & l. 2. C. de quib. mun. uel præst.

Ecclesias[1] à muneribus, præsertim sordidis, esse immunes oportet: exceptis[2] reparationibus pontium, & itinerum instructionibus. Ceterū[3] obnoxiæ sunt angarijs & parangarijs expeditionis tempore. VII.

Ne quidem ecclesia, nec alius quisquam, ab oneribus expeditionis excusetur, uelut ab angaria, uel parangaria, uel alio tali.

Legendus etiam liber LVI. tit. XVII. cap. XXI. & XXII. ubi dicitur:

4 l. 11. C. de curs. publ.

Nec[4] dignitas ulla, nec ecclesia, nec regia domus expeditionis tempore uel ab angaria, uel a parangaria excusationem habeat.

Quid angaria sit, & parangaria.

*Est autem angaria, transitus per uiam publicā, quæ & cursum habet. uelut ex hoc loco Tyrū usq;. Parāgaria uero transitus per uiā transuersam. Fuit olim & latus cursus, qui * clabularis dicitur. Atq; hūc[5] cōstitutio tollit, opus hoc esse dicēs in transitu militū, uel legatorū, uel armorū. Animaliū uero domini mercedes præbeātur*

* Clabula uehiculi genus. Vide Cuiac. ad d. l. 22. C. de curs. publ.
5 l. 22. C. d. tit.

Legito & XV. tit. eiusd. LVI libri, cap. XXIII.

DE TESTATORIBVS, QVI PIAS ad caussas aliquid relinquūt, uelut ad structuram uel exornationem ecclesię, uel ad redemtionē captiuorum, uel ad alimenta pauperum, uel ad conficiendum xenonem, aut orphanotrophiū, aut ptochiū.

λήσωσι, καὶ τὸν ἐν αἰσχύνῃ βίον τῆς ἀγγελικῆς ταύτης καταστάσεως ἀλλαξάμενον. δεῖ γὰρ διπλοῦν τοῦτο ἔργον τοῖς μοναχοῖς καθεστάναι, ἢ ταῖς θείαις ἐνασχολεῖσθαι γραφαῖς, ἢ τὰ μοναχοῖς πρέποντα ἐργόχειρα μελετᾶν τε καὶ ἐργάζεσθαι. διάνοια γὰρ μάτην σχολάζουσα, οὐδὲν ἂν τῶν ἀγαθῶν ἀποτίκτοι.

Ἀνάγνωθι καὶ βιβλίον γ. τίτλ. α. κεφ. ιδ. ἐν ᾧ φησί.

Τοῦ μήτε ἐπίτροπον, μήτε κουράτωρα οἱουδήποτε προσώπου γίνεσθαι μοναχόν· ἀλλ' οὐδὲ ἐκληπτορα ἢ ἀπαιτητὴν δημοσίων συντελειῶν, ἢ μισθωτὴν τελῶν, ἢ ἀλλοτρίων κτήσεων, ἢ κουράτωρα οἴκου, ἢ ἐντολέα δίκης, ἢ ἐγγυητήν. καὶ κεφ. ιβ, καὶ ιθ, καὶ κθ, καὶ λη, καὶ λθ, καὶ μ.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι νεαρὰν ρε. καὶ ος. ἐν ᾗ φησι, πῶς ὀφείλουσι διατίθεσθαι. καὶ νεαρὰν οθ. ἐν ᾗ φησὶ, παρὰ τίσιν ὀφείλουσιν δικάζεσθαι. καὶ νεαρὰν ρκγ. ἀπὸ τοῦ μθ. κεφαλ. ἐν ᾧ φησὶν, καὶ περὶ τοῦ μὴ ἐξεῖναι τὸν ἐν κοσμικῷ βίῳ τυγχάνοντα σχήματι μοναχῶν ἢ ἀσκητριῶν χρῆσθαι, ἢ καθ' οἱονδήποτε τρόπον μιμεῖσθαι. καὶ νεαρὰν ρλγ.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛΙΟΝ Ε.

ΠΕΡΙ ΑΓΓΑΡΕΙΩΝ ΚΑΙ παραγγαρειῶν καὶ τίνες καὶ πότε ἀγγαρεύωνται ἢ οὐκ ἀγγαρεύονται.

Τίτλ. α. κεφ. ε.

Δεῖ τὰς ἐκκλησίας μὴ λειτουργεῖν, μάλιστα ῥυπαρὰς λειτουργίας: εἰ μὴ εἰς † ἀνέωσιν γεφύρας, καὶ ὁδοστρωσιῶν. ὑποκείσθωσαν δὲ ἀγγαρείαις καὶ παραγγαρείαις ἐν καιρῷ στρατοπέδου. † ἀνανέωσιν.

ζ.

Μὴ δὲ ἡ ἐκκλησία, μήτε ἕτερός τις τοῦ στρατοπέδου ἐξκουσατευέσθω βαρῶν: ἀγγαρείας τυχὸν, ἢ παραγγαρείας, ἢ τοιούτου τινός.

Ἀνάγνωθι καὶ βιβλίον νς. τίτλον ιζ. κεφάλαιον κα. καὶ κεφάλαιον κβ. ἐν οἷς φησί.

Μήτε ἀξία, μήτε ἐκκλησία, μηδὲ † οἶκος, ἐν καιρῷ στρατοπέδου ἀπαλλαχθῶσιν ἀγγαρείας ἢ παραγγαρείας. † legendum οἶκος βασιλικός.

Καὶ ἔστιν ἀγγαρεία μὲν, ἡ πάροδος ἡ διὰ τῆς δημοσίας ὁδοῦ, τῆς καὶ δρόμον ἐχούσης. ὡς τυχὸν ἐντεῦθεν ἐπὶ Τύρον. παραγγαρεία δὲ, ἡ διὰ τῆς πλαγίας ὁδοῦ. καὶ ὅτι, τὸ παλαιὸν ἦν, ὁ πλατὺς δρόμος, ὁ λεγόμενος διὰ † σχημάτων. οὗτον τοίνυν ἀναιρεῖ ἡ διάταξις, λέγουσα εἶναι, ἡνίκα δεήσει παρερχομένων στρατιωτῶν, ἤτοι πρεσβευτῶν, ἤτοι ὅπλων. τοῖς δὲ δεσπόταις τῶν ζώων παρεχέσθωσαν τὰ μισθώματα. τί ἐστιν ἀγγαρεία καὶ τί παραγγαρεία. † ὀχημάτων.

Ἀνάγνωθι καὶ τίτλον ιε. τοῦ αὐτοῦ νς. βιβλ. κεφ. κγ.

ΠΕΡΙ ΔΙΑΤΙΘΕΜΕΝΩΝ ΤΩΝ ἐν εὐσεβέσιν αἰτίαις καταλιμπανόντων τί, τυχὸν ἐπὶ τῷ κτισθῆναι ἐκκλησίαν, ἢ καλλωπισθῆναι. εἴτε ἐπὶ αἰχμαλώτων ἀναρρύσει, εἴτε ἐπὶ ἀποτροφῇ πτωχῶν, ἢ γενέσθαι ξενῶνα, ἢ ὀρφανοτροφεῖον, ἢ πτωχεῖον.

τοῦ αὐ-

Τοῦ αὐτοῦ τίτλ. κεφ. ζ.

Εἴ τις κατασκευὴν σεβασμίου εὐκτηρίου, ἢ ξενῶνος, ἢ πτωχείου, ἢ ὀρφανοτροφείου, ἢ νοσοκομείου, ἢ ἄλλου σεβασμίου οἴκου ἐν τελευταίᾳ βουλήσει γενέσθαι διατυπώσει. τὸ εὐκτήριον μὲν, εἴσω ε. ἐνιαυτῶν πληροῦσθαι κελεύομεν, προνοίᾳ τοῦ τε τῶν τόπων ἐπισκόπου, καὶ τοῦ πολιτικοῦ ἄρχοντος. τὸν δὲ ξενῶνα, καὶ τὸ πτωχεῖον, ἢ ἄλλον σεβάσμιον οἶκον, εἴσω ἑνὸς ἐνιαυτοῦ γίνεσθαι. εἰ δὲ ἐντὸς ἐνιαυτοῦ μὴ ποιήσουσιν οἱ κληρονόμοι τὸν ξενῶνα, ἢ οἱονδήποτε σεβάσμιον οἶκον ὑπὸ τοῦ διατιθεμένου τυπωθέντα γενέσθαι: κελεύομεν τούτους οἶκον ἢ ἀγοράζειν, ἢ μισθοῦσθαι, ὅπου δύνανται τὰ κελευσθέντα πληρῶσαι, ἕως ἂν ὁ τοιοῦτος σεβάσμιος οἶκος πληρωθῇ.

Eiusd. tit. cap. VII.

Si quis uenerabilis oratorij, uel xenonis, uel ptochij, uel orphanotrophij, uel nosocomij, uel alterius uenerabilis domus exstructionem in ultima uoluntate fieri ordinauerit: oratoriũ quidem intra quintum annũ perfici iubemus, tum episcopi locorum, tum magistratus ciuilis prouidentia: xenon uero, & ptochium, aliaue domus uenerabilis intra unũ annũ absoluatur. Quod si heredes intra spatium anni xenonem, uel aliã quamcunq. uenerabilẽ domum, quam testator fieri iussit, non exstruxerint: mandamus eis, ut uel emant, uel conducant domũ, in qua tãtisper exsequi iussa possint, donec uenerabilis eiusmodi domus absoluatur. Nouel. 131. ca. 10.

η. καὶ ἐνάτῳ κεφαλ.

Εἰ δὲ καί τινες ὑπὲρ ἀναρρύσεως αἰχμαλώτων, ἢ ἀποτροφῆς πενήτων τι καταλίποιεν, τοῦτο τρόποις ἅπασι κατὰ τὴν τοῦ διαθεμένου γνώμην πληροῦσθαι. εἰ δὲ μὴ ἰδικῶς εἴποι, ποίου τόπου πένησι ταῦτα καταλέλοιπε, καὶ διὰ ποίου χρὴ γίνεσθαι τὴν τῶν αἰχμαλώτων ἀνάρρυσιν· παραλαμβάνειν τὰ πράγματα τὸν ὁσιώτατον ἐπίσκοπον τῆς πόλεως, ἐν ᾗ τὴν οἴκησιν ὁ διαθέμενος εἶχε, καὶ τοῖς τῆς αὐτῆς πόλεως διανέμειν. ὁμοίως δὲ καὶ τὸ εἰς τοὺς αἰχμαλώτους ἔργον ἀποπληροῦν. εἰ δὲ οἱ ταῦτα ποιῆσαι κελευσθέντες ἅπαξ καὶ δὶς παρὰ τῶν ἐπισκόπων ὑπομνησθέντες, ὑπερθῶνται τὰ διατυπωθέντα πληρῶσαι: κελεύομεν τούτους ἅπαν κέρδος καταλειφθὲν αὐτοῖς παρὰ τοῦ ταῦτα κελεύσαντος ἀπολλύναι. εἰ δὲ ὁ κληρονόμος τὰ εἰς εὐσεβεῖς αἰτίας καταλελειμμένα μὴ πληρώσει, λέγων τὴν καταλειφθεῖσαν αὐτῷ περιουσίαν μὴ ἀρκεῖν πρὸς ταύτας: κελεύομεν παντὸς τοῦ ἐκ τοῦ Φαλκιδίου κέρδους σχολάζοντος, ὅσον δήποτε εὑρεθῇ ἐν τῇ τοιαύτῃ οὐσίᾳ, προχωρεῖν προνοίᾳ τοῦ ἐπισκόπου εἰς τὰς αἰτίας εἰς ἃς καταλέλειπται. εἰ δὲ λεγάτον εἰς εὐσεβεῖς αἰτίας καταλειφθῇ παρά τινος, εἴσω μηνῶν ἓξ ἀπὸ τῆς ἐμφανίσεως τῆς διαθήκης ἀριθμουμένων παρέχεσθαι. εἰ δὲ ὑπερθῶνται οἱ τούτῳ βεβαρημένοι παρασχεῖν: καὶ καρποὺς, καὶ τόκους, καὶ πᾶσαν νόμιμον ἐπαύξησιν ἀπαιτηθήσονται, ἀπὸ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ καταλιπόντος.

VIII & IX.

Si qui pro redemtione captiuorum, uel ad alimonia pauperum aliquid reliquerint: id omnibus modis secundum testatoris uoluntatẽ impleri iubemus. Quod si specialiter non dixit, cuius loci pauperibus ea reliquerit, & per quẽ redemtio captiuorum fieri debeat: iubemus, ut pijssimus ciuitatis illius episcopus, in qua domiciliũ testator habuit, res testamẽto relictas accipiat, & in eiusdẽ ciuitatis pauperes distribuat. Consimiliter & alterum in captiuos opus impleat. Sin ij, quibus horum exsequendorum cura mandata est, semel & iterum ab episcopis admoniti, ordinata perficere distulerint: mandamus, ut omne relictum eis lucrum ab eo, qui hac iussit, amittant. Si autem heres pias ad caussas relicta non praestet, ac relicta sibi bona neget ad eas sufficere: iubemus, ut omni lucro uacante, quod ex Falcidia prouenit, quantumcunq. repertum in hisce bonis fuerit, prouidentia episcopi ad eas caussas, quibus relictum est, impendatur. Quod si legatum pias ad caussas ab aliquo relictũ fuerit, intra sex menses, ab insinuatione testamenti numerãdos, praestetur. Sin illi, qui eo praestando grauati sunt, rem distulerint; tam fructus, quam usurae, cum omni accessione legitima, inde usque a tempore mortis illius, qui reliquit, ab eis exigentur.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν ριθ. κεφάλαιον η. καὶ νεαρὰν ρλα. ἀπὸ τοῦ ς. κεφ. ἐν ᾗ φησὶ περὶ τῶν εἰς εὐσεβεῖς αἰτίας καταλιμπανόντων τι. καὶ νεαρὰν ξζ. ἐν ᾗ φησὶ περὶ εὐκτηρίων κτιζομένων.

SCHOLION.

Legito & nouellam CXIX, cap. VIII. & nouellam CXXXI, à cap. VI, in qua tractatur de his, qui ad pias caussas aliquid relinquunt. & nouellam LXVII, in qua dicitur de oratorijs exstruendis.

ΠΕΡΙ' ΟΡΦΑΝΟΤΡΟΦΩΝ.

Τίτλ. γ. κεφ. ιβ.

περὶ ὀρφανοτρόφων, νεαρὰ ρλγ. κεφ. ιβ.

Οἱ δὲ ὀρφανοτρόφοι ἐπιτρόπων καὶ κουρατόρων τάξιν ἐχέτωσαν, οὕτω μέντοι ἵνα καὶ χωρὶς ἱκανοδοσίας καὶ ἐνάγωσι καὶ ἐνάγωνται περὶ τῶν πραγμάτων τοῖς ὀρφανοῖς κυρίως καὶ αὐτοῖς τοῖς ὀρφανοτρόφοις ἀνηκόντων. τὰ δὲ πράγματα ἅπερ ἔτυχον τινὶ

DE ORPHANOTROPHIS.

Tit. III. cap. XII.

Orphanotrophi tutorum curatorumq. locum obtinento, & ita quidem, ut etiam sine satisdatione tum agant, tum conueniatur de rebus ijs, quae propriẽ tã ad pupillos, quã ipsos etiã orphanotrophos pertinent. Ea uero bona, quae alicuius L. 31. C. de ep. & cler. Lege de orphanotrophis & nouellam 133. cap. 12.

orphani sunt, præsentibus publicis tabularijs, aut monumētis gestorum interuenientibus, in urbe quidem imperatrice apud magistrum censuum, in prouincijs uero apud earum præsides, & locorum defensores, accipiāt orphanotrophi & custodiant. ac si quidem necessarium duxerint, ut alienentur; etiam illorū pretia pupillis custodiāt, uel alias res pro eis emāt. Tutelaribus autē curatorijsue rationibus obnoxij ne sunto.

DE XENONE RELIGIOSI
Samsonis.
Eiusd. tit. & cap. themat. II.

Nouel. 131. cap. ult.

Religioso huius imperatricis urbis orphanotrophio, & hospitali piæ memoriæ Samsonis, & cōstitutis sub eius administratione oratorijs, uel xenodochijs, uel alijs uenerādis domibus, omnia priuilegia, quæ sanctissima illa maior ecclesia Constantinopolis habet, seruari iubemus.

DE CONFVGIENTIBVS AD sanctam ecclesiam tam seruis, quam liberis: & qui nam eorum securitatē non habeant. Tit. V. Cap. XI.

1 l. 3. quæ græca est, C. de his qui ad eccl.

Qui[1] ad ecclesiam confugerunt, ad eius usq; fines, ante forum publicū, securitatem habeāt, & interioribus balneis, uel hortulis, uel domibus utētes, intra ipsum templum comedere uel dormire prohibeantur. Armis autem sese ne muniant, sed apud episcopum ea deponant; idq; uel primum persuasi faciant, uel secundum hac eijciantur. Seruus,[2] qui ad ecclesiam confugit armatus, statim eijciatur. resistens autem, maiore ui abripiatur. quod si pugnās interficiatur, nulla erit domini noxa, qui eum ut fuit adortus.

2 l. 4. eod.

Legendus & libri VI titulus III. cap. XVII. them. IIII. in quo dicitur:

3 l. 2. quæ græca est, C. de mand. princ. cap. 7.

Nec[3] homicidis, nec adulteris, nec uirginum raptoribus delinquentibus securitatem, quam fines [ecclesiarum] præstant, seruabis: sed etiam illinc eos extrahes, & supplicium inferes. Non enim huiusmodi delicta cōmittentibus, sed reliquis potius est parcendum, ne quid eiusmodi ab audacioribus patiantur. Præterea templorum securitas nō inferētibus iniurias sed læsis a lege datur. Neq; confieri poterit, ut uterq;, lædēs atq; læsus, inuiolabiliū locorū securitate muniatur.

Legendus & libri XIX. tit. VII. cap. I. in quo dicitur:

4 l. 1. D. de his qui sui uel al.

Serui[4] ad ædes religiosas confugientes, & aqua postulantes, negligendi non sunt; sed si caussa cognita domini uel supra modum in eos sæuire, uel fame necare, uel ad turpe facinus eos impellere deprehendantur: cogendi sunt ob has caussas, ut eos uendant, ne in ipsorum potestatem atque dominium reuertantur. Sed & bona

τῶν ὀρφανῶν διαφέρειν, δημοσίων ταβουλαρίων παρόντων καὶ ὑπομνημάτων πραττομένων, ἐν μὲν τῇ βασιλίδι πόλει παρὰ τῷ μαγίστρῳ τῶν κήνσων: ἐν δὲ ταῖς ἐπαρχίαις, παρὰ τοῖς ἄρχουσιν αὐτῶν, ἢ τοῖς ἐκδίκοις τῶν τόπων, λαμβάνειν, τοὺς ὀρφανοτρόφους καὶ φυλάττειν. καὶ εἰ ἀναγκαῖον νομίσουσι ἐκποιεῖν, καὶ τὸ τούτων τίμημα, τοῖς ὀρφανοῖς φυλάττειν, ἢ ἕτερα πράγματα ἀντ' ἐκείνων ἀγοράζειν. μὴ ὑποκεῖσθαι δὲ ἐπιτροπικοῖς ἢ κουρατωρικοῖς λογισμοῖς.

ΠΕΡῚ ΤΟΥ͂ ΞΕΝΩ͂ΝΟΣ
τοῦ ὁσίου σαμψών.
τοῦ αὐτοῦ τίτλου καὶ κεφ. θεμ. β.

Φυλάττεσθαι δὲ κελεύομεν τῷ εὐαγεῖ ὀρφανοτροφείῳ ταύτης τῆς βασιλίδος πόλεως, καὶ τῷ ξενῶνι τῷ καλουμένῳ τῆς ὁσίας μνήμης σαμψών, καὶ τοῖς ὑπὸ τὴν αὐτοῦ διοίκησιν καθεστῶσιν εὐκτηρίοις ἢ ξενοδοχείοις, ἢ ἄλλοις σεβασμίοις οἴκοις πάντα τὰ προνόμια, ἅπερ ἔχει ἡ ἁγιωτάτη μεγάλη ἐκκλησία κωνσταντινουπόλεως.

ΠΕΡῚ ΤΩ͂Ν ΠΡΟΣΦΕΥΓΟ΄ΝΤων τῇ ἁγίᾳ ἐκκλησίᾳ δούλων τε καὶ ἐλευθέρων: καὶ τίνες μὲν αὐτῶν οὐκ ἔχουσιν ἀθῴωσιν.
Τίτλου ε. κεφ. ια.

Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων, τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφυγόντες τοῖς ἐνδοτέροις λουτροῖς ἢ κήποις, ἢ οἰκήμασι χρώμενοι, καὶ κωλυέσθωσαν ἐντὸς τοῦ ναοῦ ἐσθίειν, ἢ ὑπνοῦν. ὅπλοις δὲ ἑαυτοὺς μὴ ἀσφαλιζέσθωσαν, ἀλλὰ ἀποτιθέσθωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ, ἢ πειθόμενοι πρῶτον, ἢ μετὰ ταῦτα ἐκβαλλόμενοι. μεθ' ὅπλων ὁ οἰκέτης προσφυγὼν, εὐθὺς ἐκβαλλέσθω. ἀνθιστάμενος δὲ, μείζονι βιαζέσθω δυνάμει. κἂν μαχόμενος πληγῇ τῆσῃ, ἀνεύθυνος ἔσται ὁ ἐπελθὼν δεσπότης.

Ἀνάγνωθι καὶ βιβλ. ς. τίτλ. γ. κεφ. ιζ. θεμ. δ ἐν ᾧ (φησίν.

Οὔτε δὲ ἀνδροφόνοις, οὔτε μοιχοῖς, οὔτε παρθένων ἁρπαξιν ἁμαρτάνουσι, τὴν ἐκ τῶν ὅρων φυλάξεις ἀσφάλειαν: ἀλλὰ κἀκεῖθεν ἐξελκύσεις: καὶ τιμωρίαν αὐτοῖς ἐπάξεις. οὐ γὰρ τῶν τὰ τοιαῦτα ἁμαρτανόντων φείδεσθαι προσήκει, ἀλλὰ τῶν πασχόντων: ἵνα μὴ τοιαῦτα ὑπὸ τῶν τολμηροτέρων πάσχοιεν. ἄλλως τε ἡ ἐκ τῶν ἱερῶν ἀσφάλεια, οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις δίδοται παρὰ τοῦ νόμου. καὶ οὐκ ἂν εἴη δυνατὸν ἑκάτερον ἀντιποιεῖσθαι τῇ παρὰ τῶν ἀσύλων τόπων ἀσφαλείᾳ, καὶ τὸν ἀδικοῦντα καὶ τὸν ἀδικούμενον.

Ἀνάγνωθι καὶ βιβλ. ιθ. τίτλ ζ. κεφ. α. ἐν ᾧ φησίν.

Τοὺς καταφεύγοντας οἰκέτας εἰς σεβασμίους οἴκους καὶ δίκαια αἰτοῦντας, οὐ χρὴ παρορᾶν: ἀλλ' εἴπερ διαγνώσεως γινομένης, εὑρέθησαν οἱ δεσπόται ἢ ἀμέτρως αὐτοὺς βασανίζοντες, ἢ λιμοκτονοῦντες, ἢ εἰς πρᾶξιν αἰσχρὰν ἕλκοντες, ἐκ τούτων διαπιπράσκειν αὐτοὺς ἀναγκάζεσθαι πρὸς τὸ μηκέτι ὑποστρέφειν πρὸς τὴν † ἑαυτῶν δεσποτείαν: ἀλλὰ καὶ τὴν † [illegible]
πράσιν

πράσιν καλῆ αἱρέσει ποιεῖν, ὥς τι μὴ διὰ τινων συσοφισμένων αἱρέσεων, καὶ μετὰ τὴν ἐκποίησιν, αὐτοὺς κακοποιεῖν, ἢ ἐν δεσμοῖς εἶναι συμφωνοῦντας, ἢ ἐπὶ τῷ οἰκεῖν ἐν χώρᾳ βαρυτάτους ἐχούσῃ τοὺς ἀέρας.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον με. κεφάλαιον ιζ. ἐν ᾧ φησίν.

Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγίαν ἐκκλησίαν ἰδίᾳ αὐθεντίᾳ ἀποσπάσας, τυπτόμενος καὶ κειρόμενος ἐξοριζέσθω.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. ς.

ΠΕΡΙ ΑΡΧΟΝΤΩΝ, ΣΥΓΚΛΗΤΙΚΩΝ τε καὶ ἀξιωματικῶν. περὶ παντοίων ὀφφικιαλίων καὶ περὶ τάξεων, καὶ προνομιῶν αὐτῶν καὶ καθεδρῶν, καὶ περὶ παίδων αὐτῶν καὶ γαμετῶν, καὶ περὶ συνέδρων αὐτῶν. καὶ ὅτι οἱ ἄτιμοι καὶ αἰσχροὶ οὐ γίνονται συγκλητικοί. καὶ ὅπως ὀφείλει ἕκαστος αὐτῶν διαπρέπειν ἐν αἷς ἄρχουσιν ἐπαρχίαις.

Τίτλ. α. κεφ. ζ.

Ὅτι γαμεταὶ μετὰ λαμπροτάτων, λαμπρόταται εἰσιν: οὐ μὴν αἱ τῶν συγκλητικῶν θυγατέρες. καὶ ὅτι, τῇ τοῦ πατρὸς, ἀξίᾳ κέχρηται ἡ θυγάτηρ, ἕως οὗ γαμηθῇ ἰδιώτῃ. καὶ ὅτι: λαμπροτάτη ἐστὶν ἡ γυνὴ τοῦ λαμπροτάτου καὶ τοῦ ὑπάτου: καὶ αἱ διαζευχθεῖσαι τούτων, εἰ μὴ γαμηθῶσιν ἑτέροις ἥττονος ἀξίας.

η.

† συγκλήτ. Συναπτομένης θυγατρὸς ἀξιωματικοῦ ἀπελευθέρῳ, καὶ ὁ πατὴρ αὐτῆς ἀποκινηθῇ τῆς † συγκλητικῆς, ὁ γάμος οὐ βέβαιος). ἡ γὰρ τοῦ πατρὸς συμφορὰ τὴν προεπιγενηθεῖσαν τοῖς παισὶν ἀξίαν οὐκ ἀφαιρεῖται. πάντες οἱ τοῦ συγκλητικοῦ κατιόντες, συγκλητικοῦ λέγονται παῖδες.

ια.

† συγκλήτου. Ὅτι: οἱ ἀπὸ πατρικίων, ἕως ἰλλουστρίων, εἰσὶν οἱ συγκλητικοί: καὶ οὗτοι μόνοι βουλὴν ἐν τῇ † συγκλήτου δύνανται λέγειν. καὶ ὅτι: ἐν τῇ ἱπποδρομίᾳ ὀφείλουσι συνάγεσθαι.

ιβ.

Οἱ ἔπαρχοι προκαθεζέσθωσαν ὅλων: καὶ μετ' αὐτοὺς οἱ συγκλητικοί.

ιη.

Οἱ ἄτιμοι καὶ οἱ αἰσχροὶ, οὐ δύνανται γίνεσθαι συγκλητικοί. κβ.

Μηδεὶς ἔμπορος, ἢ μονετάριος, ἢ τελώνης, ἢ ἀπὸ εὐτελοῦς ὀφφικίου, ἐπιχειρείτω γίνεσθαι ἀξιωματικὸς εἰ δὲ καὶ γένηται, πάλιν ἀποδιδόσθω τῷ ἰδίῳ σωματείῳ. κδ.

† ὑβρίζεσθαι. Τὸ δίκαιον τῶν συγκλητικῶν, καὶ τὴν αὐθεντίαν τῆς τάξεως, ἐν ᾗ καὶ ἡμεῖς συναριθμούμεθα, οὐ δεῖ † ὑβρίζεσθαι. καλῶς δὲ εἶπεν ὁ βασιλεὺς συναριθμεῖσθαι τοῖς συγκλητικοῖς, ἐπειδὴ καὶ ὑπατεύειν ἀνέχεται.

condicione uenditio facienda est, ne per astute fictas quasdam cōdiciones etiam post alienationem eos lædant; uel ut in uinculis habeantur paciscendo, uel ut in regione degant, quæ aera maxime grauem ac pestilentem habeat.

Legito & libri LX. tit. XLV. cap. XVII. cuius hæc uerba sunt.

*Qui * confugiētem ad sacram ecclesiam abstraxerit auctoritate sua, uerberatus & tonsus deportator.* * Hæc debet esse l. 2. C. de crim. sacr. Coniunge l. 2. C. de his qui ad eccl.

BASILICORVM LIBER VI.

DE MAGISTRATIBVS, TAM SEnatoribus, quam alijs in dignitate constitutis. de omnis generis officialibus, & de officijs, & priuilegijs, & sessionibus, & liberis, & uxoribus, & adsessoribus eorum. tum quod infames & turpes non fiant senatores. quoue pacto singuli se in prouincijs, quibus præsunt, ex ratione decori gerere debeant.

Tit. I. Cap. VII.

Feminæ[1] *clarissimis uiris nupta, clarissimæ censentur: non etiam filiæ senatorum. Item, filia dignitate patris fruitur, donec plebeio nupserit. Item, femina clarissima est, quæ uiri clarissimi, uel consulis est uxor: eodemq; nomine continentur et ab ijs separatæ, si alys inferioris dignitatis nō nupserint.* VIII. 1 l. 8. D. de senat.

Si[2] *filia senatoris liberto copuletur, etiā si pater eius senatu motus fuerit, nuptiæ ratæ non erunt. Nam calamitas patris adquisitam liberis dignitatē non aufert. Omnes a senatore descendentes, senatoris liberi dicuntur.* 2 l. 34. §. ult. D. de rit. nupt.

XI.

A[3] *patricijs usq; ad illustres, senatores sunt: ac hi soli sententiam in senatu dicere possunt, & Circensibus conuocari debent.* 3 l. ult. de senat.

XII.

Præfectorum prima sit ante uniuersos sedes, post eos senatorum. XVIII.

Infames & inhonesti nō possūt fieri senatores. 4 l. 2. C. de dign.

XXII.

Nullus negotiator, uel monetarius, uel publicanus, uel abiecti officij, dignitatem aliquā consequi pertentet. quod si etiam consequatur, rursum collegio suo reddatur.

XXIIII.

Ius senatorum, & eius ordinis auctoritatem, quo nos etiam comprehendimur, iniuria non oportet adfici. Præclare uero dixit imperator, se quoque senatoribus adnumerari; quum etiam consulatus administrationem sustineat.

XXV.

Libertorum filij senatores fieri possunt. nam ipsis tantum libertis est interdictum.

XXXII.

Constitutio præcipit, ut a senatore uel ob pecuniariam caussam, uel criminalem conuento fideiussiones non exigãtur; sed ut iuratoria tantum cautioni committantur.

XXXVIIII.

l.6.§.8.D.de off.præs. *Qui uniuersas prouincias regunt, ius gladij, & in metallum dandi, habent.*

XL.

Præses compellat ædificiorum dominos, ut ea reficiant. sin illi moram faciant, ipse competenti ratione deformitati ciuitatis subueniat.

L.

Ne munus accipiat, nisi esculentum potulentumue, quod intra dies paucos prodigatur.

LI.

Facilis esto [præses] accedentibus, ut tamen non contemnatur. Nec in æqualem cõuersationẽ subditos admittat, nec uultu misericordiam uel iram præseferat.

LXXI.

l.ult.C.de adsess. offi.præs. *Nemo simul & aduocati, & adsessoris officio fungatur, nec duobus pariter magistratibus operas suas præstet.*

LXXX.

l.9.C.de off. rec.pro. *Nullus prouinciæ moderator sine diuina iussione Constantinopolin, conuenientẽ pœnã ueritus, adeat.*

CXV.

l.ult.C.de offi. diuers.iudic. *Principes, & cornicularij, & officiorum primates, una cum iudice, tribus auri libris singuli multantor, ubi uir honoratus ad iudices ingredi prohibitus, uel cum honore non exceptus fuerit, uel cum iudice non sederit.*

Nouel.8. *Legendus & tit. III. qui de eo tractat, quod uidelicet sine quacumq; largitione fieri præsides oporteat, & quo pacto ex decori ratiõe se gerere debeãt. tum quod nec ipsi capere quid ab aliquo nomine muneris, nec alij permittere debeãt, ut id faciat: quodq; illi, qui audẽt accipere, nõ modo quadruplum eius, quod acceperũt, reddituri sint; uerumetiã cingulũ bonaq; sua sint amissuri, conuenientibus præterea pœnis subijciẽdi. Itẽ, subditos ab iniurijs immunes seruẽt, & tam in litibus, quam publicis quæstionibus æquis sunto. Innocẽtes undiq; custodiãt puros, nocentibus pœ-*

l.un.C.ut om. iudic. *nã legitimã irrogẽt. Quũ uero cingulũ deposuerint, quinquaginta dies in prouincia degant, actiones omniũ exspectãtes. Quod si lis intra dies illos 50. finita nõ fuerit, si ciuilis est, procuratorẽ cõstituat: sin criminalis, ad caussæ finem usq; maneat. Itẽ, ut circa tributa publica diligẽtiã adhibeãt, & iusiurandũ præstẽt, omnia se imperata*

Nota, de quinquaginta diebus a successione præsidi facta numerandis.

κε.

Οἱ τῶν ἀπελευθέρων παῖδες δύνανται γίνεσθαι συγκλητικοί. αὐτοὶ γὰρ οἱ ἀπελεύθεροι μόνοι κεκώλυνται.

λβ.

Ἡ διάταξις κελεύει τὸν συγκλητικὸν, εἴτε ἐπὶ χρηματικῇ αἰτίᾳ, εἴτε ἐπὶ ἐγκλήματι ἐναγόμενον, ἐγγύας μὴ ἀπαιτεῖσθαι· ἀλλὰ μόνον ἐξωμοσίᾳ καταπιστεύεσθαι.

λθ.

Οἱ πάσας ἐπαρχίας διοικοῦντες, δίκαιον ἔχουσι ξίφους καὶ τοῦ μεταλλίζειν.

μ.

Ὁ ἄρχων ἀναγκαζέτω τοὺς τῶν οἴκων δεσπότας ἀνανεοῦν αὐτούς. εἰ δὲ ὑπερθῶνται, ἁρμοδίως αὐτὸς θεραπευέτω τὴν ἀμορφίαν τῆς πόλεως.

ν.

Μὴ δεχέσθω δὲ ξένιον, μὴ τὸ δι' ὀλίγων ἡμερῶν δαπανώμενον, βρώσιμον ἢ πόσιμον.

να.

Εὐχερὴς ἔστω τοῖς προσιοῦσι καὶ ἀκαταφρόνητος. καὶ μὴ ἐξ ἴσου συναναστρεφέσθω τοῖς ἀρχομένοις. καὶ μὴ δηλούτω τῇ ὄψει, ἐλεῶν ἢ ὀργιζόμενος.

οα.

Μηδεὶς ἅμα καὶ συνηγορείτω καὶ ἑτέροις συνεδρευέτω· ἢ καὶ δύο † κατ' αὐτὸ ἄρχουσι συμπονείτω. † κατ' αὐτό.

π.

Μηδεὶς ἄρχων ὢν τὴν Κωνσταντινούπολιν ἄνευ θείας καταλαμβανέτω κελεύσεως, τὴν ἁρμοδίαν ποινὴν εὐλαβούμενος.

ριε.

Οἱ ἄρχοντες καὶ οἱ ὑπασπισταὶ καὶ οἱ τῆς τάξεως πρῶτοι μετὰ τοῦ ἄρχοντος, ἀνὰ τρεῖς λίτρας προστιμάσθωσαν χρυσοῦ, ἀξιωματικοῦ κωλυθέντος παρὰ τοῖς ἄρχουσιν εἰσελθεῖν, † εἰ μὴ μετὰ τιμῆς εἰσελθόντες, ἢ μὴ † συγκαθεύδοντος τῷ ἄρχοντι. † ὁ μή. † συγκαθίζοντος.

Ἀνάγνωθι καὶ τίτλον γ. διαλαμβάνει γὰρ περὶ τοῦ χωρὶς τῆς οἱασοῦν δόσεως γίνεσθαι τοὺς ἄρχοντας. καὶ ὅπως διαπρέπειν ὀφείλουσι. καὶ τοῦ μήτι αὐτοὺς λαμβάνειν τι παρά τινος λόγῳ ξενίου, μήτε ἕτερον συγχωρεῖν τοῦτο πράττειν. καὶ ὅτι οἱ λαβεῖν τολμῶντες, οὐ μόνον εἰς τὸ τετραπλάσιον ἀποδώσουσιν ὃ εἰλήφασιν, ἀλλὰ καὶ ζώνης καὶ οὐσίας ἐκπεσοῦνται, πρὸς τῷ καὶ τιμωρίαις ὑποβληθῆναι περιπτώσεις. καὶ περὶ τοῦ φυλάττειν τοὺς ὑπηκόους ἀνεπηρεάστους· καὶ ἴσους μὲν ἐν ταῖς δίκαις, ἴσους δὲ ἐν ταῖς δημώδεσι καταστάσεσιν εἶναι. καὶ τοὺς μὲν ἀνευθύνους πανταχόθεν φυλάττειν καθαρούς· τοῖς δὲ ὑπευθύνοις ἐπιτιθέναι πρὸς τὸν νόμον τὴν ποινήν. ἐπειδὰν δὲ καταθοῖντο τὴν ζώνην, πεντήκοντα ἡμέρας ἐν τῇ ἐπαρχίᾳ διατρίβειν τὰς παρὰ πάντων δεχομένους ἐναγωγάς. μὴ περατωθείσης δὲ τῆς δίκης ἔσω τῶν πεντήκοντα ἡμερῶν· χρηματικῆς μὲν οὔσης, διδόναι προκουράτορα· ἐγκληματικῆς δὲ, μέχρι πέρατος μένειν τῆς ὑποθέσεως. καὶ περὶ τοὺς δημοσίους φόρους ἐπιμέλειαν ἔχειν, καὶ ὅρκον δὲ ὑπέχειν, τοῦ παραφυλάττειν πάντα τὰ δια-

Σημείωσαι περὶ τῶν πεντήκοντα ἡμερῶν τῶν μετὰ τὴν διαδοχὴν τοῦ ἄρχοντος.

τὰ διαπεπραγμένα. καὶ τὸ μὴ συγχωρεῖν, εἰ καὶ θεῖον τύπον τις ἐξενέγκοι, ἀδικίας γίνεσθαι, ἢ καὶ προστασίας ἀδίκους: ἢ σανίδας ἐπιτίθεσθαι χωρίοις ἢ ἐργαστηρίοις ἀλλοτρίοις παρά τινος: μήτε μὴν γεωργοὺς † ἐὰν ἀλλοτρίους εἰσδέχεσθαί τινα: † ἀναγκάζειν τοὺς τῶν δημοσίων ἀπαιτητὰς, ἀποδείξεις ποιεῖν, καὶ τοὺς ἐπικτωμένους ἀγροὺς ἢ χωρία ἀπογράφεσθαι τοῦ συντελεῖν: ὡς ἂν μὴ ἄλλοι μὲν εἶεν οἱ νεμόμενοι, ἕτεροι δὲ οἱ συντελοῦντες. καὶ περὶ τοῦ ἐπισκέπτεσθαι ἐν ταῖς κυριακαῖς τοὺς ἐν φυλακαῖς καὶ μανθάνειν εἰ φιλανθρώπως αὐτοῖς οἱ φύλακες κέχρηνται. καὶ μηδὲ ἀγγαρείαις ἢ δαπανήμασι βαρύνειν τοὺς ὑποτελεῖς. καὶ τὸ μὴ ἐπικτᾶσθαί τι τοὺς ἄρχοντας ἐν αἷς ἄρχουσιν ἐπαρχίαις: μηδὲ τοὺς τῆς Κωνσταντινουπόλεως, κινητὸν ἢ ἀκίνητον, δίχα θείας κελεύσεως μηδὲ δωρεὰν εἰς αὐτοὺς ἐρρῶσθαι.

†ἐὰν. †ἢ ἀναγκ.

Ἐν δὲ τῷ λα. κεφ. τοῦ αὐτοῦ τίτλ. διαλαμβάνεται ὁ ὅρκος, ὃν ὑπέχουσιν οἱ λαμβάνοντες ἀρχήν.

Ἀνάγνωθι καὶ τίτλον κα. ἐν ᾧ φησι. τὸν ἕκαστον τῶν ἀρχόντων κατὰ τὴν ἰδίαν ἐπαρχίαν διοικεῖν τάς τε ἐγκληματικὰς καὶ χρηματικὰς δίκας.

Καὶ τίτλον κδ. ἐν ᾧ φησι:

ΠΕΡῚ ΤΩ͂Ν ΤῊΝ ἸΔΊΑΝ δικαιοδοσίαν ἑτέρῳ ἀνατιθεμένων.

Ἀνάγνωθι καὶ βιβλίον κγ. τίτλ. α. κεφ. λγ. ἐν ᾧ φησίν.

Οἱ ἄρχοντες τῶν ἐπαρχιῶν, καὶ οἱ περὶ αὐτοὺς κεκώλυνται πραγματεύεσθαι ἢ δανείζειν, ἢ τοκίζειν, οἱ δὲ ταξεῶται, καὶ δανείζουσι καὶ τοκίζουσι. καὶ ὁ ἄρχων ἐντόκως δανείζεται.

Καὶ κεφ. με.

Ὁ ἀρχὴν ἢ ὀφφίκιον ἐν ἐπαρχίᾳ πράττων, οὔτε δι' ἑαυτοῦ, οὔτε διὰ μέσου προσώπου ἐν τῷ καιρῷ τῆς οἰκείας ἀρχῆς, δανείζειν δύναται.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον λθ. κεφάλαιον α. ἐν ᾧ φησιν.

Ὅτι ὁ ἄρχων χρήματα λαβὼν ἐπὶ τῷ καταδικάσαι τινὰ, κεφαλικῶς τῷ τῶν ἀνδροφόνων νόμῳ ὑπόκειται.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν η. καὶ ιγ. καὶ ιε. καὶ ιζ. καὶ κ. καὶ κδ. καὶ κε. καὶ κς. καὶ κζ. καὶ κη. καὶ κθ. καὶ λ. καὶ λα. καὶ μα. καὶ π. ἐν ᾗ φησι περὶ τοῦ κυαισίτωρος, ἤτοι ἐρευνητοῦ. καὶ νεαρὰν ϙε. ἐν ᾗ φησι περὶ τοῦ μετὰ τὴν διαδοχὴν ν. ἡμέρας διατρίβειν ἐν τῇ ἐπαρχίᾳ τοὺς ἄρχοντας. καὶ ρβ. καὶ ργ. καὶ ρε. καὶ ρκη. ἀπὸ τοῦ ις. κεφαλαίου καὶ ρλδ. καὶ ρμε.

ΠΕΡῚ ΜΑΙΝΟΜΈΝΩΝ.

Τοῦ αὐτοῦ α. τίτλ. κεφ. μς.

Ὅτι ἄρχων τοὺς μαινομένους ἐν εἱρκτῇ βαλλέτω, εἰ μὴ διὰ τῶν συγγενῶν φυλαχθῆναι δύνανται: ἢ δεσμείτω. εἰ δὲ φονεύουσι, δεῖ ζητεῖν μήποτε προσποιήσωνται μαίνεσθαι, ἢ ἐν τῷ καιρῷ τῶν ἀνακωχῶν ἐφόνευσαν καὶ τιμωρεῖσθαι. δεῖ δὲ καὶ τοὺς φύλακας αὐτῶν ἐπεξιέναι ῥᾳθυμοῦσι. οὐ γὰρ .... φυλάττουσιν ἀλλὰ καὶ διὰ ....

seruaturos, nec permissuros, ut tametsi quis sacrã formã proferat, iniusta designẽtur, uel iniqua patrocinia suscipiatur, uel ab aliquo tituli prædijs aut officinis alienis adsigẽtur. Non etiã sinent aliquem agricolas alienos recipere. Publicos exactores adigent, ut scripturas faciant, & ut agri atque prædia, quæ emuntur, ad contributionem describantur: ne alij sint qui possideãt, alij qui conferant. Vt præterea diebus dominicis in custodijs detentos inuisant, & cognoscãt, num a custodibus humaniter tractentur. Ne uel angarijs, uel sumtibus ij grauentur, qui cõferunt. Itẽ, ne magistratus in prouincijs, quibus cũ imperio præsunt, nec item Cõstãtinopolitani, mobile uel immobile quidquã sine iussione diuina emãt, neue facta in eos donatio rata sit.

Nouel. 113. Nouel. 17. l. un. C. de contrac. iud.

Et in XXXI. cap. eiusdem tit. iusiurandum cõtinetur, quod præstãt q magistratũ suscipiũt.

Legendus & tit. XXI. in quo dicitur; quemlibet iudicem in sua prouincia posse tam de criminalibus, quam pecuniarijs caussis cognoscere.

Nouel. 69.

Item tit. XXIIII. dicitur DE IIS, QVI SVAM IVRISDICTIONEM ALTERI MANDANT.

Legendus & libri XXIII. tit. I. in cuius XXXIII. cap. dicitur:

Qui prouincias regunt, quiue circa eos sunt, negotiari, mutuamue pecuniã dare, uel fœnus exercere prohibẽtur. Verum officiales mutuam dare pecuniã, & fœnebrẽ exercere possunt. Præsidi quoq; mutua pecuniã fœnebrẽ sumere licet.

l. 33. D. de reb. cred. / si cert. pet.

Item cap. XLV.

Qui magistratum uel officium in prouincia gerit, nec per se, nec per subiectam personam officij sui tempore fœnus exercere potest.

l. 3. C. si cert. pet.

Item legendus libri LX. titul. XXXIX. in cuius I. cap. dicitur:

Magistratus, qui pecuniã accepit, ut quẽ condẽnaret, capitaliter ex lege Cornelia de sicarijs punitur.

L. 1. §. præterea. D. ad l. Cor. de sic.

SCHOLION.

Legito & nouellã VIII, & XIII, & XV, & XVII, & XX, & XXIIII, & XXV, & XXVI, & XXVII, & XXVIII, & XXIX, & XXX, & XXXI, & XLI, & LXXX, in qua dicitur de Quęsitore, siue inquisitore. Itẽ XCV, in qua tractatur, Vt magistratus post, quã eis successum est, quinquaginta dies in prouincia commorentur. Item CII, & CIII, & CV, & CXXVIII, a cap XVI, & CXXXIIII, & CXLV.

DE FVRIOSIS Eiusd. tit cap XLVI.

Furiosos in carcerẽ præses mittat, nisi a cognatis custodiri possũt, aut uinculis coerceat. Quod si cædẽ perpetrauerint, explorãdũ est, nũ dementiã simularint, uel interuallorũ momẽto facinꝰ admiserint, ac supplicio sint adficiẽdi. Plectendi sunt & custodes eorũ, si negligẽtes fuerint. qppe nõ ideo tãtũ eos, ne quid in se perniciosi admittant, custodiũtur: uerũ etiã ne alijs sint exitio.

l. 14. D. de off. præs.

Legendus & libri XV. tit. I. cap. LX. in quo dicitur:

l.60.D.de rei uendic.

Si quid infans, aut furiosus possessor corrupit uel perdidit: impunitum est.

DE CONTEMTV IVS DICENTIS.

Tit. eiusd. cap. LIIII.

Lege & tit. de ui. l.1.C ut dig. ord. seruet.

Qui locum indebitũ sibi usurpauerit, sacrilegij tenetur: nec ignorãtiam prætexere potest.

Item libri IX. tit. III. cap. VI. dicitur:

l.6.§.qui iudicati.D.de re iud.

Qui auctoritate sua rem iudicati distrahit, & fur & raptor est.

SCHOLION.

Si de contemtu ius dicentis intra annum non agitur, in duplum actio non datur.

DE DEFERENTIBVS SIVE nuntiantibus thesauros, ceteraq; ad fiscum pertinentia. tum qui deferre prohibeantur.

Eiusd. tit. cap. CXVII.

Debet esse l.2.C. de off. com. rer. priuat.

Neq; comes rerum [priuatarum], neq; magistratuum aliorum quisquam, tam eorum qui Constantinopoli, quam qui sunt in prouincijs, eum qui super thesauro quem defert, admittat. Quod si de alia fiscali [re] nuntiat, mox sub fideiussione non minus auri quinq; librarum hoc fiat: & ne sigillum aliquod, uel descriptio, uel alia quæuis innouatio, super rebus nuntiatis ante sententiam ex scripto latam interueniat.

Legendus etiam libri LVI. titul. II. cap. I. cuius hæc uerba sunt.

l.1.D.de iu.fi.

Nouel. 96. *Sancimus, ut si quis obligatum sibi putat eum, qui accusationem in ipsum deposuit; non apud alium iudicem, sed apud illum ipsum mox agat, & ut idem utriusque caussæ iudex sit. Quod si forte iudex, apud quem sortitus est litem, ipsi displicuerit; hoc quoque corrigere poterit. Nam quum nos spatium uiginti dierum post oblationem libelli concesserimus, quo decurso, litem contestari oporteat: licet intra dictum interuallum, illum quidem recusare, alium uero consequi, apud quem rursus*

De xx. dierum spatio similiter & in 1. tit. 7. cap. eiusdem libri 7 loquitur.

Τίτλ. γ. κεφάλαιον ζ. ἐν ᾧ φησιν.

Ὁ τὸ προτεθὲν πρόσταγμα ἢ μέλλον προτίθεσθαι ἐπὶ διηνεκεῖ, οὐ μὴν προσκαίρῳ αἰτίᾳ, δόλῳ διαφθείρας, πεντακόσια Ν Ν δίδωσι διηνεκῶς ἀγωγῆς· εἴτε δοῦλός ἐστιν, εἴτε ὑπεξούσιος, ἢ ἀνὴρ, ἢ γυνή. δοῦλοι δὲ μὴ διεκδικούμενοι παρὰ τῶν δεσποτῶν, καὶ οἱ ἄποροι, σωματικῶς τιμωροῦνται. ὁ δὲ κατὰ ἀπειρίαν, ἢ ἀγροικότητα, ἢ κατὰ τύχην, ἢ κελεύσει τοῦ πραίτωρος διαφθείρας, οὐχ ὑπόκειται. ἐνέχεται καὶ ὁ μὴ διαφθείρας, ἀλλὰ ὑφελὼν, καὶ ὁ δι' ἑαυτοῦ ποιῶν, καὶ ὁ ἄλλῳ ἐντελλόμενος. οὐκ ἐνέχεται δὲ ὁ ἐντελθεὶς, εἰ μὴ κατὰ δόλον ἐποίησε. καὶ πολλοὶ γὰρ διαφθείραντες, ἢ ἐντειλάμενοι ἐνέχονται. καὶ οὐκ ἀρκεῖ τὸν ἕνα δοῦναι τὴν ποινήν. καὶ κεφάλαιον θ.

ΠΕΡΙ ΔΙΚΑΖΟΜΕΝΩΝ ΗΤΟΙ ἐναγόντων καὶ ἐναγομένων, αὐτεξουσίων, καὶ ὑπεξουσίων. καὶ τίνες δύνανται ἐνάγειν ἢ ἐνάγεσθαι, καὶ τίνες οὐ δύνανται. καὶ πότε, παρά τινι, καὶ ἐν ποίῳ φόρῳ τις ἐνάγειν ὀφείλει. καὶ περὶ † λαμβανόντων ἢ ἀποκρυπτομένων.

† λανθανόντων.

Τοῦ αὐτοῦ τίτλ. γ. κεφ. κγ.

Ὅπερ δίκαιόν τις ἔχει, ἢ εἴπῃ κατά τινος, ἢ † ἐλεγχθῆναι παρασκευάσει, τῷ αὐτῷ καὶ αὐτὸς ὑπόκειται.

† λεχθῆναι.

κε. θέμ. γ. φησίν.

Ἐὰν ἄδικόν τι κατὰ τοῦ ἀντιδίκου μου αἰτήσω, τῷ αὐτῷ ὑπόκειμαι, κἂν μὴ χρήσωμαι αὐτῷ. εἰ δὲ μὴ ἀπαιτοῦντός μου ψηφισθῇ τὸ ἄδικον, οὐχ ὑπόκειμαι.

θέμ. ε.

Οὐ μόνον τοῦ ἀδικηθέντος αἰτοῦντος, ὑπόκειται ὁ τῷ παρόντι δόγματι ὑποπεσών: ἀλλὰ ἑκάστου δικαζομένου πρὸς αὐτὸν καὶ κεχρημένου τῇ παραγραφῇ.

Καὶ κεφάλαιον κς. καὶ κζ. καὶ λη. ἐν ᾧ φησιν.

Ὁ ἐνάγων ἀκολουθεῖ τῷ φόρῳ τοῦ ἐναγομένου. φόρος δέ ἐστιν ἔνθα νῦν ἔχει τὴν κατοίκησιν, ἢ ὅπου εἶχεν ἐν καιρῷ τοῦ συναλλάγματος.

περὶ φόρου.

Ἀνάγνωθι καὶ τίτλον δ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Θεσπίζομεν εἴ τις ὑπεύθυνον οἴεται ἔχειν τὸν κατ' αὐτοῦ τὴν αἰτίαν ἀποθέμενον, μὴ παρ' ἑτέρῳ δικαστῇ, ἀλλὰ παρ' αὐτῷ εὐθὺς αἰτιάσασθαι, καὶ τὸν αὐτὸν εἶναι δικαστὴν ἐφ' ἑκατέρας ὑποθέσεως. εἰ δέ τι τυχὸν ἀπαρέσειεν αὐτῷ ὁ παρ' ᾧ τὴν δίκην ἀποκληρώσαιτο δικαστὴς: ἐξέστιν αὐτῷ καὶ τοῦτο ἐπανορθοῦσθαι. † εἴκοσι γὰρ ἡμερῶν προθεσμίαν ἐνδόντων ἡμῶν μετὰ τὴν τοῦ βιβλίου πομπὴν, μεθ' ἣν δεῖ προκατάρχεσθαι, ἔξεστιν ἔσω τῆς εἰρημένης ἀναχωχῆς παραιτήσασθαι μὲν ἐκεῖνον, ἑτέρου δὲ τυχεῖν, παρ' ᾧ πάλιν ὁμοίως

Nouel. 96.

† περὶ τῶν εἰκοσι ἡμερῶν προθεσμίας ὁμοίως φησὶ καὶ ἐν τῷ α. τίτλῳ, κεφ. ζ. τοῦ αὐτοῦ ζ. βιβλίου.

ὁμοίως ἑκατέραν ἀγωνίζεσθαι προσήκει δίκην, καὶ τὰς τοιαύτας τέχνας κατὰ μηδὲν γίνεσθαι, ἀλλ' ἕκαστον τοῖς ἰδίοις χρῆσθαι δικαίοις. εἰ μέντοι σιγήσειεν, εἶτα ὕστερον βουληθείη τὴν δίκην παρ' ἑτέρῳ δικαστῇ κινεῖν, ἀνάγκην ἔχειν ἀναμένειν τὸ πέρας τῆς δίκης τῆς ἐπαγομένης αὐτῷ παρὰ τοῦ εἰς δικαστήριον αὐτὸν ἑλκύσαντος. καὶ ἐπειδὰν πέρας ἡ δίκη λάβοι, τηνικαῦτα αὐτὸν τὴν οἰκείαν δίκην παρ' ἑτέρῳ δικαστῇ προθεῖναι, ἵνα οὕτω τὰς τοιαύτας αὐτῶν ἀνέλωμεν τέχνας τε καὶ κατ' ἀλλήλων ἐπηρείας.

β.

περὶ τῆς προκατάρξεως. νεαρὰ ριβ. διάταξις δ.

Θεσπίζομεν πάντας τοὺς δικαστὰς, εἴ ποτέ τινα συσχεθῆναι ἤγουν ὑπομνησθῆναι βουληθεῖεν, ταύτην τὴν αἵρεσιν ταῖς ἑαυτῶν διαλαλιαῖς προστιθέναι, ὥστε μὴ ἄλλως τὰ τῶν αἰτιάσεων βιβλία τοῖς ἐναγομένοις ἐπιδίδοσθαι, ἢ συνηθείας τοῖς ἐκβιβασταῖς παρέχεσθαι, εἰ μὴ πρότερον καὶ ἐν τῷ βιβλίῳ ὁ ἐνάγων ἢ δι' ἑαυτοῦ, ἢ διὰ ταβουλλαρίου ὑπογράψοι, καὶ πράξεως ὑπομνημάτων συνισταμένης, ἐγγυητὴν ἀξιόπιστον παράσχοι, κινδύνῳ τῆς ἁρμοδίου τάξεως ὁμολογοῦντα, ὅτι περ καὶ μέχρι πέρατος τῆς δίκης προσεδρεύει, καὶ τὰς ἰδίας ἐναγωγὰς, ἢ δι' ἑαυτοῦ, ἢ διὰ νομίμου ἐντολέως ἐγγυμνάζει. καὶ εἰ μετὰ ταῦτα ἐλεγχθείη ἀδίκως τὴν δίκην κινήσας, ὀνόματι ἀναλωμάτων καὶ δαπανημάτων δέκατον μέρος τῆς περιεχομένης τῷ βιβλίῳ ποσότητος ἀποκαταστήσει τῷ αἰτιαθέντι. εἰ δὲ εἴποι μὴ εὐπορεῖν ἐγγυητὴν δοῦναι, τηνικαῦτα παρὰ τῷ δικαστῇ παρ' ᾧ περ ἡ ὑπόθεσις μέλλει ἐξετάζεσθαι, τῶν ἁγίων εὐαγγελίων προκειμένων, δι' ὅρκου τοῦτο αὐτὸ διαβεβαιώσασθαι, καὶ οὕτως ἐνώμοτον αὐτὸν ἐκτίθεσθαι ὁμολογίαν, καὶ δι' αὐτῆς, ἅπερ ἀνωτέρω εἴρηται, ὁμολογῆσαι. εἰ δὲ μὴ ταῦτα ἅπαντα κατὰ τὸν εἰρημένον πραχθείη τρόπον, οὐδεμίαν τὸν ἐναγόμενον ἀπόκρισιν τῷ ἐκβιβαστῇ ποιήσασθαι συγχωροῦμεν.

γ.

Θεσπίζομεν τὸν ἐνάγοντα τὸ ἀρχθὲν πρᾶγμα μέχρι πέρατος τῆς δίκης ἐγγυμνάζειν. εἰ δὲ ὑπεξελθεῖν τῷ πράγματι ὑπερτίθεται: δίδομεν ἄδειαν τῷ ἐναχθέντι τὸν δικαστὴν αἰτεῖν, παρ' ᾧ ἡ δίκη προκατήρχθη, ὥστε δι' αὐτοῦ τὸν ἐνάγοντα ὑπομνησθῆναι εἰς τὸ δικαστήριον, ἢ δι' ἑαυτοῦ, ἢ διὰ νομίμου ἐντολέως παραγίνεσθαι. καὶ εἰ τοῦτο μηδαμῶς ποιήσοι, προτιθεμένων τριῶν προγραμμάτων αὐτὸν καλεῖσθαι, μιᾶς ἑκάστης κλήσεως οὐκ ἔλαττον ἢ τριάκοντα ἡμερῶν διαστήματι περικλειομένης. κελεύομεν γὰρ τοὺς ἐμβάθμους δικαστὰς, μὴ μόνον ταῖς τῶν κηρύκων φωναῖς, ἀλλ' ἔτι μὴν καὶ προγραμμάτων προτιθεμένων, οἷον δήποτε τῶν δικαζομένων μέρος, ἀπολιμπανόμενον καλεῖν εἰς τὸ δικαστήριον.

δ.

Εἰ δὲ προτιθεμένων τῶν προγραμμάτων κληθεὶς εἰς τὸ δικαστήριον ἐλθεῖν καὶ τὰς ἰδίας ἐναγωγὰς ἢ δι' ἑαυτοῦ, ἢ διὰ νομίμου (καθάπερ εἴρηται) ἐντολέως προθεῖναι μὴ βουληθείη: τηνικαῦτα ἑτέραν ἑνὸς ἐνιαυτοῦ προθεσμίαν αὐτῷ συγχωροῦμεν, ἧς ἐν-

utraq. caussa similiter est disceptanda, nec utendum eiusmodi artibus, sed cuiq. suis iuribus fruendum. Quod si tacuerit, ac deinceps apud alium iudicem mouere litem uoluerit: necesse habebit exspectare terminum intẽtatæ litis ab eo, qui in ius ipsum traxit. qua lite finita, caussam suam apud alium iudicẽ proponat: ut in hũc modum tales ipsorũ artes, et mutuas iniurias tollamus.

II.

Sancimus, ut omnes iudices, si quando quem prahendi uel citari uoluerint, hanc interloqutionibus suis condicionem adyciant, ne aliter accusationum libelli reis porrigantur, uel * consuetudines exsequutoribus præstentur: nisi prius actor libello uel per se, uel per tabularium subscripserit, & interuenientibus actis publicis det fideiussorem idoneum, periculo competentis officij spondentem, se ad terminum usque litis permansurum, & actiones suas uel per se, uel per legitimum procuratorem exerciturum: ac si deinceps probatum fuerit, inique litem ab ipso motam, expensarum sumtuumque nomine decimam comprehensæ libello summæ partem accusato restituturum. Quod si fideiussorem dare se posse neget, tunc apud iudicem, coram quo caussa erit examinanda, propositis sacris sanctis euangelijs idipsum sacramento confirmabit, & hoc pacto iuratoriam cautionem exponet, ac per eam superius indicata promittet. quæ omnia si iuxta prædictum modũ peracta non fuerint, non permittimus, ut reus ullum exsequutori responsum prabeat.

De litis contestatione. Nouel. 112. constitu. 4.

* al. sportulæ.

III.

Sancimus, ut actor ceptum negotium ad litis usq. finem expediat. Quod si persequutionẽ caussæ differat, reo damus licentiam postulandi a iudice, apud quem lis contestata est, ut ipsius auctoritate commoneatur actor, ad comparẽdum in iudicio uel per se, uel per legitimum procuratorem. quod si non fecerit, tribus edictis propositis uocetur: singulis citationibus non minori, quam triginta dierum, interuallo concludendis. quippe iubemus, ut iudices ordinarij non præconum modo uocibus; uerumetiam per edicta proposita quamcumq. litigatorum partem, quæ abest, ad iudicium uocent.

IIII.

Sin is, qui propositis edictis uocatus est, in ius uenire, ac intẽtiones suas uel per se, uel p legitimũ (ceu dictũ est) procuratorẽ proponere noluerit: tũc alterũ illi unius anni spatiũ cõcedimus, intra

intra quod nisi suam persequutus actionem fuerit, iudici licentiam damus allegata partis obseruantis iudicium etiam absente aduersario secundum leges nostras examinandi, & accurate peruestigata ueritate, legitimam sententiam proferendi. Si uero intra dictum unius anni spatium comparuerit, & suas actiones exercere uoluerit: iubemus, ut iudex omnibus modis expensas siue sumtus, quos litis caussa reus in iudicio persistens sustinuit, ab actore præ omnibus exigat, & accusato præbeat: quo facto, liti adsit actor, donec secundum leges negotium terminetur. Nam si tantum modo compareat, & sumtibus siue dispendijs redditis, dumtaxat annuum tempus diffindere uoluerit; atque rursus a iudicio discedens, ad litis usque terminum non permanserit: iubemus, ut post indicatas edictorum, & annui temporis interualli obseruationes, omni excidat actione, quam aduersus reum sibi competere putabat. Ceterum priuilegio legis, quæ suas actiones mouendi necessitatem nolentibus non imponit, illis tantum uti concedimus, qui secundum modos iam indicatos nullam suis aduersarijs quæstionem mouent.

VI.

Nouel. 124. ca. 1.

Iubemus, ut quoties apud quoscumque iudices uel inchoantur lites, uel appellationes examinantur, ante omnia principales litigantium personæ, uel illi, ad quos (ceu fieri potest) in medio caussa translata fuerit, in præsentia iudicum tactis sacris sanctis euangelijs iurent, se nihil omnino iudicibus patrocinij gratia, uel alij cuicumque personæ huius caussæ nomine, quocumque modo dedisse uel promisisse, uel deinceps daturos, siue per se, siue per aliam quamcumque subiectam personam: exceptis ijs, quæ suis aduocatis patrocinij nomine præbent, uel alijs personis, quibus ut detur, leges nostræ præscripserunt. Quod si quis litigantium dixerit, se dedisse uel promisisse, personamque nuncuparit, & rem probauerit: ipse quidem in euentu litis ueniam promereatur, sed ab eo qui donum uel promissum acceptasse conuictus erit, si pecuniaria caussa sit, dati triplum, promissi duplum a comite priuati patrimonij [principis] exigatur: idemque dignitatem, siue magistratum, quem gerit, utroque casu amittat. Sin criminalis sit accusatio, publicationem patrimonij sui patitor, & in exsilium ablegator, qui ob captum munus crimen alienum in se transferre studuerit. At si largitionem uel promissionem factam litigator probare nō poterit, iuret ea per-

De his, qui aliquid largiuntur, uel accipiunt.

ἧς ἐντός, εἰ μὴ τῇ ἰδίᾳ ἐπεξέλθοι διαγωγῇ, δίδομεν ἄδειαν τῷ δικαστῇ, καὶ ἀπόντος τοῦ ἀντιδίκου, τὰς τοῦ προσεδρεύσαντος μέρους δικαιολογίας, κατὰ τοὺς ἡμετέρους νόμους ἐξετάζειν, καὶ τῆς ἀληθείας ἀκριβῶς ζητουμένης, νόμιμον προφέρειν ψῆφον. εἰ δὲ ἐντὸς τῆς εἰρημένης τοῦ ἑνὸς ἐνιαυτοῦ προθεσμίας παραγένηται, καὶ τὰς ἰδίας ἐναγωγὰς ἐγγυμνάσαι βουληθείη, κελεύομεν τὸν δικαστὴν πᾶσι τρόποις τὰ ἀναλώματα ἤγουν δαπανήματα, ἅπερ διὰ τὴν δίκην ὁ ἐναχθεὶς προσεδρεύων τῷ δικαστηρίῳ ὑπέμεινε, πρὸ πάντων εἰσπρᾶξαι τὸν ἐνάγοντα, καὶ τῷ αἰτιαθέντι παρασχεῖν, καὶ οὕτω τὸν ἐνάγοντα προσεδρεῦσαι μέχρις ὅτου τὸ πρᾶγμα πέρας δέξηται κατὰ τοὺς νόμους. εἰ γὰρ μόνον παραγένηται, καὶ τῶν δαπανημάτων ἢ ζημιωμάτων ἀποδομένων μόνον τὸν ἐνιαυσιαῖον χρόνον διακόψαι βουληθείη, καὶ πάλιν ἀναχωρῶν τοῦ δικαστηρίου μέχρι πέρατος τῆς ὑποθέσεως μὴ παραμένοι, κελεύομεν αὐτὸν μετὰ τὰς εἰρημένας τῶν προγραμμάτων καὶ τοῦ ἐνιαυσιαίου χρόνου διαστήματος παρατηρήσεις, πάσης ἀγωγῆς ἐκπίπτειν, ἣν ἁρμόζειν αὐτῷ κατὰ τοῦ ἐναχθέντος ὑπελάμβανε. τῷ δὲ τοῦ νόμου προνομίῳ, τοῦ μὴ ἐπιτιθέντος ἀνάγκην τοῖς μὴ βουλομένοις τὰς οἰκείας ἐναγωγὰς κινεῖν, ἐκείνοις καὶ μόνοις συγχωροῦμεν κεχρῆσθαι, τοῖς οὐδεμίαν ζήτησιν κατὰ τοὺς εἰρημένους τρόπους κατὰ τῶν ἀντιδίκων κινοῦσιν.

ς.

Κελεύομεν ὁσάκις † παρ' οἱῳδήποτε ἄρχοντι δίκαι † ἢ ἐξετάζονται, πρὸ πάντων τὰ πρωτότυπα τῶν δικαζομένων πρόσωπα, ἢ ἐκείνους, εἰς οὓς (ὡς εἰκὸς) ἐν μέσῳ ἡ ὑπόθεσις μετηνέχθη † παρουσίᾳ τῶν δικαστῶν, ἁπτομένους τῶν ἁγίων εὐαγγελίων ὀμνύναι, ὅτι οὐδὲν παντελῶς τοῖς δικασταῖς προστασίας χάριν, ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ ταύτης τῆς αἰτίας καθ' οἱονδήποτε τρόπον δεδώκασιν, ἢ ὑπέσχοντο, ἢ μετὰ ταῦτα δώσουσι, ἢ δι' ἑαυτῶν, ἢ ἄλλου οἱουδήποτε μέσου † τρόπου. ἐξῃρημένων τούτων, ἅτινα τοῖς ἰδίοις συνηγόροις ὑπὲρ τῆς συνηγορίας παρέχουσιν, ἢ τοῖς ἄλλοις προσώποις, † ἅπερ οἱ ἡμέτεροι νόμοι δίδοσθαι διετύπωσαν. εἰ δέ τις ἐκ τῶν δικαζομένων εἴπῃ δεδωκέναι, ἢ ὑποσχέσθαι, καὶ τὸ πρόσωπον ἐξείποι, καὶ τοῦτο ἀποδείξει, αὐτὸς μὲν ἐπὶ τῇ τῆς δίκης ἐκβάσει, συγγνώμης ἀξιούσθω. ὁ δὲ ἢ δόσιν, ἢ ὑπόσχεσιν καταδέξασθαι δεικνύμενος, εἰ μὲν χρηματικὴ εἴη ἡ ὑπόθεσις, τὸ μὲν δεδομένον τριπλοῦν, τὸ δὲ ὑποσχεθὲν διπλοῦν ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς περιουσίας εἰσπραττέσθω, καὶ τὴν ἀξίαν ἤτοι ἀρχὴν, ἣν ἔχει, ἐφ' ἑκατέρου θέματος ἀπολλύτω. εἰ δὲ ἐγκληματικὴ εἴη ἡ κατηγορία, δήμευσιν τῆς ἰδίας περιουσίας ὑπομενέτω, καὶ εἰς ἐξορίαν πεμπέσθω, ὅστις διὰ λῆψιν ἀλλότριον ἔγκλημα εἰς ἑαυτὸν ἐσπούδασε μετενεγκεῖν. εἰ δὲ τὴν δόσιν, ἢ τὴν ὑπόσχεσιν ὁ διάδικος μὴ δυνηθῇ δεῖξαι, ὀμνύτω τὸ πρόσ-

Νεαρὰ ρκδ. κεφ. α.
† παρ' οἱῳδήποτε δικάζοντι ἄρχοντι.
† οἱ ἐκκλητοι ἐξετάζ.
† ἐν παρ.
† προσώπου.
† οἵπερ.
περὶ τῶν διδόντων τι ἢ λαμβανόντων.

σωπον

σωπον τὸ τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν λεγόμενον καταδέξασθαι, ὅτι οὔτε δι' ἑαυτοῦ, οὔτε δι' ἄλλου προσώπου ἔλαβεν, ἢ ὑπόσχεσιν ἔσχε. καὶ τοῦ τοιούτου ὅρκου παρεχομένου, αὐτὸς μὲν ἐλεύθερος ἔστω, ὁ δὲ διάδικος ὁ μὴ δυνηθεὶς δεῖξαι, ἐπὶ μὲν ταῖς χρηματικαῖς αἰτίαις, τὴν ἀποτίμησιν τῆς δίκης ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς περιουσίας εἰσπραττέσθω, † δηλονότι τὴν ἰδίαν ἔκβασιν ἀναμενούσης. ἐπὶ δὲ ταῖς ἐγκληματικαῖς, δήμευσιν τῶν οἰκείων πραγμάτων ὑπομενέτω, καὶ τὸ πρᾶγμα παρὰ τοῖς ἁρμοδίοις δικασταῖς, κατὰ τὴν τῶν νόμων τάξιν περαιούσθω.

† τῆς δίκης δηλον.

Ἀνάγνωθι καὶ τίτλ. ε. τοῦ τινος ἐν τῷ γ. κεφαλ.

Οὐ δοκεῖ λανθάνειν, ὃς εἰ καὶ παρῆν, οὐκ ἠναγκάζετο εἰσάγεσθαι.

δ.

περὶ ὑπεξουσίων.

Πρὸς τοὺς ὑπεξουσίους ἡμῶν, οὐ δυνάμεθα δικάζεσθαι, εἰ μὴ ἐπὶ τῷ ἰδιοκτήτῳ πεκουλίῳ.

ε.

Ὁ καλούμενος εἰς δικαστήριον, λέγων ἕτερον ἔχειν φόρον, ὀφείλει ἀπιέναι πρὸς καλοῦντα, ἵνα τὰ περὶ τούτου παρ' αὐτῷ γνωσθῇ, καὶ μὴ καταφρονείτω αὐτοῦ.

ζ.

Ὁ κληθεὶς εἰς δικαστήριον καὶ μετὰ ταῦτα στρατευσάμενος, ἢ ἄλλου φόρου γεγονώς, οὐ δύναται περὶ τῆς αὐτῆς δίκης ἐπικαλεῖσθαι τὸν ἴδιον φόρον.

κα.

περὶ τετραμήνου.

Ὁ μέλλων ἐνάγεσθαι, καλῶς ἐπιζητεῖ ἐνδοθῆναι αὐτῷ, ἀξιοπίστως ἀσφαλιζομένῳ, ὅτι μετὰ τετράμηνον δίδωσιν.

κβ.

Ὁ μὴ ἀναγκαζόμενος ἔν τινι τόπῳ ἐνάγεσθαι, ἐὰν ἐκεῖνος † ἐνάγῃ, ἀναγκάζεται παρὰ τῷ αὐτῷ δικαστῇ ἐνάγεσθαι.

† ἐὰν ἐνάγῃ.

λα.

Ὁ ἐκκαλεσάμενος ἐνάγων ἐστί.

καὶ.

Ὅτι ἔνθα ἡ προκάταρξις, ἐκεῖ καὶ τὸ πέρας.

λδ.

Καὶ πρὸ τῆς ἐνοχῆς τοῦ ἐναγομένου, δίδοται ἐγγυητής, καὶ ἤρτηται ἡ ἐνοχὴ αὐτοῦ: δικαστήριον δὲ περὶ μελλούσης ἀγωγῆς οὐ συνίσταται.

μη.

Ὁ πράτης καλούμενος εἰς τὸ διεκδικῆσαι τὸν ἀγοραστὴν ἐκνικώμενον τοῦ πράγματος, οὐ δύναται τὸν ἴδιον ἐπικαλεῖσθαι φόρον.

ογ.

Ὁ προπετῶς εἰς δίκην τινὰ καλῶν, καὶ τὰ τῆς ὁδοῦ, καὶ τὰ τῆς δίκης δίδωσιν αὐτῷ δαπανήματα.

πζ.

Καὶ ὅτι περὶ τύχης ἐστὶν ἡ δίκη, χώρα τῷ κανόνι τῷ λέγοντι, ὁ ἐνάγων τὸν τοῦ ἐναγομένου φόρον μεταδιώκει: κἀκεῖ τέμνεται τὸ δικαστήριον, ἔνθα διάγει ἡ δουλαγωγουμένη, κἂν τὰ μάλιστα συγκλητικός ἐστιν ὁ ἐνάγων.

sona, quae donum uel promissionem acceptasse dicitur, se neque per seipsam, neque per aliam personam quid cepisse, uel promissionẽ habuisse. quo iureiurando praestito, ipse quidem liber esto, uerum a litigatore, qui probare non potuerit, in caussis pecuniarijs aestimatio litis a comite priuati patrimonij [principis] exigitor, lite nihilo minus euentũ suum praestolatura: in criminalibus autem, facultatũ idem suarum publicationẽ sustineto, lisque nihilo secius apud iudices competentes iuxta legum ordinem terminator.

Huc etiam refer e tit. V. cap. III. in quo dicitur:

Latitare non uidetur, qui etiam si adesset, iudicium suscipere non compelleretur. l. 3. D. de iudic.

IIII.

Cum ijs, quos nostra in potestate habemus, lis nulla nobis esse potest, nisi ex castrensi peculio. De filijsfamilias.

V.

In ius uocatus, qui aliud se forum habere dicit, uocantem adire debet, ut eius rationes apud ipsum cognoscantur, nec eum contemnat.

VII.

In ius uocatus, si secundum ea miles, uel alterius esse fori ceperit; eãdem caussam ad forum suum reuocare non potest.

XXI.

Qui conueniendus est, recte petit dari sibi diem, idonee cauenti, quod post quatuor menses soluturus sit. De quatuor mensium spatio.

XXII.

Qui non cogitur in aliquo loco iudicium pati, si ipse ibi agat; pati cogitur, ut apud eumdem iudicem conueniatur.

XXXI.

Qui appellat, actor est.

Item,

Vbi fit cõtestatio litis, ibidẽ & finis esse debet.

XXXIIII.

Etiam ante obligationẽ rei, fideiussor datur, & in pendenti est eius obligatio: sed iudicium de actione futura nequit existere.

XLVIII.

Venditor denuntiatus, ut emtorem in euictione rei defenderet; litem ad forum suum reuocare non potest.

LXXIII.

Qui temere quem in ius uocat, tam uiatica, quam litis sumtus ei reddit.

LXXXVII.

Etiã quũ de statu quaestio est, locũ habet regula, quae tradit; actorẽ rei forũ sequi debere. Ideoque caussa deciditur istic, ubi quae ancilla dicitur, consistit; quamuis actor senatoria sit dignitatis. l. 3. C. ubi causs. stat.

XC.

De senatoribus. l.2.C.ubi Senat. uel clar.

Senatores in pecuniarijs caussis, Constantinopoli uel in suburbanis degentes, tantum apud præfectum prætorio, uel præfectum urbi, uel gloriosissimum magistrum [officiorum], interueniente sacra iussione, conueniuntur. Sin agāt in prouincijs, uel ubi consistunt, uel ubi maiorem bonorum partem possident, respondeant.

XCI.

*Si quis patricius, uel expatricius, uel exprafectus prætorio, uel exprafectus urbi, uel consularis in actu * constitutus, uel dignitate tantum honoratus, uel qui magister militum, uel magister sacrorum officiorum fuit, uel sacri palatij quæstor, uel [cubiculo] præpositus, uel qui scholæ domesticorum præfuit, uel comitis largitionum functus est officio, uel comitis rerū priuatarum augusti uel augustæ, ciuiliter aut criminaliter accusetur, dum in urbe imperatrice commoratur, apud principem tantum conuenitur; aut iussu principis, apud iudicē a principe cōstitutū. Nec ante delicti probationem, qui criminaliter accusatus erit, iniurijs afficitor; & in aliqua secretarij parte sedeat, ut indice quidem inferior, litigantibus uero superior esse uideatur.*

* aut, ordinarius.

Legito & tit. VI. cap. II. in quo dicitur:

L. apertissimi. C. de iudic. & l. 4. de iurisd. om. iud.

Potest iuste recusari index, ante litis contestationem. sin abśq. ratione quis, & iniuste recuset, hoc est, post contestationem litis, repelletur.

VII.

L.1.C. de sportul.

Qui exhibitus fuerit, usque ad caussæ terminum sub eodem apparitore sit, cui primo traditus fuit.

Item tit. VII. cap. IIII.

De ius dicenti non obtemperantibus. L.un. §.3. si quis ius dicen.

Non tantum reus, qui ius dicenti non obtemperauit, uerumetiam petitor edicto tenetur: & pœna non in id, quod interest; sed in uerā quantitatem rei competit. Actio uero nec post annum, nec heredibus datur. quippe tantum pœnalis est.

*De ius dicenti non obtemperātibus legito & lib. X. tit. III. cap. LIII. & lib. XV. tit. I. cap. LXVIII. & * tit. III. ubi dicitur:*

* tit. III. cap. III.

L.3. §.2. D. ad exhib.

Reus contumax per in litem iusiurandum damnatur, cum taxatione.

SCHOLION.

Lege itidem nouellam LIII. in qua dicitur de litis contestatione, deque uiginti diebus, & iuramento quod litigantes præstant. Item nouel. LXIX. quæ agit de prouincialibus. Et nouel. LXXI. dicit, pecuniarias caussas agi debere per procuratorem a uiris clarissimis, usq; ad illustres.

ϟ.

Οἱ συγκλητικοὶ ἐν ταῖς χρηματικαῖς ὑποθέσεσιν· ἐν μὲν κωνσταντινουπόλει ὄντες, ἢ ἐν τοῖς προαστείοις, παρὰ μόνῳ τῷ ἐπάρχῳ τῶν πραιτωρίων καὶ τῷ τῆς πόλεως ἐπάρχῳ, καὶ τῷ ἐνδοξοτάτῳ μαγίστρῳ, κατὰ θείαν κέλευσιν ἐνάγονται. εἰ δὲ ἐν ταῖς ἐπαρχίαις εἰσὶν, ἐναγέσθωσαν ἢ ὅπου διάγουσιν, ἢ ὅπου τὸ μεῖζον μέρος ἔχουσι τῆς ἰδίας οὐσίας. περὶ συγκλητικῶν.

ϟα.

Ἐάν τις πατρίκιος ὢν ἢ ἀποπατρικίων, ἢ ἀπὸ ἐπάρχων πραιτωρίων ἢ ἀπὸ ἐπάρχων πόλεως, ἢ ὑπατικὸς † ἔμπρακτος, ἢ στρατηλάτης, ἢ μαγίστρος τῶν θείων ὀφφικίων γεγονὼς, ἢ κοιαίστωρ τοῦ θείου παλατίου, ἢ πραιπόσιτος, ἢ ἄρξας τῶν δομεστίκων σχολῆς, ἢ κόμης παροχῶν, ἢ κόμης τῶν ἰδικῶν † γενόμενος μέρους δεσπότου ἢ δεσποίνης· χρηματικῶς ἢ ἐγκληματικῶς ἐνάγηται, διάγων ἐν τῇ βασιλίδι πόλει, παρὰ μόνῳ βασιλεῖ ἐναγέσθω· ἢ κατὰ κέλευσιν βασιλέως παρὰ τῷ ἀφοριζομένῳ δικαστῇ. καὶ μήτε πρὸ ἀποδείξεως τοῦ ἁμαρτήματος ὁ κατηγορούμενος ἐγκληματικῶς, ὑβριζέσθω· ἀλλὰ καὶ καθεζέσθω ἐν τινι μέρει τοῦ δικαστηρίου, ὥς τι τοῦ μὲν δικάζοντος εἶναι αὐτὸν κατώτερον, τῶν δὲ δικαζομένων ἀνώτερον εἶναι δοκεῖν.

† ὑπατεύσας, ὁ μόνον τῇ ἀξίᾳ τετιμημένος, ὁ τρατελ.

† γενόμενος δεσπότου.

Ἀνάγνωθι καὶ τίτλον ϛ. οὗ τινος ἐν τῷ β. κεφαλαίῳ φησίν.

Περὶ τοῦ δύνασθαι παραιτεῖσθαι τὸν δικαστὴν εὐλόγως πρὸ τῆς προκατάρξεως· εἰ δὲ ἀλόγως, τουτέστι μετὰ προκάταρξιν, ὠθηθήσεται.

ζ.

Ὁ παραστάσιμος γενόμενος, ὑπὸ τὸν αὐτὸν πραξεύτην πραττέσθω, ᾧ τινι πρότερον παρεδόθη, μέχρι πέρατος τῆς ὑποθέσεως.

Ἀνάγνωθι καὶ τίτλον ζ. οὗ τινος ἐν τῷ δ. κεφαλαίῳ φησίν.

Οὐ μόνος ὁ ἐναγόμενος, ἀλλὰ καὶ ὁ ἐνάγων ὑπόκειται, μὴ πειθαρχήσας. καὶ ἡ ποινὴ, οὐκ εἰς τὸ διαφέρον, ἀλλ' εἰς τὸ ἀληθὲς ποσὸν ἁρμόζει. ἡ δὲ ἀγωγὴ, οὔτε μετ' ἐνιαυτὸν, οὔτε κληρονόμοις δίδοται. μόνον γάρ ἐστι ποιναλία. περὶ τῶν μὴ πειθαρχούντων.

Ἀνάγνωθι περὶ τῶν μὴ πειθαρχούντων, καὶ βιβ. θ. τίτλ. γ. κεφ. νγ. καὶ βιβ. ιε. τίτ. α. κεφ. ξη. καὶ † τίτ. γ. ἐν ᾧ φησιν. † τίτλου δ. κεφ. γ.

Ὁ μὴ πειθαρχῶν ἐναγόμενος, ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ μετὰ προθεσμίας.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν νγ. ἐν ᾗ φησὶ καὶ περὶ προκατάρξεως τῆς δίκης, καὶ περὶ τῶν κ. ἡμερῶν. καὶ τοῦ ὅρκου ὃν ὑπέχουσιν οἱ δικαζόμενοι. καὶ νεαρὰν ξθ. ἐν ᾗ φησὶ περὶ ἐπαρχιωτῶν. καὶ νεαρὰν οα. φησὶ γὰρ ὅτι τὰς χρηματικὰς δίκας διὰ ἐντολέως κινεῖσθαι τοὺς λαμπροτάτους ἄχρι τῶν ἰλλουστρίων.

καὶ νεαρ

καὶ νεαρὰν πγ. ἐν ᾗ φησὶ περὶ κληρικῶν. καὶ πς. ὅτι εἴ τις ὑπερτιθέμενος τὸν ἄρχοντα ἀκούειν τὰς προσελεύσεις δικαζόμενος συναλλάσσεσθαι παρὰ τῶν ἐπισκόπων τοῦτο πράττειν. ἀλλὰ δὴ ὅταν τις ἐν ὑποψίᾳ ἔχει τὸν ἄρχοντα συνακροατὴν δὲ δίκης λαβεῖν τὸν ἐπίσκοπον. καὶ τῷ προσιέναι τὸν ἐπηρεαζόμενον τῷ ἐπισκόπῳ. καὶ νεαρὰν ϟς. ἐν ᾗ φησὶ περὶ ἀντικαλούντων καὶ ἀντικαλουμένων. καὶ νεαρὰν ριβ. φησὶ γὰρ περὶ δικαζομένων, καὶ δὲ διδομένης παρ' αὐτῶν ἀσφαλείας καὶ νεαρὰν ρκδ.

ΠΕΡΙ ΕΚΒΙΒΑΣΤΩΝ ΤΩΝ ἀποστελλομένων ἐπὶ τὸ ἀπαιτεῖν δημόσιον πρᾶγμα, καὶ περὶ τῶν διδομένων αὐτοῖς συνηθειῶν.

Τίτλ. δ. κεφάλαιον ς. θέμ. δ.

Καὶ τοῦτο δὲ κελεύομεν παρὰ πάντων τῶν δικαστῶν τῶν μὲν στρατιωτικῶν, τῶν δὲ πολιτικῶν, ἐν παντὶ τόπῳ τῆς ἡμετέρας πολιτείας παραφυλάττεσθαι, ἵνα μήτε τοῖς μαγιστριανοῖς, μήτε τοῖς ἐπαρχικοῖς, μήτε † ἄλλῳ οἱῳδήποτε ἐκβιβαστῇ συγχωρῶσι πλέον τι παρ' οἱουδήποτε προσώπου συνηθειῶν ὀνόματι λαμβάνειν, τῶν τοῖς ἡμετέροις * διηγορευμένων νόμοις. οὐδὲ εἰ θείαν τοῦ ἡμετέρου κράτους προφέροιεν κέλευσιν.

† ἄλλ.

*ΣΧΟΛΙΟΝ.

Ἐν γὰρ τῷ α. τίτλῳ τοῦ ζ. βιβλίου θεμ. ε. τοῦ ς. κεφ. φησὶ περὶ τῶν ἐνταῦθα ἐπισημαινομένων συνηθειῶν. διαλαμβάνει γὰρ τὸ λαμβάνειν τοὺς δικαστὰς ἐν τῇ προκατάρξει ἀνὰ δύο χρυσοῦς παρ' ἑκατέρου μέρους: ἀνὰ β. δὲ ἐν τῷ πέρατι ἐπὶ τῶν ὑπερβαινουσῶν τὰ ρ. ΝΝ. δικῶν. ἐν δὲ μέχρι τῶν ρ. ΝΝ. ἐπὶ μηδὲν αὐτοὺς λαμβάνειν.

Ἀλλ' εἴ τινα εὕροιεν πλέον τι ἀπαιτοῦντα, ἄδειαν ἐχέτωσαν καὶ συνέχειν καὶ ἐγκλείειν τοῦτον, καὶ τετραπλάσιον ἀπαιτεῖν, ὅπερ πλέον λάβοι, ἵνα τὸ μὲν ἁπλοῦν τῷ τὴν ζημίαν ὑπομείναντι ἀποδίδωται, τὸ δὲ τριπλοῦν, τῷ δημοσίῳ εἰσφέρηται.

Ἀνάγνωθι καὶ τίτλον ς. κεφάλαιον ιθ. καὶ βιβλίον θ. τίτλον α. κεφάλ. δ. ἐν ᾧ φησίν.

Κατὰ τῆς ψήφου τοῦ † δικαστοῦ οὐκ ἔξεστιν ἐκκαλεῖσθαι, εἰ μὴ ἄρα παρερμηνεύσῃ τὴν ψῆφον. εἴγε δίκαιον εἶχε τοῦ ἑρμηνεύειν, οἷον ἄρχων ἢ φροντιστὴς τοῦ βασιλέως. Καὶ οὐδὲν ἕτερον ἐν τῇ ἐκκλήτῳ σκοπεῖται, πλὴν εἰ μὴ ἄρα παρερμηνεύθησαν.

† ἐκβιβαστοῦ.

Ἀνάγνωθι καὶ τίτλον γ. κεφάλαιον πε. ἐν ᾧ φησίν.

Ἐκβιβαστής ἐστιν ὁ μετὰ τὴν ἀπόφασιν παρεχόμενος ἐπὶ τῷ ἐκβιβάσαι τὰ ἀποφανθέντα.

τίς ἐστιν ἐκβιβαστής.

Ἀνάγνωθι καὶ βιβλίον ιζ. τίτλον α. κεφάλαιον γ. θεμ. ε. Ἀνάγνωθι καὶ βιβλίον νς. τίτλον ιζ. ἀπὸ τοῦ νβ. κεφαλαίου ἕως τέλους. ἐν δὲ τῷ νγ. κεφαλαίῳ.

Μήτε μαγιστριανὸς, μήτε παλατῖνος, ἤ τις ἄλλος τῶν ἐκ τῆς πράξεως τῶν ἰλλουστρίων ἀρχόντων,

Adiunge nouel. LXXXIII. quæ de clericis tractat. Et nouel. LXXXVI quæ præcipit, ut iudices, qui allegata interpellãtium audire differunt, ab episcopis id facere compellantur. Quinetiam ut quum iudicem quis suspectum habet, in cognitionem litis episcopum adhibeat. Item, ut iniurijs adfecti episcopum adeant. Legito & nouel. XCVI. ubi de ijs dicitur, qui conueniuntur & reconueniuntur. Et nouel. CXII. quæ tractat de litigantibus, deque cautione ab ipsis præstanda. Et nouel. CXXIIII.

DE EXSEQVVTORIBVS, QVI mittuntur ad persequendas res fiscales: deque * consuetudinibus, quæ ijs dantur.

* sportulis.

Tit. IIII. cap. VI. them. IIII.

*Hoc quoque seruari ab omnibus iudicibus, tam militaribus, quam ciuilibus, in omni nostræ reipublicæ loco iubemus, ut neque magisterianis, neq. præfectianis, nec alij cuiquam exsequutori permittant amplius aliquid a quacũq. persona nomine consuetudinũ, legibus * nostris sancitarum, accipere: ne si diuinam quidem maiestatis nostræ iussionem proferant.* Nouel. 124. ca. 3.

* SCHOLION.

Nam in huius libri VII. titulo I. cap. VI. them. V. loquitur de his ipsis cõsuetudinibus, quas heic denotat & significat. Quippe statuit, ut pedanei iudices in occeptione litis binos aureos ab utraque parte accipiant, itidemque binos in fine litis: ijs quidem in caussis, quæ centum aureos excedunt. sin aureorum centum dumtaxat numerum attingant, nihil accipiant. Nouel. 82. ca. 9.

Sed si quem plus petentem inuenerint, eius & prehendendi, & in carcerem mittendi potestatem habeant, & quadruplum illius exigendi, quod amplius acceptum est: ut simplum reddatur ei, qui damnum perpessus est, triplum fisco inferatur.

Coniunge tit. VI. cap. XIX. & lib. IX. tit. I. cap. IIII. in quo dicitur:

Ab exsequutoris sententia non licet appellare, nisi male sententiam interpretetur: si quidem interpretandi ius habuit. ueluti prouinciæ præses, aut procurator Cæsaris. Nec aliud quid in appellatione consideratur, quam num male sit interpretatum. l. 4. D. de appell. & rel.

Lege ibidem & tit. III. cap. LXXXV. in quo dicitur:

Exsequutor est, qui post sententiam adhibetur, ut quæ iudicata sunt exsequatur. Quis sit exsequutor. l. 8. C. de exseq. rei iud.

Lege & lib. XVII. tit. I. cap. III. them. V. Et lib. LVI. tit. XVII. a LII. cap. usque ad finem. cap. autem LIII. dicitur:

Nec magisterianus, nec palatinus, nec alius quisquam apparitor illustrium magistratuum, l. 2. C. de exseq. & exact.

titulorum exigendorum nomine commeās, uel mandatum adferens, & illud ipsum exsequens, extra limites specialiter sibi praescriptos agat: nec quae alij mandata sunt, alius facere praesumat.

Et cap. LIIII.

Tam praefectiani, quam palatini, & omnes apparitores alij, qui ad exsequutionem mittuntur, ad iudicem suum intra spatium anni sese conferant, eiq. declarent, quid exactum fuerit, quid sit in residuis, & penes quos superet.

DE IN REM ACTIONE.

Tit. V. cap. LXXXI.

l.1.C. ubi in rem act. *In rem actio non contra uenditorem alienae rei competit, sed contra emtorem, qui rem possidet. Emtor uero conuentus non recte petit a domino rei, ut aduersus uenditorem in rem agat: quum ipse possessor sit, non uenditor.*

LXXXII.

Tam in personalibus, quam in rem actionibus, ea regula seruatur, quae actorem uult rei forum sequi. Ipsa quidem in rem actio moueri potest etiam ubi res constituta sunt.

LXXXIIII.

l.1.C. ubi de ratioc. *In eum, qui de administratione conuenitur, ijs in locis agitur, ubi res ipsas administrauit.*

SCHOLION.

Aliena re uendita, non contra uenditorem mouetur in rem actio, siue rei uindicatio: sed contra rei possessorem. & frustra reus petit, ut actor in rem actione uenditorem conueniat, quum ipse rem possideat. Sed oportet reum denuntiare uenditori, ut euictionis periculum pro ipso subeat. Quapropter quum in eadem prouincia constituti sint tam is, qui rem uindicat, quam qui emit: absurdum fuerit ideo, quod in alia prouincia sit uenditor, iudicium differri.

DE IVDICIIS PVBLICIS ET criminalibus. tum quaenam sint capitalia, quae non capitalia, quae famosa.

Tit. VI. cap. III.

l. properandum. 13. C. de iudic. *Caussae criminales biennio finiuntor. In pecuniarijs uero, cuiuscumque fuerint quantitatis, a quacumque persona, in quacumque caussa, (excepta dumtaxat caussa fisci, publicarumque functionum) solo triennio lites ab omnibus iudicibus, quicumque fuerint, deciduntor.*

Huc refer e lib. LX. tit. XXXIII. cap. I. cuius uerba sunt:

l.1.D. de publ. iud. *Non omnia criminalia iudicia publica sunt, sed ea tantum, quae ex legibus publicis*

εἰς ἀπαίτησιν τίτλων καταλθὼν, ἢ πρόσταγμα ἐπιφερόμενος, καὶ τοῦτο ἐκβιβάζων, † περάτων † ἐκτὸς περάτων. ἰδικῶς ἐνταλθέντων αὐτῷ, ποιείτω· μήτι μὴν τὰ ἄλλῳ ἐνταλθέντα, ἀλλος ἐγχειρείτω.

Ἐν δὲ τῷ νδ. κεφαλαίῳ.

Καὶ οἱ ἐπαρχικοὶ, καὶ οἱ παλατῖνοι, καὶ οἱ οἱοιδήποτε ταξεῶται, εἰς ἐκβιβασμὸν ἀποστελλόμενοι, ἔσω ἐνιαυτοῦ πρὸς τὸν ἴδιον ἐπανερχέσθωσαν ἄρχοντα, καὶ λεγέτωσαν αὐτῷ, τί μὲν ἀπῄτηται, τί δὲ ἐν λοιπάσιν ἐστὶ, καὶ παρὰ τίσι λοιπάζεται.

ΠΕΡῚ ἈΓΩΓΗ͂Σ ΤΗ͂Σ ΤᾺ ἴδια ἐκδικούσης.

Τίτλος ε. κεφάλ. πα.

Ὅτι ἡ τὰ ἴδια ἐκδικοῦσα ἀγωγὴ, οὐ κινεῖται κατὰ τοῦ τὸ ἀλλότριον πεπρακότος· ἀλλὰ κατὰ τοῦ ἀγοραστοῦ νεμομένου τὸ πρᾶγμα. ἐναγόμενος δὲ ὁ ἀγοραστὴς, † οὐκ ἄλλως ἀπαιτεῖ τὸν δεσπότην τοῦ πράγματος κινῆσαι κατὰ τοῦ πράτου τὴν τὰ ἴδια ἐκδικοῦσαν ἀγωγήν· αὐτὸς γάρ ἐστιν ὁ νεμόμενος, οὐχ ὁ πράτης. † ὀρθῶς.

πβ.

Ἐν ταῖς τὰ ἴδια ἐκδικούσαις ἀγωγαῖς, καὶ ἐν ταῖς προσωπικαῖς, φυλάττεται ὁ κανὼν ὁ βουλόμενος τὸν ἐνάγοντα ἀκολουθεῖν τῷ φόρῳ τοῦ ἐναγομένου. ἡ μέντοι τὰ ἴδια ἐκδικοῦσα ἀγωγὴ, καὶ ὅπου τὰ πράγματα διάκεινται, δύναται κινηθῆναι.

πδ.

Πᾶς ἀπὸ διοικήσεως ἐναγόμενος, ἐν οἷς διῴκησε τόποις ἐνάγεται.

ΣΧΟΛΙΟΝ.

Ἀλλοτρίου πράγματος πραθέντος οὐ κατὰ τοῦ πεπρακότος κινεῖται ὁ ἰν ῥέμ, ἤτοι ὁ περὶ ἐκδικήσεως ἀγωγὴ, ἀλλὰ κατὰ τοῦ νεμομένου τὸ πρᾶγμα. καὶ μάτην ὁ ἐναγόμενος ἀπαιτεῖ τὸν ἐνάγοντα κατὰ τὸν πεπρακότα αὐτὸν κινῆσαι τὴν ἰν ῥέμ, αὐτὸς τὸ πρᾶγμα νεμόμενος. ἀλλὰ δεῖ τὸν ἐναγόμενον παραγγέλλειν τῷ πεπρακότι, ὡς αὐτὸν κινδυνεύσοντα διὰ τὴν ἐκνίκησιν. ἐν μιᾷ τοίνυν ἐπαρχίᾳ διαγόντων, καὶ τοῦ ἐκδικοῦντος τὸ πρᾶγμα, καὶ τοῦ ἀγοράσαντος· ἄτοπόν ἐστι διὰ τὸ εἶναι ἐν ἄλλῃ ἐπαρχίᾳ τὸν πεπρακότα, ὑπερτίθεσθαι τὸ δικαστήριον.

ΠΕΡῚ ΔΙΚΑΣΤΗΡΊΩΝ ΔΗΜΟσίων τε καὶ ἐγκληματικῶν. καὶ ποῖα μὲν εἰσὶ κεφαλικὰ, ποῖα δὲ οὐ κεφαλικὰ, καὶ ποῖα ἀτιμωτικά.

Τίτλος ς. κεφάλαιον γ.

Διὰ † διετίας, τὰ ἐγκληματικὰ περατούσθωσαν δικαστήρια. ἐπὶ δὲ τῶν χρηματικῶν ὅσης ἂν ποσότητος, ἐξ οἱουδήποτε προσώπου, ἐφ' οἱασδήποτε αἰτίας (ὑπεξῃρημένης μόνον τῆς δημοσίου ἢ τῶν δημοσίων λειτουργιῶν) μόνη τριετία, τὰ τῆς καταδίκης τιμνέσθω ἐπὶ παντὸς οἱουδήποτε δικαστοῦ. † διετίας.

Ἀνάγνωθι βιβλίον ξ. τίτλον λγ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Οὐ πάντα τὰ ἐγκληματικὰ δικαστήρια δημόσιά εἰσιν, ἀλλὰ μόνα τὰ ἀπὸ νόμων δημοσίων κατα-

κατηγόρια, ὡς τὸ περὶ καθοσιώσεως, τὸ περὶ μοιχείας, τὸ περὶ ἀνδροφόνων καὶ φαρμακῶν, τὸ περὶ πατροκτόνων, τὸ περὶ κλοπῆς ἱερῶν καὶ δημοσίων, τὸ περὶ πλαστογραφίας, τὸ περὶ ἀρχόντων ἢ δικαστῶν, ἢ καὶ συνέδρων ἐν δίκῃ κεκλοφότων τὸ περὶ ἀννώνας.

β.

Τῶν ἐγκληματικῶν δικαστηρίων, τὰ μὲν κεφαλικὰ, ὡς τὰ θάνατον ἐπιφέροντα, ἢ περιορισμὸν, δι' ὧν ἡ κεφαλὴ ἀπὸ τῆς πολιτείας ἐξαιρεῖται. τὰ γὰρ ἄλλα, οὐ περιορισμοὶ, ἀλλ' ἐξορίαι κυρίως λέγονται. τὰ δὲ, οὐ κεφαλικὰ, ὡς τὰ ἔχοντα χρηματικὴν ποινὴν, ἢ σωματικὸν σωφρονισμόν.

ιζ.

Ἐν τοῖς ἐγκληματικοῖς δικαστηρίοις, οὔτε κατηγορεῖν, οὔτε κατηγορεῖσθαι διὰ ἐντολέως δυνατόν.

ΠΕΡΙ ΔΟΥΛΩΝ.

Τοῦ αὐτοῦ τίτλου κεφ. ϛ.

ἢ ὅρον τ. δουλείας εὑρήσεις ἐν τῷ περὶ ἀνθρώπων.

Ὁ οἰκέτης μὴ δικαζέσθω, μηδὲ ἐῤῥώσθω κατ' αὐτοῦ δίκη.

Καὶ τίτλον ις. κεφάλαιον ιγ. ἐν ᾧ φησίν.

Δοῦλος εἴτε ἐπερωτήσει, εἴτε ἐπερωτηθῇ παράστασιν, ἐπὶ τῷ αὐτὸν δικάσασθαι, οὐ βεβαιοῦται, οὔτε οἱ ἐγγυηταὶ ἐνέχονται. δοῦλος γὰρ οὔτε ἐνάγει, οὔτε ἐνάγεται.

Ἀνάγνωθι καὶ βιβλίον η. τίτλον β. κεφάλαιον ϛγ. ἐν ᾧ φησίν.

Δοῦλος διοικῶν τὰ τοῦ δεσπότου πράγματα, οὐδὲ κινητὸν, οὐδὲ ἀκίνητον πρᾶγμα τὸ τοῦ δεσπότου δύναται περιουσίας ἐκποιεῖν παρὰ γνώμην τοῦ δεσπότου. εἰ δὲ εἰς πρᾶγμα τοῦ δεσπότου τὸ τίμημα παρεχώρησεν, ἀποκαθίσταται τὸ τίμημα τῷ ἀγοραστῇ.

Ἀνάγνωθι καὶ βιβλίον ια. τίτλον α. κεφάλαιον με. καὶ κεφάλαιον νβ. ἐν ᾧ φησίν.

Ὁ δοῦλος τοῦ δανειστοῦ, βελτίονα τὴν τύχην τοῦ δεσπότου ποιῆσαι δύναται. εἰς τὸ χεῖρον δὲ μεταμορφῶσαι διὰ καινοῦ συμφώνου οὐ δύναται τὴν ἐνοχὴν τὴν ὀρθῶς συνεστῶσαν.

Ἀνάγνωθι καὶ βιβλίον ιη. τίτλον β. κεφάλαιον ιε. ἐν ᾧ φησίν.

Ὁ οἰκέτης ἔχων ἐλευθερίαν πεκουλίου διοικήσιν, δύναται πωλῆσαι πρᾶγμα τοῦ πεκουλίου. οὐκ ἔτι δὲ καὶ ὁ μὴ ἔχων. ἀλλ' οὐδὲ δικαίαν ἀρχὴν νομῆς ποιεῖ τῷ ἐν δημοσίῳ ἀγοράσαντι. εἰ δὲ κινητὸν ἦν τὸ πρᾶγμα, καὶ ἡ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴ ἁρμόζει κατὰ τοῦ ἀγοραστοῦ.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον ε. κεφάλαιον ξζ. ἐν ᾧ φησίν.

περὶ τ. ἀγορασθέντος ἀπὸ τῶν ἰδίων χρημάτων καὶ ἐλευθερωθέντος.

Ὁ ἰδίοις ἀργυρίοις ἀγορασθεὶς, ἐξότε ἠγοράσθη, δοκεῖ ἐλευθερωθῆναι· καὶ ἀναγκάζεται ὁ ἀγοράσας ἐλευθερῶσαι. εἰ δὲ λανθάνει, γίνεται τὰ ἐπὶ τῇ φιδεικομισσαρίᾳ ἐλευθερίᾳ νενομοθετημένα.

ueniunt, ut maiestatis, adulterij, hominis occisi & ueneno necati, parricidij, furti sacrorum & publicorum, falsi, magistratuum uel iudicum uel adsessorum in lite subripientium, annonæ.

II.

Iudiciorum criminalium quædam capitalia sunt, ueluti quæ mortem inferunt, aut exsilium. per quæ scilicet caput eximitur de ciuitate. nam cetera, non exsilia, sed relegationes propriæ dicuntur. Quædã uero non capitalia sunt, ueluti quæ pecuniariam pœnam, uel corporalem castigationem habent.

XVII.

In criminalibus iudicijs nec accusare per procuratorem, nec accusari quisquam potest. l.penult.cod.

DE SERVIS.

Eiusd. tit. cap. VI.

Seruus ne litiget, nec facta in eum condemnatio subsistat. Definitionem seruitutis inuenies in tit. de hominib. l.6.C.de iudic.

Item tit. XVI. cap. XIII. dicitur:

Seruus siue stipuletur, siue promittat iudicio sisti, ut ipse litiget; non subsistit, nec fideiussores tenentur. quia seruus nec conuenire, nec conueniri potest. l.13.D.si quis caut. in iud.

Legito & lib. VIII. tit. II. cap. XCIII. in quo dicitur:

Seruus, qui domini res administrat, nec rem mobilem, nec immobilem, quæ est in bonis domini, alienare potest citra domini uoluntatem. Si uero in rem domini pretium processit, emtori pretium restituitur. l.19.C.de procur.

Item lib. XI. tit. I. cap. XLV. & cap. LII. dicitur:

Seruus creditoris, meliorem condicionem domini facere potest; uerum obligationem recte contractam nouo pacto in deterius transformare non potest.

Item lib. XVIII. tit. II. cap. XV.

Seruus, qui administrationem peculij liberam habet, rem peculij uendere potest. Secus in eo, qui non habet. quippe is ne iustum quidem possessionis initium adfert ei, qui in publico emit. Quod si res mobilis erat, etiam furti in duplum actio aduersus emtorem competit. l.10.C.quod cũ eo, qui in alien.

Adde huius VII. libri tit. V. cap. LXVII. in quo dicitur:

*Qui suis numis redemtus est, liber esse uidetur. ex quo fuit redemtus: & qui redemit eum, manumittere compellitur. Quod si latitet, fiũt ea, quæ in * fideicommissaria libertate senatus consulta statuerunt.* De eo, qui ex suo peculio redemtus, & libertatẽ consequutus est, l.67.D.de iudic.

***SCHOLION.**

Fideicommissum est legatum, quod prius creditur & committitur alterius fidei, uel quod tacita fide relinquitur.

Et lib. XIII. tit. II. cap. X. cuius uerba sunt:

l.1.§.elegantur. D.deposit. *Seruus tuus pecuniam apud me deposuit, ut eam tibi pro eiusdem libertate darem. quod si eam dando, te certiorem de ijs feci, quæ simul gesta sunt, non teneor. sin quasi meam dedi, actione depositi teneor. Nam qui quasi sua dat, reddere non uidetur.*

Et lib. XIIII. tit. I. cap. LIIII. & LXXXIIII. in quo dicitur:

l.un.C.si seruus se emi mand. *Si seruus alicui se mandauerit emendum a domino, & emancipandum, stricta quidem ratione dominus actionem non habet: uerũ quia propter mandatum alius contractus emtionis nascitur, iccirco emtor domino soluens pretium ex serui peculio, ab emti actione non liberatur, quum seruus de suo soluerit. Sed in arbitrio domini est, utrumne mancipium recipere uelit, an pretium petere.*

Et lib. XVIII. tit. VII. cap. II. dicitur:

l.5.D.de in rem uerso. * in alijs legitur, eo peculio *Cum eo qui acceptis a seruo numis, emancipauit eum; de in * rem uerso non potest agi. non enim locupletior factus est. nisi ultra serui pretium datũ sit. nam in id de in rem uerso cõpetit.*

† al.XVII. Et lib. XIX. tit. † VII. cap. XIIII.

l.4.C.si ser. exp.uen. *Serui, qui dominum suum uendiderunt, capite plecti iubentur.*

Lege & lib. III. tit. I. cap. XXXIII. cuius hæc uerba sunt:

Nouel.123. cap.17. *Si seruus domino sciente, nec contradicente, lectus in clerum fuerit: eo ipso, quod allegitur, liber & ingenuus esto. Nam si domino ignorante fiat ordinatio, liceat domino dumtaxat intra unius anni spatium condicionem eius probare, suumq. mancipium recipere.*

Et lib. IIII. tit. I. cap. III. dicitur:

De seruo militante, uel clerico monacho ue facto. *Si seruus in monasterio triennium permanserit, ut monachus fiat, habitumq. sacrum sumserit: non potest amplius in seruitutem dominus eum retrahere, nisi forte qui semel uitam solitariam fuit amplexus, relinquere monasterium conatus fuerit, & habitum alterius uitæ sequi. Reperies antẽ hoc apertius in V nouella.*

Et lib. LVII. tit. I. cap. XLIII. & XLIIII. dicitur:

De his dictum est in titulo, de militibus. l.6 & 7.C.qui mil.poss. *Si seruus sciente domino militauerit, tam dominio serui, quam patronatus iure dominus excidit. Quod si etiam seruus ad dignitatem aliquam euectus fuerit, eadem proce-*

ΣΧΟΛΙΟΝ.

Φιδεϊκομμισσόν ἐστι ληγάτον ὃ πίστει ἑτέρου πρῶτον ἀνατίθεται, ἢ τὸ σιωπηρᾷ πίστει καταλιμπανόμενον λεγάτον.

Ἀνάγνωθι καὶ βιβλίον ιγ. τίτλον β. κεφάλαιον ι. ἐν ᾧ φησίν.

Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τῷ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν: εἰ μὲν διδοὺς ἐπίνησά σε τῶν παρακολουθησάντων ἐν εἰδήσει, οὐκ ἐνέχομαι. εἰ δὲ ὡς ἴδια δέδωκα, ὑπόκειμαι τῇ περὶ παρακαταθήκης ἀγωγῇ. ὁ γὰρ ὡς ἴδια διδοὺς, οὐκ ἀποδοῦναι δοκεῖ.

Ἀνάγνωθι καὶ βιβλίον ιδ. τίτλον α. κεφάλαιον νδ. καὶ κεφάλαιον πδ. ἐν ᾧ φησίν.

Τοῦ δούλου ἐντειλαμένου τινὶ ἀγοράσαι αὐτὸν παρὰ τοῦ δεσπότου καὶ ἐλευθερῶσαι, τῇ μὲν ἀκριβείᾳ, οὐκ ἔχει ὁ δεσπότης ἀγωγήν. πλὴν ἐπειδὴ διὰ τῆς ἐντολῆς ἄλλο συνάλλαγμα πράττεται τὸ τῆς ἀγορασίας. ὁ τοίνυν ἀγοραστὴς καταβαλὼν τῷ δεσπότῃ τὸ τίμημα ἐκ τοῦ πεκουλίου τοῦ οἰκέτου, οὐκ ἠλευθέρωται τῆς ἐπὶ τῇ ἀγορασίᾳ ἀγωγῆς. τὰ γὰρ ἴδια κατέβαλεν. ἀλλ᾽ ἐξουσίαν ἔχει ὁ δεσπότης, εἴτε βούλεται τὸ ἀνδράποδον ἀναλαβεῖν, εἴτε βούλεται τὸ τίμημα ἀπαιτῆσαι.

Ἀνάγνωθι καὶ βιβλ. ιη. τίτ. ζ. κεφ. β. ἐν ᾧ φησίν.

Ὁ λαβὼν ἐκ τοῦ δούλου ΝΝ. καὶ ἐλευθερώσας αὐτὸν, οὐκ ἐνάγεται τῇ περὶ τῶν δαπανηθέντων † ἀγωγῇ. οὐ γὰρ γέγονεν εὐπορώτερος. εἰ μὴ ἄρα πλέον τῆς τοῦ δούλου τιμῆς ἐδόθη. ἐπ᾽ αὐτὸ γὰρ ἁρμόζει τὸ δαπανηθέν. † χρήσιμον καί, τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ.

Ἀνάγνωθι καὶ βιβλ. ιθ. τίτ. ζ. κεφ. ιδ. ἐν ᾧ φησίν.

Τοὺς δούλους τοὺς τὸν ἴδιον διαπράσαντας δεσπότην, κεφαλικῶς τιμωρηθῆναι.

Ἀνάγνωθι καὶ βιβλ. γ. τίτ. α. κεφ. λγ. ἐν ᾧ φησίν.

περὶ δούλων στρατευομένων ἢ κληρικῶν ἢ μοναχῶν γινομένων. Ἐὰν δοῦλος εἰδότος καὶ οὐκ ἀντιλέγοντος τοῦ δεσπότου ἐν κλήρῳ καταλεγῇ, ἐξ αὐτοῦ τοῦ καταλεγῆναι ἐλεύθερος καὶ εὐγενὴς ἔστω. εἰ γὰρ ἀγνοοῦντος τοῦ δεσπότου ἡ χειροτονία γένηται, ἐξέστω τῷ δεσπότῃ εἴσω προθεσμίας ἐνιαυτοῦ καὶ μόνου τὴν τύχην ἀποδεικνύναι, καὶ τὸν ἴδιον δοῦλον ἀναλαμβάνειν.

Ἐν δὲ τῷ γ. κεφαλαίῳ τοῦ α. τίτλου τοῦ δ. βιβλίου φησίν.

Ὅτι μετὰ τὸ προσκαρτερῆσαι τὸν δοῦλον ἔν τινι μοναστηρίῳ ἐφ᾽ ᾧ γενέσθαι μοναχὸς ἐπὶ τριετίας, καὶ λαβεῖν τὸ ἅγιον σχῆμα, μηκέτι δύνασθαι τὸν δεσπότην αὐτοῦ πρὸς δουλείαν αὐτὸν ἕλκειν: εἰ μή τι γε πειραθείη ὁ ἅπαξ μονάσας, τὸ μοναστήριον καταλιπεῖν, καὶ ἑτέρου βίου σχῆμα μεταδιώκειν. εὑρήσεις δὲ τοῦτο σαφέστερον ἐν τῇ ε. νεαρᾷ.

Ἀνάγνωθι καὶ βιβλίον νζ. τίτλον α. κεφάλαιον μγ. καὶ μδ. ἐν οἷς φησίν.

περὶ τοῦ δούλου στρατευομένου. Ὅτι ἐὰν ἐν εἰδήσει δεσπότου στρατεύσηται δοῦλος, ἀπόλλυσιν ὁ δεσπότης καὶ τὴν ἐπὶ τῷ δούλῳ δεσποτείαν καὶ τὸ πατρωνικὸν δίκαιον. εἰ δὲ καὶ ἀξίας ἐπίβῃ ὁ δοῦλος, τὰ αὐτὰ προβαίνει.

βαίνει. ὁρίζει δὲ ἡ διάταξις αὕτη τριάκοντα ἡμερῶν ἀριθμὸν ἐπὶ τῶν προσελθέντων ἀξιώματι οἰκετῶν. εἰ δὲ ἀγνοοῦντος αὐτοῦ, ἔξεστιν αὐτῷ προσελθεῖν τῷ ἁρμοδίῳ δικαστῇ, καὶ τοῦτον εἰς τὴν ἰδίαν δεσποτείαν ἕλκειν.

Ανάγνωθι καὶ βιβλίον λε. τίτλον ιδ. κεφάλαιον νϛ. ἐν ᾧ φησίν.

Εἰ ἀλλότριον δοῦλον ἀγοράσω παρὰ τῶν πολεμίων καὶ σὺν ἐλευθερίᾳ κληρονόμον αὐτὸν γράψω, ἀναγκαῖός μου κληρονόμος γίνεται. καὶ ἐπὶ τοῦ θέματος, οὐκ ἀποδίδοται τῷ πρώτῳ δεσπότῃ. ὑπόκειται μέν τοι αὐτῷ, ἕως οὗ παράσχῃ τὸ ἴδιον τίμημα.

Ανάγνωθι καὶ βιβλίον ξ. τίτλον μα. κεφάλαιον ζ. ἐν ᾧ φησίν.

Ὁ δοῦλος οὐ δύναται τῷ δεσπότῃ δικάζεσθαι. ὅτι γὰρ τῷ νόμῳ γνωρίζεται. καλῶς δὲ λόγῳ τῆς ἐλευθερίας αὐτοῦ κατηγορεῖ, λέγων αὐτὸν ἀποκρύψαι τὴν διαθήκην, ἐν ᾗ ἐλευθερία αὐτῷ κατελείφθη.

Ανάγνωθι καὶ τίτλον να. κεφάλαιον ια. καὶ κεφάλαιον λδ. θεμ. δ. ἐν ᾧ φησίν.

Δοῦλος, ὁ λέγων ἐξ ἰδίων ἀγορασθῆναι νομισμάτων, καὶ μὴ δεικνύς, ἀποδίδοται τῷ δεσπότῃ ἐπὶ τῷ εἶναι ἐν δεσμοῖς, ἢ μεταλλίζεσθαι, βουλομένου τοῦ δεσπότου.

Καὶ κεφάλαιον κθ. ἐν ᾧ φησίν.

Οἱ δοῦλοι τῇ σωτηρίᾳ τῶν δεσποτῶν ἐπιβουλεύοντες, καίονται.

Ανάγνωθι καὶ τίτλον α. κεφάλ. ε. ἐν ᾧ φησίν.

Δούλου κατηγορηθέντος καὶ βασανισθέντος,
† αὐτοῦ. εἶτα ἀπολυθέντος, τὸ διπλοῦν τῆς † αὐτῆς τιμῆς, ὁ
† ὑπόκειται. κατήγορος δίδωσι τῷ δεσπότῃ, καὶ † ἀπόκειται τῷ ἐγκλήματι τῆς συκοφαντίας.

Καὶ κεφάλαιον λγ. ἐν ᾧ φησίν.

περὶ τῶν βασανιζομένων. Ὁ νόμος κελεύει τὸν δεσπότην τοῦ δούλου τοῦ βασανισθέντος, λαμβάνειν † παρ' αὐτοῦ κατὰ συκοφαντίαν ἐνάγοντος τὸ διπλάσιον τῆς διατιμήσεως.
† παρὰ τοῦ.

Ανάγνωθι καὶ τίτ. ν. οὗ τινος ἐν τῷ α. κεφ. φησίν.

Οὐ δεῖ τῆς ζητήσεως, ἀπὸ βασάνων ἄρχεσθαι. τότε γὰρ οἱ δοῦλοι βασανίζονται, ὅτε καὶ ὕποπτός ἐστιν ὁ κατηγορούμενος, καὶ ὑπεισι τεκμήρια ὥς τι μόνην τὴν τῶν δούλων ἐλλείπειν κατάθεσιν. πρῶτοι δὲ βασανίζονται ὕποπτοι, καὶ δι' ὧν δυνατὸν γνωσθῆναι τὸ ἀληθές.

γ.

Οὐ δεῖ τοὺς δούλους λεγομένους συγκλέψαι τῷ
† ἕνι. δεσπότῃ βασανίζεσθαι κατ' αὐτοῦ: † οὕτως λέγοντας ἑκουσίως, βλάπτειν αὐτόν. ὁ καλῇ πίστει τινὶ δουλεύων, οὐκ ἐρωτᾶται κατ' αὐτοῦ, εἴτε δοῦλός ἐστιν, εἴτε ἐλεύθερος. οὔτε ἀπελεύθερος κατὰ τῆς κεφαλῆς τοῦ πάτρωνος, οὐδὲ ἀδελφὸς κατὰ ἀδελφοῦ, οὔτε οἱ μὴ ἀναγκαζόμενοι κατά τινων μαρτυρεῖν, βασανίζονται κατ' αὐτῶν. ὁ δὲ τοῦ ἀνδρὸς δοῦλος βασανίζεται κατὰ τῆς γυναικός· καὶ

dunt. Definit quoque constitutio triginta dierum numerū his, qui adire seruos dignitatem nactos uolunt. Quod si domino factum sit ignorante, licet ei competentem adire iudicem, ac seruum ad dominium suum retrahere.

Et lib. XXXV. tit. XIIII. cap. LVI. dicitur:

Si seruum alienum ab hostibus emero, & heredem cum libertate scripsero; necessarius mihi fit heres. atque hoc casu priori domino non redditur. Obligatus ei quidem est, donec pretium suum persoluat.

Coniunge lib. LX. tit. XLI. cap. VII. in quo dicitur:

Seruus cum domino litigare non potest. l. 7. D. ad l.
Nam iure non agnoscitur. Recte tamen ratio- Corn. de fals.
ne libertatis eum accusat, si queratur ab ipso testamenti tabulas subprimi, quibus ei libertas relicta fuerit.

Et tit. LI. cap. XI. & cap. XXXIIII. them. IIII.

Seruus, qui se suis numis redemtum dicit, l. 38. §. 4. D.
nec id probat, domino redditur, ut in uinculis de pen.
sit, uel si malit dominus, in metallum detur.

Ibidem cap. XXVIIII.

Serui, qui saluti dominorum insidiantur, i- l. 28. §. igni eod.
gni cremantur.

Eiusdem lib. tit. I. cap. V.

Si seruus accusatus, & quaestionibus subie- De seruis, qui
ctus, deinde fuerit absolutus; duplum eius, quā- per tormenta
ti est, accusator domino dat, & de calumnia te- examinantur. l. ult. D. de
netur. calumn.

Et cap. XXXIII.

Lex iubet dominum serui, qui subiectus quae- l. 6. C. eod.
stioni fuit, accipere duplum aestimationis ab eo, qui per calumniam accusauit.

Item tit. L. cap. I.

Quaestionem a tormentis incipere non opor- l. 1. D. de quaest.
tet. Tunc enim serui torquentur, quum & suspectus est reus, & argumenta sunt talia, ut sola seruorum depositio desit. Primi uero torquentur suspecti, & a quibus uerum sciri potest.

III.

Serui, qui pariter cum domino furtum fecisse dicuntur, in dominum torquendi non sunt: neque, si quid ultro dixerint, ei debet obesse. Qui bona fide seruit alicui, non interrogatur in eum; siue seruus, siue liber sit. Nec libertus in caput patroni, nec frater in fratrem; nec qui testimonium in aliquos inuiti dicere coguntur, in eosdem torquentur. Mariti uero seruus in uxorem torquetur, &

serui eius, qui damnatus est, in eumdem damnantur. nam ipsius esse desierunt.

IIII. them. III.

Si serui, quasi delicti participes, apud iudicem aliquid de domino confessi fuerint; admittendi non sunt.

VI. them. V.

Quum de falso testamento quaeritur, etiam hereditarij serui torquentur.

VII.

Statuliber in adulterij crimine recte torquetur, quasi qui heredis adhuc seruus sit.

VIII.

De pecuniarijs quoq; caussis, in probationum inopia, serui torquentur, & quidem etiam alieni. In quaestione stupri uirginis aut uiduae, in dominum serui non torquentur. Verum in quaestione suppositi partus, uel quum petit hereditatem a fratribus, qui se quoq; defuncti filium dicit, quaestio de seruis hereditarijs habetur. Itidem communis seruus, quum alter dominorum accusatus est de caede socij, torquetur.

XXII.

l. 1. & 2. C. hoc tit. *Seruus contra dominum non torquetur, nisi dumtaxat in adulterij uel maiestatis quaestione. Sin praeter illa, quae seruus deposuit, sunt & alia contra dominum probationes: non propterea, quae seruus deposuit, & ceteras illas probationes criminari possumus. In pecuniarijs uero caussis ne quidem in probationum inopia serui contra dominos, neq; contra dominorum tutorem, neq; matrem interrogandi sunt, nisi actio tutelae instituatur.*

XXIIII.

Si mulier accusetur, quasi maritum suum ueneno necauerit: non eius in eam serui tantum, sed & alieni torquentur. prius tamen alieni. ac si quidem ueritatis argumentum demonstratum fuerit, ipsa quoq; mulier torquetur.

XXXI.

Quum testamentum falsum esse dicitur, hereditarij serui torquentur.

XXXII.

Quoties de dominio mancipiorum tractatur, si ueritas alijs probationibus illuminari nõ potest, ipsa de se cum tormentis interroganda sunt mancipia.

XXXIII.

Seruos non solum pro dominis, in quorum dominio sunt, sed ne pro illis quidem, quorũ prius erant, interrogari posse constat.

Refer huc & lib. XX. tit. IIII. cap. VIII. cuius uerba sunt;

οἱ δοῦλοι τοῦ καταδικασθέντος, βασανίζονται κατ' αὐτοῦ. ἐπαύσαντο γὰρ αὐτοῦ εἶναι.

δ. θεμ. γ.

Ἐὰν δοῦλοι ὡς ἁμαρτήματος μετέχοντες εἴπωσί τι κατὰ τοῦ δεσπότου κρινόμενοι, οὐκ εἰσὶ δεκτοί.

ς. θεμ. ε.

Ὅτι περὶ πλαστῆς διαθήκης ζητεῖται, καὶ οἱ κληρονομιαῖοι δοῦλοι βασανίζονται.

ζ.

Ὁ ὑπὸ ὅρον ἐλευθερωθησόμενος, ἐν τῷ περὶ μοιχείας ἐγκλήματι καλῶς βασανίζεται, ὡς ἔτι δοῦλος ὢν τοῦ κληρονόμου.

η.

Καὶ ἐπὶ χρηματικῶν αἰτιῶν ἐν ἀπορίᾳ ἀποδείξεων βασανίζονται οἱ δοῦλοι καὶ ἀλλότριοι ὄντες. [ἐξ ὧν αἰτιῶν] οὐ βασανίζονται οἱ δοῦλοι κατὰ τῶν δεσποτῶν καὶ ἐν τῷ περὶ φθορᾶς παρθένου ἢ χήρας. καὶ ἐν τῇ περὶ τοῦ ὑποβολιμαίου τικτοῦ ζητήσει, καὶ ὅταν τις ἐκ δίκης κληρονομίαν παρὰ τῶν ἀδελφῶν αὐτοῦ, λέγων καὶ ἑαυτὸν υἱὸν τοῦ τελευτήσαντος, βασανίζονται οἱ κληρονομιαῖοι δοῦλοι. καὶ ὁ κοινὸς δοῦλος, ὅταν ὁ εἷς τῶν δεσποτῶν κατηγόρηται ὡς φονεύσας τὸν ἄλλον.

κβ.

Ὁ δοῦλος κατὰ δεσπότου οὐ βασανίζεται, εἰ μὴ μόνον ὅτι περὶ μοιχείας ἐστὶν ἡ ζήτησις, ἢ περὶ καθοσιώσεως. ἐὰν δὲ πρὸς οἷς δοῦλος κατέθετο, κατὰ τοῦ δεσπότου εἰσὶ καὶ ἕτεραι ἀποδείξεις, οὐ δυνάμεθα τὰς ἄλλας ἀποδείξεις διαβάλλειν, ἐξ ὧν ὁ δοῦλος κατέθετο. ἐν δὲ ταῖς χρηματικαῖς δίκαις, οὐδὲ ἐν ἀπορίᾳ τῶν ἀποδείξεων χρὴ τοὺς δούλους κατὰ τῶν δεσποτῶν ἐρωτᾶσθαι: οὔτε κατὰ ἐπιτρόπου τῶν δεσποτῶν, οὔτε κατὰ μητρός. εἰ μὴ ἄρα ἡ περὶ ἐπιτροπῆς ἀγωγὴ κινεῖται.

κδ.

Ἐὰν γυνὴ ἐγκαλῆται ὡς φαρμάκοις φονεύσασα τὸν ἄνδρα τὸν ἴδιον, καὶ δοῦλοι κατ' αὐτῆς, οὐ μόνον ἴδιοι, ἀλλὰ καὶ ἀλλότριοι ἐξετάζονται. πρῶτον δὲ οἱ ἀλλότριοι. καὶ ἐὰν δεῖγμα δειχθῇ ἀληθείας, καὶ αὐτὴ ἡ γυνὴ βασανίζεται.

λα.

Τῆς διαθήκης πλαστῆς εἶναι λεγομένης, βασανίζονται οἱ κληρονομιαῖοι δοῦλοι.

λβ.

Ὁσάκις ἐπὶ δεσποτείας ἀνδραπόδων ζητεῖται, ἐὰν ἄλλαις ἀποδείξεσιν ἡ ἀλήθεια φωτισθῆναι μὴ δύνηται, περὶ ἑαυτῶν αὐτὰ εἶναι μετὰ βασάνων ἐρωτητέα τὰ ἀνδράποδα.

λγ.

Τοὺς δούλους οὐ μόνον ὑπὲρ τῶν δεσποτῶν ὧν ἐν τῇ δεσποτείᾳ ὑπῆρχον, ἀλλ' οὐδὲ ὑπὲρ ἐκείνων ὧν πρότερον ἦσαν, δύνασθαι ἐρωτᾶσθαι ὡμολόγηται.

Ἀνάγνωθι καὶ βιβλίον κ. τίτλον δ. κεφάλαιον η. ἐν ᾧ φησίν.

Ἐὰν

περὶ δούλου ὡς γενομένου κλέπτου.

Ἐὰν ὡς κλέπτην παράσχω σοι δοῦλόν μου εἰς ἐμβάσανον ζήτησιν, καὶ εὑρεθῇ ἀναίτιος· ἐπιλογὴν ἔχω, ἢ αὐτὸν, ἢ τὴν συμφωνηθεῖσαν διατίμησιν αὐτοῦ λαβεῖν, διὰ τῶν προγεγραμμένων συμφώνων ἀγωγῆς, εἴπερ μὴ ἐπηρώτησα. εἰ δὲ ἔνοχος εὑρεθῇ, κρατεῖς αὐτὸν καὶ ἀποδίδωμι τὸ τίμημα, εἴγε λαβὼν ἔτυχον.

Ἀνάγνωθι καὶ βιβλίον μη. τίτλον ιδ. κεφάλαιον δ. ἐν ᾧ φησίν.

περὶ ἀποτιμήσεως δούλων.

Ἔστω δὲ τὸ τίμημα τοῦ δούλου, ἔστε ἄρρενος ἔστε θηλείας. εἰ μὲν ἀτεχνής ἐστιν εἴκοσι ΝΝ. ἐὰν ἐστιν ὑπὲρ τοὺς δέκα ἐνιαυτούς. εἰ δὲ ἐλάττων ἐστὶ δέκα ΝΝ. εἰ δὲ τέχνην ἐπίσταται χωρὶς νοταρίου καὶ ἰατροῦ, τριάκοντα ΝΝ. ἐὰν δὲ νοτάριος ἐστὶν ἢ ἰατρὸς, ὁ μὲν νοτάριος ἕως πεντήκοντα ΝΝ. ὁ δὲ ἰατρὸς ἑξήκοντα. ἐὰν δὲ εὐνοῦχοι ὦσιν οἱ δοῦλοι μείζονες τῶν δέκα ἐνιαυτῶν χωρὶς τέχνης, ΝΝ. πεντήκοντα. ἐὰν δὲ τέχνην ἴσασιν ο. ΝΝ. ἐὰν δὲ τῶν δέκα ἐνιαυτῶν ἥττονες ὦσι, λ. ΝΝ. ἀνάγνωθι καὶ βιβλίον μδ. τίτλον κζ. κεφάλαιον γ. ὁμοίως γὰρ καὶ αὐτὸ περὶ τῆς τῶν δούλων ἀποτιμήσεως φησίν.

Ἀνάγνωθι καὶ βιβλίον κζ. τίτλον ε. κεφάλαιον ιε. ἐν ᾧ φησίν.

περὶ φυγάδος δούλου.

Ἐὰν ὁ δοῦλός μου κλέψας ΝΝ. φύγῃ, καὶ ὡς ἐλεύθερος διάγων δανείσῃ αὐτὰ, ποιεῖ μοι ἔνοχον τὸν λαβόντα, εἰ μέντοι νομίζων αὐτὸν ἐλεύθερον καταβάλῃ αὐτῷ, ἐλευθεροῦται. οὐ μὴν ἐὰν κατὰ κέλευσιν αὐτοῦ ἑτέρῳ καταβάλῃ.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον ζ. οὗ τινος ἐν τῷ ϛ. κεφαλαίῳ φησίν.

Ὁ φυγὰς οἰκέτης, αὐτὸς ἑαυτὸν κλέπτειν πιστεύεται. ὡς οὖν ἐπὶ κλοπιμαίῳ οὐδὲ ἡ διὰ τῆς χρήσεως κυριότης χώραν ἔχει, οὐδὲ μακροῦ χρόνου παραγραφή.

η.

Ἐὰν φυγὰς οἰκέτης συλληφθῇ ἐπὶ τὸ βαρβαρικὸν ἀπιὼν, ἢ ὁ ποὺς αὐτοῦ κοπτέσθω, ἢ εἰς μέταλλον παραδιδόσθω, ἢ ἄλλῃ οἱαδήποτε τιμωρίᾳ ὑποπιπτέτω.

Ἀνάγνωθι καὶ τίτλον μη. κεφάλαιον α. ἐν ᾧ φησίν.

Δύναται τὸν ἀπόντα δοῦλον πωλεῖν ὁ δεσπότης, οὐ μὴν τὸν φυγάδα. καλῶς δὲ ἐντέλλεταί τινι ζητῆσαι τὸν φυγάδα καὶ ἔχειν ἠγορασμένον † ἑτέρῳ πωλῆσαι. οἱ γὰρ τὴν φυγὴν τῶν ἰδίων δούλων πωλοῦντες, ὑπόκεινται τῷ νόμῳ.

† Deest καὶ.

Καὶ κεφάλαιον ι.

ΠΕΡΙ ΔΙΟΙΚΗΤΩΝ, ΚΑΙ ΟΤΙ ὁ διοικητὴς τῶν ὄντων παρ' αὐτῷ χρημάτων τόκους δίδωσιν ἀπὸ ὑπερθέσεως, καὶ ὡς ἔλαβε δανείσας, † καὶ μὴ ἐνετάλθη δανεῖσαι. ἔστι δὲ διοικητὴς, ὁ ἐνταλθεὶς διοικεῖν τὰ τοῦ ἀπόντος πράγματα, καὶ ἐνάγων καὶ ἐναγόμενος ὑπὲρ τῶν τοῦ ἀπόντος πραγμάτων, ὧν τὴν διοίκησιν ποιεῖται. λέγεται δὲ ὁ τοιοῦτος, καὶ ἐκδικητὴς, καὶ ἐντολεὺς, καὶ συνήγορος.

† καὶ μὴ.

Τίτλου β. κεφ. λϛ.

Ὅτι, ὅτι διὰ ἐντολέως, ἤτοι διοικητοῦ κινεῖται καταστατικὸν δικαστήριον, εἴτε ἐνάγει εἴτε ἐνάγεται, δίδωσι τὴν ἱκανοδοσίαν.

λη.

Μετὰ προκάταρξιν, οὐκ ἀπαιτεῖται τὴν ἱκανοδοσίαν ὁ διοικητής.

μα.

Ἐπὶ τῶν δημοσίων ἀγωγῶν, οὐ δίδοται διοικητὴς, εἰ μὴ ἐπὶ τῆς τυμβωρυχίας, καὶ ὅταν τὶς κινεῖ τὸ περὶ βίας δημοσίας, ζημιούμενος ἰδιωτικῶς. καὶ ἡ ἀπὸ τοῦ νόμου περὶ ὕβρεως κινεῖται διὰ διοικητοῦ. καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος κατὰ τὸν ἐνδεχόμενον τρόπον, διδοῦσι διοικητὴν ἤτοι συνήγορον.

νβ.

Ἔξεστι τῷ ἐναγομένῳ μετὰ προκάταρξιν δοῦναι διοικητὴν: καὶ δοῦναι ὑπὲρ αὐτοῦ τὴν ἀσφάλειαν τῆς ἐκπληρώσεως τῶν κριθέντων.

νγ.

Οὐδεὶς ἀλλοτρίαν δίκην χωρὶς ἱκανοδοσίας ἐκδικεῖν θέλων, ἀξιόχρεώς ἐστιν.

ϟϛ.

Μετὰ τὴν προκάταρξιν τοῦ δεσπότου τῆς δίκης τελευτήσαντος, ὁ διοικητὴς καὶ ἐνάγων ἐστὶ καὶ ἐναγόμενος, πληρούτω τὴν δίκην. καὶ διδότω ἕτερον αὐτὸς, εἰ βούλεται, ἐντολέα.

*Ἀνάγνωθι καὶ βιβλίον ιζ. τίτλον α. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Τὸ παρὸν ἔδικτον ἐπενοήθη, ἵνα μὴ τῶν ἀπόντων ὡς ἀνεκδικήτων τὰ πράγματα νέμωνται, ἢ πιπράσκωνται, ἢ ποινὴ βεβαιοῦται κατ' αὐτῶν, ἢ τὰ πράγματα αὐτῶν ἀδίκως ἀπολλύουσιν.

β.

Εἰ καὶ ἀγνοοῦντος τοῦ δεσπότου, τὰ πράγματα αὐτοῦ διῴκησέ τις, ἁρμόζει κατέρωθεν ἡ ἀγωγή. καὶ ὁ μὲν διοικήσας χρησίμως, ἀπαιτεῖ ὅσα ἐδαπάνησεν, ἢ μέλλει τισὶ διδόναι. δίδωσι δὲ ὅσα ἐκ τῶν πραγμάτων ἔσχεν, ἢ μὴ κατὰ τὸ δέον διῴκησεν.

η.

Τὸ χρησίμως διοικηθὲν, ἀναγκάζεται δεκτὸν ἡγεῖ-

DE ACTORIBVS SIVE PROCVRATORIBUS, & quod procurator tum eius pecuniæ nomine, quā apud se habet, tum mutuo sumptę, quamuis ut mutuam sumeret mandatum non fuit, usuras ex mora soluat. Est autem actor siue procurator, cui mandata est negotiorum absentis administratio, quique tam agit, quam conuenitur nomine negotiorū absentis, quæ gerit. Atque hic & defensor, & mandatarius, & aduocatus quoque dicitur.

Tit. II. cap. XXXVI.

Quum status controuersiam facit alicui procurator, uel negotiorum gestor; siue agit, siue conuenitur, de ratihabitione satisdare debet. L. 39. §. 5. D. de procur.

XXXVIII.

Post litis contestationem a procuratore satisdatio non exigitur.

XLI.

In popularibus actionibus procurator nō datur, extra quam in actione sepulcri uiolati, & quum de ui publica quis agit, priuato dāno adfectus. Iniuriarum etiam ex lege per procuratorem agitur. Itidē mutus & surdus per eum modum, qui procedere potest, procuratorem siue aduocatum dant.

LII.

Licet reo post litis contestationem procuratorem dare, proque illo satisdatione cauere iudicatum solui.

LIII.

Nemo alienæ litis idoneus defensor est sine satisdatione.

XCVI.

Domino litis post contestationem eius defuncto, procurator litem finiat, siue actor est, siue defensor. Atque etiam alium, si quidem uolet, procuratorem instituat.

Legito & lib. XVII. tit. I. cuius I. cap. dicitur:

Hoc edictum inuentum est, ne absentium uelut indefensorum res possideantur, aut uendantur; neue pœna committendæ actionem patiantur, uel iniuria res suas amittant. L. 1. D. de neg. gest.

II.

Si quis etiam ignorante domino res eius gesserit, ultro citroq; competit actio. Et is quidem, qui utiliter gessit, quidquid uel impendit, uel adhuc quibusdam daturus est, repetit: reddit autem, quidquid ex hisce negotiis habuit, uel non ut oportuit gessit.

VIII.

Quod utiliter gestū est, dominus ratum habere

bere cogitur: quod ratum habet, ualet; quamuis male sit gestum.

VIIII.

Si utiliter negotium gessero, tametsi bonum effectum non habuerit; nihilo minus actionem negotiorum gestorum habeo. puta si seruus, qui curatus est, mortuus sit; uel instaurata domus exusta.

X.

Qui absentis & ignorantis negotia defendit, dolum & culpam praestat. Interdum & casum agnoscere cogitur.

XVIII.

Et usuras, quas percepit uel percipere procurator potuit, praestat: & quas praestitit, uel percipere potuit ex sua pecunia, recipit.

XXII.

Quod indebitum procurator exegerit, domino restituit: at eius, quod indebitum ipse soluerit, damnum ad ipsum pertinet.

XXIIII.

Qui plus, quam oportet, impenderit; id quod praestari debuit, recuperat.

XXX. them. III.

Is qui aliena negotia gerit, usuras eius pecuniae praestat, quae post sumtus necessarios superest.

XXXV.

Qui pecunia alicuius negotium gerit, & usuras praestat, & periculum eorum nominum, quae ipse cōtraxit: nisi debitores fortuitis casib. ante litis contestationem soluendo non fuerint.

XXXVI.

Pater administrans res ab se donatas emancipato filio, negotiorum gestorum actione tenetur.

Legito ibidem & tit. II. in quo tractatur DE UTILIBUS IMPENSIS. de quibus a nobis in titulo de impensis dicitur.

DE DEFENSORIBUS ET SYNdicis uniuersitatis seu ciuitatis. Defensores autem dicuntur omnes, qui defendunt & curam agunt, siue sint actores, siue tutores, siue curatores, siue procuratores, siue mādatarij. Nam defendere, est eadem facere, quae principalis faceret, si adesset. Ac praestat huiusmodi defensor cautionem de ratihabitione. Quippe nemo litem alienā sine satisdatione defendere uidetur, tametsi consularis sit. Neq; uero femina, neq; miles, idoneus defensor est, nec qui criminaliter accusatus est, ante purgationem.

ἀξιοῖ ὁ δεσπότης. καὶ ὅπερ δεκτὸν ἡγεῖσθαι, ἔρρωται, κἂν κακῶς διῳκήθη.

θ.

Ἐὰν χρησίμως διοικήσω, κἂν ἀποτέλεσμα χρήσιμον οὐκ ἔσχε τὸ γεγονός, ἔχω τὴν περὶ διοικήσεως ἀγωγήν. τυχὸν γὰρ δοῦλος ἐπιμεληθεὶς ἀπέθανεν, ἢ οἶκος ἀνανεωθεὶς ἐκαύθη.

ι.

Ὁ τὰ τοῦ ἀπόντος καὶ ἀγνοοῦντος διεκδικῶν, δόλον καὶ ἀμέλειαν χρεωστεῖ. ἔσθ' ὅτε δὲ καὶ τὸν τυχηρὸν ἀπογινώσκειν ἀναγκάζεται δίκαιον.

ιη.

Καὶ τόκους οὓς ἔλαβεν ἢ λαβεῖν ὁ διοικητὴς ἠδύνατο, δίδωσι καὶ λαμβάνει οὓς δέδωκεν, ἢ οὓς ἠδύνατο λαβεῖν ὑπὲρ ὧν αὐτὸς οἴκοθεν ἐδαπάνησεν.

κβ.

Ἀπαιτήσας τὸ μὴ κεχρεωστημένον ὁ διοικητής, τῷ δεσπότῃ δίδωσιν. αὐτὸς δὲ διδοὺς τὸ μὴ χρεωστημένον, ζημιοῦται.

κδ.

Ὁ πλέον τοῦ δέοντος δαπανήσας, τὸ δεδοκιμασμένον λαμβάνει.

λ. θεμ. γ.

Ὁ διοικητὴς τῶν † περιττευόντων χρημάτων μετὰ τὴν ἀναγκαίαν δαπάνην δίδωσι τόκον. † περιττευόντων.

λε.

Ὁ χρηματίζων τινὸς χρήματα, καὶ τόκους δίδωσι, καὶ τὸν κίνδυνον ὑπέχει ὧν ἐδάνεισεν: εἰ μὴ οἱ δανεισάμενοι τυχηρῶς ἠπόρησαν πρὸ τῆς προκατάρξεως.

λϛ.

Ὁ πατὴρ διοικῶν ἅπερ ἐδωρήσατο τῷ αὐτεξουσίῳ υἱῷ, ἐνέχεται τῇ περὶ διοικήσεως ἀγωγῇ.

Ἀνάγνωθι καὶ τίτλ. β. ἐν ᾧ φησὶν ΠΕΡΙ ΤΩΝ ΧΡΗΣΙΜΩΣ ΠΑΡ' ΑΥΤΩΝ ΔΑΠΑΝΗΘΕΝΤΩΝ. περὶ ὧν εἴρηται ἐν τῷ περὶ δαπανῶν τίτλῳ.

ΠΕΡΙ ΔΙΕΚΔΙΚΗΤΩΝ ΚΑΙ ΣΥΝδίκων ὁμάδος ἢ πόλεως. διεκδικηταὶ δὲ λέγονται, πάντες οἱ διεκδικοῦντες καὶ φροντίζοντες, εἴτε διοικηταί, εἴτε ἐπίτροποι, εἴτε κουράτωρες, εἴτε ἐντολεῖς εἰσί. διεκδικεῖν γάρ ἐστι, τὸ τὰ αὐτὰ ποιεῖν ἅπερ καὶ ὁ πρωτότυπος ἐποίει παρών. καὶ δίδωσιν ὁ τοιοῦτος καὶ τὴν ἐπὶ τῇ ἱκανοδοσίᾳ ἀσφάλειαν. οὐδεὶς γὰρ ἀλλοτρίαν δίκην ἄνευ ἱκανοδοσίας διεκδικεῖν δοκεῖ εἰ καὶ ἐστὶν ὑπατικός. ὅτι δὲ γυνή, ὅτι στρατιώτης ἀξιόχρεώς ἐστιν εἰς τὸ διεκδικεῖν· ὅτι ὁ κατηγορηθεὶς ἐπὶ ἐγκλήματι, πρὸ ἀθωώσεως.

Τοῦ αὐτοῦ

Τοῦ αὐτοῦ τίτλου κεφ. οδ.

Ὁ ἐνάγων ἤτοι σύνδικος τῆς πόλεως, οὐ δύναται πρᾶγμα πολιτικὸν κινεῖν διὰ διοικητοῦ.

οε.

Διεκδικῶν τις τὸν ἀγοραστὴν ἐναγόμενον περὶ τοῦ πράγματος, προέτρεψε τὸν πράτην διεκδικεῖν, καλῶς ἐπιζητεῖ παρ᾽ αὐτοῦ τὴν ἱκανοδοσίαν ὁ πράτης, μήποτε δοθῇ μὲν τὸ πρᾶγμα τῷ ἐνάγοντι. ἐλθὼν δὲ ὁ ἀγοραστὴς ἀπαιτάσῃ αὐτὸ, καὶ ἀναγκασθῇ πάλιν ὁ πράτης διεκδικεῖν.

οθ.

Ὁ κατηγορηθεὶς ἐπὶ ἐγκλήματι, οὐ δύναται δίκην ἀλλοτρίαν καταδέχεσθαι πρὶν καθάρῃ ἑαυτὸν, καὶ φανῇ μηδὲν ἡμαρτηκώς.

ρβ.

Ὁ δοθεὶς σύνδικος ἀπὸ πόλεως ἢ ὁμάδος, οὐ δοκεῖ δίδοσθαι παρὰ πολλῶν. οὐ γὰρ τὸ καθ᾽ ἕκαστον πράττει, ἀλλὰ τῇ κοινότητι.

ρε.

Ὁ τῆς ὁμάδος σύνδικος οὐ δίδωσιν ἐνάγων τὴν ἱκανοδοσίαν, εἰ μὴ ἀμφιβάλλεται ἡ ἐπ᾽ αὐτοῦ ψῆφος. διεκδικεῖν δὲ ἀναγκάζεται. τάξιν γὰρ ἐπέχει προκουράτωρος. καὶ οὐ δίδοται αὐτῷ ἱκανοδοσία, εἰ μὴ ἐναγωγὴ ἰδία ἐστί. καὶ καλῶς ἀντιφωνεῖται.

Ἀνάγνωθι καὶ βιβλίον θ. τίτλον ι. καὶ ια. ἐν οἷς διαλαμβάνεται ΠΕΡΙ ΤΗΣ ΠΑΡΑ ΤΩΝ ΔΙΕΚΔΙΚΗΤΩΝ ΔΙΔΟΜΕΝΗΣ ΙΚΑΝΟΔΟΣΙΑΣ, ΚΑΙ ΗΣ ΑΥΤΟΙ ΛΑΜΒΑΝΟΥΣΙΝ.

Ἀνάγνωθι καὶ βιβλίον ι. τίτλον δ. κεφάλαιον μϛ. ἐν ᾧ φησίν.

Ἐάν τις ἑκουσίως διεκδικήσῃ νέον καὶ καταδικασθῇ, ἐνέχεται τῇ καταδίκῃ, καὶ οὔτε αὐτὸς βοηθεῖται, οὔτε ὁ νέος ἀποκαθίσταται.

Ἀνάγνωθι καὶ βιβλίον ιε. τίτλον δ. κεφάλ. ιβ.

ΠΕΡΙ ΕΝΤΟΛΕΩΝ.

Τοῦ αὐτοῦ τίτλου κεφάλ. πθ.

Μηδεὶς τὴν ἑτέρου δίκην ἀγοραζέτω. προῖκα μέντοι γενέσθω ἐντολεὺς εἰ βούλεται· καὶ μὴ χρήματα δοὺς, τὴν ἀγωγὴν ἐπιλαμβανέσθω.

ϟε.

Ὁ μετὰ προκατάρξιν ἐντολεὺς, μὴ ἀποκινείσθω παρὰ τοῦ δεσπότου τῆς δίκης, εἰ μὴ κεφαλικῆς ἔχθρας, ἢ νόσου, ἢ ἑτέρας ἀναγκαίας παρεμπεπτούσης αἰτίας.

Ἀνάγνωθι καὶ βιβλίον θ. τίτλον ι. κεφάλαιον ι. καὶ τίτλον ια. οὗ τινος ἐν τῷ κ. κεφαλαίῳ φησίν.

Οὐ μόνον ἐνάγων, ἀλλὰ καὶ ἐπερωτῶν ἐκ προσώπου τοῦ ἀπολιμπανομένου δίδωσι τὴν ἱκανοδοσίαν ὁ ἐντολεύς.

Eiuſd. tit. cap. LXXIIII.

Actor ſiue ſyndicus ciuitatis, negotium publicum per procuratorem agere non poteſt. l. 74. D. de procu. at.

LXXV.

Quidam defendens emtorem, qui rei alicuius nomine conueniebatur, poſtulabat a uenditore, ut ab eo defenderetur. Recte deſiderat uenditor, caueri ſibi, rem ratam emtorem habiturum: ne ſi res actori reſtituta fuerit, & reuerſus emtor eamdem petat, rurſus uenditor defendere cogatur.

LXXVIIII.

Qui criminis accuſatus fuerit, alienæ cauſſæ defenſionem prius ſuſcipere nō poteſt, quam ſeſe purgarit, & nihil eum deliquiſſe paruerit. l. 6. C. eod.

CII.

Syndicus a ciuitate uel uniuerſitate datus, a pluribus datus eſſe non uidetur. non enim pro ſingulis, ſed pro republica interuenit. l. 2. D. quod cuiuſq. uniuer.

CV.

Syndicus uniuerſitatis, quum agit, de rato non cauet; niſi de facto in eum decreto dubitetur. defendere uero cogitur. quippe procuratoris partibus fungitur. nec ei cautio datur, niſi in rem ſuam agat. etiam recte ipſi conſtituitur.

Legito & lib. VIIII. tit. X. & XI. in quibus tractatur DE CAVTIONE, QVAM DEFENSORES PRAESTANT, ET QVAM IPSI VICISSIM ACCIPIVNT.

Item lib. X. tit. IIII. cap. XLVI. cuius hæc uerba ſunt:

Si quis ex ſua uolūtate minorem annis in iudicio defenderit, & condēnatus fuerit: ex cauſſa iudicati tenetur, nec uel ipſi ſubuenitur, uel minor in integrum reſtituitur. l. 46. D. de minor.

Legito & lib. XV. tit. IIII. cap. XII.

DE PROCVRATORIBVS.

Eiuſd. tit. cap. LXXXIX.

Nemo litem alterius redimat. gratis quidem procurator fiat, qui uolet: nec data pecunia, actionem ſuſcipiat. l. 15. C. de procur.

XCV.

Qui poſt litem conteſtatam procurator inſtitutus eſt, a domino litis ne remouetor; niſi capitalis inimicitia, uel morbus, uel alia neceſſaria cauſſa interceſſerit. l. 22. C. eod.

Legito & lib. IX. tit. X. cap. X. & tit. XI. in cuius XX. cap. dicitur:

Non ſolum quum actionem inſtituit, uerumetiam quum ſtipulatur ex abſentis perſōna, ſatiſdare procurator debet.

Legito

Legito & lib. LI. tit. IIII. cap. IX. cuius hæc uerba sunt:

l. 9. D. de dol. mal. & met. exc. *Si procurator meus pecunia corruptus dãnari se passus sit, utor hac exceptione. nec quod accepit ipse, restituit. nam in turpi caussa potior est, qui accepit.*

Item lib. LX. tit. LI. cap. XXXIV. them. VII. dicitur:

l. 38. §. 8. D. de pœn. *Procurator litis instrumenta prodens, humilior in metallum damnatur; honestior, publicata dimidia parte bonorum, in perpetuum relegatur.*

DE COLLEGIIS ET CORPORIBUS licitis, uidelicet monetariorum, ærariorum, mancipum, suariorum, & reliquorum; deque collegijs illicitis.

Eiusdem tit. cap. CI.

l. 1. D. quod cuius univ. *Non omnibus instituere societates, uel collegia, uel corpora conceditur: sed fit hoc in uectigalibus publicis, & auri fodinis, & argenti fodinis, & salinis, & mancipibus, & naucularijs, & alijs quibusdam a iure confirmatis. Ac permissum eis est ad exemplum reipublicæ habere res communes, & communem arcam, & actorem siue syndicum, per quem ea quæ communiter agi oporteat fiant.*

Legito de his & lib. LIIII. tit. XVI. & XVII. & XIX. & XX. & XXI. & XXII. Item lib. LVI. tit. I. cap. LIII. Item lib. LX. tit. XXXII. in cuius I. cap. dicitur:

l. 1. D. de coll. & corp. *Præsides ubique prohibeant in opidis & uicis paganos, uel in castris suis milites habere collegia sodalicia, tenuioribus tamen collationem semel in mense dumtaxat facere permittitur. Etiam precum caussa licite coire concessum est.*

Et II. cap.

Qui collegium illegitimum facit, ea pœna tenetur, qua tenentur, qui armis locum publicum uel sacrum occuparunt.

BASILICORUM LIBER VIIII.

DE APPELLATIONE. QUI APpellare possint, & a quibus sententijs appellare non liceat. deque diuersis temporibus appellationum. & quod tertium quis non appellet.

TIT. I. CAP. I.

Legito & cap. XLII. & XCIII. & CXIX...... IIII. & V. & ca. CXXVI. l. 1. D. de appell. *Iniquitatem & imperitiam iudicantis corrigit appellatio, tametsi nonnumquam accidat, ut ne nouissimus quidem sententiam recte ferat.*

Ἀνάγνωθι καὶ βιβλίον να. τίτλον δ. κεφάλαιον θ. ἐν ᾧ φησίν.

Ἐὰν ὁ ἐντολεὺς μου χρήμασιν ὑποφθαρεὶς, καταδικασθῆναι ἀνάσχηται. κεχρῆσθαι παραγραφῇ. καὶ ὅτι αὐτὸς ἅπερ ἔλαβεν ἀποδίδωσιν. αἰσχρᾶς γὰρ ὑποκειμένης αἰτίας, κρείττων ἐστὶν ὁ λαβών.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον να. κεφάλαιον λδ. θεμ. ζ. ἐν ᾧ φησίν.

Ὁ ἐντολεὺς τὰ τῆς δίκης προδιδοὺς δικαιώματα, εὐτελὴς μὲν ὤν, μεταλλίζεται· τίμιος δὲ, δημεύεται εἰς τὸ ἥμισυ, καὶ διηνεκῶς ἐξορίζεται.

ΠΕΡΙ ΣΥΣΤΗΜΑΤΩΝ ΚΑΙ σωματείων θεμιτῶν, ἤτοι χαρακτ. χαλκέων, μαγκίπων, χοιρεμπόρων, καὶ λοιπῶν· καὶ περὶ συστημάτων ἀθεμιτῶν.

Τοῦ αὐτοῦ τίτλου κεφάλαιον ρα.

Οὐ πᾶσιν ἐφεῖται ποιεῖν ἑταιρείας, ἢ συστήματα ἢ σωματεῖα, ἀλλ' ἐπὶ δημοσίων τελῶν καὶ μετάλλων ἀργύρου καὶ χρυσοῦ, καὶ ἁλικῶν, καὶ μαγκίπων, καὶ ναυκλήρων, καὶ τινῶν ἄλλων, ἀπὸ νόμου βεβαιωθέντων. καὶ ἔξεστιν αὐτοῖς κατὰ μίμησιν τῆς πόλεως ἔχειν πράγματα κοινὰ καὶ ἀρκαν, καὶ ἐνάγοντα ἤγουν σύνδικον δι' οὗ πράττεται τὰ κοινά.

Ἀνάγνωθι καὶ βιβλίον νδ. τίτλον ις, καὶ ιζ. καὶ ιθ. καὶ κ. καὶ κα. καὶ κβ. καὶ βιβλίον νς. τίτλον α. κεφάλαιον νγ. καὶ βιβλίον ξ. τίτλον λβ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Οἱ ἄρχοντες πανταχοῦ κωλυέτωσαν ἐν ταῖς πόλεσι καὶ κώμαις τοὺς παγανοὺς, ἢ τοὺς στρατιώτας ἐν τοῖς στρατοπέδοις αὐτῶν ἔχειν ἑταιρικὰ συστήματα. τοῖς δὲ μετρίοις ἐφεῖται συνεισφορὰν ἅπαξ ποιεῖν μόνον τοῦ μηνὸς, καὶ χάριν εὐχῆς θεμιτῶς ἔξεστι συνιέναι.

Ἐν δὲ τῷ β. κεφαλαίῳ.

Ὁ παράνομον ποιῶν σύστημα, ὅπλοις τόπον δημόσιον ἢ ἱερὸν κατασχόντων ὑπόκειται ποινῇ.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. Θ.

ΠΕΡΙ ΕΚΚΛΗΤΟΥ. ΚΑΙ ΤΙνες δύνανται. καὶ ποῖαι τῶν ἀποφάσεων οὐχ ὑπόκεινται ἐκκλήτῳ. καὶ περὶ διαφόρων προθεσμιῶν τοῦ ἐκκλήτου. καὶ ὅτι τρίτον τὶς οὐκ ἐκκαλεῖται.

Τίτλος α. κεφ. α.

Τὴν ἀδικίαν καὶ τὴν ἀπειρίαν τοῦ δικάζοντος, ἐπανορθοῦται ἡ ἔκκλητος: κἂν εἰ τὰ μάλιστα συμβαίνῃ μὴ παρόντι τὸν ὕστερον ὀρθῶς ψηφίζεσθαι. ἀνάγνωθι καὶ κεφ. μβ. καὶ ϟγ. καὶ ριθ. καὶ ρκ. καὶ ρκς.

β.

Εἰ καὶ βασιλεὺς διὰ ἀναφορᾶς ἄρχοντος ὁρίσει τὴν γνώμην, ἔξεστιν ἐκκαλεῖσθαι. εἰ δὲ καὶ διαλαλήσει, ἐκκαλεῖσθαι δεῖ, ἀλλὰ μετὰ τὴν ἀντιγραφήν.

Ὁ λίβελλος τοῦ ἐκκλήτου, ὀφείλει ἔχειν τὸ ὄνομα τοῦ ἐκκαλουμένου, καὶ τοῦ δικαστοῦ, καθ' οὗ ἐκκαλεῖται, καὶ ἐκ ποίας ἀποφάσεως.

γ.

Ἀρκεῖ τὸ ἐν τοῖς πεπραγμένοις εἰπεῖν, ΕΚΚΑΛΟΥΜΑΙ. οὐδὲν βλάπτει τὸ μὴ ἐξειπεῖν τὸ ὄνομα τοῦ ἀντιδίκου.

δ.

† Δύναται ἐκκαλεῖσθαι.
† αὐτῶν.

Ἑτέρου δικασαμένου, ἕτερος † ἐγκαλεῖσθαι, ἐὰν αὐτῷ διαφέρει: ὡς ἐπὶ ἀγοραστοῦ καὶ πράτου. ὁ πρότερος γὰρ † αὐτῷ δικασάμενος, εἰ μὴ ἐκκαλέσηται, δύναται ὁ ἄλλος ἐκκαλεῖσθαι. εἰ δὲ καὶ ἐκκαλέσηται μὲν ὁ πράτης δικασάμενος, ὕποπτος δέ ἐστιν, δύναται ὁ ἀγοραστὴς ἐκδικεῖν τὴν ὑπόθεσιν, ὡσανεὶ αὐτὸς ἐξεκαλέσατο. τὰ αὐτὰ καὶ περὶ δανειστοῦ καὶ χρεώστου δικασαμένου πρὸς ἄλλον ἐπὶ τῷ ἐνεχύρῳ.

η.

Ὁ ἐκκαλεσάμενος, ἐὰν ὑβρίσῃ τὸν ψηφισάμενον, τύπτεται.

ια.

Ἐὰν ὁ ἐκκαλεσάμενος, ἀνάγκῃ τοῦ δικαστοῦ καταβάλῃ τὰ τῆς ψήφου νικῶν τὴν ἔκκλητον, ἀναλαμβάνει τὰ δοθέντα.

κγ.

Ἐπίτροπος ἢ κουράτωρ, ἢ ἀλλοτρίων πραγμάτων διοικητής: ἐὰν ἐκκαλεσάμενος περιελκύσῃ τὴν δίκην, καὶ τοῦ μέσου καιροῦ δίδωσι τόκους.

κη.

Κατὰ ψήφου βασιλέως, ἢ συγκλήτου, οὐ δίδοται ἔκκλητος. ὅτι ὁ πρὸ ψήφου καταθέμενος μὴ ἐκκαλεῖσθαι, δύναται ἐκκαλεῖσθαι.

λβ. θεμ. γ.

† ἀναγνώσεως.

Ἀπὸ τῆς † γνώσεως τῆς ψήφου, αἱ δέκα ἡμέραι τοῦ ἐκκλήτου ἀριθμοῦνται. τὸ τῶν δέκα ἡμερῶν παραφυλάττεται, καὶ ἔνθα ψῆφος μὲν οὐκ ἐκφωνεῖται: χρεία δέ ἐστιν ἐκκλήτου.

λδ.

Ὁ κινήσας ὡς ὕποπτος κατηγορηθεὶς καὶ ἡττηθεὶς, εἴσω δέκα ἡμερῶν ἐκκαλεῖται.

λε.

Καὶ πρὸ ψήφου δύναται ἐκκαλεῖσθαι, ἐὰν ἐν χρηματικῇ δίκῃ διαλαλήσῃ γενέσθαι ζήτησιν ἐμβάσανον, ἢ ἐν ἐγκληματικῇ τοῦτο δοκιμάσῃ παρανόμως.

να.

Ὁ ἐκκαλεσάμενος δικαστὴν, οὐ δύναται ἐφ' ἑτέραις δίκαις αὐτὸν ὡς ἐχθρὸν διὰ τοῦτο παραιτεῖσθαι. πάλιν γὰρ αὐτὸν ἐκκαλεῖσθαι δύναται.

II.

Etiamsi princeps ex relatione præsidis caussam decidendo definiat, pronocare licet. quod si & interloquatur [præses], appellandum erit; sed post rescriptum.

Libellus appellatorius cõtinere debet nomen eius, qui appellat, & iudicis aduersus quem appellat, & a qua sententia.

III.

Satis est, apud acta dicere, APPELLO. Nec quidquam nocet, aduersarij nomen expressum non esse.

IIII.

Alio condemnato, alius appellare potest, si eius intersit: uelut in emtore ac uenditore. Nam si prior uictus non appellauerit, alter appellare potest. quod si uenditor uictus appellauerit ille quidem, sed tamẽ suspectus sit: emtor eque caussam defendere potest, atq; si ipse appellasset. Eadem ualent & in persona creditoris atque debitoris, qui ab alio uictus est in caussa pignoris.

VIII.

Qui pronocauit, si indici conuiciatus fuerit, uerberatur.

XI.

Si qui pronocauit, ex necessitate iudicis caussa iudicati soluerit: in appellatione uictor ea, quæ dedit, recipit.

XXIII.

Tutor, aut curator, aut negotiorum gestor, si appellauerit, diuq. litem traxerit: etiam medij temporis usuras soluit.

XXVIII.

A sententia principis uel senatus non conceditur appellatio. nec is, qui ante sententiam professus fuerit se non pronocaturum, pronocare potest. l.1.D.a quib. appell. non lic.

XXXII. them. III.

A recitatione sententiæ decem dies appellationis numerãtur. Idem dierum decem tempus obseruatur, etiam ubi sententia non pronuntiatur, sed appellatione opus est. Nouel.23.

XXXIIII.

Si petitor, quasi suspectus, accusatus uictusq; fuerit; intra decem dies pronocat.

XXXV.

Etiam ante sententiam appellari potest, si iudex in negotio ciuili fuerit interloquutus, ut per tormenta quæstio habeatur: uel in criminali, si hoc contra leges approbet. l.1.D. de appell. recip. uel non.

LI.

Qui pronocauit a iudice, nõ propterea potest eum in alijs caussis, tamquam inimicum, recusare: quum ab eo denuo pronocare queat. l.un. D. apud eum a quo appel.

Consti-

LIII.

l.un.C.de sent. praef.praet. l.un.D.de off. praef.praet.

Constitutio tradit id ius, quod etiam in Protis, siue prima parte digestorum exstat; uidelicet a sententia praefecti praetorio neminem appellare. Principi tamen supplicari potest, sententia cum precibus ad eum missa: licet ea pro republica lata sit. Verum intra biennium dumtaxat, non etiam ulterius, de sententia [praefecti praetorio] principi supplicãdi quis potestatẽ habet.

LXXVIII.

Nec post contestationem litis alicui iudicem recusare liceat, nec ante sententiam appellare.

CXXIII.

l.35.C.de appell.

Constitutio iubet, ut si lis, cuius ad consistorium prouocatio pertinet, decem auri libras excedat; non, ut antea, duo iudices negotium disceptent, sed tantum unus. Sin decem libras excedat, ut tum duo sint iudices, quibus * epistulares subseruiant. Quod si iudices isti duo dissenserint, tertium sibi quaestorem adhibeant. Si lis uiginti libras excedit, in commune auditorium omnium senatorum introducatur: ut liceat & uicto in priori iudicio intra biennium uel uni, uel duobus iudicibus, uel omnibus senatoribus appellationem intimare. Nec ulla prouocatione, quae ab eis decreta fuerint, suspendantur: uti nec facta apud principem examinationes retractantur.

* hoc est, notarij.

CXXVI.

l.2.C.de temp. & reparat.

Si uel a praeside, uel spectabili iudice quis appellauerit, sex mẽsium diem habeto. Quod si nihil praestiterit intra sex hosce menses, dies alios triginta & unũ habeat. Si exciderit & illo tempore, tertio dies alios triginta & unum habeat. si rursus & illi fuerint elapsi, totidẽ quarto dies impetret. quod si tot diebus exciderit, tunc intra tres alios menses nos adeat, & reparationem appellationis petat. qua reparatione concessa, praecipimus ne dies alius sex mensium ei concedatur, sed trium dumtaxat mensium internallum; numerandorum ex quo fatalis dies quartus praeterijt. Quod si iudex uel a praefectis, uel a magistro [officiorum], uel ab alio quodam illustrium magistratuum in hac gloriosa urbe delegatus fuerit; & appellatio contra sententiam eius subsequuta: primus quidem fatalis dies esto duorum mensium, ceteri uero tres ad similitudinem supradictorum fatalium numerantor. Idem in arbitro delegato.

CXXVII.

Iubet cõstitutio, ne unquam ultra statutum tempus, ad consistorium pertinentes prouocationes fiant: siue quis preces offerat, siue sacrum a principe rescriptum impetret, non alio denique

νγ.

Ἡ διάταξις φησὶν τὸ νόμιμον τὸ κείμενον καὶ ἐν τοῖς πρώτοις. ὅτι κατὰ ἀπόφασιν ἐπάρχου πραιτωρίων, ἔκκλητον οὐδεὶς ἐπιδίδωσι. δύναται δὲ βασιλέως ἐπιδεηθῆναι, καὶ πέμψασθαι † τῇ ἀποφάσει: εἰ καὶ τὰ μάλιστα ὑπὲρ πόλεως ἡ ἀπόφασις γέγονε, μόνον δὲ ἐντὸς διετίας δυνατός τις περὶ τῆς ἀποφάσεως δεηθῆναι βασιλέως, οὐχὶ περαιτέρω. † σὺν τῇ.

οη.

Μηδὲ μετὰ προκατάρξιν ἐξέστω τινὶ παραιτήσασθαι τὸν δικαστήν: μηδὲ πρὸ ἀποφάσεως ἐξέστω τινὶ ἐκκαλεῖσθαι.

ρκγ.

Ἡ διάταξις κελεύει, ἐὰν ἡ δίκη, ἐφ᾽ ἣ δεῖ προαχθῆναι τὴν κατὰ συνέλευσιν ἔκκλητον, μὴ ὑπερβαίνει τὰς δέκα λίτρας: μὴ ὡς πρότερον δύο δικασταὶ τὸ πρᾶγμα κρίνωσι, ἀλλὰ μόνον εἷς. εἰ δὲ ὑπερβαίνει τὰς δέκα λίτρας ἡ δίκη, τότε ἵνα δύο ὦσι δικασταὶ † ἐπιστολαρίων ὑπηρετουμένων. εἰ μέν τοι διαφωνήσουσιν οἱ δύο δικασταὶ πρὸς ἀλλήλους, τρίτον αὐτοῖς συνεῖναι τὸν κοιαίστωρα. ἐὰν δὲ ὑπερβαίνῃ τὰς κ. λίτρας ἡ δίκη, τότε κινεῖσθαι αὐτὴν ἐπὶ κοινῆς ἀκροάσεως πάντων τῶν συγκλητικῶν, ἵνα ἐξῇ καὶ τῷ νενικηκότι ἐν τῷ προτέρῳ δικαστηρίῳ, εἰσιέναι παρὰ τῷ ἑνί, ἢ τοῖς δυσὶ δικασταῖς, ἢ πᾶσι τοῖς συγκλητικοῖς τὴν ἔκκλητον ἐντὸς διετίας. καὶ μηδεμιᾷ ἐκκλήτῳ ἀναρτᾶσθαι τὰ παρ᾽ αὐτοῖς κρινόμενα, ὥσπερ οὐδὲ αἱ παρὰ βασιλεῖ πραττόμεναι ἐξετάσεις ἀναψηλαφῶνται. † νοταρίων.

ρκϛ.

Ἐάν τις ἐπιδῷ ἔκκλητον ἢ ἄρχοντι ἢ περιβλέπτῳ δικαστῇ, ἓξ μηνῶν ἐχέτω προθεσμίαν. ἐὰν δὲ μὴ καταβάλῃ ἐντὸς τῶν ἓξ μηνῶν, ἐχέτω καὶ ἄλλας λα. ἡμέρας. εἰ δὲ ἐκπίσῃ καὶ τούτου τοῦ χρόνου, ἐχέτω καὶ ἄλλας λα. ἡμέρας: καὶ πάλιν ἐκπεσὼν, ἐχέτω ἄλλην λα. ἡμέραν. ἐὰν δὲ ἐκπέσῃ τούτων τῶν χρόνων, τότε πάλιν εἴσω ἄλλων τριῶν μηνῶν προσερχέσθω ἡμῖν, καὶ αἰτείτω ἀνανέωσιν † τῆς συγκλήτου. καὶ δοθείσης αὐτῷ τῆς ἀνανεώσεως ἤτοι τοῦ προθεσμοῦ, κελεύομεν αὐτῷ μὴ δίδοσθαι ἕτερον ἑξαμηνιαῖον χρόνον, ἀλλὰ μόνον τριῶν μηνῶν διάστημα, ἀριθμουμένων ἐξ οὗ παρῆλθεν ὁ τέταρτος χρόνος. ἐὰν δὲ ἐδόθη δικαστὴς ἢ παρὰ τῶν ἐπάρχων, ἢ παρὰ τοῦ μαγίστρου, ἢ παρ᾽ ἑτέρου τινὸς τῶν ἰλλουστρίων ἀρχόντων, ἐν ταύτῃ τῇ ἐνδόξῳ πόλει: καὶ γένηται ἔκκλητος κατὰ τῆς ἀποφάσεως αὐτοῦ: ἡ μὲν πρώτη κυρία ἔστω δύο μηνῶν: αἱ δὲ ἄλλαι τρεῖς κατὰ μίμησιν τῶν προειρημένων κυρίων ἀριθμείσθωσαν. ὁμοίως καὶ ἐπὶ τοῦ δοθέντος διαιτητοῦ. † τοῦ ἐκκλήτου.

ρκζ.

Ἡ διάταξις κελεύει μηδέποτε ὑπὲρ τὸν χρόνον τὸν ὡρισμένον τὰς κατὰ συνέλευσιν ἐκκλήτους γίνεσθαι. μήτε εἴ τις δεήσεις ἐπιδώσει, ἢ θεῖον πορίσηται παρὰ βασιλέως γράμμα, μὴ δὲ ἑτέρῳ προ-

προσχήματι· ἀλλὰ παντὶ τρόπῳ σπουδάζειν ἕκαστον ἐμφανίσαι τὴν ἰδίαν ἔκκλητον, καὶ τὰ πεπραγμένα, ἐν τῷ δικαστηρίῳ ἐκείνῳ, καθ' ὃν ἐξεκαλέσατο διδόναι, ἢ παραχρῆμα, ἢ συντομώτερον πάντως τοῦ ἡμίσεως χρόνου τῆς ἐκκλήτου. ἐπεί τοι γε ὁ παρελθὼν τὸν χρόνον τοῦτον ζημιωθήσεται.

ρκη.

Τῆς ἐκκλήτου γυμναζομένης, ἐξουσία ἠνέῳκται πρὸς τῷ ἑκατέρῳ μέρει καιναῖς χρήσασθαι δικαιολογίαις, αἷς οὐκ ἐχρήσαντο ἐν τῷ προτέρῳ δικαστηρίῳ, καὶ παραγραφαῖς. ἐὰν μόνον εἰς κεφάλαιον ὦσιν ἤδη κινηθεῖσαι ἐν τῷ προτέρῳ δικαστηρίῳ.

Ἡ διάταξις κελεύει, ἵνα εἰ μὲν ἐξ Αἰγύπτου, ἢ Λιβύης, ἢ ἀνατολῆς, ἕως τῶν δύο Κιλικιῶν ἀριθμουμένης, ἢ ἀπὸ Ἀρμενίας, ἢ τοῦ Ἰλλυρικοῦ, ἔκκλητος προσενεχθῇ, ἔχωσιν οἱ ἐκκαλεσάμενοι τὴν ἀρχαίαν ἑξάμηνον. ἐὰν δὲ ἀπὸ Ἀσίας, ἢ Ποντικῆς, ἢ τῆς Θρᾴκης ἐνάγηται ἔκκλητος, τριῶν μηνῶν προθεσμίαν δίδωσι τοῖς ἐκκαλεσαμένοις ἀκολουθουσῶν καὶ τῶν ἄλλων ἐνενήκοντα τριῶν ἡμερῶν, εἴτε τοῖς τρισὶ μησὶν εἴτε τῇ ἑξαμήνῳ. ὁμοίως δὲ καὶ τῶν τριῶν μηνῶν τῆς [illegible]. Βούλεται δὲ καὶ τὰς κυρίας εἶναι, μὴ πάντως αὐτὰς τὰς ἡμέρας ἐν αἷς ὁ χρόνος συμπληροῦται· ἀλλὰ δέκα ἡμέρας αὐτὰς πρὸ τῆς κυριακῆς, καὶ αὐτήν, καὶ ἄλλας ε. ἴσως γὰρ πλανᾶσθαι περὶ τὴν ψῆφον τῶν ἡμερῶν. καὶ ἔνθα ἂν εὕρωμεν μνήμην κυρίας ἡμέρας, ι. ἡμέρας παρέχομεν. καὶ τὴν αἰτίαν τῆς ἐκκλήτου ἐνιαυτῷ κελεύομεν στενοχωρεῖσθαι· δυναμένου, εἰ βούλεται, τοῦ ἑνὸς μέρους τοῦ νικήσαντος ἐν τῷ κατὰ χώραν δικαστηρίῳ, καὶ συντομώτερον τὴν δίκην εἰσαγαγεῖν καὶ λοιπὸν παρεκτείνεσθαι τὴν δίκην, τεμνομένης τῆς δίκης καὶ τοῦ ἑνὸς μέρους τοῦ τὴν ἔκκλητον δεδωκότος ἀπολιμπανομένου. ἐὰν δὲ τὰ μέρη συμφωνήσωσι μὴ φυλάττειν τὰς κυρίας, ἰσχύειν βούλεται τοῦτο τὸ σύμφωνον ἡ διάταξις.

Καὶ ὅτι ἐὰν δικαστὴς ἐναντιοῦται τῇ προτέρου ἀποφάσει· οὐ χρεία ἐκκλήτου εἰς τὸ ἀνατρέψαι αὐτήν.

ρμη.

Ἐὰν τελευτήσῃ ὁ εἷς τῶν ἐκκαλεσαμένων, οἱ κληρονόμοι αὐτοῦ, ἑτέρους μῆνας τέσσαρας ἔχουσι. βούλονται γὰρ διασκέψασθαι περὶ τῆς κληρονομίας καὶ τότε ἢ καταδέξασθαι καὶ γυμνάσαι τὴν ἔκκλητον, ἢ μὴ καταδέξασθαι.

Ἀνάγνωθι τίτλου β. κεφάλαιον γ.

Οὐ μόνον ὁ πρωτότυπος, ἀλλὰ καὶ ὁ ἐντολεύς, καὶ ὁ διεκδικητὴς αὐτοῦ, καὶ ὁ κουράτωρ, καὶ ὁ πάτρων, ἔσω δέκα ἡμερῶν τῆς ἐκφωνηθείσης ψήφου, δύναται ἔκκλητον ἐπιδιδόναι.

Καὶ κεφάλαιον ια.

Θεσπίζομεν ὁσάκις ψῆφος τῶν ἐνδοξοτάτων ὑπάρχων οἱουδήποτε κλίματος προσενεχθῇ: καὶ εἷς (ὡς εἰκὸς) τῶν δικαζομένων νομίσει ἑαυτὸν

praetextu: sed ut omni modo quisque suam prouocationem insinuare studeat, & gesta in illo iudicio, contra quod prouocauit, uel statim, uel omnino citius dimidio appellationis tempore, tradat. quando qui tempus hoc praeterlabi sinet, dispendio suo multabitur.

CXXVIII.

Quum exercetur appellatio, licentia patet utrique parti nouis adsertionibus, quae in iudicio priori usurpatae non sunt, & exceptionibus utendi; modo ad caput ipsum pertineant, & iam in priore iudicio motae sint.

Constitutio iubet, ut si quidem ex Aegypto, uel Libya, uel oriente, qui ad utramq; Ciliciam usque numerando porrigitur, uel ex Armenia, uel Illyrico, appellatio transmissa fuerit; antiquum semestre spatium qui prouocarunt, habeant. Sin ex Asia, uel Ponto, uel Thracia perferatur appellatio, trium mensium spatium concedit ijs, qui appellarunt: sequentibus & alijs nonaginta tribus diebus, siue tres illos menses, siue semestre spatium, itidemque tribus mensibus reparationis. Vult autē & fatales esse dies non eos omnino, quibus fatum completur: sed decem dies fatalem praecedentes, cum ipso fatali, & alijs quinque. nam fortassis in calculo dierum erratur. Igitur ubicumq; fatalis dies mentionem inueniemus, decem dies praestabimus. Appellationis quoque caussam unius anni spatio coartari iubemus: uti tamen nihilo minus altera pars, quae uictrix in prouinciali iudicio fuit, potestatem habeat, si quidem uelit, etiam citius introducendae caussae, porroque sic peragendae, ut etiam absente parte, quae prouocauit, lis decidatur. Sin autem partes inter se pactae fuerint, ut dies fatales non obseruentur: eiusmodi pactum constitutio firmum esse uult. l.5.eod. §.ult.d.l.

Item, si iudex sententiae prius latae aduersetur, ad eam rescindendā appellatione non erit opus. l.1.C.quan. prou.non est nec.

CXLVIII.

Si unus eorum, qui appellarunt, defunctus sit: heredes eius quatuor alios etiam menses habent. Nam de hereditate [adeunda] deliberare uolunt, ac deinceps uel accipere & exercere appellationem, uel non accipere. l.ult.C.si pend. appell.

Tit.II.cap.III.

Non principalis dumtaxat litigator, uerumetiam procurator eius, & defensor, & curator, & patronus, intra decem dies a pronūtiata sententia prouocare potest. Nouel.23.in princ.

Et cap.XI.

Sancimus, ut quoties a gloriosissimis praefectis cuiuscumque tractus sententia prolata fuerit, & unus (ceu fieri potest) litigantium se gra- Nouel.119. cap.5.

uatum putet, facultatem is habeat offerendi libellum instructiuũ gloriosissimis praefectis, qui sententiam tulerunt, uel eorum consiliarys, uel litium introductoribus, idq; decem intra dies, ex quo sententia lata sit. quo subsequuto, non aliter sententia dabitur exsequutioni, nisi prius pars uictrix idoneos fideiussores praestet pro tanta summa, quanta futura sit condemnatio: uidelicet si deinceps retractatione modo legitimo procedente sententia rescissa fuerit, futurum ut ipsae res ei cum legitimis accessionibus restituantur. Quod si dictum intra spatium dierum decem post latam sententiam, libellum non obtulerit is, qui laesum se putat: iubemus, ut absque fideiussione res exsequutio procedat, iure retractationis ei seruando, qui se grauatum putauerit.

Nouel.126. *In omnibus autem appellationibus hoc obtinere iubemus, ut quotiescumque prouocatione interposita, intra definitum tempus, utraque pars diem fatalem obseruauerit; absque dilatione iudices tum acta, tum iudicata examinare studeant, & legi atque iuri consentaneam sententiam proferant. Quod si solus is, qui prouocauit, ingressus fuerit; iubemus, uti iudices ad extremum usque diem fatalem exspectent, & si requisitus uictor non inueniatur, actis examinatis legitimum finem imponant. Sin is solus, qui uictricem sententiam retulit, ingressus fuerit; & qui prouocauit, requisitus non inueniatur: non solum iudices ultimum diem fatalem exspectent, uerumetiam totum reparationis tempus, hoc est, tres mẽses: ac si ne tunc quidem is, qui appellauit, inuentus fuerit, non amplius temporis decursu sententia rata fiat, sed uel ab una parte iudices tum acta, tum iudicata examinent, & si quidem recte prolatam sententiam deprahenderint, eam confirment: sin quid in ea neglectum sit, corrigant, legitimamque sententiam proferant.*

Et VIII. cap.

Sancimus, ne qui appellauit decursu temporis aliquid damni sentiat, neue sententia iudicis, a qua semel appellatum est, rata sit: sed amplius apud claritatem tuam examinetur, & legitimum terminum accipiat, etiamsi millies maius biennio tempus decurrerit, aut decurrat. Ceterum in omni caussa, in qua quid huiusmodi euenerit, & in medio mota litis apud iudicem appellationis, aut etiam non mota, compromissum fuerit in quosdam alios, ideoq; biennium praeterierit, intra quod oportebat appellationis iudices litem decidere, casu autẽ quocumque lis ad appellationis iudices denuo redierit:

βεβαρῆσθαι· ἔχειν τὸν τοιοῦτον ἄδειαν διδασκαλικὸν προφέρειν τοῖς ἐνδοξοτάτοις ὑπάρχοις τοῖς τὴν ψῆφον προαγαγοῦσιν, ἢ τοῖς τούτων συμπάροις, ἢ τοῖς τὰς δίκας εἰσάγουσιν, ἐντὸς δέκα ἡμερῶν προθεσμίας μετὰ τὸ προσενεχθῆναι τὴν ψῆφον. ὥς τι τούτου παρακολουθοῦντος, μὴ ἄλλως ἐκβιβασμῷ παραδίδοσθαι τὴν ψῆφον, εἰ μὴ πρότερον ἐγγύας ἀξιοπίστους παράσχῃ τὸ νικῆσαν μέρος ὑπὲρ τοσαύτης ποσότητος, ὅσης ἂν εἴη ἡ καταδίκη, ὡς εἰ μετὰ ταῦτα ἀναψηλαφήσεως νομίμῳ τρόπῳ προϊούσης, ἡ ψῆφος ἀνατραπείη, τὰ πράγματα αὐτῷ μετὰ τῶν νομίμων ἐπαυξήσεων ἀποκαθίστασθαι. εἰ δὲ ἐντὸς τῆς μνημονευθείσης τῶν δέκα ἡμερῶν προθεσμίας μετὰ τὴν ψῆφον προσενεχθῆναι, μὴ ἐπιδοίη τὸν λίβελλον ὁ νομίζων βεβλάφθαι, κελεύομεν τὸν τοῦ πράγματος ἐκβιβασμὸν δίχα ἐγγύης προϊέναι, τοῦ τῆς ἀναψηλαφήσεως δικαίου φυλαττομένου ἐκείνῳ, ὅς τις ἑαυτὸν βεβαρῆσθαι νομίσοι.

Ἐν πάσαις δὲ ταῖς ἐκκλήτοις, τοῦτο κρατεῖν κελεύομεν, ἵνα ὁσάκις ἐκκλήτου γινομένης ἐντὸς τοῦ ὡρισμένου χρόνου, ἑκάτερον μέρος τὴν κυρίαν ἡμέραν παραφυλάττῃ, ἀνυπερθέτως οἱ δικασταί, τοῦτο μὲν τὰ πεπραγμένα, τοῦτο δὲ τὰ κεκριμένα ἐξετάζειν σπουδάσωσι, καὶ μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ψῆφον διδόναι. εἰ δὲ μόνος ὁ ἐκκαλεσάμενος εἰσέλθῃ, κελεύομεν τοὺς δικαστὰς ἀναμένειν, μέχρι τῆς τελευταίας κυρίας, καὶ εἰ ἀναζητηθεὶς ὁ νικήσας μὴ εὑρεθείη, ἐξεταζομένων τῶν πεπραγμένων, νόμιμον δρίσωσι πέρας. εἰ δὲ μόνος ὁ τὴν νικητικὴν ψῆφον λαβὼν εἰσέλθοι, καὶ ἐπιζητηθεὶς ὁ ἐκκαλεσάμενος μὴ εὑρεθείη, ἀναμένειν τοὺς δικαστάς, μὴ μόνον τὴν τελευταίαν κυρίαν, ἀλλὰ καὶ τὸν τοῦ εὐτρεπισμοῦ χρόνον, τουτέστι τοὺς τρεῖς μῆνας. καὶ εἰ μηδὲ τηνικαῦτα ὁ ἐκκαλούμενος εὑρεθείη, μηκέτι τῇ τοῦ χρόνου παραδρομῇ κυροῦσθαι τὴν ψῆφον, ἀλλὰ καὶ ἐκ μιᾶς μοίρας τοὺς δικαστὰς ἐξετάζειν, τοῦτο μὲν τὰ πεπραγμένα, τοῦτο δέ, τὰ κεκριμένα. καὶ εἰ μὲν ὀρθῶς τὴν ψῆφον δεδομένην εὕροιεν, ταύτην βεβαιοῦν· εἰ δέ τι παρώφθαι, τοῦτο διορθοῦσθαι, καὶ νόμιμον διδόναι ψῆφον.

η.

Θεσπίζομεν μηδὲν βλάβην ὑπομένειν τὸν ἐφέντα τῇ τοῦ χρόνου παραδρομῇ, μηδὲ κυρίαν εἶναι τὴν τοῦ δικαστοῦ ψῆφον ἅπαξ ἐκκληθεῖσαν, ἀλλὰ καὶ προσεξετασθῆναι παρὰ τῇ σῇ ἐνδοξότητι καὶ πέρας νόμιμον δέξασθαι. κἂν εἰ μυριάκις πλείων τῆς διετίας χρόνος παρέδραμεν, ἢ καὶ παραδράμοι. τοῦ λοιποῦ δὲ ἐπὶ πάσης ὑποθέσεως, ἐφ' ἧς τοιοῦτον συμβῇ καὶ ἐν μέσῳ κινουμένης τῆς δίκης παρὰ τῷ ἐφέτῃ δικαστῇ, ἢ καὶ μὴ κινουμένης, τινὲς † εὑρεθῶσιν ἕτεροι, καὶ διὰ τοῦτο ἡ διετία παρέλθοι, ἧς ἐντὸς ἐχρῆν τοὺς ἐφέτας τὴν δίκην τεμεῖν, καὶ καθ' οἱανδήποτε πρόφασιν ἐπανέλθοι πάλιν ἐπὶ τοὺς ἐφέτας ἡ δίκη: † αἱρεθῶσιν ἕτεροι.

τοῖς

τοῖς μὲν ἄλλοις πᾶσιν ἐξέστω χρῆσθαι τοῖς μέρεσιν, ὥσπερ εἰ μὴ ἔτυχον ἀπολιπόντες μὲν τὸ ἐφετικὸν δικαστήριον, ἐπὶ δὲ τοὺς αἱρετοὺς ἐλθόντες, μὴ μέντοι δυνάσθαι χρῆσθαι τῷ τὴν διετίαν παραδραμεῖν. ὁ γὰρ ἅπαξ δικαστὰς ἄλλους ἑλόμενος οὐκ ἂν ἔτι δίκαιος σιωπὴν ἐγκαλεῖν τῷ διὰ τοῦτο ἀδικηθέντι, διότι τοῖς περὶ τῆς αἱρέσεως τῶν δικαστῶν γενομένοις ἐπίστευσε, καὶ διὰ τοῦτο οὐκ ἐπεξῆλθεν, οὐδὲ ἐπλήρωσε τὴν δίκην ἐκεῖσε, διὰ τὸ παρὰ τοῖς δικασταῖς ἐκείνοις ἀγωνισθῆναι τὴν ὑπόθεσιν. εἰ μέντοι καὶ μετὰ τὸ ἀπολειφθῆναι τῶν αἱρετῶν δικαστῶν διετὴς παρέλθοι χρόνος: τηνικαῦτα ἐρρῶσθαι τὴν ψῆφον, κατὰ τὰς περὶ τούτου γενομένας παρ' ἡμῶν διατάξεις.

ιβ.

Ἅπαξ δὲ τῆς ἐφεσίμου δίκης ἐν ταῖς ἐμπροθέσμοις ἡμέραις, εἴτε παρ' ἑκατέρου μέρους, εἴτε παρὰ τοῦ ἑνὸς εἰσαχθείσης μηκέτι τῇ τοῦ διετοῦς χρόνου παραδρομῇ τοῦ λοιποῦ βεβαιοῦσθαι τὴν ψῆφον: ἀλλὰ τῆς ἀληθείας καὶ τοῦ δικαίου σκοπουμένου, πέρας ταῖς τοιαύταις ὑποθέσεσι † δρᾶξ νόμιμον. εἴτε τοῦ ἑνός, εἴτε ἑκατέρου μέρους, παρόντος. καὶ διὰ τοῦτο κελεύομεν † αὐτῆς τοιαύτης ὑποθέσεσιν, μηκέτι (καθὰ μέχρι τοῦ παρόντος ἐκράτει) εἰς τὴν πρώτην ἔκκλητον πάσας τὰς διαγνώσεις ἀναφέρεσθαι: ἀλλὰ μίαν ἑκάστην ἰδίαν ἡμέραν ἔχειν προγεγραμμένην.

† δίδοσθαι.

† ἐν ταῖς τοιαύταις.

Ἀνάγνωθι καὶ τίτλον γ. κεφάλαιον νβ. ἐν ᾧ φησίν.

Κατὰ αὐτοῦ ἀδιεκδικήτου ἢ τῆς πολιτείας χάριν ἀπόντος, ἢ ἀφήλικος, ἐκβλητος οὐκ ἔρρωται.

Καὶ κεφάλαιον νε.

Μετὰ ψῆφον, ἢ ὅρκου δόσιν ἢ συγκατάθεσιν, οὐδὲν ζητεῖται. οἱ γὰρ ὁμολογοῦντες, ἀντὶ κατακεκριμένων εἰσί.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον ε. κεφ. ε. ὅπερ ἐστὶ νεαρᾶς πβ. κεφ. α. ἐν ᾧ φησὶ μὴ ἐκκαλεῖσθαι τρίτον.

ΠΕΡΙ ΔΙΚΑΖΟΝΤΩΝ ΔΙΑΙΤΗΤΩΝ: καὶ περὶ τῶν διδομένων αὐτοῖς συνηθειῶν, ἐν ταῖς ὑπερβαινούσαις τὰ ρ.

Ν Ν. δίκαις.

Τοῦ αὐτοῦ τίτλου κεφ. κθ.

Κατὰ τοῦ δοθέντος διαιτητοῦ πρὸς τὸ δοκιμάσαι τοὺς ἐγγυητάς, καλῶς ἐκκαλούμεθα: καὶ εἰ τὰ μάλιστα χωρὶς † ἐκκλήτου ὁ δεδωκὼς αὐτόν, διορθοῦται τὴν ψῆφον αὐτοῦ.

† ἐκκλήσεως.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον α. κεφ. ς. καὶ η. καὶ τίτλον β. κεφ. ςη. καὶ ςθ. καὶ ρ.

ΠΕΡΙ ΚΑΤΑΔΙΚΑΣΘΕΝΤΩΝ, καὶ περὶ κεκριμένου πράγματος.

Τίτλ. γ. κεφ. α.

Κεκριμένον λέγεται τὸ ψήφῳ τμηθέν, δι' ἧς καταδικάζεταί τις, ἢ ἀπολύεται.

alijs quidem omnibus utendi facultatem partes habeant, atq; si iudicium appellationis non deseruissent, nec ad compromissarios se iudices contulissent, sed illo tamen uti non poterunt, quod biennij tempus decurrerit. Nam qui semel iudices alios delegit, is ei cui damnosum hoc accidit, silentium propterea iure nequit obijcere, quod ijs fidem habuerit, quæ de iudicibus ex compromisso agerentur, nec caussam iccirco persequutus sit, aut istic litē impleuerit, quum apud iudices illos alios controuersia exerceretur. Verum si post relictos iudices compromissarios biennij tempus effluxerit, sententia rata & firma, secundum nostras de hoc factas constitutiones, esto.

Et XII.

Appellationis autem caussa semel intra statutos dies, siue ab utraque parte, siue ab altera tantum introducta, non amplius bienny decursu deinceps rata fiat sententia: sed ueritatis atque iuris habita ratione, legitimus eiusmodi caussis terminus imponatur, siue pars una, siue utraque præsens fuerit. ideoque iubemus, ut in huiusmodi controuersijs non amplius, ut hactenus obtinuit, ad primam appellationem cognitiones omnes referantur: sed uti qualibet suum diem præscriptum habeat.

l. nouel. 126. cap. 2.

Item adde tit. III. cap. LII. in quo dicitur:

Contra pupillum indefensum, uel absentem reipublicæ caussa, uel minorem, peremtorium non ualet.

l. 54. D. de re iudic.

Et LV.

Post rem iudicatam, uel iurisiurandi præstationem, uel confeßionem, nihil quæritur. nam qui confitentur, pro iudicatis habentur.

SCHOLION.

Legito & lib. VII. tit. V. cap. V. quod est nouellę LXXXII. cap. I. in quo dicitur, nō appellari tertio.

DE IUS DICENTIBUS ARBITRIS, deque consuetudinibus, quæ eis dantur in caussis centum solidos excedentibus.

Eiusd. tit. cap. XXIX.

In arbitrum, qui ad probandos fideiussores datus est, recte appellamus: quamuis & sine appellatione is, qui eū dedit, sententiā eius corrigat.

l. 9. D. qui satisd. cog. & l. 2. a quib. appell. non lic.

Coniunge lib. VII. tit. I. cap. VI. & VIII. itemq; tit. II. cap. XCVIII. & XCIX. & C.

DE CONDEMNATIS, ET de re iudicata.

Tit. III. cap. I.

Indicatum dicitur, quod sententia iudicis est decisum, qua quis uel cōdēnatur, uel absoluitur.

l. 1. D. de re iudic.

Ibid.them.VI.

A condemnato ut soluat, exigitur ut praestet, non ut satisfaciat; nisi ex magna & necessaria caussa, & quidem ut tũc idoneum expromissorem det.

Cap.II.them.II.

Condemnatus intelligitur, qui legitime condemnatus est.

XXXIII.

Si quis testes largitione corruptos produxerit, atq; uicerit; seuere punitur, & iudicata minime firma sunt.

XLVIII.them.III.

Absentibus sententia [lata] non praeiudicat.

LXX.

Debet esse l.5.C. de fructibus & lit. expens. ubi notatur, vacam constitutionẽ deesse. *deest, sumtus praestare.

*Constitutio praecipit, ut quiuis iudex in sententia sua iubeat uictum facios in iudicio * .... Habet & potestatem iudex transcendendi sumtum, ad decimam usque partem eorum, quae impensa sunt; si eum ad hoc partis eius, quae sumtum profudit, impudentia permouerit: ita ut ea, quae impensas excedunt, ad fiscales rationes pertineãt. nisi forte iudex detrimentum partis uictricis sarcire uolens, partem aliquam horũ ei adsignet. Neq; tantum actor atq; reus [in expensas] condemnantur, quum index utriq; competens est; uerum etiam quum non est iudex actoris competens, qui tamen ex recõuentione uictus sit, nec eum iudicẽ recusare possit: siue adeo praesides, siue dati a principe arbitri, iudices fuerint. Nam & hi suos exsequutores atq; cõpulsores habent. Quod si iudex hoc nõ fecerit, ipse parti uictrici dãnũ illud cõpensare cogitur.*

LXXII.

l.1.C. de re iudic.

Si condemnatus probet, actorem eam rem, quam furto se amisisse dicebat, ab aliquo recepisse: quum in eũ iudicati agitur, recte doli exceptionem alteri opponit.

LXXXIIII.

l.7.C. de exsequ. rei iudic.

Si post condẽnationem reus moras nectat, & corpora in cõdemnatione posita rebus humanis eximi contingat: aestimationem eorum praestare cogitur.

XCIII.

l.2.C. quib. res iudic. non noc.

Res inter alios iudicata nec emolumentum, nec damnum absenti adferunt. ideoque nec uno heredum condemnato, alteri praeiudicatur.

XCIIII.

Etiam in criminibus ea, quae inter alios indicata sunt, alijs non officiunt.

XCV.

l.ult.C. eod.

Quae in iudicio sunt indicata, quamuis alius quispiam in eamdem caussam inciderit, tamen in eo ualere non debent. Nec enim absenti ex rebus indicatis praeiudicium nasci debet.

Εν δὲ τῷ ϛ. θεμ.

Ο' καταδικαζόμενος δοῦναι, ἀπαιτεῖται παρασχεῖν, οὐ μὴν τὸ ἱκανὸν ποιῆσαι· πλὴν εἰ μὴ ἀπὸ μεγάλης καὶ ἀναγκαίας αἰτίας: καὶ τότε δὲ ἵνα ἐπιτήδειον δῷ ἐπαγγελόμενον.

β. κεφ. θεμ. β.

Καταδεδικασμένος ἐστὶν, ὁ νομίμως κατακριθείς.

λγ.

Εἰ ψευδεῖς ἐπὶ δόσει παραγαγών τις μάρτυρας νικήσει, καὶ αὐστηρῶς τιμωρεῖται, καὶ τὰ κριθέντα οὐ κρατεῖ.

μη. κεφ. θεμ. γ.

Τοῖς ἀποῦσιν ἡ ψῆφος οὐ προκρίνει.

ο.

Η' διάταξις κελεύει, ὥς τι παντα δικαστὴν ἐν τῇ ἀποφάσει ἑαυτοῦ κελεύειν τὸν ἡττηθέντα ἐν τῷ δικαστηρίῳ γινόμενα .... ἔχοντος ἐξουσίαν αὐτοῦ τοῦ δικαστοῦ καὶ ὑπερβαίνειν τὴν δαπάνην, ἕως τῆς δεκάτης μοίρας τῶν δαπανηθέντων: ἐὰν αὐτὸν ἀναισχυντία τοῦ δαπανηθέντος μέρους, πρὸς τοῦτο παρακινήσῃ, ὥς τι τὰ ὑπὲρ τὰ δαπανήματα τῷ δημοσίῳ λόγῳ διαφέρειν. εἰ μή τι ἄρα ὁ δικαστὴς τὴν τριβὴν τοῦ νενικηκότος μέρους βουληθεὶς θεραπεῦσαι, μέρος τι ἐκ τούτων αὐτῷ ἀφορίσει. καταδικαζομένου μὴ μόνον τοῦ ἐνάγοντος καὶ τοῦ ἐναγομένου ὅτι πρόσφορος ἑκατέρῳ ἐστὶν ὁ δικαστὴς, ἀλλὰ καὶ ὅτι τοῦ ἐνάγοντος ἀπρόσφορός ἐστιν, ἡττηθῇ δὲ ἐξ ἀντεναγωγῆς, μὴ δυνάμενος ἐκεῖνον τὸν δικαστὴν παραιτήσασθαι· εἴτε ἄρχοντες εἶησαν δικασταὶ, εἴτε θεῖοι διαιτηταί. ἔχουσι γὰρ οὗτοι ἐκβιβαστὰς καὶ ἐπεικτας. εἰ δὲ μὴ τοῦτο ποιήσει ὁ δικαστὴς, αὐτὸς τὴν ζημίαν ταύτην ἀναγκάζεται θεραπεῦσαι τῷ † νενικότι μέρει.

λάπη, δαπανήματα παρασχεῖν.

† νενικηκότι.

οβ.

Εὰν ὁ καταδικασθεὶς ἀποδείκνυσι, ὅτι ὁ ἐνάγων αὐτῷ ἔλαβε παρά τινος τὸ πρᾶγμα ὅπερ ἔλεγε κλαπῆναι, ἐναγόμενος τῇ ἀπαιτήσει τῆς καταδίκης, καλῶς ἀντιτίθησιν αὐτῷ δόλου παραγραφήν.

πδ.

Εὰν ἐπὶ τῇ καταδίκῃ ὑπέρθηται ὁ ἐναγόμενος, καὶ συμβῇ τὰ σώματα τὰ ἐν τῇ καταδίκῃ κείμενα τελευτῆσαι, τὴν διατίμησιν αὐτῶν ἀναγκάζεται παρασχεῖν.

ϟγ.

Μεταξὺ ἄλλων κριθέντα, οὐδὲ ὠφέλειαν, οὐδὲ βλάβην ἐπιφέρουσι τῷ μὴ παρόντι. ὅθεν οὐδὲ ἑνὸς τῶν κληρονόμων καταδικαζομένου, ὁ ἕτερος βλάπτεται.

ϟδ.

Καὶ ἐπὶ ἐγκλημάτων τὰ μεταξὺ ἄλλων κριθέντα, ἑτέρους † βλάπτει.

† deest ὁ.

ϟε.

Τὰ κριθέντα ἐν δικαστηρίῳ, καὶ ἐμπέσῃ ἕτερός τις εἰς τὴν αὐτὴν αἰτίαν, οὐκ ὀφείλουσιν ἐπὶ ἐκείνου κρατεῖν. οὐδὲ γὰρ δεῖ τῷ μὴ παρόντι πρόκριμα γίνεσθαι ἐκ τῶν κριθέντων.

ϟϛ. Εὰν

ργ.

Ἐὰν ὡς διαθήκης προσενεχθείσης ἔκρινεν ὁ ἄρχων· μετὰ δὲ ταῦτα εὑρεθῇ πλαστὴ ἐκείνη ἡ διαθήκη, κινεῖται αὖθις τὸ δικαστήριον· μὴ ἀντικειμένης τῆς ἀπὸ καταδίκης παραγραφῆς.

Ἐν δὲ τῷ δ. θεμ. λέγοντος τινὸς ἀπὸ πλαστῶν δικαιωμάτων καταδικασθῆναι, χρὴ ὑπερτεθῆναι τὸν τῆς ἀποφάσεως ἐκβιβασμόν.

Ἀνάγνωθι καὶ βιβλίον να. τίτλον δ. κεφάλαιον ιθ. καὶ βιβλίον ξ. τίτλον να. κεφάλαιον β. θεμ. δ. ἐν ᾧ φησίν.

Οὐ δοκεῖ κατακεκρίσθαι ὁ ἐκκαλεσάμενος, † καταδικά-ζειν. ὅτι ὁ καταδικασθεὶς ἀπὸ τοῦ μὴ ἔχοντος † δικάζειν.

Καὶ κεφάλ. ε.

Οὔτε ἐξ ὑπονοίας, ὅτι ἀπὼν τὶς καταδικάζεται· εἰ μὴ ὁ μετὰ πολλὰς ὑπομνήσεις καὶ προγράμματα μὴ παραγινόμενος· καὶ αὐτὸς δὲ μέχρι χρηματικῆς ποινῆς, ἢ ἀτιμίας, ἢ ἐξορίας. κάλλιον γάρ ἐστιν ἀνεκδίκητα μένειν τὰ ἁμαρτήματα, ἤπερ τὸν ἀναίτιον καταδικάζεσθαι. ὁ δὲ κατήγορος ἀπὼν, καταδικάζεται. καὶ πλέον ἔσθ' ὅτε, ἤπερ ἀπαιτεῖ τὸ κατὰ συκοφαντῶν δόγμα.

ΠΕΡΙ ΚΑΡΠΩΝ ΚΑΙ ΤΩΝ κακῇ πίστει καρπωσαμένων.

Τοῦ αὐτοῦ τιτλ. κεφάλ. ξς.

Ὁ κακῇ πίστει νομεὺς, οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι, καὶ τοὺς καρποὺς οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ἠδύνατό τις λαβεῖν καρπούς. καὶ δίδωσι τοὺς μετὰ προκατάρξιν. ταῦτα δὲ νόησον μὴ ἐπὶ τῆς ἀπαιτήσεως τῆς κληρονομίας. ἐπὶ ἐκείνης γὰρ καὶ οἱ πρὸ τῆς προκατάρξεως καρποὶ καταφέρονται. εἰ δὲ καὶ τελευτήσει † οὗτος ἐπὶ κληρονόμῳ, καὶ ὁ κληρονόμος † αὐτοῦ εἰς τὸ ἐλάττωμα αὐτοῦ ὑπεισιὼν, † τὰ αὐτοῦ ἀπαιτεῖται.

† ἕτερος. † αὐτὸς. † τὰ αὐτά.

Ἀνάγνωθι καὶ βιβλίον ιε. τίτλον α. κεφάλαιον μδ. ἐν ᾧ φησίν.

Οἱ ἠρτημένοι καρποὶ, μέρος εἰσὶ τοῦ ἀγροῦ.

Ἀνάγνωθι καὶ τίτλον δ. κεφ. θ. ἐν ᾧ φησίν.

Εἰ μὲν φαίνεται ὁ πεσὼν καρπὸς εἰς τὸν ἀγρὸν ἐκ τῶν δένδρων μου, ἔχω τὴν παραστατικὴν ἀγωγὴν, ἐπὶ τῷ συναγαγεῖν τὸν καρπὸν ἐπὶ τρεῖς ἡμέρας· διδοὺς τὴν περὶ τοῦ μὴ βλάψαι ἀσφάλειαν. εἰ δὲ καὶ δόλῳ κατεβόσκησας αὐτὸν, χώρα τῇ παραστατικῇ ἀγωγῇ.

Ἀνάγνωθι καὶ βιβλίον κγ τίτλον γ. οὗ τινος ἐν τῷ β. κεφαλαίῳ φησίν.

Κἂν προσωπικὴ ἀγωγὴ κινεῖται, δίδοται μετὰ προκατάρξιν τὰ πράγματα· καὶ οἱ μετὰ ταῦτα ληφθέντες καρποὶ, καὶ ὁ τοκετός. οἷον γὰρ ἦν ἐν τῇ προκατάρξει τὸ πρᾶγμα, τοιοῦτον ὀφείλει δίδοσθαι.

η. κεφ.

Ἡ γονὴ τῶν ληγατευθέντων ἵππων δίδοται μετὰ ὑπέρθεσιν, ὡς καρπός. ἡ δὲ γονὴ τῆς γονῆς, ὡς πρᾶγμα· ὥσπερ καὶ ὁ τοκετὸς τῆς δούλης.

CIII.

Si præses quasi prolatis testamenti tabulis sententiam dixit, eæque postea falsæ deprehendantur: de integro caussa mouetur, præscriptione rei iudicatæ non obstante. l.1.C.si ex fals. instrum.

Ibid. IIII. them.

Quum quis se dicit ex falsis instrumētis condēnatū, exsequutionē sententiæ suspēdi oportet.

Legendus etiam lib. LI. tit. IIII. cap. XIX. itemque lib. LX. tit. LI. cap. II. them. IIII. in quo dicitur:

Non uidetur damnatus, qui prouocauit: nec qui dānatus est ab eo, qui ius dānandi nō habet. l.2.§.2.D. de pœn.

Et cap. V.

Nec ex suspicione, nec absens quis damnatur; nisi post multas admonitiones & edicta nō compareat. Et hic ipse uero damnatur usq; ad pecuniariam pœnam, uel infamiam, uel relegationem. Satius enim est impunita relinqui facinora, quam innocentē damnari. Accusator autem absens damnatur, & plus interdum, quam Senatusconsultum contra calumniatores exigat.

DE FRVCTIBVS ET HIS, QVI mala fide fructus perceperunt.

Eiusdem tit. cap. LXVI.

Malæ fidei possessor, non rem tantum redhibet, & fructus quos percepit: sed etiam eos, quos percipere potuisset. Et exsoluit eos, qui post contestationem litis potuerunt percipi. (Hac autem non in hereditatis petitione intelligito. Nam in ea fructus etiam ante litis contestationem percepti deducuntur.) Quod si relicto herede moriatur, etiam ab herede, qui in eius uitium successit, fit eorumdem repetitio. l.2.C.de fruct. & lit.exp.

Legendus & lib. XV. tit. I. cap. XLIIII. in quo dicitur:

Fructus pendentes, fundi pars sunt. l.44.D.de rei uendic.

Legito & tit. IIII. cap. IX. in quo dicitur:

Si fructus, qui ex arboribus meis in fundum tuum incidit, exstat; actionem ad exhibendum habeo, ut mihi tertio quoque die fructus legendi facultas sit, si damni infecti cauero. Quod si etiam dolo pecus immisisti, quod eum comederet, actioni ad exhibendum locus est. l.9.§.1.D.ad exhib. Adde tit. de glan. leg.

Legito & lib. XXIII. tit. III. cuius II. cap. dicitur:

Quamuis actio personalis sit, res tamen post litem contestatam præstantur, & capti postea fructus, & partus. Nam qualis erat res in litis contestatione, talis dari debet. l.2.D.de usur.

VIII. cap.

Fetus equorum legatorum præstatur, ut fructus: secundus autem fetus, ut res. sicut & partus ancillæ.

XXVI.

Sicut lac, pilus, & lana, sic & fetus pecudū, fructus earum est; & dominus eorum est bona fidei possessor, atq; fructuarius. Partus uero ancillæ non ad hunc, sed ad dominum pertinet. Nam homo nō est in fructu, quum eius gratia fructus omnes natura comparauerit.

XLII.

Quod in fructus colligendos impensum est, eos deminuit.

Legito & lib. XXIIII. tit. III. cap. III. in quo dicitur:

Qui mala fide fructus percepit, si conuentus fuerit, & uictus rei uindicatione, ob existantes quidem fructus actione de ijs conueniri potest: sed si consumti sint, condictione tenetur, illorūq; restitutioni parere cogitur.

DE CONFESSIS, ET QUANDO teneantur, quando non teneantur.

Tit. IIII. cap. IIII.

l.4.D.de confess. *Qui seruum occisum interemisse se fatetur, licet non occiderit, ex confessio tenetur.*

VI.

Confessus pro iudicato est, & quatuor mensium tempus habet: intra quod si non restituat, lis aduersus ipsum æstimatur.

VII.

Non omni modo confessus cōdemnatur eius rei nomine, de qua confitebatur ille quidem, sed ambigitur, an in rerum natura sit.

VIII.

l.un.C.h.tit. *In iudicio confessus, pro iudicato habetur.*

Legito & lib. XIIII. tit. I. cap. LII. in quo dicitur:

Qui frumentum promittit, nec adijcit bonum; quale quale soluat, liberatur. Itaq; si fideiussor eius bonum soluerit, aliud non repetit, nisi quo dato liberandus erat.

Legito & lib. LI. tit. VI. cap. II & IIII. Item lib. VII. tit. VI. cap. XXIII. cuius hæc uerba sunt:

l.2.C.de plus petit. *Si quis centū, uerbi gratia, solidos alicui credēs, per dolum & machinationem effecerit, ut debitor ei pro ducentis solidis cautionem exponat, & eum nomine ducentorum in ius uocauerit: si quidem ante litem contestatam pœnitentia ductus, dolum suum confiteatur, nullo dispendio grauetur, sed reapse debitos sibi centum solidos recipiat. Sin litem contestatus est, & in certamine permanens, admissi doli conuictus fuerit: non solum adiectu ultra summam centum solidis, uerum etiam alteris illis centum uere debitis cadat. nisi forte uel transactio facta sit, uel secunda confessio de ducentis solidis*

κϛ.

Ὥσπερ τὸ γάλα, καὶ αἱ τρίχες, καὶ τὸ ἔριον, οὕτω καὶ ἡ γονὴ τῶν θρεμμάτων, καρπὸς αὐτῶν ἐστι, καὶ δεσπόζει αὐτῶν ὁ καλῇ πίστει νομεὺς, καὶ ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων. ὁ δὲ τοκετὸς τῆς δούλης οὐκ αὐτῷ, ἀλλὰ τῷ δεσπότῃ διαφέρει. ὁ γὰρ ἄνθρωπος, οὐκ ἔστι καρπὸς, ὡς τῆς φύσεως δι' αὐτὸν εὐτρεπισάσης πάντας τοὺς καρπούς.

μϐ.

Τὸ δαπανώμενον περὶ τὴν συλλογὴν τῶν καρπῶν, μειοῖ αὐτούς.

Ἀνάγνωθι καὶ βιβλίον κδ. τίτλον γ. κεφάλαιον γ. ἐν ᾧ φησίν.

Ὁ κακῇ πίστει καρπωσάμενος, ἐὰν ἐναχθῇ καὶ ἡττηθῇ τῇ περὶ τοῦ πράγματος ἀγωγῇ: ἐπὶ μὲν τοῖς φαινομένοις καρποῖς. δύναται τῇ περὶ αὐτῶν ἀγωγῇ ἐνάγεσθαι: δαπανηθέντων δὲ αὐτῶν, κατέχεται τῷ ἀπαιτητικῷ λόγῳ: ἀναγκαζόμενος τῇ τούτων ἀποκαταστάσει πειθαρχῆσαι.

ΠΕΡῚ ὉΜΟΛΟΓΗΣΑΝΤΩΝ, καὶ πότε εὐθύνονται, καὶ πότε οὐκ εὐθύνονται.

Τιτλ. δ. κεφαλ. δ.

Ὁ τὸν φονευθέντα δοῦλον ἀνῃρηκέναι ὁμολογῶν, εἰ καὶ μὴ ἀνεῖλεν, ὡς ὁμολογῶν κρατεῖται.

ϛ.

Ὁ ὁμολογήσας αὐτὶ κατακριθέντος ἐστὶ, καὶ ἔχει τὴν τετράμηνον. ἧς ἐντὸς εἰ μὴ παράσχοι, ἡ δίκη κατ' αὐτοῦ ἀποτιμᾶται.

ζ.

Οὐ πάντως ὁ ὁμολογῶν καταδικάζεται εἰς τὸ πρᾶγμα περὶ οὗ συνέθετο: ἀλλ' ἀμφιβάλλεται εἰ ἔστιν.

η.

Ὁ ἐν βήματι ὁμολογήσας, ὡς ὁ καταδικασθείς ἐστιν.

Ἀνάγνωθι καὶ βιβλ. ιδ. τίτ. α. κεφ. νϐ. ἐν ᾧ φησίν.

Ὁ ὁμολογῶν σῖτον καὶ μὴ προστιθεὶς καλὸν, οἱονδήποτε διδοὺς, ἐλευθεροῦται. † ὁ οὖν ἐγγυητὴς † ἐὰν ὑπ. αὐτοῦ καλὸν παράσχῃ, οὐκ ἀπαιτεῖ εἰ μὴ ὃν διδοὺς ἠλευθεροῦτο.

Ἀνάγνωθι καὶ βιβλ. να. τίτ. ϛ. κεφάλ. ϐ. καὶ δ. ἀνάγνωθι καὶ βιβ. ζ. τίτ. ϛ. κεφ. κγ. ἐν ᾧ φησίν.

Si quis ob mortem, uel cruciatu corporis territus, aliquid spoponderit; conuentus exceptionem habet. Sin ob probabilem, non turpem caussam, promisit: tenetur. Sin ob non instituendam criminis accusationem, [stipulatio] non ualet. Dictum iam est de metu & in præcedenti de restitutione titulo.

SCHOLION.

Vis est, ubi quis imposito sibi quodam negotio, contra uoluntatem aliquid facere cogitur. Metus uero trepidatio mentis est, instantis futuriue periculi caussa. Actio metus caussa post annum mota, simplum petit. Mouetur autem post annum, non simpliciter, sed caussa cognita: hoc est, si non alia subsit actio. Propterea uero post annum actio metus caussæ mouetur, & in simplum competit, quia quum temporis decursu delicta quodam modo exolescant, etiam iniuria metu facta, uel eiusmodi iudicium, post annum, ac maxime utilem, non continuum, aut continuo currentem & computatum, quodam modo exolescit. Oportet autem, ueluti dictum est, idoneam quoque caussam subesse, ut post annum actio metus caussa detur ei, qui metum passus est. Et idonea, ceu dixi, caussa est, si actio alia nulla subsit. Nā si alia subsit actio, post annum actio metus caussa nō dabitur. Quomodo autem contingat, ut alia subsit actio, per hoc thema uelut in exemplo disce. Si quis decesserit, cui uis facta sit competit heredi eius in eum, qui uim fecit, hereditatis petitio. nam hereditatis petitio contra possessorem mouetur. Certum autem est, quod pro possessore possideat, qui uim fecit. Quoniam igitur heres defuncti petitionem hereditatis habet aduersus eum, qui uim intulit: actio metus caussa post anni decursum non competit. Si enim largitur annus, datur & in quadruplum. & si heres est, agit scilicet anno elapso; quoniam non pure pœnalis est, sed in se tempus aut persequutionem habet.

ἀπειληθεῖσαι: προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρχίας ἀποδεῖξαι δυνηθείης: τοῦτο βέβαιον ἔχεσθαι κατὰ τὸν τοῦ νομικοῦ διατάγματος τύπον οὐκ ἀναγκάζεται.

Ἀνάγνωθι καὶ βιβλίον ια. τίτλον β. κεφάλαιον κα. ἐν ᾧ φησί.

Τὰς παρεντιθείσας φόβου ἕνεκεν διαλύσεις, βεβαίας † μὴ εἶναι τῷ διηνεκεῖ δόγματι περιέχεται. οὐχ ὁμοίως δὲ οἱοσδήποτε φόβος εἰς † ἀνάλυσιν ἐκείνων τῶν κατὰ συναίνεσιν περαιωθέντων ἀρκεῖ: ἀλλὰ τοιοῦτον φόβον ἀποδείκνυσθαι χρή, ὅστις τὸν ἐπὶ σωτηρίᾳ κίνδυνον, ἢ τὰς τοῦ σώματος τιμωρίας περιέχει.

† μὴ ἄκυρα. † ἀνάσχεσιν.

Ἀνάγνωθι καὶ βιβλίον μγ. τίτλον ε. κεφάλαιον θ. ἐν ᾧ φησίν.

Ἐάν τις διὰ θάνατον, ἢ σώματος αἰκισμοὺς δειλιάσας ὁμολογήσῃ τι, ἐναγόμενος ἔχει παραγραφήν. εἰ δὲ διὰ εὔλογον ἤγουν μὴ αἰσχρὰν αἰτίαν ὁμολογήσει, κρατεῖται. εἰ δὲ διὰ τὸ μὴ κατηγορηθῆναι ἐγκληματικῶς, οὐκ ἔρρωται. προείρηται περὶ φόβου καὶ ἐν τῷ περὶ ἀποκαταστάσεως.

ΣΧΟΛΙΟΝ.

Βία ἐστίν, ὅταν τις ἔργου τινὸς ἐπικειμένου † [illegible] ἀναγκάζηταί τι ποιεῖν. φόβος δέ, † [illegible] ψυχῆς [illegible] κινδύνου. [illegible] ἡ μέντοι [illegible] μετὰ ἐνιαυτόν, τὸ ἁπλοῦν ἀπαιτεῖ. [illegible] μετὰ ἐνιαυτόν, [illegible] [illegible] αἰτία [illegible] διὰ τοῦτο μετ᾽ ἐνιαυτὸν ἡ μέτους καῦσα [illegible] καὶ τὸ ἁπλοῦν ἀπαιτεῖ, [illegible] μετὰ χρόνου παραδρομὴν τὰ ἁμαρτήματα ἀμβλύτερα γίνεταί πως, καὶ ἡ κατὰ φόβον γενομένη ὕβρις [illegible] μετὰ ἐνιαυτόν [illegible] ἀμβλυτέρα πως γίνεται. [illegible] καὶ εὔλογον αἰτίαν [illegible] ἐνιαυτὸν [illegible] τὸν φόβον. [illegible] αἰτία, τὸ [illegible] ἀγωγήν. [illegible] μετ᾽ ἐνιαυτὸν ἡ μέτους καῦσα [illegible] ἀγωγήν [illegible] τὴν βίαν ποιήσαντι [illegible] hereditatis petitio. ἡ γὰρ hereditatis petitio κατὰ τοῦ νομέως [illegible] hereditatis petitionem κατὰ τοῦ ποιήσαντος τὴν βίαν: ἡ metus caussa † μετὰ τὴν τοῦ ἐνιαυτοῦ παραδρομὴν. [illegible] ἐνιαυτός, δίδοται αὐτῷ εἰς τὸ τετραπλάσιον. [illegible] κληρονόμος [illegible] ἐνιαυτοῦ παραδραμόντος [illegible] ἀλλ᾽ ἐν ἑαυτῇ ἔχει καιρὸν ἢ persequutionem.

† παρὰ προαίρεσιν. † [illegible] † οὐκ ἁρμόζει μετὰ τὴν.

DE DATIS VEL FACTIS OB turpem caussam, uel ob aliud quodcumque negotium: & de ijs, qui hæc dant & accipiunt. tum quando data repetantur, quando non repetantur.

ΠΕΡΙ ΤΩ͂Ν ΔΕΔΟΜΕ´ΝΩΝ Η̂ δρωμένων ἐπὶ αἰσχρᾷ αἰτίᾳ, ἢ ἐπὶ ἄλλῃ τινὶ οἱᾳδήποτε ὑποθέσει: καὶ περὶ τῶν ταῦτα διδόντων καὶ τῶν δεχομένων: καὶ πότε ἀπαιτοῦνται τὰ δοθέντα, καὶ πότε οὐκ ἀπαιτοῦνται.

Τίτλ. β. κεφ. ζ.

Ὁ καταληφθεὶς ἐπὶ μοιχείᾳ, ἢ κλοπῇ, ἢ τινὶ ἁμαρτήματι, ἐὰν δῷ τι ἢ ὁμολογήσῃ ὥστε μὴ παραδοθῆναι ἢ φονευθῆναι, ἢ δεθῆναι, ἔχει τὴν τῆς δόσεως αἰτίασιν. εἰ καὶ τὰ μάλιστα οὐ πάντα μοιχὸν ἢ κλέπτην ἔξεστι φονεύειν, ἀλλὰ τὸν ἀκοντίῳ ἑαυτὸν διεκδικοῦντα. ὁ δὲ λαβὼν ὑπὲρ προφανοῦς μοιχικοῦ, καὶ τῷ περὶ μοιχείας ἐνέχεται.

η.

Ὁ λαβὼν ἐπὶ τῷ μὴ ἀφανίσαι τὰ δικαιώματα τῆς καταστάσεώς μου, ὑπόκειται τῇ τῆς δόσεως
† ἐνεχθῆ. αἰτιάσει: ἐὰν † ἐνηχθῆ, καὶ χωρὶς αὐτῶν οὐκ ἐδυνάμην νικῆσαι.

θ.

Ἐὰν ἀνὴρ ἢ γυνὴ δῷ, ἵνα μηδὲν αἰσχρὸν ἢ αὐτὸς ἢ τέκνον αὐτοῦ ὑποστῇ, ἔχει τὴν τῆς δόσεως αἰτίασιν. οὗτος γὰρ ὁ φόβος, μείζων ἐστὶ τοῦ θανάτου. ὁ δὲ λαβὼν ἢ ὁμολογήσας ἐπὶ τῷ φυλάξαι ἢ ἐλευθερῶσαι τινὰ ληστῶν ἢ πολεμίων, οὐκ ἐνέχεται, εἰ μὴ μετέσχε τῆς βίας: ὑπουργίας γὰρ μισθὸν ἔλαβεν.

Ἀνάγνωθι καὶ βιβλίον κ. τίτλον γ. κεφάλαιον ζ. ἐν ᾧ φησίν.

Ὁ πρᾶγμα λαβὼν ἐπὶ αἰτίᾳ: ἢ τὴν αἰτίαν ὀφείλει πληροῦν, ἢ ὅπερ ἔλαβεν ἀναδιδόναι. καὶ κεφάλαιον η. καὶ κεφάλαιον θ. θεμ. β. καὶ τίτλον δ. οὗ τινος ἐν τῷ ιδ. κεφαλαίῳ φησίν.

Ἐὰν παράσχῃς μοι τι ὑπὲρ τοῦ μηνῦσαι με τὸν φυγάδα σου: οὐκ ἀναλαμβάνεις ὅπερ παρέσχες μοι. εἰ δὲ συνέδοξε δοθῆναι, χώρα τῇ περὶ τῶν προγεγραμμένων συμφώνων ἀγωγῇ, καὶ τῇ περὶ δόλου, εἰ παρηκολούθησε δόλος.

Ἀνάγνωθι καὶ βιβλίον κδ. τίτλον α. οὗ τινος ἐν τῷ γ. κεφαλαίῳ, θεμ. δ. φησίν.

Εἰ καὶ ἐλπίζων γενέσθαι μοι φίλον ἢ ἀντιδωρεῖσθαί μοι τὸν λαμβάνοντα, ἐξ ἐμοῦ δώσω, καὶ ψευσθῶ τῆς ἐλπίδος μου: ὅμως οὐκ ἀναλαμβάνω.

Ἐν δὲ τῷ λδ. κεφαλαίῳ.

Τὸ δοθὲν ἐπὶ αἰτίᾳ μὴ ἀδυνάτῳ, τῆς αἰτίας μὴ προβαινούσης, ἀντιστρέφεται.

λϛ.

Τὰ δοθέντα χρήματα, εἰ καὶ ἡ αἰτία ὑπὲρ ἧς ἐδόθησαν μὴ παρὰ αἰτίαν τοῦ λαβόντος, ἀλλὰ κατὰ τύχην ἐνεποδίσθη, οὐκ ἀναλαμβάνονται.

Ἀνάγνωθι καὶ τίτ. β. οὗ τινος ἐν τῷ β. κεφ. φησίν.

Τὸ διδόμενον πόρνῃ, οὐκ ἀναδίδοται. ἐπειδὴ γάρ ἐστι πόρνη, οὐκ ἔστιν αἰσχρὸν τὸ λαβεῖν αὐτήν. εἰ καὶ αἰσχρόν ἐστι τὸ εἶναι αὐτὴν πόρνην. οὔτε τὸ διδόμενον τινὶ ἐπὶ τῷ καταμηνῦσαι τὸν κλέπτην ἢ τὸν φυγάδα, εἰ μὴ αὐτὸς ὁ κλέπτης, ἢ ὁ κοινωνήσας αὐτῷ ἢ τῷ φυγάδι, ἔλαβε τὸ μήνυτρον. εἰ δὲ ἀπὸ τοῦ φυγάδος μου λάβῃς, ἵνα μὴ καταμηνύσῃς αὐτόν, ἐνέχῃ μοι ὡς κλέπτης. εἰ δὲ καὶ λάβῃς παρὰ τοῦ δούλου μου, ἵνα μὴ μηνύσῃς τὴν παρ' αὐτοῦ γενομένην κλοπήν: εἴτε μηνύσῃς, εἴτε μή, ἀναδίδως ὅπερ ἔλαβες.

Eiusd. tit. cap. VII.

In adulterio, uel furto, uel alio flagitio deprae-hensus, si quid dederit, uel promiserit, ne tradatur, uel occidatur, uel uinciatur: actionem de eo, quod dedit, habet. quamquam non omnem adulterum uel furem occidere liceat, sed telo se defendentem. Qui autem pro manifesto adultero accepit, etiam lege de adulterio tenetur. l. 7. D. quod met. cau.

VIII.

Qui accepit, ne instrumenta status mei aboleat; actione dati tenetur: utpote si iã conuentus sim, & sine illis in caussa superior esse nequeam.

IX.

Si uir mulierue dederit, ne quid turpe uel sibi uel liberis suis patiendum sit; dati repetitionem habet. quippe metus iste maior, quam mortis est. Qui autem accepit, uel semet obligauit, ut aliquem tueretur, uel liberaret a latronibus aut hostibus: non tenetur, nisi una uim intulit. nam ceteroquin operae mercedem accepit.

Legito & librum XX. tit. III. cap. VII. cuius uerba sunt:

Qui ob caussam aliquam rem accepit, uel caussam implere debet, uel quod accepit reddere. Adde cap. VIII. & IX. them. II. Item tit. IIII. in cuius XIIII. cap. dicitur:

Si quid mihi dederis, ut tibi seruum tuum fugitiuum indicarem: non recipis id, quod dedisti. Sin pactio intercessit, ut daretur: actioni praescriptis uerbis locus est, & actioni de dolo, si dolus interuenit. l. solent D. de praescr. uer.

Legito & lib. XXIIII. tit. I. cuius III. cap. IIII. them. dicitur:

Si de meo dedero, sperans eum mihi futurum amicum, uel me remuneraturum, qui accepit, & spe mea falsus fuero: nihil tamen recipio. l. 3. §. sed si seruum. D. de condict. cau. dat.

Et cap. XXXIIII.

Datum ob caussam non impossibilem, caussa non sequuta condicitur. l. 8. C. de condict. ob cau. dat.

XXXVI.

Pecunia data, si caussa pro qua data est, non accipientis culpa, sed fortuito casu sequuta non est, non repetitur.

Legito & tit. II. cuius II. cap. dicitur:

Quod meretrici datur, non repetitur. nam quum meretrix sit, non turpiter facit, quod accepit: licet turpe sit, esse meretricem. Non item id, quod alicui datur, ut furem uel fugitiuũ indicet: nisi fur ipse, uel furis aut fugitiui socius, indicii praemiũ accepit. Quod si a fugitiuo meo acceperis, ne eum indicares; quasi fur mihi teneris. Sin a seruo meo acceperis, ne furtum ab eo factum indicares: siue indicaueris, siue non, quod accepisti reddis. l. 4. §. sed quod meretrici. D. de condi. l. ob tur. cau.

V.

Si quum utrinque caussa turpis esset, dare quid promisero: conuentus equidem exceptionem habeo, uerum solutione iam facta nihil recipio.

VIII.

Quod ob turpem caussam utriusq., tam dantis, quam accipientis, datur; non condicitur.

X.

l.4.C.eod.tit. *Quoties accipientis, non etiam dantis est turpitudo; licet caussa sequuta fuerit, datum tantummodo condicitur, non etiam usurae numerantur. sicut in fure, qui pecuniam accepit ob ea restituenda, quae subtraxerat: uel in eo, qui abegerat pecora.*

XI.

Qui scit uxorem suam scortari, & tacet; lenocinium facit. Atenim quae turpi ex caussa dantis promissa sunt, quamuis post factam solutionem non repetantur; tamen petitionem non habent.

XII.

Qui pecuniam accepit ob ea restituenda, quae subtraxerat; quum eius turpitudo tantum inueniatur, eam restituere conuentus debet.

* Forte legendum, VI. Legito & tit. * I. cap. XLVII. cuius haec uerba sunt:

l.52.D.de condict.indeb. *Quod ob caussam praeteritam datum est, etiam si falsa caussa fuerit, non repetitur: quod autem ob futuram, si caussa non sequatur, repetitur.*

XLIX.

Quod soluitur ex caussa, quae [iure] non ualuit, uel effectum non habuit, condicitur.

Cap. LXIIII. them. IIII.

Quod ob rem datur, uelut ut hoc facias, si non feceris, repetitur.

Legito & lib. LX. tit. I. cuius I. cap. dicitur:

l.1.D.de calumniat. *Qui pecuniam accepit, aliquem calumniandi uel non calumniandi caussa; intra annum in quadruplum, post annum in simplum tenetur. Locus autem actioni est in pecuniarys & criminalibus caussis.*

II.

Pecuniam accipere dicitur etiam is, qui pro pecunia quid aliud accipit, & qui actione liberatur, uel cui pecunia gratis utenda datur, uel qui conducit aut emit minoris, & qui alteri dari iubet, et qui datum alteri suo nomine ratum habet.

IIII.

Si quis dederit, ut per calumniam mihi negotium fieret; non ipse, sed ego repetitionem habeo. Si uero & ego dedero, ne mihi per calumniam negotium fieret; duas actiones habeo. Haec actio heredi non datur. quia sufficit ei, si repetat, quod defunctus dedit. Sed heres tenetur in id, quod

ε.

Εἀν ἑκατέρωθεν τῆς αἰτίας αἰσχρᾶς οὔσης, ὁμολογήσω τι δώσειν: ἐναγόμενος μὲν ἔχω παραγραφὴν, καταβαλὼν δὲ οὐκ ἀναλαμβάνω.

η.

Τὸ ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἑκατέρων διδόμενον, τοῦ τε λαμβάνοντος καὶ τοῦ παρέχοντος, οὐκ ἀναστρέφεται.

ι.

Οσάκις τοῦ λαμβάνοντος, οὐχὶ καὶ τοῦ διδόντος ἐστὶν αἰσχρότης, εἰ καὶ παρακολουθήσει αἰτία, τὸ δοθὲν ἀναστρέφεται μόνον, οὐ μὴν καὶ τόκοι δίδονται. ὡς ἐπὶ τοῦ λαβόντος χρήματα κλέπτου, ἐφ᾽ ᾧ ἀποκαταστῆσαι ἅπερ ἔκλεψεν, ἢ ἐπὶ τοῦ ἀπελάσαντος πρόβατα.

ια.

Ο εἰδὼς πορνεύεσθαι τὴν γυναῖκα, καὶ σιωπῶν, προαγωγείαν ποιεῖ. τὰ δὲ ἐπὶ αἰσχρᾷ αἰτίᾳ τοῦ διδόντος ἐπερωτηθέντα: εἰ καὶ μετὰ καταβολὴν οὐκ ἀναστρέφονται, ὅμως ἀπαίτησιν οὐκ ἔχουσιν.

ιβ.

Ο λαβὼν χρήματα ἐπὶ τῷ ἀποκαταστῆσαι ἅπερ ἔκλεψεν: ἐπειδὴ αὐτοῦ μόνου αἰσχρότης εὑρίσκεται, μεθοδευόμενος ὀφείλει ταῦτα ἀποκαταστῆσαι.

Ανάγνωθι καὶ τίτλον † α. οὗ τινος ἐν τῷ μζ. κεφαλαίῳ φησίν. † ἴσως, τίτλον ϛ.

Τὸ διὰ αἰτίαν παρελθοῦσαν δοθὲν, † καὶ διεψευσμένην, οὐκ ἀπαιτεῖται, τὸ δὲ διὰ μέλλουσαν, ἀπαιτεῖται μὴ γινομένης τῆς αἰτίας. † ἢ καί.

μθ.

Τὸ καταβαλλόμενον ἐξ αἰτίας μὴ ἐρρωμένης, ἢ μὴ ἐχούσης ἀποτέλεσμα, ἀναλαμβάνεται.

Εν δὲ τῷ ξδ. κεφαλ. θεμ. δ.

Τὸ διὰ πρᾶγμα διδόμενον, οἷον ἵνα τόδε ποιήσῃς: εἰ οὐ ποιήσεις, ἀναλαμβάνεται.

Ανάγνωθι καὶ βιβλίον ξ. τίτλον α. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ο λαβὼν χρήματα πρὸς τὸ συκοφαντῆσαι ἢ μὴ συκοφαντῆσαί τινα, ἐνέχεται ἔσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν: μετὰ δὲ ἐνιαυτ. εἰς τὸ ἁπλοῦν. χώρα δὲ τῇ ἀγωγῇ ἐπὶ χρηματικῶν καὶ ἐγκληματικῶν αἰτιῶν.

β.

Λαμβάνειν χρήματα λέγεται καὶ ὁ ἀντὶ χρημάτων ἄλλο τι λαμβάνων, καὶ ὁ ἀγωγῆς ἐλευθερούμενος ἢ δῶρον ἐν χρήσει λαμβάνων χρήματα, ἢ μισθούμενος, ἢ ἀγοράζων ἥττονος, καὶ ὁ ἑτέρῳ δοθῆναι κελεύων, καὶ ὁ τὸ ἑτέρῳ δοθὲν ὀνόματι αὐτοῦ δεκτὸν ἡγούμενος.

δ.

Εἀν τις δῷ ἵνα συκοφαντηθῶ, οὐκ αὐτὸς, ἀλλ᾽ ἐγὼ τὴν ἀνάληψιν ἔχω. εἰ δὲ κἀγὼ δέδωκα ἵνα μὴ συκοφαντηθῶ, τὰς δύο ἀγωγὰς ἔχω. αὕτη ἡ ἀγωγὴ κληρονόμῳ οὐ δίδοται. ἀρκεῖ γὰρ αὐτῷ ἀναλαβεῖν, εἴ τι δέδωκεν ὁ τελευτήσας. ὁ δὲ κληρονόμος εἰς τὸ περιελ-

θον

θὴν ἐνέχεται. τὰ γὰρ αἰσχρὰ κέρδη μεθοδεύονται οἱ κληρονόμοι, εἰ καὶ τὰ ἐγκλήματα σβέννυνται ὡς ἐπὶ τοῦ πλαστοῦ, καὶ τοῦ δωροδοκήσαντος δικαστοῦ ἐπὶ τῷ κεχαρισμένως ψηφίσασθαι, καὶ ἐπὶ τῶν ἄλλων αἰσχρῶν κερδῶν. ἔξωθεν τῆς παρούσης ἀγωγῆς τῆς τὸ διπλοῦν ἀπαιτούσης, ἁρμόζει ἀπαίτησις, ἐὰν μόνου τοῦ λαμβάνοντος ἐστὶν αἰσχρότης. εἰ γὰρ καὶ τοῦ δεδωκότος, κρείττων ἐστὶν ὁ νεμόμενος.

ϛ.

Εἰ μὲν ἐγὼ δέδωκα ἐπὶ τῷ μὴ συκοφαντηθῆναι, ὁ ἐνιαυτὸς ἀριθμεῖται ἀφ' οὗ δέδωκα, εἴ περ εὐχέρειαν ἔχοι ἐνάγειν. εἰ δὲ ἄλλος δέδωκεν ἐπὶ τῷ μὴ συκοφαντηθῆναί μοι: ἀφ' οὗ τὴν δόσιν ἐγὼ γνῶ. ἐὰν ἄλλος δῷ ἵνα μὴ συκοφαντηθῶ, εἰ μὲν κατὰ ἐντολήν μου δέδωκεν, ἢ ὁ γενικός μου φροντιστής. ἢ τίς ἄλλος πραγμάτων φροντίδα πράττων: καὶ δεκτὸν ἡγησάμην: ἐγὼ δοκῶ δεδωκέναι. εἰ μὲν κατὰ συμπάθειαν δέδωκέ τις, καὶ μὴ δεκτὸν ἡγήσωμαι: καὶ αὐτὸς ἀναλαμβάνει: κἀγὼ εἰς τὸ τετραπλοῦν ἐνάγω.

η.

Ὁ λαβὼν ἐν προσχήματι ἐγκλήματος μὴ ἀποδειχθέντος: ἐντὸς μὲν ἐνιαυτοῦ, εἰς τὸ τετραπλοῦν ἀπαιτεῖται: μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν ὑπόκειται, καὶ τὸ ἁμάρτημα τιμωρεῖται.

Ἀνάγνωθι καὶ τίτ. λθ. κεφάλαιον α. καὶ τίτλον μγ. ἐν ᾧ διαλαμβάνεται ΠΕΡῚ ΔΩΡΟΔΟΚΟΎΝΤΩΝ ΤΕ, ΚΑῚ ΔΩΡΟΔΟΚΟΥΜΈΝΩΝ. οὗ τινος ἐν τῷ α. κεφ. φησίν. — περὶ τῶν δῶρα διδόντων ὁ λαμβανόντων.

Ὁ ῥεπετουνδῶν ἁρμόζει κατὰ τῶν λαβόντων ἐν ἀρχῇ χρήματα. ἁρμόζει δὲ ἡ ἀγωγὴ καὶ κατὰ κληρονόμων ἐντὸς ἐνιαυτοῦ, μετὰ θάνατον τοῦ κατηγορουμένου.

δ.

Ὁ τῷ νόμῳ τούτῳ καταδικαζόμενος, οὔτε † μαρτυρεῖν, οὔτε δικάζειν, οὔτε συνηγορεῖν δύναται. — † γράφεται καὶ δημοσίᾳ μαρτυρεῖν.

ϛ.

Καὶ οἱ πολιτικοὶ ἄρχοντες πάσης ἀπεχέσθωσαν ῥυπαρίας: καὶ προφάσει δώρων μηδὲν λαμβανέτωσαν.

Ἐν δὲ τῷ ζ. κεφαλαίῳ.

Ἡ ποινὴ τοῦ νόμου ἐξτραορδιναρία ἐστὶ, καὶ ὡς ἐπίπαν ἐξορίαν καταδικάζει: ἔσθ' ὅτε δὲ καὶ σφοδρότερον. ἐὰν γὰρ ἐπὶ χρήμασιν, ἢ κατὰ θερμότητα φονεύσῃ τίς τὸν ἀναίτιον, κεφαλικῶς τιμωρεῖται ἢ περιορίζεται.

η.

Ἐὰν παρὰ τὸν νόμον δωρηθῇ τι ἄρχοντι, ἢ πραθῇ πλείονος ἢ ἧττονος, οὔτε ἡ πρᾶσις ἔρρωται, οὔτε τὸ δοθὲν διὰ χρήσεως δεσπόζεται, ἕως ἂν ὑποστρέψῃ πρὸς τὸν δόντα, ἢ τὸν κληρονόμον αὐτοῦ.

[ad eum] peruenit. Nam turpia lucra etiam heredibus auferuntur, licet crimina extinguantur. ut in falso, & iudici ob gratiosam sententiam dato, alijsque turpibus lucris. Præter hanc actionem duplum petentem, competit repetitio, si solius accipiētis turpitudo uersetur. Nam si & dantis, potior est possessor.

VI.

Si ego dedi, ut ne mihi fieret per calumniam negotium, annus numeratur ex quo dedi, si modo agendi facultatem habui. Sin alius dedit, ne calumnia mihi adhiberetur; ex quo datum cognoui. Si alius dedit, ne mihi per calumniam negotium fieret; si quidem mandato meo dedit, aut generalis procurator meus dedit; aut quis alius, qui rerum mearum curam gerebat, & ratum habui; ego dedisse uideor. Sin autem misericordia caussa dedit aliquis, neque ratum habuero: & ipse repetit, & ego in quadruplum ago.

VIII.

Qui accepit sub specie criminis, ipso non probato, intra annum quidem in quadruplum tenetur: post annum uero in simplum, & pro modo delicti punitur.

Legito & eiusdem lib. titulum XXXIX. cap. I. & tit. XLIII. in quo tractatur DE HIS QVI CORRVMPVNT, QVIVE CORRVMPVNTVR MVNERIBVS. cuius I. cap. dicitur: — De dantibus & accipientibus munera.

Lex de repetundis aduersus eos competit, qui pecunias in magistratu acceperunt. Competit autem & in heredes actio intra annum post mortem rei. — L. I. D. de lege Iul. rep.

IIII.

*Hac lege damnatus, nec testimonium * dicere, nec iudicare, nec postulare potest.* — * al. publice dicere.

VI.

Etiam urbani magistratus omni sorde abstineant, & donorum occasione nihil accipiant.

VII.

Pœna legis extraordinaria est, & plerumque relegatione damnat. aliquando & durius. Nam si accepta pecunia, uel calore quodam interfecerit aliquis innocentem: capite punitur, aut deportatur.

VIII.

Si contra legem quid donetur magistratui, uel pluris aut minoris uendatur: nec uenditio ualet, nec donatum usucapitur, priusquam redierit ad donatorem, uel heredem eius.

DE

DE DOLO MALO.

Tit. III. cap. I.

l. 1. D. de do. ma. Quid sit dolus malus.

Ex iusta caussa, quum alia non subest actio, de dolo iudicium datur. Dolus autem malus est calliditas, & fallacia, & machinatio, quæ ad circumscriptionem alterius adhibetur. Est & bonus dolus, ac præsertim quo aduersus hostes & latrones utimur.

VIII.

Si quum scirem soluendo non esse, mei lucri gratia quem idoneum adfirmaui; actioni de dolo locus est.

X.

*In exigua summa, hoc est, ad duos numos usque, non datur de dolo actio. nec item liberis uel libertis aduersus parentes patronosue, quum famosa sit: nec plebeio aduersus consularem. nec luxurioso, & prodigo, uel alias uili, aduersus uirũ honestum. In horum ergo persona, in * factum actio competit: ne ex dolo suo lucrentur. Heredes autem horum tam agunt, quam conueniuntur actione de dolo.*

* hoc est, in duplum.

XII.

*Pupillus tamquã heres actione de dolo conuenitur. Ceterũ ex suo facto, si pubertati * proximus sit; ac præsertim, si factus sit locupletior.*

* si XIII. uidelicet annos cõpleuerit.

XVII.

Si plures dolum fecerint, & unus restituerit, aut præstiterit quod interest, ceteri liberantur.

XXVI.

Actio de dolo datur in heredes, in id quod peruenit: id est, quatenus ex dolo quiddã hereditati accessit.

XXVIIII.

Et qui dolum commisit, perpetuo conuenitur actione in factum, quatenus lucratur. Et quoniam famosa non est in heredem, perpetuo in eum agitur, etiam sine caussæ cognitione.

XXXV.

Si qui tabulas testamenti ceu depositum accepit, deleuerit eas, uel alio modo post mortem testatoris corruperit: heredi & legatarijs actio de dolo competit.

XLIII.

Nota de dolo actionem intra biennium moueri. uerũ exceptio perpetua est. l. ult. C. h. tit.

Intra duos annos actio de dolo mouetur.

XLVI.

† l. 6. eod. et l. 8. C. de rescind. uend.

Dolũ † ex insidijs manifestissimis probari cõuenit. Nec enim ex quacumque nuda suspicione actionem de dolo definiri oportet.

XLVII.

Proposita heic constitutio, contentione nos omni liberãs, statuit: nõ ex eo tẽpore, quo se quisq; dolo circũuentum dicit, annũ utile ei numerari ad petendũ de dolo actionẽ: sed ex quo dolus commissus est, intra cõtinuũ bienniũ de dolo actionẽ

ΠΕΡΙ ΔΟΛΟΥ.

Τίτλ. γ. κεφ. α.

Ἐξ εὐλόγου αἰτίας, ἑτέρας οὐχ ὑπούσης ἀγωγῆς, ἡ περὶ δόλου δίδοται. δόλος κακός ἐστι, πανουργία καὶ ἀπάτη καὶ μηχανὴ πρὸς περιγραφὴν ἑτέρου γινομένη. ἔστι καὶ καλὸς δόλος, καὶ μάλιστα ὁ κατὰ τῶν πολεμίων καὶ τῶν λῃστῶν. τίς δόλος κακός.

η.

Εἰ γινώσκων ἄπορον, διὰ κέρδος ἴδιον εὔπορον ἐβεβαιωσάμην, χώρα τῇ περὶ δόλου ἀγωγῇ.

ι.

Ἐπὶ μικρᾷ ποσότητι, τουτέστι δύο νομισμάτων μέχρι, οὐ δίδοται ἡ περὶ δόλου ἀγωγή. οὔτε παισὶν ἢ ἀπελευθέροις κατὰ πατέρων ἢ πατρώνων, διὰ τὸ ἀτιμοποιὸν αὐτὴν εἶναι· οὔτε ἰδιώτῃ κατὰ ὑπατικοῦ· οὔτε ἀκολάστῳ καὶ ἀσώτῳ, ἢ ἄλλως εὐτελεῖ κατὰ εὐσχήμονος. ἐπὶ τούτων οὖν, * ἰμφάκτουμ ἁρμόζει· ἵνα μὴ διὰ τοῦ οἰκείου δόλου κερδαίνωσιν. οἱ δὲ κληρονόμοι τούτων ἐνάγουσι καὶ ἐνάγονται τῇ περὶ δόλου ἀγωγῇ.

* ἀγωγὴ ἐπὶ τὸ διπλοῦν.

ιβ.

Ὁ ἄνηβος ὡς κληρονόμος ἐνάγεται τῇ περὶ δόλου ἀγωγῇ. ἀπὸ δὲ οἰκείου φάκτου, ὅτε † πλησιάζει τῇ ἥβῃ, καὶ μάλιστα εἰ γέγονεν εὐπορώτερος.

† ὅτι πληρώσει τὰ ιγ΄ ἔτη.

ιζ.

Ἐὰν πολλοὶ ποιήσωσι δόλον, καὶ ὁ εἷς ἀποκαταστήσῃ, ἢ δῷ τὸ διαφέρον, οἱ λοιποὶ ἐλευθεροῦνται.

κϛ.

Ἡ περὶ δόλου δίδοται κατὰ κληρονόμων εἰς τὸ περιελθὸν· τουτέστιν, εἰς ὅσον ἐκ τοῦ δόλου τῇ κληρονομίᾳ περιῆλθεν.

κθ.

Καὶ ὁ τὸν δόλον ποιήσας, εἰς ὅπερ κερδαίνει, διηνεκῶς ἐνάγεται τῇ ἰμφάκτουμ. ἐπειδὴ μή ἐστιν ἀτιμοποιὸς εἰς τὸν κληρονόμον, διηνεκῶς ἐνάγεται κατ᾽ αὐτοῦ, καὶ χωρὶς αἰτίας διαγνώσεως.

λε.

Ἐὰν ὁ λαβὼν διαθήκην ἐν παρακαταθήκῃ, ἀπαλείψῃ αὐτήν, ἢ ἄλλως διαφθείρῃ μετὰ θάνατον τοῦ διαθεμένου, τῷ κληρονόμῳ καὶ τοῖς ληγαταρίοις ἁρμόζει ἡ περὶ δόλου ἀγωγή.

μγ.

Ὅτι ἔσω δύο ἐνιαυτῶν κινεῖται ἡ περὶ δόλου ἀγωγή.

μϛ.

Τὸν δόλον ἀπὸ ἐπιβουλῶν προφανεστάτων ἀποδείκνυσθαι χρή. οὐ δεῖ γὰρ ἀπὸ ψιλῆς οἱασδήποτε ὑπονοίας ὁρίζεσθαι τὴν περὶ δόλου.

σημείωσαι ὅτι ἐντὸς ἐνιαυτῶν β. ἡ περὶ δόλου ἀγωγὴ κινεῖται, ἡ δὲ παραγραφὴ αὐτῆς διηνεκής ἐστι.

μζ.

Ἡ προκειμένη διάταξις, πάσης ἡμᾶς ἀπαλλάττουσα φιλονεικίας, νομοθετεῖ· μὴ ἐξότε τις λέγει πεπονθέναι τὸν δόλον ἐνιαυτὸν ὁριζόμενον αὐτῷ ψηφίζεσθαι πρὸς τὸ αἰτεῖν τὴν περὶ δόλου ἀγωγήν, ἀλλ᾽ ἐξότε γέγονεν ὁ δόλος, ἔσω δύο ἐνιαυτῶν συνεχῶν τὴν περὶ δόλου ἀγωγὴν κινεῖ-

κινεῖσθαι· εἴτε πάρεστιν ὁ τὸν δόλον ὑπομείνας, εἴτε ἄπεστι. πάντες οὖν φησὶ γινωσκέτωσαν, ὡς οὐδὲ τὴν ἀρχὴν δύναταί τις κινῆσαι τὴν περὶ δόλου ἀγωγὴν, μετὰ δύο ἔτη τοῦ γενέσθαι τὸν δόλον, οὐδὲ ὁ ἀρξάμενος εἴσω τῶν δύο ἐνιαυτῶν κινεῖν, δύναται μετὰ τὰ ἔτη περαιοῦν τὴν ταύτης ἀγωγήν. πάντως οὖν καὶ ἄρχεσθαι καὶ περαιοῦσθαι τὸ περὶ δόλου δικαστήριον, εἴσω δύο συνεχῶν ἐνιαυτῶν αὕτη ἡ διάταξις νομοθετεῖ.

Ἀνάγνωθι καὶ βιβλίον ια. τίτλον α. κεφάλαιον ζ θεμ. δ ἐν ᾧ φησίν.

Κατὰ δόλον τις συμφωνεῖ, ὁσάκις ἐπὶ περιγραφῇ τινος ἄλλο τι πράττει, καὶ ἄλλο τι προσποιεῖται. εἴτε δὲ κατὰ τὴν ἀρχὴν, εἴτε μετὰ τὸ σύμφωνον γένηται ὁ δόλος, ἁρμόζει ἡ τοῦ δόλου ὡς ἐπίπαν.

Ἀνάγνωθι καὶ βιβλίον να. τίτλον δ, οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Τὸ γενέσθαι τι δολερῶς, ἐκ τοῦ ἀποτελέσματος καταλαμβάνεται. γίνεται δὲ δόλος ἐν συναλλάγμασιν, ἐν διαθήκαις, ἐν νόμοις.

Ἐν δὲ τῷ β. κεφαλαίῳ.

Ἐξ ὧν ἁρμόζει ἡ τοῦ δόλου ἀγωγὴ, ἐκ τῶν αὐτῶν ἁρμόζει καὶ ἡ τοῦ δόλου παραγραφή. ὁ ἀντιθεὶς τὴν τοῦ δόλου παραγραφὴν, ὀφείλει δεῖξαι δόλον γενέσθαι παρὰ τοῦ ἐνάγοντος, ἢ ἑτέρου, οὗ τινος ὁ δόλος δύναται βλάψαι † τὸν ἐνάγοντα: καὶ οὐκ ἀρκεῖ τὸ λέγειν αὐτὸν ἐν τῷ πράγματι γενέσθαι δόλον. οὐ διαφερόμεθα δὲ τίνι γέγονεν ὁ δόλος, ἀλλ' ἀρκεῖ αὐτὸν ἐκ τοῦ μέρους γενέσθαι τοῦ διώκοντος.

† τὸν ἐναγόμενον.

ε.

Κατὰ τῆς δόλου παραγραφῆς, οὐκ ἀντίθεται δόλου ἀνάλυσις ἢ ἀντιπλοκή. οὐ δεῖ γὰρ ἀπὸ τοῦ κοινοῦ δόλου κερδάναι μὲν τὸν ἐνάγοντα: ζημιωθῆναι δὲ τὸν ἐναγόμενον.

Ἐν δὲ τῷ μς. κεφαλαίῳ.

Ἡ τοῦ δόλου παραγραφὴ, διηνεκής ἐστι: καὶ οὐχ ὡς ἐπὶ τῆς περὶ δόλου ἀγωγῆς, χρόνῳ περικλείεται.

Ἀνάγνωθι ν. βιβ. ζ. τίτ. ε. κεφ. ξδ. ἐν ᾧ φησίν.

Ἐπὶ τοῦ δόλου τὸ διαφέρον οὐχ ὁ δικαστὴς ἀποτιμᾶται, ἀλλ' ὁ ἔνδικος ὅρκος. καὶ τίτλ. ιε. κεφ. ε.

ΠΕΡῚ ἈΦΗΛΊΚΩΝ. Τίτλ. δ

Ἐν ᾧ διαλαμβάνεται ΠΕΡῚ ΤΗ͂Σ ΤΩ͂Ν ἈΦΗΛΊΚΩΝ ἈΠΟΚΑΤΑΣΤΆΣΕΩΣ. οὗ τινος ἐν τῷ γ. κεφ. φησίν.

Ὅτι μόνος ὁ βασιλεὺς σπανίως, οὐ μὴν ὕπατοι ἢ ἄρχοντες, ἐπιτρέπει τοῖς ἀφήλιξι τὰ ἴδια διοικεῖν.

Ἐν δὲ τῷ δ. κεφαλαίῳ, θεμ. η

Ἀφῆλιξ δοῦλος οὐκ ἀποκαθίσταται: οὔτε δὲ ὁ δεσπότης αὐτοῦ τέλειος ὤν, ἐφ' οἷς ὁ δοῦλος ἔπραξεν, ἔχων ἐλευθέραν πεκουλίου διοίκησιν: ἢ ὁ δεσπότης δι' αὐτοῦ συνήλλαξε, κἂν ᾖ ὁ δοῦλος ἄνηβος. ὁ γὰρ τοιοῦτος, γνώμῃ τοῦ δεσπότου δοκεῖ συναλλάσσειν, ὡς καὶ ἐπὶ τοῦ ἐργαστηρίου προεστὼς, καὶ ὅταν ὁ τέλειος ἐπιτρέψει ἀφήλικι τι πρᾶξαι.

moueri: siue praesto sit, qui dolum passus est, siue absit. Sciat igitur omnes, inquit, nec initiũ fieri posse actionis de dolo post biennium a dolo commisso: nec eum, qui ceperit intra biennium mouere, post biennium actionem de dolo finire posse. Adeoque prorsus & inchoari & finiri iudicium de dolo intra continuum biennium debere, haec constitutio praecipit.

Legito & lib. XI. tit. I. cap. VII. them. IIII. cuius haec uerba sunt:

Dolo malo quis paciscitur, quoties circumscribendi alterius caussa aliud agit, & aliud simulat. Siue autẽ ab initio, siue post pactũ dolus committatur, exceptio doli plerunq; competit. l.7.§.4.D. de pact.

Legito & lib. LI. tit. IIII. cuius I. cap. dicitur:

An dolo quid factum sit, ex euentu intelligitur. Est autem dolus in contractibus, in testamentis, in legibus. l.1.D. de dol. mal. & met. exc.

Cap. II.

Quibus ex caussis actio de dolo competit, ex eisdem competit & de dolo exceptio. Qui doli exceptionem obiicit, probare debet, dolum commissum ab actore, uel ab alio, cuius dolus reo nocere possit. nec dicere sufficit, in re dolum factũ esse, nec quaerimus, cui dolus sit factus; sed satis est eum commissum a parte actoris.

V.

Aduersus doli exceptionem, doli replicatio non obiicitur. Non enim oportet ex communi dolo petitorem quidem lucrum capere, reum uero damno adfici.

Et XLVI. cap.

Exceptio doli perpetua est, nec ut actio de dolo, tempore finitur.

Legito & lib. VII. tit. V. cap. LXIIII. cuius haec uerba sunt:

In dolo quod interest nõ iudex aestimat, sed iuramentũ in litem praestitum. Et tit. XV. cap. V. l.64.D. de iudic.

DE MINORIBVS.

Tit. IIII.

In quo tractatur DE RESTITVTIONE MINORVM. *Eius cap. III. dicitur:*

Solus imperator raro, non etiam consules aut praesides, minoribus administrationem rerum suarum indulget. l.3.D. de minor.

Et cap. IIII. them. VIII.

Seruus minor non restituitur, nec dominus eius maior, in iis quae seruus gessit, administrationem peculii liberam habẽs: aut quae dominus per eum contraxit, quamuis seruus impubes esset. Quippe talis uoluntate domini contrahere uidetur, sicut & in institoria, & ubi maior impuberi negotium aliquod gerendum mandat.

VI.

Minor in integrum restituitur, non solum ut ne damnum capiat: uerumetiam ne litibus & sumtibus uexetur.

VIIII.

In delictis non subuenitur minoribus puta si dolo quid fecerint in re deposita, uel commodata, uel alio contractu: etiamsi nihil ad eos inde peruenerit. Nec item si furtum fecerint, uel damnum dederint. At si, quum minor in damno dato negasset, in duplū incidit; uel quum in furto transigere posset, & non in duplum uel quadruplum incidere, non transegit: restituitur ad dandum simplum, & quod praestare potuisset, si transegisset.

XI. them. IIII.

Restitutio caussa cognita datur. Nam recte rem gerentibus non datur, tametsi contrarius euentus acciderit. puta, si minor seruum necessarium comparauerit, isq; decesserit: uel hereditatem locupletem adierit, eaque fortuito casu deminuta sit.

Them. V.

Si quid minor minori dederit, & is qui accepit, perdiderit; melior eius est caussa, qui accepit. Sin autem minor filiusfamilias maiori crediderit, contra senatusconsultum restituitur.

XII.

Nota, ubi mulier intercedēs teneatur.

Si apud minorem pro alio mulier intercesserit, si quidem soluendo debitor est, mulier nō conuenitur: sin soluendo non sit, conuenitur. Item, si quum scirem te minorem esse, nec tibi fidem haberem, Petrus accedens pro te fideiusserit: non subuenitur ei, nec aduersus te mandati actionem habet.

XXIIII.

Non rescinduntur omnia, quae a minoribus gerūtur; sed quum dolus manifestus est, aut eorum negligentia magna. Item, si filiusfamilias uel seruus minorem circumscripserit, pater dominusue quod ad eū peruenerit, restituit: quod alias deest, ex peculio praestatur. Si ne sic quidem satisfiet, seruus qui dolum commisit, aut uerberibus castigatur, aut noxae deditur. filius autem [ob dolum] condemnatur.

XXVII.

Minor, qui pecuniam mutuam accepit, eamq; dissipauit; non tenetur.

XXIX.

Etiamsi auctore patre, filij tutelam gerente, pupillus circumscriptus fuerit; tamen postea restituitur, quum curatorem accipit.

XXXIIII.

Si minor filiofamilias pecuniam crediderit,

ς.

Οὐ μόνον ἐπὶ τῷ μὴ ζημιωθῆναι, ὁ ἀφῆλιξ ἀποκαθίσταται: ἀλλὰ καὶ ἐπὶ τῷ μὴ δίκαις καὶ δαπάναις σκύλλεσθαι.

θ.

Ἐν τοῖς ἁμαρτήμασιν, οὐ βοηθοῦνται οἱ ἀφήλικες· οἷον δόλον ποιοῦντες ἐν τῷ † πραχθέντι ἢ χρησθέντι, ἢ ἑτέρῳ συναλλάγματι, καὶ μηδὲν εἰς αὐτοὺς ἐντεῦθεν περιέλθῃ. ὅτι εἰ κλοπὴν ἢ ζημίαν ποιήσουσιν. εἰ δὲ ἐπὶ τοῦ βλαβέντος ἀρνησάμενος, ὑπέπεσε † τὸ διπλοῦν: ἢ ἐπὶ τῆς κλοπῆς δυνάμενος διαλύσασθαι, καὶ μὴ ὑποπεσεῖν τῷ διπλῷ, ἢ τῷ τετραπλῷ, οὐ διελύσατο: ἀποκαθίσταται εἰς τὸ δοῦναι τὸ ἁπλοῦν, καὶ ὅπερ ἠδύνατο παρασχεῖν διαλυόμενος. † παρατεθέντι. † τοῦ διπλοῦ.

ια. θεμ. δ.

Τῆς αἰτίας διαγινωσκομένης, ἡ ἀποκατάστασις δίδοται. τοῖς γὰρ καλῶς διοικοῦσιν οὐ δίδοται: κἂν ἐναντίον ἀποτέλεσμα γέγονε. τυχὸν γὰρ δοῦλον ἀναγκαῖον ἠγόρασε, καὶ ἐτελεύτησεν: ἢ κληρονομίαν εὔπορον ἐκληρονόμησεν, καὶ τυχηρῶς ἐμειώθη.

Ἐν τῷ ε. θεμ.

Ἐὰν ἀφῆλιξ ἀφήλικι παράσχῃ, καὶ ὁ λαβὼν ἀπολέσῃ, κρείττων ἐστὶν ὁ λαβών. εἰ δὲ δανείσει ἀφῆλιξ ὑπεξουσίῳ μείζονι, παρὰ τὸ δόγμα ἀποκαθίσταται.

ιβ.

Ἐὰν ἐγγυήσηται γυνὴ παρὰ ἀφήλικι, εἰ μὲν εὔπορός ἐστιν ὁ χρεώστης, οὐκ ἐνάγεται ἡ γυνή· εἰ δὲ ἄπορός ἐστιν, ἐνάγεται. καὶ ὅτι ἐὰν εἰδῶ σε νέον εἶναι οὐκ ἐπιστεύσας σοι, καὶ ἐλθὼν πέτρος ἐγγυήσηταί σε, οὐ βοηθεῖται· ὅτι μὴ ἔχει κατὰ σοῦ τὴν περὶ τῆς ἐντολῆς ἀγωγήν. σημείωσαι ἐν ποίοις ἐνέχεται ἐγγύας διδοῦσα γυνή.

κδ.

Οὐ πάντα τὰ παρὰ τῶν νέων γινόμενα ἀνατρέπεται: ἀλλ' ὅτι δόλος ἐστὶ περιφανής, ἡ ῥαθυμία αὐτῶν μεγάλη. καὶ ὅτι ἐὰν υἱὸς ὑπεξούσιος ἢ δοῦλος, περιγράψῃ νέον, ὁ πατὴρ ἢ ὁ δεσπότης δίδωσι τὸ περιελθὸν· καὶ τὸ ἐλλεῖπον, ἀπὸ τοῦ πεκουλίου. εἰ δὲ μηδ' οὕτω πληροῦται, ὁ μὲν δοῦλος δόλον ποιήσας, ἢ † μαστίζεται, ἢ εἰς τὸ δι' ἑαυτοῦ ἀποπληρῶσαι δίδοται: ὁ δὲ υἱὸς καταδικάζεται. † μαστίζεται.

κζ.

Ὁ νέος δανεισάμενος καὶ ἀπολέσας ... οὐκ ἐνέχεται.

κθ.

Εἰ καὶ τοῦ πατρὸς ἐπιτροπεύοντος καὶ αὐθεντοῦντος περιεγράφη ὁ ἄνηβος, ἀποκαθίσταται μετὰ ταῦτα λαμβάνων καὶ κουράτωρα.

λδ.

Ἐὰν νέος ὑπεξουσίῳ δανείσῃ, κρείττων ἐστὶν ὁ δαπα-

διαπανήσας: εἰ μὴ ἄρα κατὰ τὸν καιρὸν τῆς προκατάρξεως ὁ λαβὼν εὑρεθῇ γεγονὼς εὐπορώτερος.

λη.

Τότε αὐτεξούσιος νέος ἐπὶ τοῖς ἐν ὑπεξουσιότητι πραχθεῖσιν οὐκ ἀποκαθίσταται, ὅτι τὸ ἐντεῦθεν τῷ πατρὶ προσπορίζεται.

μ.

Δεδωκὼς ὁ νέος ἀγρὸν αὐτῇ χρέους πατρῴου, καλῶς ἀποκαθίσταται. δίδωσι δὲ τοὺς τόκους τῶν καρπῶν συλλογιζομένων.

μδ.

Οὐκ ἐν πᾶσιν οἱ νέοι ἀποκαθίστανται: ἀλλ' ἐν οἷς ὑφ' ἑαυτῶν ἢ ἑτέρων περιεγράφησαν, ἀπολέσαντες ἢ μὴ κτησάμενοι ἢ ἐνοχοποιηθέντες.

μη.

† Αλλω παρά. Εὰν ὁ ἀγοράσας † παρὰ νέου ἐλευθερώσῃ αὐτὸν, ἀργεῖ μὲν ἡ ἀποκατάστασις: ἔχει δὲ κατὰ τοῦ ἀγοραστοῦ ὁ νέος ἀγωγὴν εἰς τὸ διαφέρον.

νη.

Παλαιός ἐστιν ὁ τῆς διατάξεως ταύτης κανὼν, λέγων μὴ δοκεῖν τὸν ἐλάττονα περιγράφεσθαι ἐν ἐκείνοις, ἐν οἷς τῷ κοινῷ νομίμῳ κέχρηται.

ξβ.

Εδωρήθη πρᾶγμα τοῦ ἀφήλικος δίχα ἀποφάσεως τοῦ ἄρχοντος, καὶ ὁ λαβὼν αὐτὸ κατὰ δωρεὰν, πέπρακεν αὐτὸ ἑτέρῳ τινι. λέγει οὖν ἡ διάταξις, ὅτι, ἐπειδὴ εὔλογον τίτλον νομῆς ἔσχεν ὁ ἀγοραστὴς, ἐὰν μετὰ τὸ γενέσθαι μείζονα τὸν νέον, ἢ παρόντος αὐτοῦ, δεκαετίαν ἐνεμήθη ὁ ἀγοραστὴς, ἢ ἀπόντος αὐτοῦ εἰκοσαετίαν, ἀντιθεμένης τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς, τὸν ἐνάγοντα χρὴ ἀποκλείεσθαι.

ΣΧΟΛΙΟΝ.

Ανάγνωθι καὶ τὸ περὶ ἐπιτρόπων: κἀκεῖσε γὰρ περὶ ἐκποιήσεως πραγμάτων ἀφηλίκων.

ξδ.

Εὰν ἡ πρᾶσις χωρὶς ἀποφάσεως γέγονε, καὶ μηδὲ μείζων γενόμενος ἐβεβαίωσε τὴν πρᾶσιν ὁ ἀφῆλιξ: μηδὲ διὰ χρονίας χρήσεως κυρίως ἐκτήσατο τὸ πρᾶγμα ὁ ἀγοραστὴς καλῇ πίστει, ὁ ἀγοράσας ἀποδίδωσιν αὐτὸ † τῶν καρπῶν.

† μετὰ τῶν.

ξε.

Εἴτε αὐτήβου, εἴτε ἀφήλικος, ἢ κουρατωρευομένου, ἢ αἰτήσαντος ἤδη συγγνώμην ἡλικίας, πρᾶγμα ἐξεποιήθη: κἀκεῖνος ἐπὶ πολὺν χρόνον ἐσιώπησε: βεβαιοῦται μὲν ἡ πρᾶσις δηλονότι, ὁρίζει δὲ χρόνον ἡ διάταξις, ὃν σιωπήσας ὁ ἀφῆλιξ μετὰ τὴν τελείαν ἡλικίαν, βεβαιοῖ τὴν πρᾶσιν ἤτοι τὴν ὑποθήκην. κελεύει γὰρ ἵνα ἐὰν πέντε ἐνιαυτοὺς σιωπήσῃ, μετὰ τοὺς εἰκοσιπέντε ἐνιαυτοὺς μὴ μέμψηται ἢ ὁ αὐτὸς, ἢ ὁ κληρονόμος αὐτοῦ, ἰσχύειν. ἐπειδὴ δὲ δωρεῖσθαι οὐδὲ μετὰ ἀποφάσεως ἔξεστι τοῖς ἐλάττοσιν, εἰ μὴ ἄρα προγαμιαίαν δωρεὰν, νομοθετεῖ: ἐὰν ὁ ἐλάττων συγγνώμην ἡλικίας αἰτήσας ἤδη,

Ἐν δὲ τῷ λδ. τίτλῳ τούτου τοῦ βιβλίου, δ. ἐνιαυτοὺς φησίν, ὅπερ εὑρήσεις ἐν τούτῳ τῷ τίτλῳ.

melior est caussa consumentis: nisi tempore litis contestatae is, qui accepit, locupletior factus inueniatur.

XXXVIII.

Tunc filius familias minor in ijs, quae manēs in potestate gessit, non restituitur; quum quid inde patri adquirit.

XL.

Minor, qui fundum dedit ob debitum paternum, rectè restituitur: & usuras ita praestat, ut & percepti fructus cum eis compensentur.

XLIIII.

Non in omnibus minores restituūtur, sed in quibus uel a seipsis, uel ab alijs circumuēti sunt, uel suas res amittendo, uel non adquirendo, uel semet obligando.

XLVIII.

Si qui emit ancillam a minore, manumiserit eum: restitutio quidē cessat, sed aduersus emtorē in id, quod interest sua, minor actionē habet.

LVIII.

Vetus est cōstitutionis huius regula, quae ait: Non uideri circūscriptum esse minorem in ijs, in quibus iure communi sit usus. L. ult. C. de in integ. restit. min.

LXII.

Res minoris donata est absq. sententia iudicis, & qui eam dono accepit, alteri cuidam uendidit. Dicit ergo constitutio. Quoniam iustum titulum possessionis habuit emtor, si postquam minor factus fuerit maior, uel ipso praesente decem annis emtor possederit, uel absente uiginti annis: exceptione longi temporis opposita, petitorem excludi oportet. L. ult. C. si quis ignorans rem.

SCHOLION.

Legito & caput de tutoribus. Nam & istic de alienatione rerum pupillarium agitur.

LXIIII.

Si uenditio sine decreto facta sit, & ne maior quidem factus uenditionem minor ratam habuerit; neq. longo usu proprie rem comparauerit emtor bonae fidei: qui emit, cū fructibus eam restituat. L. 2. C. si ma. fac. alien.

LXV.

Siue pupilli, siue minoris, siue sub curatore cōstituti, uel eius qui iam ueniam aetatis impetrauit, res alienata sit; & ipse longo tēpore siluerit: roboratur quidem uenditio, uerum constitutio certum tempus praefinit, quo si minor post perfectam aetatem siluerit, alienationē uel suppositionem confirmat. Iubet enim, ut si quinq. cōtinuis annis post annum XXV. uel ipse, uel heres eius nihil conquestus fuerit, rata sit. Quum autē donationes fieri nec cum decreto liceat a minorib. excepta propter nuptias donatione, [constitutio] sancit; ut si minor aetatis impetrata uenia dona-

Titulo autem XXXIIII. libri huius X. quatuor annos ait. quod & hoc tit. inuenies.

donauerit alicui, non sit rata donatio, nisi post XXV. *annos, decennium uel uicennium effluxerit. Quod si minor interea moriatur, hoc requirimus; ut residuum spatium tẽporis effluat, herede ipsius silente.*

Tit. X. tractatur:

DE MINORIBVS FILIISFAMILIAS.

Tit. XVI. agitur:

DE FIDEIVSSORIBVS MINORVM, *quod ipsi nimirum teneantur, minoribus [in integrum] restitutis.*

Item tit. VII. agitur:

DE MINORIBVS QVI SVB TVTELA VEL CVRATIONE SVNT. *& ipsos uidelicet in quibus circumscripti fuerint, etiamsi præsentibus tutoribus uel curatoribus suis quid gesserint, restitui.* — l. minoribus. C. si tutor uel cur. interu.

Legito & tit. IX. *in quo dicit, restitui condemnatos, ut litem rursum mouere possint.*

Item tit. X. *in quo dicit, quod aduersus uenditionem propriam, etiamsi iusiurandum interposuerint, restituantur.* — l. 1. C. si aduers. uend.

Item tit. XI. in quo tractatur:

DE PIGNORIBVS DISTRACTIS A CREDITORIBVS. *si magno scilicet detrimento adfecti sint, restitutionem fieri.*

Legito & tit. XII. *in quo dicuntur restitui aduersus uenditionem propriam, etiamsi iuramentũ præstiterint. Item, quas res minor* XXV *annis spōsaliorum tempore, curatore præsente, sponsæ donauit, non reuocantur. Item, donatum a patre minori emancipato, nequit alteri pater donare.* — l. 1. C. si aduers. uend. pign. — l. 1. C. si aduers. donat. — l. 2. eod.

Legito & tit. XIII. *in quo dicitur: Etsi minor circumscriptus, seruum in concilio manumiserit, non restituitur: sed a manumisso indemnitati eius consulitur. Sin absque concilio manumiserit, restituitur.* — l. 2. C. si aduer. liber.

Legito & tit. XIIII. *in quo dicitur, minores tametsi transegerint, restitui.* — l. 1. C. si aduer. transf.

Legito & tit. XV. *in quo agitur* DE DEBITORIBVS ET DE ILLIS, QVI LEGATVM INDEBITVM PER SE CAPIVNT.

Item tit. XVI. *in quo tractatur de muliere, quæ per circumscriptionem & fraudem omnia sua bona in dotem dedit.*

Item tit. XVII. *in quo dicitur, etiam in delictis, si non ex animo malo delictum ueniat, minoribus subueniri.* — l. 1. C. si aduer. delic.

Legito & tit. XVIII. *in quo dicitur: Si qui res impuberum uel minorum detinentes, longa possessione dominium adquirant; restitutionis auxilium minoribus præstetur.* — l. un. C. si aduer. usuc.

δωρήσηται τινί· μὴ ἐρρῶσθαι τὴν δωρεὰν, εἰ μὴ μετὰ τοὺς εἰκοσιπέντε ἐνιαυτοὺς, δέκα ἢ εἴκοσι ἐνιαυτοὶ διαδράμωσιν. εἰ δὲ ἐν τῷ μεταξὺ ὁ ἀφῆλιξ τελευτήσῃ, ζητοῦμεν ἵνα τὸ λοιπὸν τοῦ χρόνου διάστημα δράμῃ, τοῦ κληρονόμου αὐτοῦ σιωπῶντος.

Ανάγνωθι καὶ τίτλ. ι. ἐν ᾧ φησὶν.

ΠΕΡΙ ΑΦΗΛΙΚΩΝ ΥΠΕΞΟΥΣΙΩΝ.

Ανάγνωθι καὶ τίτλ. ις. ἐν ᾧ φησὶ καὶ

ΠΕΡΙ ΤΩΝ ΕΓΓΥΩΜΕΝΩΝ ΤΟΥΣ ΑΦΗΛΙΚΑΣ, ὅτι ἐνέχονται αὐτοὶ τῶν ἀφηλίκων ἀποκαθισταμένων.

Ανάγνωθι καὶ τίτλ. ζ. ἐν ᾧ φησὶν.

ΠΕΡΙ ΕΠΙΤΡΟΠΕΥΟΜΕΝΩΝ ΚΑΙ ΚΟΥΡΑΤΟΡΕΥΟΜΕΝΩΝ ΑΦΗΛΙΚΩΝ: ὅτι καὶ αὐτοὶ ἐν οἷς περιγραφῶσιν, εἰ καὶ παρόντων τῶν ἐπιτρόπων καὶ κουρατώρων αὐτῶν ἔπραξαν, ἀποκαθίστανται.

Ανάγνωθι καὶ τίτλον θ. ἐν ᾧ φησὶν, ὅτι καταδικασθέντες ἀποκαθίστανται ἐπὶ τῷ αὖθις κινῆσαι τὴν δίκην.

Ανάγνωθι καὶ τίτλον ι. ἐν ᾧ φησὶν, ὅτι κατὰ τῆς ἰδίας πράσεως, εἰ καὶ ὅρκον ἐπαγάγωσιν, ἀποκαθίστανται.

Ανάγνωθι καὶ τίτλον ια. ἐν ᾧ φησὶν.

ΠΕΡΙ ΤΩΝ ΠΡΑΘΕΝΤΩΝ ΕΝΕΧΥΡΩΝ ΑΥΤΩΝ † ΠΕΡΙ ΔΑΝΙΣΤΩΝ. ὅτι εἰ καὶ μεγάλως ἐζημιώθησαν, ἀποκαθίστανται. — † παρὰ δαν.

Ανάγνωθι καὶ τίτλον ιβ. ἐν ᾧ φησὶν, ὅτι κατὰ τῆς ἰδίας πράσεως, εἰ καὶ ὅρκον ἐπαγάγωσιν, ἀποκαθίστανται. καὶ ὅτι ἅπερ ὁ ἐλάττων τῶν κε. ἐνιαυτῶν, ἐν τῷ καιρῷ τῆς μνηστείας παρόντος αὐτοῦ τοῦ κουράτωρος τῇ μνηστῇ ἐδωρήσατο, οὐκ ἀνακαλοῦνται. καὶ ὅτι τὸ δωρηθὲν παρὰ πατρὸς τῷ αὐτεξουσίῳ † ἀφήλικος, † δύναται ὁ πατὴρ ἑτέρῳ δωρεῖσθαι. — † ὀρφανῷ.

Ανάγνωθι καὶ τίτλον ιγ. ἐν ᾧ φησιν: ὅτι † καὶ περιγραφεὶς ὁ ἀφῆλιξ, ἐλευθερώσει δοῦλον ἐν συνεδρίῳ, οὐκ ἀποκαθίσταται: ἀλλὰ τὸ ἀζήμιον αὐτῷ γίγνεται παρὰ τοῦ ἐλευθερωθέντος. εἰ δὲ χωρὶς συνεδρίου ἠλευθέρωσεν, ἀποκαθίσταται. — † εἰ διὰ. — † ἀναδ.

Ανάγνωθι καὶ τίτλ. ιδ. ἐν ᾧ φησὶν: ὅτι καὶ διαλυόμενοι οἱ ἐλάττονες, ἀποκαθίστανται.

Ανάγνωθι καὶ τίτλον ιε. ἐν ᾧ φησὶν ΠΕΡΙ ΧΡΕΩΣΤΩΝ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΛΑΒΟΝΤΩΝ ΕΞ ΑΥΤΩΝ ΛΕΓΑΤΟΝ ΜΗ ΧΡΕΩΣΤΟΥΜΕΝΟΝ.

Καὶ τίτλον ις. ἐν ᾧ φησὶ, περὶ γυναικὸς κατὰ περιγραφὴν καὶ ἀπάτην, πᾶσαν τὴν οὐσίαν αὐτῆς ἐπιδεδωκυίας ἐν προικί.

Ανάγνωθι καὶ τίτλ. ιζ. ἐν ᾧ φησὶν: ὅτι καὶ ἐν τοῖς ἁμαρτήμασιν, εἰ μὴ ἐκ πονηρᾶς προαιρέσεως γένηται τὸ ἁμάρτημα, βοηθοῦνται.

Ανάγνωθι καὶ τίτ. ιη. ἐν ᾧ φησὶν: ἐάν τινες τὰ τῶν ἀνήβων ἢ τῶν ἀφηλίκων πράγματα κατέχοντες διὰ τῆς χρονίας νομῆς κτήσωνται τὴν ἑαυτοῖς δεσποτείαν, ὁ τῆς ἀποκαταστάσεως βοήθεια αὐτοῖς τοῖς νέοις † παρέχεσθαι. — † παρέχεσθαι.

Ανά-

Ἀνάγνωθι καὶ τίτλον ιθ. ἐν ᾧ φησὶν, ὅτι καὶ κατὰ τοῦ δημοσίου ἀποκαθίστανται οἱ ἀφήλικες.

Ἀνάγνωθι καὶ τίτλον κ. ἐν ᾧ φησὶν: καὶ δανειζόμενοι, ἐὰν κακῶς δαπανήσωσι τὰ δανεισθέντα, βοηθοῦνται.

Ἀνάγνωθι καὶ τίτλον κα. καὶ κβ. ἐν οἷς φησὶν, ΠΕΡΙ ΤΗΣ ΚΑΤΑΛΕΙΦΘΕΙΣΗΣ ΑΥΤΟΙΣ ΚΛΗΡΟΝΟΜΙΑΣ: ὅτι: ἐὰν μὴ συμφερόντως ἐμμίξωσιν αὐτῇ, ἢ ὑπεισέλθωσιν, ἢ τὸ ἐναντίον, ἀποκαθίστανται.

Ἀνάγνωθι καὶ τίτλον κγ. εἰ καὶ τὸν φόνον οὐκ ἐκδικήσωσιν οἱ ἀφήλικες τοῦ κληρονόμους αὐτοὺς ἐάσαντος, οὐκ ἐκπίπτουσι τῆς κληρονομίας. τοῦτο γὰρ ἐπὶ τῶν τελείων κρατεῖ. καὶ ὅτι τοῖς μὲν τελείοις, † πενταετίας ἀναιρεῖται ἡ κατὰ τῆς διαθήκης μέμψις. τοῖς δὲ ἐλάττοσιν, εἰ μὴ πληρώσωσι τὸν κε. χρόνον, οὐ τρέχει ἡ πενταετία. καὶ ὅτι χρεῶσται τοῦ ἀφήλικος, εἰ μὴ αὐτομάτως τὸ χρέος ἀποδώσωσιν, ὑπερθέσιν ποιοῦσιν. ὡσαύτως καὶ ἐπὶ τῶν φιδεικομμίσσων, καὶ ἐπὶ τῶν λεγάτων. καὶ ὅτι οὐδὲ ἡ παραγραφὴ τῆς ἀναργυρίας, τοῖς ἐλάττοσι τρέχει.

† πενταετίας.

Ἀνάγνωθι καὶ κδ. ἐν ᾧ φησὶν: ὅτι οὐκ ἀποκαθίστανται οἱ ἀφήλικες, ἐὰν ἐπιμελεῖς οἰκοδεσπόται ἐγένοντο: καὶ μάλιστα ἐν δημοσίαις διοικήσεσιν: ἢ ἐὰν κατὰ πατρὸς ἢ πάτρωνος τὴν μέμψιν κινῶσιν.

Ἀνάγνωθι καὶ τίτλον κε. ἐν ᾧ φησὶν περὶ ἥττονος.

Ἐὰν μείζονα ἑαυτὸν εἴπῃ, ἢ ἀποδείξῃ παρὰ ἄρχοντι, ἢ μεθ' ὅρκου ἐγγράφως βεβαιώσηται, ἢ καὶ σωματικῶς ὀμόσῃ. ποτὲ μὲν ἀποκαθίσταται, ποτὲ δὲ οὐκ ἀποκαθίσταται. καὶ ὅτι ἐὰν διὰ τῆς οἰκείας θέας ἀπατήσῃ τινὰ, μείζονα ἑαυτὸν διαβεβαιωσάμενος εἶναι, οὐκ ἀποκαθίσταται.

Ἐν δὲ δ. κεφαλαίῳ.

Ἐὰν ἐν συμβολαίῳ μετὰ ὅρκου μείζονα σεαυτὸν εἶναι ἐβεβαιώσω, οὐκ ὀφείλεις ἀγνοεῖν ἀποκεκλεισμένην σοι εἶναι τὴν τῆς ἀποκαταστάσεως βοήθειαν διὰ τὸν ὅρκον, εἰ μὴ φανερῶς καὶ προδήλως διὰ ἐγγράφων συμβολαίων παρὰ σοῦ φερομένων, οὐ μὴν διὰ μαρτύρων καταθέσεως, σεαυτὸν ἐλάττονα εἶναι ἀποδείξεις. ταῦτα ὅπου ἐνεγράφη τῷ συμβολαίῳ μόνον ὁ ὅρκος, οὐ μὴν σωματικῶς καὶ τῇ ἀληθείᾳ ὤμοσεν ὁ νεώτερος ἑαυτὸν εἶναι μείζονα. ἐὰν μέντοι, φησὶν, οὗτος ὁ ὅρκος σωματικῶς ἐδόθη παρὰ σοῦ, τουτέστιν αὐτῇ τῇ ἀληθείᾳ ἐπωμόσω μείζονα σαυτὸν εἶναι: μηδεμίαν σοὶ ὑπολελεῖφθαι βοήθειαν, προφανέστατον νομίμως ἐστίν.

Ἀνάγνωθι καὶ τίτ. κϛ. ἐν ᾧ φησὶν: ὅτι κατὰ ἀποφάσεως δικαστοῦ, ἀποκατάστασις τοῖς ἀφήλιξι δίδοται: ἐκ δευτέρου δὲ τὴν τῆς ἀποκαταστάσεως δίκην μὴ πράττεσθαι, εἰ μὴ καιναὶ προφέρονται δικαιολογίαι.

Item tit. XIX. in quo dicitur, etiam aduersus fiscum minores restitui.

Item tit. XX. in quo dicitur, etiam eis quum mutuum sumunt, si credita male consumant, succurri.

Item tit. XXI. & XXII. ubi dicitur DE RELICTA EIS HEREDITATE. *uidelicet eos restitui, si non commodo suo se illi immiscuerint, uel eam adierint, uel e contrario.* l. 1. C. si min. ab hered.

Legito & tit. XXIII. Etsi minores necem eius ulti non fuerint, qui eos heredes reliquit, tamen hereditate non excidunt. Hoc enim in maioribus obtinet. Item, inofficiosi testamenti querela legitimā ætatem adsequutis intra quinquennium perimitur. Minoribus autem, nisi XXV. annum impleuerint, quinquennij tempus non currit. Item, debitores minoris, si debitum ultro non soluerint, moram committunt. Similiter & in fideicommißis, & in legatis. Item, exceptio non numeratæ pecuniæ, minoribus haud currit. l. 1. C. in quib. causs.

Legito & titulum XXIIII. ubi dicitur, non restitui minores, si diligētes patresfamilias fuerint, ac præsertim in publicis actibus: uel si aduersus patrem patronumue querimoniam mouerint. l. 1. & 2. C. qui & adu. quos in int.

Legito & tit. XXV. in quo de minore dicitur:

Si maiorem se dixerit, aut probauerit apud præsidem, aut per sacramenti religionem in instrumento adseuerauerit, aut corporaliter iurauerit: aliquando restituitur, aliquando non restituitur. Item si adspectu proprio deceperit aliquem, seque maiorem esse confirmauerit, non restituitur. l. 3. C. si min. se maio.

Cap. IIII.

Si in instrumēto cum iureiurando maiorem esse te adseuerasti, non ignorare debes, exclusum tibi esse in integrum restitutionis beneficium propter iusiurandum, nisi palam & euidenter ex scriptis instrumentis, abs te prolatis, non per testium depositionem, te fuisse minorem probaueris. Atque hæc, ubi tantum adscriptum est instrumento iusiurandum; non autem corporaliter ac reapse minor sacramētum præstitit, se maiorem esse. Quippe si iusiurandum hoc, inquit, abs te corporaliter præstitum sit; hoc est, si reuera iuraueris te maiorem esse: nullum tibi superesse auxilium, maxime perspicui iuris est.

Legito & tit. XXVI. in quo dicitur, aduersus sententiam iudicis restitutionem minoribus dari. Verum iterato restitutionis caussam non agi, nisi noua defensiones proferantur. C. si sæp. in int.

l.2.C.de his qui uen. *Legito & tit.XXVII.ubi dicitur de his qui ueniam ætatis impetrauerunt. Item, quod masculus impletis XX. annis, femina uero impletis XVIII. annis, a principe ueniam ætatis impetrare poßint. Prædia tamen sua sine decreto scripto alienare non poßunt.*

* XXXVIII. Legito & lib. * XXVIII. tit. II. cap. II. cuius uerba sunt:

C.eod. *Petunt ætatis ueniam masculi quidem a uigesimo ad uigesimumquintum annum, feminæ uero ab octauo & decimo usq; ad annum uigesimumquintum. petunt autem a principe, curatores ipsorum remoueri, ut ipsi soli suarum rerum curam gerant: ita tamen, ut opinionis honestæ testimonium habeant. Secundum quam impetrationem ea, quæ legitimæ ætatis homines, agunt. neq; tamen sine decreto iudicis quidquam ex bonis suis alienant.*

Legito & libri huius X. tit. XXVIII. ubi dicitur:

l.2.C.si ma. fac.rat. *Si rata [minores] habuerint post uigesimum quintum annum ætatis ea, quæ minori ætate gesta sunt, non restituuntur.*

Legito & tit.XXIX.ubi dicitur, apud quem cognitio restitutionis in integrum agitanda sit. l.2.C.ubi & apud quem. *Item, quod minor ex transactione soluta recipiat.*

Legito & tit.XXX.ubi dicitur:

l.un.C.de reputat. *Qui ob rem quampiam restituitur in integrum, nec in damno morari, nec in lucro debet.*

Legito & tit. XXXI. in quo dicitur, posse minorem etiam per procuratorem restitutionem petere.

Legito & tit.XXXII.in quo tractat de eo, qui a sententia prouocauit.

Item tit.XXXIII.cap.V.cuius uerba sunt:

l.5.C.de restit. milit. *Quando fiscus rem pupilli distrahit, uel eius, qui abest reipublicæ caussa, uel alterius alicuius, qui quocumque modo restitui potest: ipsis rei dominis quadriennij tempus, quo facta a fisco rerum alienarum uenditiones confirmantur, non obest.*

l.5.C.de temp. in int. *Legito & tit. XXXIIII. in quo agitur de quadriennio, quod ad restitutionem datur minoribus, post uigesimum & quintum annum. Præterea dicitur, ijs qui ueniam ætatis petinerunt, post illam impetratam quadriennij tempus currere.*

Legito & lib.XIX. tit. VII. cuius IIII.cap. dicitur:

l.4.D.de ser. export. *Minor uiginti annis inutiliter seruū uendit, ut manumittatur: etiāsi conuenerit, ut libertas*

Ἀνάγνωθι καὶ τίτλον κζ. ἐν ᾧ φησὶν περὶ τῶν συγγνώμην ἡλικίας λαβόντων. καὶ ὅτι ὁ μὲν ἀνὴρ πληρουμένων τῶν εἴκοσι ἐτῶν, ἡ δὲ γυνὴ πληρουμένων τῶν δεκαοκτὼ ἐτῶν, δύναται τὴν συγγνώμην τῆς ἡλικίας ἐξαιτεῖν παρὰ βασιλέως: κτήματα δὲ αὐτῶν ἄνευ ἐγγράφου ψηφίσματος ἐκποιεῖν οὐ δύνανται.

Ἀνάγνωθι καὶ βιβλίον κη. τίτλον β. κεφάλαιον β. ἐν ᾧ φησίν.

Γίνεται δὲ ἡ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας, τοῖς μὲν ἄνδρασιν, ἀπὸ εἴκοσι χρόνων ἕως κε. ταῖς δὲ θηλείαις ἀπὸ ιη. μέχρι κε. χρόνων: αἰτούμενοι βασιλεῖ ἀπώσασθαι τοὺς κουράτωρας αὐτῶν, ὡς αὐτοὺς μόνους τὴν τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα, ὑπολήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι. καὶ τηνικαῦτα ἢ μετὰ τὴν αἴτησιν πράττουσι τὰ τῶν τελείων. οὐ μέντοιγε χωρὶς ἀποφάσεως κριτοῦ ἐκποιοῦνται τι τῶν αὐτοῖς προσόντων.

Ἀνάγνωθι καὶ τίτλον κη. τοῦ βιβλίου τούτου, ἐν ᾧ φησίν.

Ἐὰν δὲ ἐκ τὰ ἠρέσωνται μετὰ τὸν κε. ἐνιαυτὸν τὰ ἐλάττονι ἡλικίᾳ πεπραγμένα, οὐκ ἀποκαθίστανται.

Ἀνάγνωθι καὶ τίτλον κθ. ἐν ᾧ φησίν, παρὰ τίνι ἡ διάγνωσις τῆς ἀποκαταστάσεως γίνεται. καὶ ὅτι καταβαλὼν ὁ νέος τὰ ἀπὸ τῆς διαλύσεως, ἀναλαμβάνει.

Ἀνάγνωθι καὶ τίτλον λ. ἐν ᾧ φησίν.

Ὁ ἀποκαθιστάμενος κατά τινος πράγματος, οὔτε ζημιοῦται, οὔτε κερδαίνειν ἐξ αὐτοῦ ὀφείλει.

Ἀνάγνωθι καὶ τίτλον λα. ἐν ᾧ φησίν, ὅτι καὶ διὰ ἐντολέως δύναται ὁ νέος ἀποκατάστασιν αἰτεῖν.

Ἀνάγνωθι καὶ τίτλον λβ. ἐν ᾧ φησὶ περὶ τοῦ κατὰ ἀποφάσεως ἐκκαλουμένου.

Ἀνάγνωθι καὶ τίτλον λγ. κεφάλαιον ε. ἐν ᾧ φησίν.

Ὅτι ἡνίκα ὁ δημόσιος πιπράσκει τὸ τοῦ ἀνήβου πρᾶγμα, ἢ τὸ τοῦ διὰ πρᾶγμα δημόσιον ἀπολιμπανομένου, ἢ ἑτέρου τινὸς καθ' οἱονδήποτε τρόπον ἀποκαταστῆναι δυναμένου: μὴ ἀντικεῖσθαι τοῖς τοῦ πράγματος δεσπόταις τὸν τετραετῆ χρόνον τὸν βεβαιοῦντα τὰς γινομένας ὑπὸ τοῦ δημοσίου πράσεις τῶν ἀλλοτρίων πραγμάτων.

Ἀνάγνωθι καὶ τίτλον λδ. ἐν ᾧ φησὶν περὶ τῆς δεδομένης τετραετίας εἰς ἀποκατάστασιν, τοῖς ἀφήλιξι, μετὰ τὸν κε. ἐνιαυτόν. ὁμοίως καὶ τοῖς συγγνώμην ἡλικίας αἰτήσασι, μετὰ τὸ λαβεῖν τὴν συγγνώμην τῆς ἡλικίας, τρέχειν τὸν τετραετῆ χρόνον.

Ἀνάγνωθι καὶ βιβλίον ιθ. τίτλον ζ. κεφάλαιον δ. ἐν ᾧ φησίν.

Ὁ ἥττων τῶν εἴκοσι ἐτῶν, ἀνισχύρως ἐπὶ τῷ ἐλευθερωθῆναι πωλεῖ δοῦλον † καὶ συμφωνήσῃ τῆς ἐλευθερίας † καί.

θερίαν ὑποστηθλῶσαι ἕως οὗ πληρώσῃ τὰ κ. ἔτη.

Ανάγνωθι καὶ βιβλίον κϛ. τίτλον δ. κεφάλαιον ιζ. καὶ βιβλίον να. τίτλ. δ. κεφάλαιον δ. θεμ. ι. ἐν ᾧ φησίν.

Εὰν ἀφῆλιξ δωρήσηταί μοι ἑπταέτην, καὶ μετὰ ταῦτα ἐκδικῇ αὐτὸν, ἐκβάλλεται παραγραφῇ μὴ διδοὺς τὰς δεδοκιμασμένας δαπάνας καὶ τὰς τροφάς.

Ανάγνωθι ἐκ βιβ. η. τίτ. β. κεφ. πη. ἐν ᾧ φησίν.

Τοῖς ἐλάττοσιν ἡ ἡλικία, ἐν ταῖς ζημίαις συντρέχειν, οὐ μὴν ἐν τοῖς πράγμασι τοῖς αἰσίως διοικηθεῖσιν ἀντικεῖσθαι εἴωθεν.

Ανάγνωθι καὶ βιβλίον ζ. τίτλ. ιθ. οὗ τινος ἐν τῷ ιγ. κεφ. φησί.

Ὅτι ὁ νέος κατὰ συναίνεσιν τοῦ κουράτωρος καλῶς ἐνάγεται.

ΣΧΟΛΙΟΝ.

Ανάγνωθι καὶ νεαρὰν ριθ. κεφάλ. β. ἐν ᾗ φησί, τὸ ἰσχύειν αὐτοὺς ἄλλως ἐν τῷ διατίθεσθαι τοὺς ἰδίους οἰκέτας ἐλευθεροῦσθαι.

ΠΕΡΙ ἘΡΗΜΟΔΙΚΩΝ, ΤΟΥΤΕΣΤΙ τῶν ἐκ μονομεροῦς εἰσηγήσεως τὴν καταδίκην ἐχόντων.

Τοῦ αὐτοῦ τίτλ. κεφαλ. η θεμ. β.

Εν ταῖς ἐρημοδίκοις καὶ οἱ μείζονες εὐλόγως ἀπολειφθέντες ἀποκαθίστανται.

Ανάγνωθι καὶ βιβλ. ϛ. τίτλ. κη. κεφ. α.

ΠΕΡΙ ἘΛΕΥΘΕΡΙΩΝ: ΚΑΙ ὍΤΙ κατὰ ἐλευθερίας οὐκ ἔστιν ἀποκατάστασις, εἰ μὴ κελεύσει βασιλέως ἀπὸ μεγάλης αἰτίας· ἁρμόζει δὲ ἡ περὶ δόλου ἀγωγή.

Τοῦ αὐτοῦ τίτλ. κεφ. ι. θεμ. β.

Κατὰ ἐλευθερίας οὐκ ἔστιν ἀποκατάστασις, εἰ μὴ κελεύσει βασιλέως ἀπὸ μεγάλης αἰτίας. ἁρμόζει οὖν ἡ περὶ δόλου ἀγωγή. *ὁ τῆς ἐλευθερίας ὅρος ἄγραφος ἐν τῷ περὶ ἀνθρώπων.*

Ανάγνωθι καὶ τίτλ. ιγ. κεφ. δ. ἐν ᾧ φησίν.

Παλαιὸν νόμιμον ἡ διάταξις λέγει, ὅτι τὴν ἐξενεχθεῖσαν ὑπὲρ ἐλευθερίας ἀπόφασιν, οὐδὲ τὸ προνόμιον τῆς ἐλάττονος ἡλικίας δύναται ἀνατρέψαι.

Ανάγνωθι καὶ βιβλίον ιζ. τίτλον α. κεφάλαιον μβ. θεμ. γ. ἀνάγνωθι καὶ τίτ. β. κεφάλαιον κα. καὶ βιβλ. ιη. τίτλ. ε. κεφ. μγ. ἐν ᾧ φησίν.

Τῷ ἐλευθερωμένῳ ἕπεται τὸ πεκούλιον, εἰ μὴ ἀφαιρεθῇ. ἐνάγειν δὲ τοὺς χρεώστας οὐ δύναται, εἰ μὴ ἐντολὰς τὰς κατ' αὐτῶν ἀγωγάς.

Ανάγνωθι καὶ βιβλίον λε. τίτλον ιγ. κεφάλαιον λθ. ἐν ᾧ φησίν.

Ἡ διάταξις λέγει, ὅτι αὐτῷ τῷ γραφῆναι κληρονόμος ὁ δοῦλος, εἰ καὶ μὴ προστεθῇ αὐτῷ ἡ ἐλευθερία, σιωπηρῶς αὐτὴν ἔχει.

Καὶ κεφάλαιον μ.

Διατιθέμενός τις ἄνηβον ἑαυτοῦ υἱὸν κληρονόμον ἔγραψε, καὶ δοῦλον ἴδιον ἐληγάτευσε: τὸν δὲ αὐτὸν δοῦλον ὑποκατέστησε δίχα ἐλευθερίας

differatur, donec ipse XX. annos expleuerit.

Legito & lib. XXVI. tit. IIII. cap. XVII. & lib. LI. tit. IIII. cap. IIII. them. X. cuius uerba sunt:

Si minor mihi septennē donauerit, ac postea uindicet eum: per exceptionē excluditur, si æstimatas impensas & alimenta non reddiderit.

Legito & librum VIII. titul. II. caput LXXXVIII. cuius hæc uerba sunt:

Minoribus ætas in damnis subuenire, non rebus prospere gestis obesse consueuit. l.14.C.de prescrat.

Legito & lib. VII. tit. XIX. cuius XIII. cap. dicitur:

Minor curatoris consensu recte conuenitur.

SCHOLION.

Legito & nouellam CXIX. cap. II. ubi dicitur, habere minores licētiam seruos suos in testamento manumittendi.

DE EREMODICIIS, HOC EST, DE his, qui ex alterius tantum partis relatione condemnantur.

Eiusd. IIII. tit. cap. VIII. them. II.

* ἀνάγνωθι καὶ τὸ περὶ δικαστικῆς καὶ τὸ περὶ ἐκδικουμένων πραγμάτων.
† δίδωσι τοὺς μετὰ προκ.

ΠΕΡΙ ΘΗΣΑΥΡΩΝ ΕΥΡΙΣΚΟΜΕΝΩΝ.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. ξζ.

Ἐὰν εὕρω χρήματα ἐν τῷ ἀγρῷ ὅν ἐστι παρ' ἐμοῦ οἴκῳ, εἰ μὴ θησαυρὸς ἦν, ἀλλ' ἀπολλυμένα χρήματα, ἢ κατὰ πλάνην μὴ ληφθέντα ἀπὸ τοῦ κυρίου αὐτῶν, ἐκείνου μένουσι. ἀνάγνωθι καὶ τίτλον δ. κεφάλαιον ιε.

Ἀνάγνωθι καὶ βιβλίον νς. τίτλον γ. θεμ. ι. ἐν ᾧ φησίν.

Ἐὰν ἐν δημοσίῳ τόπῳ, ἢ ἀφωρισμένῳ εἰς ταφὴν, ἢ μνημεῖον, θησαυρὸς εὑρεθῇ, τὸ ἥμισυ τῷ δημοσίῳ διαφέρει. ὁ δὲ ἀποκρύπτων τὸ διαφέρον τῷ δημοσίῳ μέρος, τὸν ὅλον θησαυρὸν ἀποδίδωσιν. οὐδεὶς δὲ μηνύειν ἑαυτὸν, εὑρηκέναι θησαυρὸν, ἀναγκάζεται, εἰ μὴ μέρος αὐτοῦ τῷ δημοσίῳ διαφέρει.

ΠΕΡΙ ΠΡΑΘΕΝΤΟΣ ΕΙΣ ΔΥΟ πρόσωπα ἀγροῦ.

Τοῦ αὐτοῦ τίτλ. κεφ. ϛε.

Ἐὰν δύο τινὲς τὸν ἀγρὸν ἀγοράσωσιν ἐξ ὁλοκλήρου, ὁ πρῶτος αὐτὸν λαβὼν, ἔσω βελτίων, εἰ καὶ τὸ τίμημα οὐ κατέβαλε, καὶ τὰ μάλιστα μὴ ἔλαβε τὰ δικαιώματα τοῦ ἀγροῦ. ὁμοίως καὶ ἐπὶ δωρεᾶς.

Ἀνάγνωθι καὶ τίτλον β. κεφάλ. θ. θεμ. γ. ἐν ᾧ φησίν.

Ἐὰν δύο ποτὲ τὸ αὐτὸ πρᾶγμα κεχωρισμένως πραθῇ καλῇ πίστει: εἰ μὲν ἀπὸ τοῦ * αὐτοῦ, κρείττων ἐστὶν ὁ πρῶτος λαβών. εἰ δὲ παρὰ διαφόρων, μὴ δεσποζόντων, κρείττων ἐστὶν ὁ νεμόμενος.

* μὴ ὄντος δεσπότου δηλονότι.

ΠΕΡΙ ΑΓΟΡΑΣΑΝΤΟΣ ΠΑΡΑ μὴ δεσπότου, αὐτοῦ τοῦ δεσπότου παραγγέλλοντος μὴ ἀγοράσαι, καὶ περὶ λοιπῶν ἀγοραστῶν.

ceteros iure an iniuria possideam, plus iuris habeo, quã qui non possidet. Si ego & tu rem eamdem in solidum possideamus, quatenus a me iniuste possides, ego potior sum: si uero non a me, quamuis iniuste, possides; neuter nostrum ab alio uincitur.

Legito & lib. VI. tit. I. cap. LIIII. in quo dicitur:

Qui locum indebitum sibi usurpauerit, sacrilegij tenetur; nec ignorantiã praetexere potest. (l. 1. C. ut dig. ord. ser.)

Item lege lib. IX. tit. III. cap. LXVII. cuius uerba sunt:

Malae fidei possessor non rem dumtaxat redhibet, ac fructus ab se perceptos: sed etiam eos, quos percipere quis potuisset. Et exsoluit eos, qui post litis contestationem potuerunt percipi. (Hac autem non de hereditatis petitione intelligito. Nam in ea fructus etiam ante litis contestationem percepti deducuntur.) Quod si relicto herede moriatur, etiam ab herede, qui successit in eius uitium, fit eorumdem repetitio. (l. 2. C. de fruct. & lit. exp. Legito & tit. de dominio. Item de rerum uindicatione.)

DE THESAVRIS INVENTIS.

Tit. eiusd. cap. LXVII.

Si pecuniam in domo, quam mercatus sum, inuenero; si non thesaurus fuit, sed pecunia perdita, uel per errorẽ ab eo, ad quem pertinebat, non ablata; eius ipsius manet. Adde tit. IIII. cap. XV. (l. 6. D. de rei uind.)

Item lege lib. LVI. tit. III. them. X. ubi dicitur:

Si in loco fiscali siue publico, uel ad sepulcrum aut monumentum separato, thesaurus repertus fuerit; dimidia pars ad fiscũ pertinet. Qui uero partem ad fiscum pertinentem supprimit, totum thesaurum soluit. Deferre autem se nemo cogitur, quod thesaurum inuenerit, nisi pars eius fisco debeatur. (l. 3. §. si in locis. D. de iu. fis.)

DE PRAEDIO DVOBVS uendito.

Tit. eiusd. cap. XCV.

Si duo quidam praedium emerint in solidum, potior est is, qui traditione primus accepit; et si nec pretium soluit, nec instrumenta praedij consequutus est. Idem est & in donatione. (l. 15. C. de rei uindic.)

Legito & tit. II. cap. IX. them. III. in quo dicitur:

*Si duobus eadem res separatim bona fide uendita fuerit, si quidem ab * eodem, potior est qui traditione primus accepit: sin a diuersis, non dominis, melior caussa possidentis est.* (l. 9. §. 2. D. de Publicc. * qui uidelicet dominus non fit.)

DE EO, QVI A NON DOMINO emit, ipso domino interdicente ne emeret, deque ceteris emtoribus.

Tit. eiusd. cap. XCVII.

l.17.C.de rei uend. *Si quis fundum emerit a uenditore non domino, ipso domino denuntiante ne emeret, una cum fructibus eum restituit.*

XLVIII. Et cap. VIII.

l.50.D.eod. *Emtor ante traditionem nō habet actionem in rem, sed heres habet in rebus hereditarijs etiam prius, quam possederit.*

LXV.

Qui emit alienum prædium, non restituit illud domino; nisi pecuniam receperit, et solutā, qui pignori datum prædium habebat.

SCHOLION.

Si enim pretiū soluerit, cur non haberet actionem contra uenditorem?

LXXII.

Si fundum Petri mihi uendideris, eumque tradideris alteri, ego sum potior. quippe si ego possideam, & tu petas; exceptione te submoueo: sin tu possideas, ego eum persequor.

LXXXIIII.

l.4.C.eod. *Qui a malæ fidei possessore bona fide comparauit, rem usucapere potest.*

LXXXVI.

Qui sibi possessiones comparauit ex nummis apud se depositis, ipsa prædia pro deposito reddere non cogitur, sed numos acceptos restituit.

XCII.

Qui ancillam uendidit atque tradidit, amplius eam uindicare non potest, nec item partus ipsius; quum emtor semel dominus factus sit: sed de pretio potius aduersarium actione competenti conuenire debet.

XCIIII.

Si quis rem a muliere compararet, ad filium eius pertinentem, recte in rem actione conuenitur. Sin matri filius heres extiterit, pro qua portione peruenit ad eum hereditas, adquiescere cogitur, exceptione doli mali exclusus.

CVII.

Qui seruum emit, ante traditionem dominium eius uindicare non potest. idque similiter in alijs omnibus obtinet. Emtor enim fit dominus, non per conuentionem, sed per traditionem.

Legito & tit. II. huius eiusdem libri XV. a cap. VII. usque ad XV. Capitis VII. uerba sunt:

l.7.D.de public. *Qui a furioso imprudēs emit, Publicianam habet. potest enim usucapere. Idem est, si quis emerit imprudens a minore, uel permutatione, uel donatione acceperit. quippe Publiciana proprietati adsimulatur. Item, omni emtori bona*

Τοῦ αὐτοῦ τίτλ. κεφ. ϛζ.

Ἐάν τις ἀγρὸν ἀγοράσῃ παρὰ μὴ δεσπότου πωλοῦντος, αὐτοῦ τοῦ δεσπότου παραγγέλλοντος αὐτῷ μὴ ἀγοράσαι, μετὰ τῶν καρπῶν αὐτὸν ἀποκαθίστησι.

Ἀνάγνωθι καὶ τοῦ αὐτοῦ τίτλου κεφάλαιον * η. * μη.

Ὅτι ὁ ἀγοραστὴς πρὸ παραδόσεως, οὐκ ἔχει τὴν ἐπ' αὐτῷ πράγματι ἀγωγήν. ὁ δὲ κληρονόμος ἔχει ἐπὶ τοῖς κληρονομιαίοις, καὶ πρὶν ἢ νεμηθῇ.

ξε.

Ὁ ἀγοράσας, ἀλλότριον ἀγρὸν, οὐ δίδωσιν αὐτὸν τῷ δεσπότῃ, εἰ μὴ λάβῃ τὰ χρήματα ἅπερ δέδωκε τῷ ἐσχηκότι αὐτὸν εἰς ἐνέχυρον.

ΣΧΟΛΙΟΝ.

Εἰ γὰρ τίμημα καταβάλῃ, πῶς οὐκ ἔχει τὴν κατὰ τοῦ πράτου ἀγωγήν;

οβ.

Ἐὰν τὸν ἀγρὸν πέτρου πωλήσῃς μοι, καὶ παραδῷς αὐτὸν ἑτέρῳ, ἐγώ εἰμι ἐπικρατέστερος. ἐπειδὴ κἂν ἐγὼ νέμομαι καὶ ἐνάγῃς μοι, παραγράφομαί σε. καὶ σὺ ἐὰν νέμῃ, ἐκδικῶ αὐτόν.

πδ.

Ὁ παρὰ κακῇ πίστει νομέως ἀγοράσας καλῇ πίστει, δύναται τὸ πρᾶγμα διὰ χρήσεως δεσπόζειν.

πϛ.

Ὁ ἀγοράσας ἑαυτῷ κτήματα ἐκ τῶν παρατεθέντων αὐτῷ νομισμάτων ὑπό τινος οὐκ ἀναγκάζεται αὐτὰ τὰ κτήματα διδόναι ἀντὶ τῆς παραθήκης. ἀλλὰ νομίσματα ἅπερ ἔλαβεν ἀποδίδωσιν.

ϟβ.

Ὁ δούλην πωλήσας καὶ παραδοὺς, οὐκ ἔτι δύναται διεκδικεῖν αὐτὴν, ἢ τοὺς τοκετοὺς αὐτῆς, ἅπαξ δεσπότου τοῦ ἀγοραστοῦ γενομένου· ἀλλὰ μᾶλλον περὶ τοῦ τιμήματος ὀφείλει κινεῖν τὴν ἁρμόζουσαν αὐτῷ ἀγωγήν.

ϟδ.

Ἐάν τις παρὰ γυναικὸς ἀγοράσῃ πρᾶγμα διαφέρον τῷ ταύτης παιδὶ, καλῶς ἐνάγεται τῇ ἐπ' αὐτῷ ἀγωγῇ. ἐὰν δὲ ὁ παῖς κληρονομήσῃ τὴν μητέρα, εἰς ὅσον αὐτὴν ἐκληρονόμησεν, ἀναγκάζεται ἐφησυχάζειν ἐκβαλλόμενος διὰ δόλου παραγραφῆς.

ρζ.

Ὁ ἀγοράσας δοῦλον, οὐ δύναται πρὸ παραδόσεως ἐκδικεῖν τὴν τούτου δεσποτείαν. ὁμοίως πανταχοῦ ὅτι οὐκ ἀπὸ τοῦ συμφώνου, ἀλλ' ἀπὸ τῆς παραδόσεως γίνεται δεσπότης ὁ ἀγοραστής.

Ἀνάγνωθι καὶ τίτλον β. τοῦ αὐτοῦ βιβλ. ιε. καὶ ἀπὸ τοῦ ζ. κεφαλαίου ἕως τοῦ ιε. κεφαλαίου. ἐν δὲ τῷ ζ. κεφαλαίῳ.

Ὅτι ἀπὸ μαινομένου ἐν ἀγνοίᾳ ἀγοράζων, ἔχει τὴν πουβλικιανήν· διὰ χρήσεως γὰρ δεσπόζει. καὶ ὁ ἀγοράσας ἐν ἀγνοίᾳ παρὰ νέου, καὶ ὁ λαβὼν κατὰ ἀνταλλαγὴν, ἢ δωρεάν. ἡ γὰρ πουβλικιανὴ, μίμησιν ἔχει δεσποτείας. καὶ ὅτι παντὶ ἀγοραστῇ τῷ καλῇ πίστει

πίστει ἁρμόζει· καὶ οὐ βλάπτει αὐτὸν ὁ δόλος τοῦ πράτου. πρὶν δὲ παραλάβῃ τις τὸ πρᾶγμα, οὐκ ἔχει τὴν πουβλικιανὴν, κἂν καλῇ πίστει ἠγόρασεν. ἀνάγνωθι καὶ τίτλον δ. κεφάλαιον ε. θεμ. ε.

ΠΕΡΙ ΠΛΑΝΗΣ, ΩΣ ΟΤΕ Ο διατιθέμενος εἴπῃ περὶ οἰκογενοῦς δούλου, τὸν δὲ τὸν † ἀγοραστὸν.

† ἀγοραστόν.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. ϙη.

Τῆς τοῦ πράγματος δεσποτείας παρά τινι μενούσης ἡ πλάνη εἰς οὐδὲν ἀντίκειται.

Ὁμοίως περὶ λεγάτων ἔγνως ἐν τῇ β. ἰνστιτούτων: ὅτι οὐ βλάπτει τὸ λεγάτον τὸ εἰπεῖν τὸν διαθέμενον περὶ οἰκογενοῦς δούλου. τὸν δὲ τὸν † ἀγοραστὸν ἢ τοὐναντίον.

† ἀγοραστόν.

ΠΕΡΙ ΚΛΟΠΗΣ ΓΕΝΟΜΕΝΗΣ ὑπὸ ἐλευθέρων τε καὶ δούλων. καὶ περὶ κλοπιμαίων: καὶ περὶ τῆς παρὰ φαμιλίας γινομένης κλοπῆς. καὶ περὶ τῆς ἐν πανδοχείῳ ἢ καπηλείῳ γινομένης. καὶ περὶ τῆς τῶν κληρονομιαίων κλοπῆς. καὶ τῆς γινομένης εἰς σάκκους, ἢ ἐσθῆτας, τουτέστι τῶν ἐκδυόντων ἀνθρώπους κλεπτῶν.

Τίτλ. β. κεφάλ. ια.

Ὁ συλληφθεὶς παρὰ τῷ καλῇ πίστει ὠνητῇ κλοπιμαίας, διὰ τῆς πουβλικιανῆς ἀπαιτεῖται, κἂν μὴ * ἐνεμήθη αὐτόν. τῷ δὲ κληρονόμῳ τοῦ κλέπτου οὐχ ἁρμόζει. ἐσθ' ὅτι κἂν μὴ ἠγόρασα, ἀλλ' ἐδωρήθη μοι ἡ κλοπιμαία, ἔχω ἐπὶ τῷ παρ' ἐμοὶ συλληφθέντι καὶ τεχθέντι ἐξ αὐτῆς τὴν πουβλικιανὴν, ἐὰν ἐν τῷ κινεῖν, ἀγνοῶ τὴν μητέρα κλοπιμαίαν. ἐξ ὧν γὰρ αἰτιῶν ἐδυνάμην διὰ χρήσεως κτήσασθαι τὴν μητέρα, εἰ † καὶ κλοπιμαία ἦν: ἐκ τῶν αὐτῶν αἰτιῶν διὰ χρήσεως κτῶμαι τὸν τοκετὸν, ἀγνοῶν τὴν μητέρα κλοπιμαίαν.

* Ὡς γὰρ ἔτι παρ' αὐτῷ συλλαβοῦσα ἐτέτοκεν, παρ' ἄλλῳ τινί.

† εἰ καὶ κλοπιμαία μὴ ἦν.

Ἀνάγνωθι καὶ βιβλίον ν. τίτλον δ. κεφάλαιον θ. καὶ κεφάλαιον * ιζ. ἐν ᾧ φησίν.

* κζ.

Ἐάν τις καλῇ πίστει ἀγοράσῃ δούλην κλοπιμαίαν, ἐκείνη δὲ συλλάβῃ παρ' αὐτῷ καὶ γεννήσῃ, εἰ καὶ αὐτὴ εἰς αἰτίαν κλοπιμαίας ἐνέπεσεν, οὐκ ἔστιν ὁ τοκετὸς κλοπιμαῖος καὶ δύναται διὰ τῆς χρήσεως δεσποσθῆναι.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον ς. ἀπὸ τοῦ ιθ. κεφαλαίου, ἐν ᾧ φησίν.

Ὁ ἀγοράσας κλοπιμαῖα, καὶ ἀπαιτούμενος εἰπεῖν τὸν πεπρακότα, οὐκ ὀφείλει λέγειν ὅτι ἀγνοῶ τίς ἐστιν: παρερχόμενος γάρ τις πέπρακέ μοι αὐτὰ καὶ ᾤχετο: ἀλλ' ὀφείλει λέγειν τὸν κλέπτην.

κ.

Ὁ λαβὼν χρήματα ἐφ' ᾧ διακομίσαι τινί: καί τινα ἐξ αὐτῶν παρακατασχὼν καὶ συγχρησάμενος, κλοπὴν ἁμαρτάνει.

κα.

Ἐὰν μὴ ἀγωνιζόμενος τις περὶ τὰς συντε-

fidei competit, nec ei dolus uenditoris nocet. Ante uero quam per traditionem quis rem acceperit, Publicianam non habet, quamuis bona fidei emtor sit. Legito & tit. IIII. cap. V. them. V.

DE ERRORE, VELVTI QVVM testator uernam appellauit emtum.

Tit. eiusdem cap. XCVIII.

Quum rei dominium apud aliquem manet, error nihil obest.

l. 28. C. de re. mand.

Similiter & de legatis in libro II. Institutionum legis, legato non nocere, si testator de uerna tamquam de emto loquatur, & econtrario.

DE FVRTO A LIBERIS ET SERuis commisso, deque furtiuis rebus. Item de furto a familia facto, uel in stabulo, uel in caupona. de furto rerum hereditariarum. de furto quod fit in saccos, aut uestes, id est, de furibus homines spoliantibus.

Tit. II. cap. XI.

*Ancillæ furtiuæ partus, apud emtorem bonæ fidei conceptus, per Publicianam petitur; etiamsi ab emtore non est * possessus. Sed heredi furis hæc actio non competit. Interdum licet non emi, sed dono furtiuam ancillam accepi, in cōceptum & editum ex ea partum apud me, Publicianam habeo; si eo tempore, quo experior, matrem furtiuam ignorem. Ex quibus enim caussis matrem usucapere possem, * etiamsi furtiua esset; ex iisdem caussis & partum usucapio, si furtiuam esse matrem ignorabam.*

l. 11. §. 2. D. de Public.

* Nam pone ancillam, quæ apud ipsum concepisset, apud alium peperisse.

* si furtiua non esset,

Legito & lib. L. tit. IIII. cap. IX. & * XVII. ubi dicitur:

* XXVII.

Si quis bona fide furtiuam ancillam emerit, & apud ipsum ea conceperit atque pepererit; quamuis ipsa furtiuam in caussam inciderit, partus tamen furtiuus non est, & usucapi potest.

l. 33. in princ. D. de usurp. & us.

Legito & lib. LX. tit. VI. a XIX. cap. ubi dicitur:

Si ab emtore rei furtiuæ exigatur, ut uenditorem indicet; non debet dicere, se ignorare quis sit, quemdam scilicet transeūtem sibi eam uendidisse, ac abiisse: sed edicere furem debet.

l. 5. C. de furt.

XX.

Qui pecuniā accepit, ut eam ad alium perferret, si quid ex ea retinuit, & eo utatur; furtum committit.

XXI.

Si quo in exactionibus tributoriis se non ge-

rente contumaciter, exactor res ceperit & uendiderit: furtum committit. ideoque & ipse in duplum tenetur, & emtor rem non usucapit.

XXV.

Nouerca subripiens res sui priuigni, recte de duplo conuenitur.

XXIX.

Actio furti in heredem non transmittitur. Actio uero rem ablatam repetens, in quemlibet possessorē datur. Fuerat autem scripta hac constitutio de quodam, qui instrumenta subripuerat, & uita decesserat.

Legito & tit. X. tractat enim de condictione furtiua. Eius cap. XII. dicitur:

l.15.D de condic. furt. *Seruus qui alij furtum fecit, actione furti in duplum post libertatem tenetur: non condictione furtiua, nisi liber contrectauerit.*

XVII.

Si prius, quã fur rem offerat, res perire contigerit; furis periculum est.

Legito & tit. XI. cuius cap. II. them. IIII. dicitur:

l.2.§.3.D. de pri. del. *Qui ancillam subripuit, & mores eius corpusue corrupit, tam furti in duplum actione, quam serui corrupti tenetur.*

Legito & tit. XII. cuius II. cap. dicitur:

l.2.D. de furt. *Furti duo genera sunt, manifestum & nec manifestum. Manifestus fur est, qui cum re furtiua a quacumque persona deprehenditur prius, quam rem pertulerit quo destinauerat, eo ipso die: siue in publico, siue in priuato loco. Sed si pertulerit quo destinauit, tametsi postea deprehendatur cum re furtiua, non tamen est fur manifestus.*

VII.

Si seruus furtum fecerit, & post libertatem deprehensus fuerit, non est fur manifestus. Deprehensio facit manifestum furem. Quippe si me uidens furtum facere in domo tua, te abscondisti, ne te occiderem, non sum fur manifestus. Si uero ad me comprahendēdum prosequutus es, & abiecto furto fugero, fur manifestus sum: & nihil refert, dominus, an uicinus, an quis transiens adprehenderit.

XVI.

Neque nos in filios familias nostros furti actionem in duplum habemus, neque illi aduersus nos.

XXVI.

Cautionibus subreptis, non tantum pretium chartarum, sed etiam quantitas, quae eis conti-

λείας ὁ ἀπαιτητὴς ἔλαβε πράγματα καὶ πέπρακε, κλοπὴν ἁμαρτάνει· ὅθεν καὶ εἰς τὸ διπλοῦν κατέχεται αὐτός: καὶ οὐδὲ ὁ ἀγοράσας ἀπὸ τῆς χρήσεως δεσπόζει τὸ πρᾶγμα.

κε.

Ἡ μητρυιὰ ἡ κλέψασα τὰ πράγματα τοῦ ἰδίου προγόνου, καλῶς ἐνάγεται εἰς τὸ διπλοῦν.

κθ.

Ἡ μὲν περὶ κλοπῆς ἀγωγὴ κατὰ κληρονόμων οὐ παραπέμπεται. ἡ δὲ ἀγωγὴ ἡ ἀπαιτοῦσα τὸ κλαπὲν πρᾶγμα, κατὰ παντὸς νεμομένου ἁρμόζει. ἀντιγέγραπται δὲ ἡ διάταξις περί τινος δικαιώματα κλέψαντος καὶ τελευτήσαντος.

Ἀνάγνωθι καὶ τίτλον ι. διαλαμβάνει γὰρ περὶ τῆς τῶν κλοπιμαίων ἀπαιτήσεως. οὗ τινος ἐν τῷ ιβ. κεφαλαίῳ φησίν.

Δοῦλος ἐξ ἄλλου κλέψας, ἐνάγεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγῇ μετὰ τὴν ἐλευθερίαν: οὐ μὴν καὶ τῇ ἀπαιτούσῃ τὸ κλαπέν, εἰ μὴ ψηλαφήσας ἐλεύθερος ὤν.

ιζ.

Ἐὰν πρὶν ἢ προσενέγκῃ τὸ πρᾶγμα ὁ κλέπτης, συμβῇ ἀπολέσθαι, τῷ κλέπτῃ κινδυνεύεται.

Ἀνάγνωθι καὶ τίτλον ια. οὗ τινος ἐν τῷ β. κεφαλαίῳ, θεμ. δ. φησίν.

Καὶ ὁ δούλην κλέψας καὶ διαφθείρας τοὺς τρόπους αὐτῆς, ἢ τὸ σῶμα, ἐνέχεται καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν, καὶ τῇ κατὰ τῶν φθειρόντων οἰκέτας.

Ἀνάγνωθι καὶ τίτλον ιβ. οὗ τινος ἐν τῷ β. κεφαλαίῳ φησίν.

Τῆς κλοπῆς δύο γένη εἰσί, φανερὸν καὶ ἀφανές. Φανερὸς κλέπτης ἐστὶν, ὁ μετὰ τοῦ κλοπιμαίου πράγματος ἐξ οἱουδήποτε προσώπου συλλαμβανόμενος, πρὶν ἢ τὸ πρᾶγμα ἐπαγάγῃ ἔνθα προέθετο ἐν αὐτῇ τῇ ἡμέρᾳ, εἴτε ἐν δημοσίῳ, εἴτε ἐν ἰδιωτικῷ τόπῳ. εἰ δὲ ἐπήγαγεν αὐτὸ ἔνθα προέθετο, καὶ λοιπὸν συλληφθῇ μετ' αὐτοῦ, οὐκ ἔστι φανερὸς κλέπτης.

ζ.

Δοῦλος κλέψας, καὶ μετὰ ἐλευθερίαν κρατούμενος, οὐκ ἔστι φανερὸς κλέπτης. τὸ κρατηθῆναι τὸν κλέπτην, ποιεῖ αὐτὸν φανερόν. εἰ γὰρ κλέπτοντά με ἐν τῷ οἴκῳ σου θεωρῶν, κρύψας σεαυτὸν ἵνα μὴ φονευθῇς, οὐκ εἰμὶ φανερὸς κλέπτης. εἰ δὲ ἐπιδιώξας με κρατῆσαι, καὶ τὸ κλοπιμαῖον ῥίψας ἔφυγον, φανερὸς κλέπτης εἰμί. καὶ οὐ διαφέρει, ὁ δεσπότης συνέσχεν, ἢ γείτων, ἢ τὶς παριών.

ις.

Οὔτε ἡμεῖς κατὰ τῶν ὑπεξουσίων ἡμῶν ἔχομεν τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴν, οὔτε αὐτοὶ καθ' ἡμῶν.

κϛ.

Ἀσφαλειῶν ὑποκλαπεισῶν, οὐ μόνον τὸ τίμημα τῶν χαρτῶν, ἀλλὰ καὶ τὸ περιεχόμενον αὐταῖς

τοῦν διπλασιάζεται. καὶ ὁ κλέψας ἀποχὴν, εἰς τὸ διαφέρον ἐνέχεται. οὐ διαφέρει δὲ, ἐὰν ἑτέρωθεν ἡ καταβολὴ δείκνυται. ὁ δὲ μὴ ἀποκινήσας, ἀλλ᾽ ἀπολείψας τὸ δικαίωμα, οὐ μόνον τῇ [περὶ κλοπῆς] εἰς τὸ διπλάσιον ἀγωγῇ, ἀλλὰ καὶ τῷ ἀκυϊλίῳ ἐνέχεται.

λδ.

Υἱὸς καὶ δοῦλος καὶ γαμετὴ, οὐχ ὑπόκεινται τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ. ὁ μέντοι συνδρομὴν αὐτοῖς εἰσαγαγὼν, ἐνέχεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγῇ.

να.

Τῆς ποινῆς καταβληθείσης, σώζεται ἡ τοῦ κλαπέντος ἐκδίκησις: καὶ τοῦ κλαπέντος πράγματος καταβληθέντος, σώζεται ἡ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγή. τὸν νυκτερινὸν κλέπτην τὸν ἔξω πόλεως ἔξεστι φονεύειν, κἂν στρατιώτης ἐστί. τὸν δὲ ἐν πόλεσιν, οὐκ ἔξεστι φονεύειν, εἰ μὴ ἑτέρως ἄλλως διαφυγεῖν τὸν κίνδυνον ὁ φονεύσας οὐκ ἠδύνατο.

ΣΧΟΛΙΟΝ.

Περὶ νυκτερινοῦ κλέπτου ἀνάγνωθι καὶ βιβ. ι. τίτλ. β. κεφ. ζ. ἐν ᾧ φησὶν, ὅτι οὐ πάντα μοιχὸν ἢ κλέπτην ἔξεστι φονεύειν: ἀλλὰ τὸν ὅπλῳ ἑαυτὸν ἀπολογούμενον.

Τὸν δὲ ἡμερινὸν οὐκ ἔξεστι φονεύειν, εἰ μὴ ἀκόντιον ἐπιφέρεται: πάντα γὰρ τὰ βλάπτοντα τῇ τοῦ ἀκοντίου προσηγορίᾳ δίδοται. ἐπὶ ἑκατέρου δὲ δεῖ τοῦτο μετὰ κραυγῆς διαμαρτύρασθαι: οἱ ἐν νυκτὶ κλέπτοντες αὐστηρῶς κολάζονται μέχρι τοῦ πρὸς καιρὸν εἰς δημόσιον ἔργον ἐμβληθῆναι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν † βαλανείοις κλεπτόντων. εἰ δὲ οἱ κλέπται, ἢ οἱ διορύσσοντες, ἢ οἱ παραπλήσιοι ἐκδικοῦσιν ἑαυτοὺς ἀκοντίῳ, κἂν μηδένα πλήξωσιν: εὐτελεῖς μὲν ὄντες, μεταλλίζονται: οἱ δὲ ἔντιμοι ἐξορίζονται. ὁ δὲ ἐν ἡμέρᾳ κλέπτων, εἰ μὲν φανερὸς κλέπτης ἐστὶν, εἰς τὸ τετραπλάσιον ἐνάγεται: εἰ δὲ ἀφανὴς, εἰς τὸ διπλάσιον. καὶ τὸν οἱονδήποτε σίδηρον ἐπιφερόμενον, ἀκινδύνως τὶς † φονεύει. καὶ ὁ φόβῳ τοῦ μὴ ἀποθανεῖν ἀνελὼν τὸν κλέπτην, οὐχ ὑπόκειται ποινῇ: εἰ μὴ δυνάμενος αὐτὸν κατασχεῖν, ἀνεῖλεν: ὁ γὰρ τοιοῦτος καὶ τῷ περὶ ἀνδροφόνων νόμῳ ὑπόκειται.

† deest ἐν. † φονεύει.

Ἀνάγνωθι καὶ τίτ. ιγ. οὗ τινος ἐν τῷ α. κεφ. φησίν.

Ὁ ἐν διαθήκῃ ἐλευθερωθεὶς ἐὰν πρὸ ὑπεισελεύσεως τῆς κληρονομίας βλάψῃ τὴν κληρονομίαν: εἰς τὸ διπλάσιον ἐντὸς ἐνιαυτοῦ ἐνέχεται. ἵνα δὲ ἁρμόσῃ αὐτῇ ἡ ἀγωγή, δεῖ συνδραμεῖν καὶ δόλον τοῦ ἀπελευθέρου.

Ἀνάγνωθι καὶ τίτ. κθ. οὗ τινος ἐν τῷ η. κεφ. φησίν.

Δύναταί τις καὶ κατὰ πατρωοῦ κινῆσαι τὸ περὶ ἀποσυλήσεως κληρονομιαίων πραγμάτων ἔγκλημα.

θ.

Εἴτε οἱ ἐλευθερωθέντες ἐνάγονται τῷ περὶ ἀποσυλήσεως κληρονομιαίων πραγμάτων ἐγκλήματι, εἴτε οἱ λεγατάριοι. οὐ χρὴ προσχήματι κολάσεως ἀποστερῆσαι αὐτοὺς τῶν καταλειφθέντων αὐτοῖς λεγάτων.

netur, duplatur. Et qui apocham surripuerit, in id quod interest tenetur. Nihil autem interest, si aliunde solutio probetur. Sed si quis non amouerit, sed interleuerit instrumentum; non solum [furti] in duplum, uerumetiam Aquilia tenetur.

XXXIIII.

Filius, & seruus, & uxor, actione furti in duplum non tenentur: qui tamen eis opem fert, in duplum actione furti tenetur.

LI.

Pœna soluta, salua rei furtiuæ uendicatio: & soluta re furtiua, salua est actio furti in duplum. Furem nocturnum extra ciuitatem occidere licet, tametsi miles sit; sed in ciuitatibus non licet. nisi aliter effugere periculum occisor non potuit.

SCHOLION.

De nocturno fure legito & lib. X tit. II cap. VII. in quo dicitur, non omnem adulterum uel furem occidere licere, sed eum qui se telo defendat. *l.7.D.quod met.cau.*

Diurnum autem non licet occidere, nisi telum ferat. Omnia uero, quæ nocent, teli appellatione significantur. In utroque autem oportet id cum clamore testificari. Fures nocturni grauius coercentur, usque ad damnationem in opus publicum ad tempus. Idem & in furibus balnearijs. Sed si fures, uel effractores, uel ijs similes, telo se defendant; licet neminem percusserint, uiles in metallum damnantur, honestiores relegantur. Qui uero interdiu furtum facit, si quidem manifestus est fur, in quadruplum tenetur: si uero nec manifestus, in duplum. Sed & qualemcumque ferrum ferentem sine periculo quis occidit. Et si dum timet sibi, quis furem occiderit, non punitur: nisi quum eum apprehendere posset, occidit. Hic enim & lege de sicarijs tenetur. *l.1.& 2.D. de fur.bal.* *l.5.D.ad L. Aquil.*

Legito & tit. XIII. cuius I. cap. dicitur:

Testamento liber esse iussus, si ante aditam hereditatem, damnum dederit hereditati; in duplum intra annum tenetur. Ut autem istac actio competat, oportet & liberti dolum concurrere. *l.1.D.si quis test.lib.ess.iuss.*

Legito & tit. XXIX. cuius VIII. cap. dicitur:

Potest quis etiam aduersus uitricum agere crimine expilatæ hereditatis. *l.2.C.de crim. expi.hered.*

IX.

Siue manumissi conueniantur crimine expilatæ hereditatis, siue legatarij; non oportet eos relictis legatis prætextu coercitionis priuari.

Legito

Legito & lib. XLIIII. tit. IIII. cap. XXIX. ubi dicitur:

l. 5. C. de legat.

Si cui portio rerum quarumdam legata fuerit, & is quædam ex his ipsis rebus, ex bonis scilicet, subtraxerit: actionem, quam nomine portionis earum rerum habebat, amittit.

Legito & lib. LX. tit. V. cap. XXVII. cuius uerba sunt:

De familia. l. quod aut prætor. D. de nox. actio.

Si familia mea furtum fecerit, nec eos uoluero noxæ dedere; tantum præsto, quantum unius liber fur præstaret, id est duplum, & æstimationem rei: siue numis, siue quorumdam ex ys, qui deliquerunt, deditione; & ceterorum nomine non teneor.

Legito & tit. XV. cuius II. cap. dicitur:

l. 1. §. quum plures. D. si fam. furt.

Quum plures furtũ fecerint, aut damnum dederint, si unius nomine cum domino agatur; tam diu nomine aliorum sustinetur actio, quam diu priore iudicio consequi potest actor, quantum hominem liberum facientem furtum præstare oporteret: hoc est, dupli pœnam, & simplum rei. Sin uero soluendo non sint, qui hoc fecerunt; uerberati relegentur. Et si non semel, sed sæpius in furto deprehendantur, manus eis abscindatur. Ac liberatur non ipse tantum, sed & is qui emit quemdam ex furibus: & ipse fur, si fuerit manumissus.

De furibus, qui soluendo non sunt.

Legito & tit. XIIII. cuius I. cap. dicitur:

l. un. D. furt. aduers. nau.

Si quid subripiatur in caupona, uel stabulo, ab ys qui in eo sunt, siue consilio & ope illius, qui præest, siue .... in eius est potestate, cui furtum factum est, uel agere furti in furem, uel prætoria in eum, qui cauponæ præest. Quod si custodiam rei caupo recepit, ipse furti actionem habet in duplum, non dominus. Liberi & serui alieni nomine in solidum tenetur, sed seruum suum noxa dedendo, liberatur. Et eorum qui ministery caussa in caupona sunt, & eorum qui perpetuo ibi habitant, facta caupo agnoscit, non etiam uiatorum. Nam eos repellere stabularius non potest.

Legito & tit. XXII. cap. VII. ubi dicitur:

l. 7 D. de extraord. crim.

Qui ex saccis furantur, uel aliena cenacula furandi caussa ingrediuntur; plus quam fures puniuntur, & uel ad tempus in opus publicum dantur, uel fustibus cæsi dimittũtur, uel ad tempus relegantur.

Legito & tit. XXVIII. cap. I. ubi dicitur:

Ἀνάγνωθι καὶ βιβλίον μδ. τίτλον δ. κεφάλαιον κθ. ἐν ᾧ φησίν.

Ἐάν τινι λεγατευθῇ μέρος τινῶν πραγμάτων, καί τινα ἐξ αὐτῶν τῶν πραγμάτων κλέψῃ, ἀπὸ τῆς οὐσίας δηλονότι· τὴν ἐπὶ τῷ μέρει τῶν αὐτῶν πραγμάτων ἀγωγὴν ἀπόλλυσιν.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον ε. κεφάλαιον κζ. ἐν ᾧ φησίν.

Ἐὰν ἡ φαμιλία μου κλέψῃ, καὶ μὴ θέλω ἐκδοῦναι αὐτούς· τοσοῦτον δίδωμι, ὅσον εἷς ἐλεύθερος κλέψας, τουτέστι τὸ διπλοῦν, καὶ τὴν τοῦ πράγματος διατίμησιν, εἴτε ἐν χρήμασιν, εἴτε διὰ τῆς ἐκδόσεως τινῶν ἡμαρτηκότων, καὶ οὐκ ἐνάγομαι περὶ τῶν λοιπῶν. περὶ φαμιλίας.

Ἀνάγνωθι καὶ τίτλον ιε οὗ τινος ἐν τῷ β. κεφαλαίῳ φησίν.

Ἐὰν πολλῶν κλεψάντων καὶ ζημιωσάντων, ὀνόματι τοῦ ἑνὸς κινηθῇ κατὰ τοῦ δεσπότου· ἐπὶ τοσοῦτον ὀνόματι τῶν ἄλλων ἐπέχεται ἡ ἀγωγή, ἕως οὗ ἐν τῷ πρώτῳ δικαστηρίῳ ὁ ἐνάγων δυνηθῇ λαβεῖν ὅσον ἐλεύθερον κλέψαντα παρασχεῖν ἐχρῆν· τουτέστι καὶ τὴν ποινὴν τοῦ διπλοῦ, καὶ τὸ ἁπλοῦν τοῦ πράγματος. εἰ δὲ ἄποροι εἰσὶν οἱ τοῦτο πεπραχότες, τυπτόμενοι ἐξοριζέσθωσαν. ἐὰν δὲ οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ἐπὶ κλοπῇ ἁλῶσι, χειροκοπείσθωσαν. καὶ ἐλευθεροῦται οὐ μόνος αὐτός, ἀλλὰ καὶ ὁ ἀγοράσας τινὰ τῶν κλεψάντων, καὶ αὐτὸς ὁ κλέψας ἐλευθερούμενος. περὶ ἀπόρων κλεπτῶν.

Ἀνάγνωθι καὶ τίτλον ιδ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ἐὰν κλαπῇ τι ἐν καπηλείῳ, ἢ ἐν πανδοχείῳ παρὰ τῶν ὄντων ἐν αὐτοῖς· εἴτε συμβουλῇ καὶ συνεργίᾳ τοῦ προεστῶτος, εἴτε .... ἐξουσίαν ἔχει ὁ κλαπεὶς ἢ τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴν κινῆσαι κατὰ τοῦ κλέπτου· ἢ τὴν πραιτωρίαν κατὰ τοῦ προεστῶτος τοῦ καπηλείου. εἰ μέντοι τὴν φυλακὴν τοῦ πράγματος ὁ κάπηλος ἀνεδέξατο, αὐτὸς ἔχει τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγήν, καὶ οὐχ ὁ δεσπότης. ὀνόματι ἐλευθέρου καὶ δούλου ἀλλοτρίου εἰς ὁλόκληρον ἐνάγεται· τὸν ἴδιον δὲ δοῦλον εἰς νόξαν ἐκδιδούς, ἐλευθεροῦται. καὶ τῶν πρὸς ὑπουργίαν τοῦ καπηλείου ὄντων ἐν αὐτῷ, καὶ τῶν ἐκεῖ διηνεκῶς οἰκούντων, ἐπιγινώσκει τὰ ἀποτελέσματα ὁ κάπηλος· οὐ μὴν τῶν παροδευόντων. οὐ γὰρ αὐτοὺς ἀπωθεῖσθαι δύναται ὁ πανδοχεύς.

Ἀνάγνωθι καὶ τίτλον κβ.† καὶ κζ. ἐν ᾧ φησίν. † κεφ. ζ.

Οἱ ἀπὸ σάκκων κλέπτοντες, ἢ διαίταις ἀλλοτρίαις διὰ τὸ κλέψαι ὑπεισιόντες, ὑπὲρ τοὺς κλέπτας τιμωροῦνται· καὶ ἢ πρὸς καιρὸν δίδονται εἰς δημόσιον ἔργον, καὶ ῥοπαλίζονται, καὶ ἀπολύονται, ἢ προσκαίρως ἐξορίζονται.

Ἀνάγνωθι καὶ τίτλ. κη. κεφάλ. α. ἐν ᾧ φησίν.

Οἱ τοὺς

Οἱ τοὺς ἀνθρώπους ἐκδύοντες, ὡς τραχύτεροι τῶν κλεπτῶν, εἰς ἔργον δημόσιον πρὸς καιρὸν ἢ διηνεκῶς ἐμβάλλονται. οἱ δὲ τιμιώτεροι πρὸς καιρὸν ἀποκινοῦνται τοῦ ὀφφικίου, ἢ τῶν αὐτῶν πατρίδος ἐξορίζονται. ἔνθα γὰρ παρὰ τῶν νόμων ἰδικὴ ποινὴ οὐχ ὥρισται, ἔξεστι τῷ δικάζοντι ἐπαγαγεῖν ἣν βούλεται.

Περὶ τῶν μὴ δυναμένων ἐνάγεσθαι τῇ περὶ κλοπῆς καὶ ἀφαιρέσεως πραγμάτων: καὶ περὶ κλοπῆς γινομένης ἐν τοῖς τῷ δημοσίῳ διαφέρουσι: εἴρηται ἐν τῷ περὶ δημοσίου.

Ἀνάγνωθι καὶ βιβλίον θ. τίτλον γ. κεφάλ. να. ἐν ᾧ φησίν.

Ἐν τῇ ἀγωγῇ τῇ περὶ κλοπιμαίων, εἰς τὸ πᾶν ὁ ἀνὴρ τῇ γυναικὶ καταδικάζεται. ἁμάρτημα γάρ ἐστι.

ΠΕΡΙ ἘΚΛΗΨΕΩΝ ΚΑΙ ἘΚΠΟΙΗΣΕΩΝ τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν, ἢ ἐμφύτευσιν, ἢ ἐκμίσθωσιν, ἢ καθ' ἕτερον τρόπον γινομένων, ἀπὸ τοῦ δημοσίου καὶ τῆς πόλεως, καὶ τῶν πατριμονιαλίων ἤτοι ἰδιοκτήτων τοῦ βασιλέως καὶ ταμιακῶν.

Τίτλ. γ. κεφ. α.

Οἱ διηνεκῶς μισθούμενοι παρὰ πόλεως ἀγροὶ, ὥστε μὴ ἀφαιρεθῆναι τῶν λαβόντων ἢ τῶν διαδεξαμένων τὸν τόπον αὐτῶν, ἐφ' ὅσον τὸ τέλος δίδοται, ἐμφυτευτικοὶ καλοῦνται. καὶ ἔχουσιν οἱ λαβόντες αὐτοὺς ἐπ' αὐτοῖς ἀγωγὴν κατὰ παντὸς νομέως καὶ τῆς πόλεως, κἂν οἱ μὴ δεσπόζωσιν, ἐὰν μέντοι τὸ τέλος καταβάλλωσιν.

Ἀνάγνωθι καὶ βιβλίον ν. τίτλον ιγ. ὅς τις προείρηται ἐν τῷ περὶ δεσποτείας.

Ἀνάγνωθι καὶ βιβλίον νε. τίτλον ιβ. κεφάλαιον β. καὶ τίτλον ιγ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ὅτι τὰ πατριμονιαλια ὠνούμενοι, καὶ τὰ ἱερατικὰ χωρία, τιμὰς δεδωκότες, ἀναφαίρετον ἐχέτωσαν τὴν δεσποτείαν αὐτῶν.

† κατὰ πρᾶσιν.

Ἐάν τινες ἢ κατὰ δωρεὰν ἢ † πατρᾶσιν ἢ καθ' ἕτερον τρόπον οἴκους ἢ ἐργαστήρια πολιτικὰ ἔλαβον, καὶ μάλιστα κωνσταντινουπόλεως, ἢ ἀγωνοθετικὰ ἀπὸ τῆς ὑπατείας αὐσονίου καὶ ολυβρίου, ἀφαιρέσει τοῦ κανόνος: παρεχέτωσαν τοῦ λοιποῦ, τὸν ἐπικείμενον αὐτοῖς ἐξαρχῆς κανόνα. εἰ γὰρ τοὺς ἰδιώτας οὐ βουλόμεθα στερεῖσθαι, πολλῷ μᾶλλον τὰς πόλεις καὶ ἐχέτωσαν βεβαίαν ἐπ' αὐτοῖς δεσποτείαν.

Ἀνάγνωθι καὶ τίτλον α. κεφάλαιον θ. θεμ. δ. ἐν ᾧ φησίν.

Οἱ εἰς τὸ διηνεκὲς μισθωθέντες δημόσιοι ἀγροὶ, χωρὶς κελεύσεως βασιλικῆς οὐκ ἀφαιροῦνται.

Ἀνάγνωθι καὶ τίτλον ιδ. οὗ τινος ἐν τῷ ζ. κεφαλαίῳ φησίν.

Qui homines spoliant, ut atrociores fures, in opus publicum ad tempus uel perpetuo mittuntur. Honestiores ad tempus officio mouentur, aut sua patria relegantur. Nam ubi legibus specialis pœna non est definita, licet iudici eam irrogare, quam uoluerit. l. 1. §. expilatores. D. de effr. & exp.

De his qui conueniri non possunt actione furti & rerum amotarum, deque furto rerum ad fiscum pertinentium, dictum est in titulo de fisco.

Legito & lib. IX. tit. III. cap. LI. ubi dicitur:

In actione rerum amotarum uir in solidum uxori condemnatur. quippe delictum est. l. 52. D. de re iudic.

DE CONDVCTIONIBVS ET ALIENATIONIBUS, quę per uenditionem, uel donationem, uel emphyteusim, uel elocationem, uel alium modum fiunt a fisco, municipio, patrimonialibus siue rebus priuatis principis, & tamiacis.

Tit. III. cap. I.

Agri qui a ciuitate locantur in perpetuum hac lege, ut nec ab ys, qui eos conduxerunt, nec ÿs qui eorum in locum successerunt, quamdiu uectigal penditur, auferantur; emphyteutici dicuntur. Et qui hos conduxerunt, habent in eos actionem aduersus quemuis possessorem, ipsamque ciuitatem, quamuis domini non efficiantur; ita tamen, si uectigal soluant. l. 1. D. si ager uectig.

Legito & lib. L. tit. XIII. quem posuimus in titulo de dominio.

Item lib. LV. tit. XII. cap. II. & tit. XIII. cuius I. cap. dicitur:

Qui patrimonialia tẽplorumue prædia comparant, solutis pretys dominium in ea numquã ipsis adimendum habeant. l. 4. C. de diuersis præd. lib. 11.

Si qui uel per donationem, uel emtionem, uel alium modum domus, aut ergasteria ciuilia, præsertim Constantinopolitanæ urbis, aut agonotheticas possessiones, a consulatu Ausony & Olybry, demto canone acceperunt: deinceps impositum eis ab initio canonem præbeant. Nam si priuatos fraudari nolumus, multo minus urbes: adeoque [possessores] dominium firmum in eis habeant. l. 5. eod.

Legito & tit. I. cap. IX. them. IIII. in quo dicitur:

Fundi publici in perpetuum locati, sine iussu principis non auferuntur. l. 4. C. de fund. patrim.

Legito & tit. XIIII. cap. VII. ubi dicitur:

Qui-

l.7 C. de om. ag. des.

Quicumque patrimonialem fundum principis, quem sterilem accepit, fertilem cultura sua praestiterit; habeat eum perpetuo ueluti priuatum, modo pensionem soluat, & suos ad successores transmittat. Si fertilem acceperit, uel nunc accipiat, sterilia quoque agnoscat: si mediocrem, habita ratione proportionis agnoscat, & post biēnium pro sterilibus canonem soluat, nemine praetextu dignitatis aut potestatis exemto. Primo autem in uicina finitimaque praedia pars sterilis distribuatur, ac si uicinum nullum fuerit, tunc etiam in longius disiita collatio imponatur.

Et X. cap.

l.3. C. de fund. patrim.

Quicumque fundum a fisco in emphyteusin susceperit, nō potest illum eo praetextu, quod desertus sit, ne quidem ex sacro rescripto, refundere. Nec etiam auelli ab eo potest, etiamsi licitatio fiat; sed apud ipsum & posteritatē eius perpetuo manet.

Legito & tit. XV. cuius I. cap. dicitur:

l.1. C. de fund. rei priu.

Qui praedia comparant a fisco, firmiter ea retineant, nullam a nobis ademtionem eorum ueriti. quinetiam ad liberos ea suos durabiliter transmittant.

Et V. cap.

l. ult. eod.

Nemo canone detracto dominicam possessionem comparet. nam & pretia perdit, & fundū amittit; nec ea quae impendit aut meliorauit, recipiet; nec compensabit cum fructibus, qui ab eo exiguntur; nec praescriptionem temporis habebit. Quinetiam palatini, qui ut talis emtio fieret, adiuuerint: quinquaginta libras [auri,] nullo beneficio in his ualituro, praestent.

DE EXHIBITIONE SEU DEMONstratione rerum, earumque restitutione ac persequutione.

Tit. IIII. cap. II.

l.2. D. ad exhib.

Exhibere est publice producere, ut experiundi copiam habeat, qui uelit.

III.

Ad exhibendum actio competit eis, qui habent in rem actionem, & pigneraticiam, & ei qui usumfructum, & iudicis interdictum, uel optionem, uel noxalem ad exhibendum familiam habet. nam forte seruum, qui deliquit, non nouit; aut nomen eius non tenet. Extra heredē, testamentū, uel codicillos, uel quā aliā supremā uolūtatē nemo exigit per actionē ad exhibēdū; sed per interdicta. Competit & iis [haec actio], quorū interest, etsi res ipsorū nō sit, nec uindicationē habeāt, utputa si mihi seruus legatus sit,

εἴτις δήποτε ἰδιόκτητον τοῦ βασιλέως ἀγρὸν ἄπορον λαβὼν ἐφιλοκάλησεν· ἐχέτω τοῦτον διηνεκῶς ὡς ἰδιωτικὸν, παρέχων τὸ τέλος, καὶ παραπεμπέτω αὐτὸν κατὰ διαδόχους. εἰ δὲ εὔθαλῆ ἔλαβεν, ἢ νῦν λάβῃ, ἐπιγνώσεται καὶ ἄπορα· εἰ δὲ μέσον, κατὰ ἀναλογίαν ἐπιγινωσκέτω. μετὰ διετίαν δὲ τελείτω τις ὑπὲρ τῶν ἀπόρων, μηδενὸς ἐξῃρημένου προσχήματι ἀξίας ἢ δυναστείας. πρῶτον δὲ εἰς τὰ γειτνιῶντα καὶ ὅμορα ἐπικλάσθω τὸ ἄπορον. εἰ δὲ μὴ ἔστι γειτνιάζων, τότε καὶ τοῖς πόῤῥω ἐπιφερέσθω ἡ συντέλεια.

Εν δὲ τῷ ι. κεφαλαίῳ.

Ος τις δήποτε ἀπὸ τοῦ δημοσίου εἰς ἐμφύτευσιν ἀγρὸν λάβῃ, οὐ δύναται ἀποβαλέσθαι αὐτὸν προφάσει τοῦ ἔρημον εἶναι, εἰ δὲ ἀπὸ θείου γράμματος. ἀλλ᾽ οὐδὲ ἀποσπᾶσθαι δύναται ἀπ᾽ αὐτοῦ. οὐδὲ εἰ ὑπερθεματισμὸς γένηται, ἀλλὰ διηνεκῶς παρ᾽ αὐτῷ μένει, καὶ τῇ ἀπογονῇ αὐτοῦ.

Ανάγνωθι καὶ τίτλον ιε. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Οἱ ἀγοράσαντες παρὰ τοῦ δημοσίου κτήματα, ἰσχυρῶς ἐχέτωσαν αὐτὰ, μὴ δεδιότες ἐξ ἡμῶν ἀφαίρεσιν αὐτῶν. ἀλλὰ καὶ εἰς παῖδας ἰσχυρῶς παραπεμπέτωσαν.

Εν δὲ τῷ ε. κεφαλαίῳ.

Μηδεὶς χωρὶς κανόνος δεσποτικὸν κτῆμα ἀγοράσῃ. ἐπεὶ καὶ τὰ τιμήματα ἀπόλλυσι, καὶ τὸ χωρίον ἀποσπᾶται, καὶ οὐδὲ ἅπερ ἐδαπάνησεν, ἢ ἐπεβελτίωσε λήψεται, ἢ συλλογίσεται εἰς τοὺς καρποὺς οὓς ἀπαιτεῖται, οὐδὲ χρόνου παραγραφὴν ἕξει· ἀλλὰ καὶ οἱ παλατῖνοι ταύτῃ συμπράξαντες τῇ ὠνῇ πεντήκοντα λίτρας παράσχωσι· μηδεμιᾶς φιλοτιμίας ἰσχυούσης πρὸς ταῦτα.

ΠΕΡῚ ΠΑΡΑΣΤΆΣΕΩΣ ἬΤΟΙ ἐπιδείξεως πραγμάτων καὶ ἀποκαταστάσεως αὐτῶν καὶ ἀγωγῆς.

Τίτλ. δ. κεφ. β.

Παραστῆσαι ἐστὶν † ἀγωγὴ δημοσία, ἐφ᾽ ᾧ σχεῖν εὐχέρειαν τὸν βουλόμενον ἐναγαγεῖν. † ἀγαγεῖν δημοσίᾳ.

γ.

Ἡ παραστατικὴ τῶν πραγμάτων ἀγωγὴ, ἁρμόζει τοῖς ἔχουσι τὴν ἐπὶ πράγματι ἀγωγὴν, καὶ τὴν τῆς ἀσφαλείας, καὶ τῷ ἔχοντι χρῆσιν, καὶ τῷ ἔχοντι παραγγελίαν κριτοῦ, ἢ ἐπιλογὴν, ἢ νοξαλίαν, ἐπὶ τῷ παραστῆναι τὴν φαμιλίαν. ἴσως γὰρ ἀγνοεῖ τὸν ἁμαρτήσαντα δοῦλον ἢ τὸ ὄνομα αὐτοῦ. πλὴν τοῦ κληρονόμου, διαθήκην, ἢ κωδίκελλον, ἢ ἑτέραν τελευταίαν βούλησιν, οὐδεὶς ἀπαιτεῖ διὰ τῆς παραστατικῆς τῶν πραγμάτων ἀγωγῆς· ἀλλὰ διὰ παραγγελιῶν δικαστῶν. ἁρμόζει καὶ οἷς διαφέρει, κἂν μὴ αὐτῶν ἐστι τὸ πρᾶγμα, μήτε τὴν ἐπ᾽ αὐτῷ ἀγωγὴν ἔχωσιν. ὡς ἔνθα λεγατευθῇ μοι δοῦ-

λος

λος ὃν πέτρος ἐπιλέξεται· κινῶ γὰρ ἐπὶ τῷ παρα-στῆσαι, ἵνα ἐπιλέξηται. οὐ πᾶς δὲ ᾧ τινι διαφέρει, ἀλλ' ᾧ τινι διαφέρει δικαίως κινεῖ.

δ.

Ὁ πολιτικῶς καὶ ὁ φυσικῶς νεμόμενος, ἐνά-γεται τῇ παραστατικῇ τῶν πραγμάτων ἀγωγῇ. ὅθεν καὶ λαβὼν τὸ πρᾶγμα εἰς ἐνέχυρον ἢ παρα-θήκην, ἢ ἐν χρήσει, ἢ μισθώσει, ἐνάγεται.

ε.

Εἰ καὶ νέμεταί τις, οὐ μὴν δύναται παραστῆσαι, οὐκ ἐνάγεται τῇ παραστατικῇ ἀγωγῇ, ὡς ἐπὶ τοῦ φυγάδος. δίδωσι δὲ καὶ ὁ δεσπότης ἀσφάλειαν, ὡς ὅταν δυνηθῇ, παραστήσειν αὐτόν. τὸ αὐτὸ καὶ μὴ ἔστι φυγάς, ἐπετράπη δὲ παρὰ τοῦ δεσπότου διά-γειν ἔνθα θέλει ἢ ἐπὶ ξένης ἐπέμφθη, ἢ εἰς τὰ χω-ρία αὐτοῦ. χώρα γὰρ τῇ ἀσφαλείᾳ.

ια.

Ἔνθα ἐστὶ τὸ πρᾶγμα κατὰ τὸν καιρὸν τῆς προ-καταρξεως, ὀφείλει παρίστασθαι, καὶ φέρεται πρὸς τὸν δικαστὴν, κινδύνῳ καὶ δαπανήμασι τοῦ ἐνά-

† δίδωσι. γοντος. καὶ τρέφει δὲ καὶ ἐνδύει † αὐτὸν ὁ ἐναγό-μενος. εἰ μὴ ἄρα τεχνίτης ὢν εἰώθει ἐκ τῆς ἐργασίας αὐτοῦ τρέφεσθαι καὶ νῦν σχολάζει. εἰ δὲ ἐπίτηδες αὐτὸν εἰς ἕτερον τόπον μετέστησε· φέρει αὐτὸν οἰκείῳ κινδύνῳ καὶ δαπανήμασιν ἔνθα ἐγένετο. εἰ δὲ καὶ ἀδόλως τις παύσεταί τινα μετὰ προκάταρξιν νέ-

† ἀποκαθι- μεσθαι· καταδικάζεται † ἀποκαθιστῶν τὰ ὄντα

στάς. παρ' αὐτῷ.

ιβ.

Καὶ ὁ θέλων ἐκδικῆσαι τινὰ εἰς ἐλευθερίαν ἢ εἰς ὑπεξουσιότητα, ἔχει τὴν παραστατικὴν ἀγω-γήν. εἰ καὶ χωρὶς δόλου καὶ ἀμελείας ἀποθάνῃ με-τὰ προκάταρξιν ὁ δοῦλος· ἴσθ' ὅτι καταδικάζεται ὁ ἐναγόμενος εἰς ὃ διαφέρεται τῷ ἐνάγοντι μὴ ἐμ-

† παρατυθ- ποδίσαι αὐτὸν ἐν τῇ προκατάρξει † ἀπαιτῆσαι, καὶ

σαι. μάλιστα εἰ μὴ ἀπέθνησκεν εἶχε παρέσει.

ιη.

Ὁ χρεώστης καταβαλὼν ἅπερ ὠφείλει, κινεῖ τὴν ἀποκαταστατικὴν ἀγωγὴν, ἀπαιτῶν καὶ τὸ χειρόγραφον αὐτοῦ ἀναδοθῆναι καὶ τὰ ἄλλα δι-καιώματα τὰ ἀνήκοντα τῷ συναλλάγματι.

Ἀνάγνωθι καὶ βιβλίον λα. τίτλον β. κεφά-λαιον ιθ. ἐν ᾧ φησίν.

Οὐ δύναται ὁ πατὴρ ἀπαιτεῖν τὸν γαμβρὸν πα-ραστῆσαι τὴν αὐτοῦ θυγατέρα. τὸ δὲ ἐναντίον ὁ γαμ-βρὸς ἐνάγει τῷ πατρὶ, ἵνα ἀγάγῃ τὴν ζευχθεῖ-σαν αὐτῷ.

Ἀνάγνωθι βιβλίον λε. τίτλον θ. ἐν ᾧ διαλαμ-

† παρατά- βάνεται περὶ † στάσεως διαθήκης· καὶ

σεως. εἴρηται περὶ αὐτοῦ ἐν τῷ περὶ

διαθήκης.

quem Petrus sit optaturus. Ago enim ad exhibendum, ut optet. Non quilibet autem, cuius interest; sed is, cuius ex iusta caussa interest, agit.

IIII.

Qui ciuiliter, & qui naturaliter possidet, ad exhibendum actione conuenitur. Proinde qui rem pignori accepit, uel apud quē deposita est, uel cui commodata, uel cui locata, tenetur.

V.

Licet quis possideat, restituendi tamen facultatem non habeat, ad exhibendum actione non tenetur. uelut est in seruo fugitiuo. Dominus tamen cautionem praestat, exhibiturum se hominem, quum potuerit. Idem est, & si fugitiuus nō sit; a domino tamen ei sit permissum ubi uelit morari, uel peregre missus sit, uel in praedia domini. quippe cautioni locus est.

XI.

Vbi res fuerit tempore litis contestationis, ibi exhiberi debet; ac praefertur ad iudicem periculo & impendijs actoris. Pascit autem uestitq; seruum reus, nisi quum artifex sit, artificio suo pasci solebat, nunc uero uacet. Quod si data opera eum in alium locum transtulit, suo periculo & sumtibus illum eo perducit, ubi fuit. Si uero quis etiam sine dolo malo post cōtestationem possidere desinat, condemnatur ad restituēdum ea, quae apud ipsum exstant.

XII.

Qui uindicare quem in libertatem, suamue potestatem uelit, actionem ad exhibendum habet. Quamuis sine dolo malo & culpa mortuus sit seruus post litis contestationem, tamen interdum tanti reus damnatur, quanti actoris interfuerit, per eum se impeditum non esse, quo minus in contestatione litis exhiberetur: praesertim si mortuus non fuisset, si tum fuisset exhibitus.

XVIII.

Debitor eo soluto, quod debebat, ad exhibendum actionem habet; si tam chirographum, quam instrumenta cetera, ad contractum pertinentia, restitui sibi postulet.

Legito & lib. XXXI. tit. II. cap. XIX. ubi dicitur:

Pater a genero petere non potest, ut filiam suam exhibeat. Verum e contrario gener conuenire patrem potest, ut [matrimonio] sibi iunctam ducat. l.1.in fi.& l.2. D.de lib.exhib.

Legito & lib. XXXV. tit. IX. in quo tractatur de testamenti tabulis exhibendis. quo de agitur in titulo de testamento.

BASILICORVM LIBER XVI.

DE VSVFRVCTV, ET NVDO VSV, & quibus priuilegijs fruātur, qui eum habēt. Item de usufructu legato. quibus impensis & oneribus [fructuarij] sint obnoxij. quodq; possint emtoris exemplo conductorem expellere.

TIT. I. CAP. I.

D. hoc tit. *Vsusfructus est ius alienis rebus utendi fruendi, salua rerum substantia.*

VII.

Omnis reditus ad fructuarium pertinet.

Si quis soli domus usumfructum habet, qualiacunque lucra sint ex aedificijs, ad eum pertinent. Vnde etiam mittitur in possessionem caussa damni infecti, & iure domini possidet uicini aedes, si cautionem non accipiat. Nec usufructu extincto dominium amittit. Qui usumfructũ habet, tributa (uti tulij) praestat, & relicta ex re alimenta: simul etiam reficit, quemadmodum & arbores adserit.

IX.

Fructuarius agrum colere cogitur. nam quae in eo nascuntur, quaeue percipi ex eo possunt, ad ipsum pertinent.

XIII.

Fructuarius condicionem proprietatis meliorem, non deteriorem facere potest. Nec enim uel arborem frugiferã, uel quae uoluptati sunt, ex locis amoenis excidit, faciũdi quasi ius caussa.

SCHOLION.

Florum loca scilicet. ac infructuosarũ arborum euertere non debet, ut hortos olitorios, uerbi gratia, uel alium quem reditum, uel uineam, uel oliuetum faciat.

XXVII.

Onus cloacae, & aquaeductus, & uiae refectionis, & ob transitum exercitus, & ob municipium, (solent enim uiliori pretio possessores municipio fructus addicere) & functiones fiscales, fructuarius praestat.

LXVII.

Qui usumfructum habet, etiam inuito domino, uel eius herede, eum uendere potest.

LXVIII.

*Partus * seruorum ad fructuarium non pertinet, nec usumfructum is in eo habet; nisi nominatim hoc testator dixerit.*

* SCHOLION.

L. 28. D. de usur. Propter regulam, qua dicitur, Partus non est in fructu, quum eius gratia fructus omnes proueniant.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. ις.

ΠΕΡΙ ΧΡΗΣΕΩΣ ΚΑΡΠΩΝ ΚΑΙ χρήσεως ψιλῆς, καὶ οἷς κέχρηνται προνομίοις οἱ ταύτην ἔχοντες: καὶ περὶ τῶν ἀπὸ λεγάτου χρήσεων: καὶ ποίοις δαπανήμασι καὶ βάρεσιν ὑπέχονται. καὶ ὅτι δύνανται κατὰ μίμησιν τοῦ ἀγοραστοῦ ἐξώθειν τὸν μισθωτήν.

Τίτλ. α. κεφ. α.

Χρῆσις καρπῶν ἐστὶ δίκαιον τοῦ κεχρῆσθαι πράγμασιν ἀλλοτρίοις, καὶ καρπίζεσθαι αὐτά, φυλαττομένης τῆς τοῦ πράγματος ὑποστάσεως.

ζ.

Πᾶς πόρος τῷ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντι ἀνήκει.

Ὁ τοῦ ἐδάφους οἰκήματος ἔχων τὴν χρῆσιν, οἱαδήποτε κέρδη ἐστὶ τῶν οἰκημάτων, αὐτὸς ἔχει. ὅθεν αὐτὸς εἰς νομὴν τῆς ἐπὶ μελλούσης ζημίας ἀγωγῆς χάριν πέμπεται, καὶ δεσπόζει τὸ τοῦ γείτονος οἰκείας, εἰ μὴ λάβῃ τὴν ἀσφάλειαν. καὶ οὐκ ἀπόλλυσι τὴν δεσποτείαν φθειρομένης τῆς χρήσεως. ὁ τὴν χρῆσιν ἔχων τῶν καρπῶν, δίδωσι τὰ δημόσια καὶ τὰ δαπανήματα, καὶ τὰς ἐκ τοῦ πράγματος ἐαθείσας διατροφάς: καὶ ἀνανεοῖ, ὥσπερ καὶ ἐγκεντρίζει τὰ δένδρα.

θ.

Ἀναγκάζεται ὁ τὴν χρῆσιν ἔχων γεωργεῖν τὸν ἀγρόν. αὐτῷ γὰρ διαφέρει τὰ ἐν αὐτῷ γινόμενα, καὶ τὰ ἐξ αὐτοῦ δυνάμενα λαμβάνεσθαι.

ιγ.

Κρείττονα τὴν αἵρεσιν, οὐ μὴν χείρονα τῆς δεσποτείας δύναται ποιεῖν ὁ τὴν χρῆσιν ἔχων. οὔτε γὰρ ἐκκόπτει κάρπιμον δένδρον, οὔτε τὰ πρὸς τέρψιν ἐκ τῶν ἐπιτερπῶν τόπων, διὰ τὸ ποιῆσαι πρόσοδον.

ΣΧΟΛΙΟΝ.

Τουτέστι τόπους ἀνθέων καὶ δένδρων ἀκάρπων, οὐ δφείλει καταστρέφειν ὁ τὴν χρῆσιν ἔχων, ἵνα τυχὸν κήπους λαχανοφόρους ποιήσῃ, ἢ ἄλλην τινὰ πρόσοδον, ἢ ἀμπελῶνα, ἢ ἐλαιῶνα.

κζ.

Τὸ τέλος τοῦ κανάλου, καὶ τοῦ ὑδραγωγίου, καὶ τῆς ὁδοστρωσίας, καὶ τῆς στρατιωτικῆς παρόδου, καὶ τοῦ πολιτικοῦ (τυχὸν γὰρ ἔθος ἐστὶν ὀλίγου τιμήματος καρποὺς πιπράσκειν τῇ πόλει τοὺς κτήτορας) καὶ τὰ δημόσια τέλη, ὁ τὴν χρῆσιν ἔχων δίδωσιν.

ξζ.

Ὁ ἔχων χρῆσιν καρπῶν, δύναται πωλεῖν αὐτήν, καὶ ἄκοντος τοῦ δεσπότου ἢ τοῦ κληρονόμου αὐτοῦ.

ξη.

Ὁ τοκετὸς * τῶν δούλων, οὐκ ἀνήκει τῷ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντι· οὐδὲ ἔχει ἐπ' αὐτῷ χρῆσιν, εἰ μὴ ῥητῶς εἴπῃ ὁ διαθέμενος.

* ΣΧΟΛΙΟΝ.

Διὰ τὸν κανόνα τὸν λέγοντα, οὐκ ἔστι καρπὸς ὁ τοκετός, ὡς δι' αὐτὸν πάντων τῶν καρπῶν γινομένων.

Ἡ δὲ γονὴ τῶν θρεμμάτων, τῷ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντι ἀνήκει. ἔνθα δὲ ἀγέλης ἢ βουκολίου χρῆσις καρπῶν λεγατεύεται, ὀφείλει τὰ φθειρόμενα ἀναπληροῦν ἐκ τῶν ἐπιγινομένων, καὶ τὰ ἄχρηστα: καὶ γίνεται τὰ μὲν ὑποβληθέντα, τοῦ τὴν δεσποτείαν ἔχοντος: τὰ δὲ ὑπὲρ ὧν ὑπεβλήθησαν, τοῦ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντος.

Τίτλ. β.

Φησὶ ΠΕΡῚ ΧΡΉΣΕΩΣ ΑΥ̓ΞΟΜΈΝΗΣ.

οὗ τινὸς ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ὅτι ἡνωμένως λεγατευθῇ ἡ χρῆσις τῶν καρπῶν, οὐ μὴν ὅτι διῃρημένως, καὶ ἁρμόζει τὸ δίκαιον τῆς προσαυξήσεως. ἐὰν οὖν κοινῷ δούλῳ λεγατευθῇ χρῆσις καρπῶν, † ὁ εἷς τῶν δεσποτῶν μὴ καταδέξηται ἢ μὴ χρήσηται τὸ μέρος αὐτοῦ, τῷ ἑτέρῳ δεσπότῃ προσαύξει: κἂν ἀνίσως ἐδέσποζον. εἰ δὲ καὶ κοινῷ δούλῳ λεγατευθῇ χρῆσις καρπῶν, καὶ διῃρημένως πέτρῳ λεγατευθῇ, τὸ φθειρόμενον μέρος ἑνὸς τοῦ δεσπότου, τῷ πέτρῳ προσαύξει. ὥσπερ ὅτι δύο τισὶν ἡνωμένως, καὶ ἑτέρῳ διῃρημένως λεγατευθῇ.

† καὶ ἐ.

Τίτλ. γ.

ΠΟΊΑΙΣ ἩΜΈΡΑΙΣ Ὁ ΛΕΓΑΤΕΥΘΕῚΣ ΤΗ͂Σ ΧΡΉΣΕΩΣ ΚΑΡΠῸΣ ΠΡΟΧΩΡΕΙ͂.

Τίτλ. δ.

ΠΟΊΟΙΣ ΤΡΌΠΟΙΣ Ἡ ΧΡΗ͂ΣΙΣ ΤΩ͂Ν ΚΑΡΠΩ͂Ν ἈΠΌΛΛΥΤΑΙ.

Τίτλ. ε.

ΠΟΊΟΙΣ ΤΡΌΠΟΙΣ Ἡ ΧΡΗ͂ΣΙΣ ΤΩ͂Ν ΠΡΑΓΜΆΤΩΝ ΜΕΙΟΥ͂ΤΑΙ.

Τίτλ. ς.

ΠΕΡῚ ΧΡΉΣΕΩΣ ἘΚΔΙΚΉΣΕΩΣ.

Τίτλ. η.

ΠΕΡῚ ΧΡΉΣΕΩΣ ΚΑῚ ΟἸΚΉΣΕΩΣ, ΚΑῚ ΤΊ ΔΙΑΦΈΡΕΙ ΧΡΗ͂ΣΙΣ ΚΑῚ ΟἼΚΗΣΙΣ ΤΗ͂Σ ΤΩ͂Ν ΚΑΡΠΩ͂Ν ΧΡΉΣΕΩΣ. οὗ τινὸς ἐν τῷ β. κεφ. φησίν.

Ὁ τὴν χρῆσιν μόνην ἔχων, κέχρηται, οὐ μὴν καρπίζεται. ἐπὶ δὲ οἰκήσεως καὶ ἀνὴρ τῇ γυναικί, καὶ γυνὴ τῷ ἀνδρὶ συνοικεῖ, καὶ τῇ ἰδίᾳ φαμιλίᾳ καὶ τοῖς ἀπελευθέροις.

Ἐν δὲ τῷ θ. κεφαλαίῳ, θεμ. δ.

Ὁ τὴν χρῆσιν μόνην ἔχων καὶ πρὸς τὴν καθημερινὴν χρείαν κέχρηται τοῖς ξύλοις, καὶ τῷ κήπῳ, καὶ ταῖς ὀπώραις, καὶ λαχάνοις, καὶ φύλλοις, καὶ τῷ ὕδατι: οὐ πρὸς κέρδος, ὅτι καταχρῆται.

ιβ.

Ἐκ τῶν ἐν τῷ ἀγρῷ γινομένων κελλαρικῶν, ὁ τὴν χρῆσιν μόνην ἔχων, τὸ πρὸς ἐνιαυτὸν ἀρκοῦν αὐτῷ λαμβάνει, εἰ καὶ πάντα δαπανᾶται. καὶ τῷ δούλῳ γὰρ καὶ τῷ οἴκῳ κέχρηται, ὁ τὴν χρῆσιν μόνην ἔχων. ὥστε μὴ ὑπολειφθῆναι τὸν καρπὸν ἄλλῳ.

ιε.

Ὁ ἔχων χρῆσιν οἰκίας, τὰ κατεσκευασμένα ὀφείλει ποιεῖν τῆς οἰκίας, ἀναλώμασιν οἰκείοις, ὡς ἔγνωμεν.

Fetus autem pecorum ad fructuarium pertinet. Ubi uero gregis uel armenti usufructus legatus est, demortua & inutilia capita debet ex adgnatis supplere. fiuntque substituta quidem illius, qui dominium habet; ea uero, quibus substituuntur, fructuarij.

Tit. II.

Loquitur DE VSVFRVCTV ADCRESCENDO. Eius I. cap. dicitur:

Quoties usufructus coniunctim legatus est, non separatim; ius adcrescendi competit. Itaque si communi seruo usufructus relictus sit, & alter dominorum repudiet, aut omittat partem suam; alteri adcrescit. idque licet non aequis partibus domini fuerint. Si uero & communi seruo legatus fuerit usufructus, & separatim Petro: amissa pars ab altero ex dominis, Petro adcrescit. quemadmodum si duobus coniunctim, & alteri separatim legatus fuerit. D. eod. tit.

Tit. III. dicitur:

QVANDO DIES VSVSFRVCTVS LEGATI CEDAT.

Tit. IIII.

QVIBVS MODIS VSVSFRVCTVS AMITTATVR.

Tit. V.

QVIBVS MODIS VSVS RERVM MINVATVR.

Tit. VI.

DE VSVSFRVCTVS PETITIONE.

Tit. VIII.

DE VSV ET HABITATIONE, ET QVOMODO VSVS ET HABITATIO AB VSVFRVCTV DIFFERANT.

In eius II. cap. dicitur:

Qui usum dũtaxat habet, utitur ille quidẽ; sed non fruitur. Habitatione uero relicta, maritus cum uxore, & uxor cum marito, cum familia sua, cum libertis habitat. l. 2. D. de us. & habit.

Et cap. IX. them. IIII.

Qui usum dumtaxat habet, ad usum cottidianum lignis utitur, & horto, & pomis, & oleribus, & folijs, & aqua: non tamen ad quaestum, sicuti nec abutitur.

XII.

Qui usum dumtaxat habet, ex rebus cellarijs in fundo prouenientibus capere potest, quod in annum sufficiat, licet omnia cõsumat. Nam & seruo & domo sic uteretur, qui usum dumtaxat habet, ut nihil alij fructus superesset.

XV.

Qui usum domus habet, sarta tecta praestare sumtibus suis, uti cognouimus, debet. l. 7. C. de usufr. & hab.

 Si uero

Si uero quid amplius in refectionem domus ero gauit, a proprietario recipiet.

XXX.

l.13.eod. *Vsusfructus habitationis nec usus simplex est, nec usus fructus; sed ius proprium. Ceterum qui habitationis usum habet, eum alij locare potest: & multo magis si habitationis ususfructus legatus sit, propter specialem ususfructus mẽtionem potest locare. Numquam uero, habitatione legata, dicere legatarius potest, habitationis dominium sibi legatum esse; nisi nominatim ostendat, dominium quoque testatorem legasse.*

XXXI.

§.item is. Instit. de us. & hab. *Sciendum est, solum habitationis usum ab usufructu differre. Nam qui dumtaxat usum adium habet, habitare tãtum in eis potest cum uxore sua, cum liberis, libertis, & alijs personis liberis, quibus non minus, quam seruis, utitur; non tamen ades etiam locare potest. Qui uero usumfructum habitationis habet, habitationem alij locare potest, ut ades inhabitet: quemadmodum liber secundus institutionum, titulo V. tradit.*

Tit. VIIII. tractatur,

QVIBVS MODIS FRVCTVARIVS PROPRIETARIO CAVEAT.

Eius I. cap. dicitur:

Vt usufructus constituatur siue rei mobilis, siue soli; fructuarius cauet, usurum se boni uiri arbitratu, & usufructu extincto restituturum quod exstabit; nec deteriorem se condicionem ususfructus facturum, ceteraq; facturum, qua in re sua faceret.

Et X. cap.

Si uxori mea solum domus usum legauero, cautionem interponit; quamuis dixerim, debere filios heredes cum ea simul habitare.

Legito & lib. XVIII. tit. VI. cap. I. them. IIII. Item lib. LI. tit. IIII. cap. IIII. them. XIV.

SCHOLION.

Vsusfructus est colere agrum, & omnibus frui, quæcumque in eo proueniunt, & excoluntur. Vsus autem solus est, uti nascẽtibus in eo oleribus, pomis, floribus, fœno, folijs, lignis ad usum cottidianum sufficientibus. Si quis nudum usum habet, ei non licet eum uendere, uel locare, uel gratis alteri concedere: quum is, qui usumfructum habet, hæc omnia facere permissum sit, uti cap.

l.67.D.de usufr. LXVII dicitur. Ouium uero usufructus quidem est, uti lacte, agnis, lana: usus autẽ, per eas agrum stercorare. Ceterum nudus usus, quem diximus, olerum, pomorum, fœni, foliorum, lignorum, eatenus se porrigit, quatenus satis est. Atque hic usus neque locatur, neque uenditur.

εἰ δέ τι περαιτέρω ἀνάλωσεν εἰς τὴν τῆς οἰκίας διόρθωσιν, τοῦτο λήψεται παρὰ τοῦ ἔχοντος τὴν δεσποτείαν.

λ.

Ἡ χρῆσις τῆς οἰκήσεως, οὔτε χρῆσις ἁπλῆ ἐστιν, οὔτε χρῆσις καρπῶν, ἀλλ' ἰδιάζον δίκαιον. ὁ δὲ ἔχων χρῆσιν οἰκήσεως, δύναται αὐτὴν μισθοῦν ἑτέρῳ τινι, πολλῷ δὲ πλέον ἐὰν οἰκήσεως χρῆσις ἐλεγατεύθη, διὰ τὴν ἰδικὴν τῆς χρήσεως μνήμην δύναται μισθοῦν. οὐδέποτε δὲ οἰκήσεως λεγατευθείσης, δύναται λέγειν ὁ λεγατάριος, ὅτι ἡ δεσποτεία τοῦ οἴκου ἐλεγατεύθη μοι, εἰ μὴ ἄρα δείκνυται ῥητῶς, ὅτι καὶ τὴν δεσποτείαν ὁ διαθέμενος ἐλεγάτευσεν.

λα.

Ἰστέον ὅτι χρῆσις μόνη οἰκήσεως, διαφέρει χρήσεως καρπῶν. ὁ γὰρ χρῆσιν μόνην ἔχων οἰκήσεως, δύναται μόνος οἰκεῖν μετὰ τῆς γαμετῆς αὐτοῦ καὶ τῶν οἰκείων παίδων καὶ ἀπελευθέρων, καὶ ἄλλων † ἀπελευθέρων, οἷς οὐχ ἧττον ἢ ὡς οἰκέταις κέχρηται: οὐ μὴν δύναται τὴν οἴκησιν μισθοῦν. ὁ δὲ χρῆσιν καρπῶν οἰκήσεως ἔχων, δύναται τὴν οἴκησιν μισθοῦν ἑτέρῳ τοῦ κατοικεῖν· ὡς ἰνστιτουτίων δευτέρα τίτλος ε. † ἐλευθέρων.

Τίτλ. θ. διαλαμβάνεται,

ΠΟΙΟΙΣ ΤΡΟΠΟΙΣ ἈΣΦΑΛΙΖΕΤΑΙ Ὁ ΤῊΝ ΧΡΗ͂ΣΙΝ ΤΩ͂Ν ΚΑΡΠΩ͂Ν ἜΧΩΝ, ΤΩ͂Ι ΤῊΝ ΔΕΣΠΟΤΕΙ͂ΑΝ ἜΧΟΝΤΙ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ὡς ἂν συστῇ ἡ χρῆσις τῶν καρπῶν, κινητοῦ ἢ ἀκινήτου πράγματος, ἀσφαλίζεται ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων, ὅτι ἀνδρὸς ἀγαθοῦ δοκιμασίᾳ κέχρηται. καὶ ὅτι φθειρομένης τῆς χρήσεως τῶν καρπῶν, τὸ εὑρισκόμενον ἀποκαθιστῆσιν, καὶ ὅτι οὐ ποιεῖ χείρονα τὴν αἵρεσιν τῆς χρήσεως τῶν καρπῶν: καὶ ὅτι ὡς ἐν ἰδίῳ πράγματι διαγίνεται.

Καὶ ι. κεφ.

Ἐὰν λεγατεύσω τῇ γαμετῇ μου χρῆσιν μόνην οἴκου, δίδωσι τὴν ἀσφάλειαν: εἰ καὶ εἶπε τοὺς παῖδας μου κληρονόμους ὄντας συνοικεῖν αὐτῇ.

Ἀνάγνωθι καὶ βιβλίον ιη τίτλον ς. κεφάλαιον α. θεμ. δ. ἀνάγνωθι καὶ βιβλίον να. τίτλ. δ. κεφάλαιον δ. θεμ. ιδ.

ΣΧΟΛΙΟΝ.

Χρῆσις καρπῶν ἐστι τὸ γεωργεῖν τὸν ἀγρόν, καὶ καρποῦσθαι πάντα ὅσα ἐκφέρεται καὶ γεωργεῖται ἐν αὐτῷ. χρῆσις δὲ μόνη ἐστί, τὸ χρῆσθαι τοῖς ἐκεῖ λαχάνοις, ὀπώραις, ἄνθεσι, χόρτῳ, τοῖς φύλλοις, ξύλοις τοῖς πρὸς τὴν καθ' ἡμέραν χρείαν ἐξαρκοῦσιν. ἂν τις ἔχῃ ψιλὴν χρῆσιν, οὐκ ἔξεστι τῷ ἔχοντι αὐτὴν πιπράσκειν ἢ μισθοῦν ἢ προῖκα παραχωρεῖν ἑτέρῳ. ὁ δὲ τῷ ἔχοντι χρῆσιν τῶν καρπῶν, ταῦτα πάντα πράττειν ἐπιτέτραπται, ὡς κεφ. ξζ. χρῆσις δὲ καρπῶν τῶν προβάτων, ἐστὶν τὸ χρῆσθαι τῷ γάλακτι, τοῖς ἀρνάσι, τοῖς ἐξ αὐτῶν ἐρίοις· χρῆσις δὲ μόνη, τὸ κοπρίζειν δι' αὐτῶν τὸν ἴδιον ἀγρόν. ὁ λεγόμενος δὲ ψιλὸς χρῆσις τῶν λαχάνων, ὀπωρῶν, χόρτου, φύλλων, ξύλων τῶν ἀρκούντων ἐστίν. ὁ τοιοῦτος δὲ χρῆσις οὔτε μισθοῦται, οὔτε πιπράσκεται.

ΠΕΡΙ

ΠΕΡΙ ΤΩΝ ΠΡΟΣΠΟΡΙΖΟ-
μένων ἡμῖν.

Τίτλ. θ. κεφάλαιον ιβ.

Δι' ἐλευθέρου προσώπου αὐτεξουσίου νομὴ μόνη † ἄρ. προσπορίζεται ἡμῖν. ἐὰν † ὁ ἡμέτερος προκουράτωρ ὀνόματι ἡμῶν ἐναχθῇ τῇ περὶ πράγματος ἀγωγῇ, καὶ ἡττηθῇ καὶ συμφωνήσῃ πρὸς τὸν ἀγοραστὴν αὖθις περὶ τούτου τοῦ πράγματος δικάσασθαι, καὶ ἐπερωτήσῃ αὐτὸν, οὐδὲν προσπορίζει τῷ δεσπότῃ τῶν πραγμάτων. εἰ μέντοιγε δούλοις ἡμῶν παραδοθῇ πρᾶγμα, προσπορίζεται ἡμῖν ἡ δεσποτεία.

Καὶ κεφάλαιον ιγ.

† πάντα. Ὁ ἐπίκοινος οἰκέτης † πάντας προσπορίζει πρὸς τὰ τῆς δεσποτείας μέρη, ὑπεξῃρημένων ἐκείνων, ὅσα κατὰ κέλευσιν ἑνὸς τῶν δεσποτῶν ἐπερωτᾷ.

Ἀνάγνωθι καὶ βιβλ. με. τίτλ. δ. περὶ οὗ εἴρηται καὶ ἐν τῷ κληρονομίας.

ΣΧΟΛΙΟΝ.

Περὶ προσπορισμοῦ τῶν παίδων εὑρήσεις ἐν τῷ περὶ κληρονομίας.

ΤΩΝ ΒΑΣΙΛΙ-
ΚΩΝ ΒΙΒΛ. ιζ.

ΠΕΡΙ ΔΑΠΑΝΗΜΑΤΩΝ ΜΗ ἈΠΑΙ-
τουμένων ὡς διὰ εὐσέβειαν λογιζομένων
δαπανᾶσθαι.

Τίτλ. α. κεφ. κϛ. θεμ. θ.

Ὁ διὰ εὐσέβειαν ἀποθρέψας τὴν οἰκείαν ἀδελφόπαιδα, οὐκ ἔχει ἀπαίτησιν.

Καὶ κεφάλαιον λ. θεμ. ϛ.

Τοῖς ἀπελευθέροις δῆλον ποσὸν κατελείφθη πρὸς κατασκευὴν μνημείου: δαπανήσαντες πλέον, οὐκ ἕξουσιν ἀπαίτησιν.

λε. θεμ. γ.

Ἡ μήτηρ εὐσεβῶς δαπανᾶν εἰς τὸν υἱὸν πεπίστευται, εἰ μὴ τὸ ἐναντίον διαμαρτύρηται. εἰ δὲ τοῦ πατρὸς ἐπὶ ξένης ἀποθανόντος ἀποθρέψει τὸν υἱὸν καὶ τὴν αὐτοῦ φαμιλίαν ὑποστρέφουσα εἰς τὴν πατρίδα: τὴν περὶ τῆς διοικήσεως ἀγωγὴν ἕξει κατὰ τοῦ αὐτοῦ.

Ἀνάγνωθι καὶ τίτ. β. κεφ. α καὶ κεφ. ια. ἐν ᾧ φησίν.

Μήτηρ εἰς ἀποτροφὴν τῶν ἰδίων τέκνων, ἀνάλωσέ τινα: καὶ εἰς ἐπιμέλειαν ἄλλων πραγμάτων ἢ εἰς δίκας αὐτῶν ἐδαπάνησε: καὶ προσῆλθε βασιλεῖ βουλομένη λαβεῖν πάντα, ὅσα περὶ τοὺς υἱοὺς ἐδαπάνησε: καὶ ἀντέγραψε πρὸς αὐτὴν ὁ βασιλεὺς οὕτως.

Τὰ τροφεῖα μὲν, ἅπερ τοῖς υἱοῖς σου παρέσχες, ἀποδοθῆναί σοι οὐκ ἐννόμῳ λογισμῷ ἀπαιτεῖς, ἐπειδὴ τοῦτο ἀπαιτούσης σε τῆς μητρῴας εὐσεβείας ἐποίησας. ἅπερ δὲ εἰς τὰ πράγματα αὐτῶν χρησίμως ἀνάλωσας, ταῦτα διὰ τῆς περὶ διοικήσεως ἀγωγῆς ἀπαιτῆσαι δύνασαι.

Καὶ κεφάλαιον ιγ.

Ἅ τινα εἰς τὴν γαμετήν σου νοσοῦσαν ἀνάλωσας, οὐκ ἀπὸ τοῦ πενθεροῦ τοῦ σοῦ ἀπαιτεῖν, ἀλλὰ τῇ διαθέσει τῇ σῇ ὀφείλεις καταλογίσασθαι. εἰς δὲ τὴν ταφὴν αὐτῆς

DE HIS, PER QVOS AD-
quirimus.

Eiusd. tit. cap. XII.

Per liberam personam, quæ sui iuris est, sola possessio nobis adquiritur. Si ergo procurator noster nomine nostro conuentus rei uindicatione, uictusque fuerit, & cum emtore de litis redintegratione pactus, stipulatione subsequuta; nihil domino rerum adquirit. Si tamen seruis nostris tradita res fuerit, dominiũ nobis adquiritur. l.1.C.per quas pers.

XIII.

Seruus communis adquirit omnia pro dominij portionibus, exceptis ijs, quæ alterius e dominis iussu stipulatur.

Legito & lib. XLV. tit. IIII. de quo dictum est & in titulo de successione.

SCHOLION.

De adquisitione liberorum inuenies in titulo de hereditate.

BASILICORVM
LIBER XVII.

DE SVMTIBVS, QVI NON RE-
petuntur, quod pietatis respectu
facti reputentur.

Tit. I. cap. XXVI. them. IX.

Qui pietatis respectu sororis aluit filiam, repetitionem nullam habet. l.27.§.1.D.de neg.gest.

Cap. XXX. them. VI.

Liberti sciunt, quantum relictum sit ad structuram monumenti. si quid amplius erogauerint, eius repetitionem non habebunt.

XXXV. them. III.

Mater iure pietatis alimenta filio præstare præsumitur, nisi contrariũ protestata sit. Si uero patre peregre mortuo, dũ in patriam reuertitur, tam filium, quam familiã eius aluerit; negotiorum gestorũ actionem in pupillũ habebit.

Legito & tit. II. cap. I. & XI. ubi dicitur:

Mater in alimenta liberum suorum quadã erogauit, & in aliarum rerum curationem, uel etiam lites eorum sumtus fecit; ac deinde principem accessit, omnia recipere cupiens, quæ in filios impendisset. Et princeps in hanc sententiam rescripsit:

Alimenta quidem, quæ filijs tuis præstitisti, tibi reddi non iusta ratione postulas: quum id exigẽte materna pietate feceris. Si quid autem in rebus eorum utiliter impendisti, negotiorum gestorum actione consequi potes. l.11.C.de neg. gest.

Et cap. XIII.

Quæ in uxorem tuam ægram erogasti, non à socero tuo repetere, sed adfectioni tuæ expensa referre debes. Sane si quid in funus eius eo nomine

mine, quasi recepturus erogasti, patrem, ad quem dos rediit, iure conuenis.

DE PVPILLIS, VBI EDVCARI ET morari debeant: & de sumtibus eorum.

Tit. eiusd. cap. XXXIIII.

L. 37. D. de neg. gest. *Si quis sine tutoris auctoritate negotia pupilli gesserit, obligatũ sibi pupillum reddit tempore contestata litis, in quantum locupletior ex ea re factus est.*

Legito & lib. XVIII. tit. V. cap. III. them. V. & cap. VII. Item tit. VIII. cap. VIII. in quo dicitur:

D. de senatusc. Maced. *Minor, qui sine tutoris auctoritate iubet, non tenetur.*

Legito & lib. XXVI. tit. IIII. cap. VII. & tit. V. cap. XLIII. ubi dicitur:

L. 47. D. de solut. *Si pupillo sine tutoris auctoritate solutũ fuerit, & is tempore litis contestata locupletior est, exceptione submouetur: etiã si res ante litis contestationẽ perierit, quam necessario emit. Nam & filiusfamilias ex necessaria caussa mutuam pecuniam accipiẽs, tenetur; quamuis pecuniam perdiderit.*

Adiunge cap. LXII. Item tit. VII. cap. XXXIX. them. VIIII. Item lib. XXXVII. tit. VIII. cap. XIX. in quo dicitur:

L. 20. D. de aucl. & con. tut. *Si pupilli paternam hereditatem diuiserint, tutore consentiente; quamuis diuisioni non subscripserit, tamen [actum] ualet.*

Legito & lib. XXXVIII. tit. II. cuius I. cap. dicitur:

De pupilli educatione. L. 1. D. ubi pup. educ. *Prætor ex persona, & condicione, & tempore statuere debet, ubi sine suspicione pupillus alendus sit; nec in eo uoluntatem patris omnimodo sequitur. Habetur autem hac de re quæstio propinquis præsentibus. Et coguntur alere liberti, & parentes, & adfines, & cognati. Quod si heres, aut legatarius, iniunctam sibi educationem in testamento recusauerint; relictis excidunt, exemplo tutorum: si quidem eam ob caussam relicta sunt, ac non etiamsi recusaturos educationem testator sciret, nihilominus reliquit.*

V.

Caussa cognita statuitur, ubi pupillum educari & ali oporteat. Suspecti uero sunt, qui pudicitiæ ipsius insidiari possunt.

VII.

Educatio pupillorum nulli tutius committitur, quam matri; si ad secundas nuptias non transierit.

Legito & lib. XL. tit. V. cuius VII. cap. dicitur:

δηλαδὴ, ἔπι τούτου ἔνοχον ὡς μέλλων ἀναλαβεῖν ἀνάλωσις: τὸν πατέρα πρὸς ὃν ἡ προῖξ ἐπανῆλθε, νομίμως μεθοδεύεις.

ΠΕΡΙ ἈΝΗΒΩΝ, ΚΑῚ ΠΟΥ͂ ἈΝΑ-γεσθαι καὶ διαιτᾶσθαι ὀφείλουσι: καὶ περὶ δαπανημάτων αὐτῶν.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. λδ.

Ἐάν τις χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου διοικήσῃ τὰ τοῦ ἀνήβου πράγματα, ἔνοχον ἑαυτῷ τὸν ἄνηβον ποιεῖ κατὰ τὸν καιρὸν τῆς προκατάρξεως, ὡς ὅσον γέγονεν ἐκ τούτου πλουσιώτερος.

Ἀνάγνωθι καὶ βιβλίον ιη. τίτλον ε. κεφάλαιον γ. θεμ. ε. καὶ κεφάλαιον ζ. καὶ τίτλον η. κεφάλ. δ. ἐν ᾧ φησίν.

Ὁ ἄνηβος κελεύων χωρὶς τῆς αὐθεντίας τοῦ ἐπιτρόπου, οὐκ ἐνέχεται.

Ἀνάγνωθι καὶ βιβλ. κϛ. τίτλ. δ. κεφάλαιον ζ. καὶ τίτλ. ε. κεφάλ. μγ. ἐν ᾧ φησίν.

Ἐὰν καταβληθῇ ἀνήβῳ χωρὶς αὐθεντίας ἐπιτρόπου, καὶ ἔστιν ἐν καιρῷ προκατάρξεως πλουσιώτερος, ἐκβάλλεται παραγραφῇ, κἂν ἀπώληται πρὸ τῆς προκατάρξεως τὸ πρᾶγμα ὅπερ ἀναγκαίως ἠγόρασεν. καὶ ὑπεξούσιος γὰρ ἐξ ἀναγκαίας αἰτίας δανειζόμενος ἐνέχεται, κἂν ἀπολέσῃ τὰ χρήματα.

Ἀνάγνωθι καὶ κεφάλ. ξβ. καὶ τίτλ. ζ. κεφάλ. λθ. θεμ. θ. καὶ βιβλ. λζ. τίτλ. η. κεφάλ. ιθ. ἐν ᾧ φησίν.

Ἐὰν ἄνηβοι τὴν πατρῴαν διέλωνται κληρονομίαν, † ἀνανεύοντος τοῦ ἐπιτρόπου, ἔρρωται, κἂν μὴ ὑπογράψῃ τῇ διανεμήσει. † συναινοῦντος.

Ἀνάγνωθι καὶ βιβλίον λη. τίτλον β. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ὁ πραίτωρ ἀπὸ τοῦ προσώπου καὶ τῆς αἱρέσεως, καὶ τοῦ χρόνου, ὀφείλει ὁρίζειν ποῦ χωρὶς ὑποψίας ἀνάγεσθαι δεῖ τὸν ὀρφανόν. καὶ οὐ πάντως ἐπὶ τούτου τῇ γνώμῃ τοῦ πατρὸς ἀκολουθεῖ. γίνεται δὲ ζήτησις παρόντων τῶν συγγενῶν. ἀναγκάζονται δὲ ἀνάγειν ἀπελεύθεροι καὶ γονεῖς καὶ ἀγχιστεῖς καὶ συγγενεῖς. εἰ δὲ κληρονόμος, ἢ ληγατάριος ἀνάγειν ἐπιτραπέντες ἐν διαθήκῃ, παραιτήσονται, ἐκπίπτουσι τῶν ἐασθέντων αὐτοῖς, κατὰ μίμησιν τῶν ἐπιτρόπων. εἴγε διὰ τοῦτο ἐλήφθησαν, οὐ μὴν καὶ εἰ παραιτησομένους αὐτοὺς τὴν ἀγωγὴν εἰδὼς, παρέλιμπανεν. περὶ τῆς ἀγωγῆς τοῦ ἀνήβου.

ε.

Μετὰ διαγνώσεως ὁρίζεται, ποῦ ἀνάγεσθαι καὶ τρέφεσθαι δεῖ τὸν ἄνηβον. ὕποπτοι δέ εἰσιν, οἱ τῇ σωφροσύνῃ αὐτοῦ ἐπιβουλεύειν δυνάμενοι.

ζ.

Οὐδὲν μέν ἐστιν † ἀποσφαλέστερον τῇ ἀγωγῇ τῶν ἀνήβων τῆς μητρὸς, εἰ μὴ ἐδευτερογάμησεν. † ἀσφαλέστερον.

Ἀνάγνωθι καὶ βιβλίον μ. τίτλον ε. οὗ τινος ἐν τῷ ζ. κεφαλαίῳ φησίν.

Οὐ μόνον

Οὐ μόνον τὰ πρὸς ἀποτροφὴν χορηγεῖται τῷ ἀνήβῳ, ἀλλὰ καὶ τὰ πρὸς † παιδήμασι καὶ λοιπὰ ἀναγκαῖα πρὸς τὴν οὐσίαν.

† μαθήματα.

Non alimenta solum pupillo præstanda sunt, sed etiam ea, quæ ad studia pertinent, cum ceteris ad sustentationem necessarijs. l.6.§.2.D.de Carb.ed.

η.

VIII.

Ἐὰν ὁ ἀποκληρος ἄνηβος λέγῃ μὴ ἐῤῥῶσθαι τὴν διαθήκην· ἀλλ᾽ ἑαυτὸν ἐξ ἀδιαθέτου κληρονόμον εἶναι· καὶ ἀρνεῖταί τις αὐτὸν υἱὸν τῶν τελευτησάντων, δίδοται αὐτῷ ἡ μέχρι τῆς ἥβης διακατοχή.

Si pupillus exheres dicat, testamentum non valere, sed ab intestato se heredem esse; neget autem aliquis, eum defunctorum filium esse: usque ad pubertatem ei possessio datur.

Ἀνάγνωθι καὶ βιβλίον να. τίτλον ιδ. κεφάλαιον δ. θεμ. ε. ἐν ᾧ φησίν.

Legito & lib. LI. tit. XIIII. cap. IIII. them. V. in quo dicitur:

Ἐὰν ἀνήβῳ χωρὶς αὐθεντίας ἐπιτρόπου καταβληθῇ χρέος, ἁρμόζει κατ᾽ αὐτοῦ παραγραφὴ εἰς ὃ γέγονε πλουσιώτερος. τὸ αὐτὸ κἂν δανείσηται ἢ ἄλλως πῶς συναλλάξῃ. καὶ ἐπὶ πάντων δὲ εἰς οὐκ ὀρθῶς καταβάλλεται, τὸ αὐτὸ κρατεῖ.

Si pupillo sine tutoris auctoritate debitum solutum fuerit, competit adversus eum exceptio, in quantum factus est locupletior. Idem est, si mutuum acceperit, vel alio quodam modo contraxerit. & quidem in omnibus, quibus non recte solvitur, idem locum habet. l.4.§.4.D.de dol.mal.& met.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον μα. κεφάλαιον κβ. ἐν ᾧ φησίν.

Legito & lib. LX. tit. XLI. cap. XXII. in quo dicitur:

Οὐδὲ τῷ † λιβονιανίῳ δόγματι, ὅτι τῷ ἐγκλήματι τοῦ πλαστοῦ, ἄνηβος ὑποπίπτει.

† τῷ κατὰ τῶν γραφόντων ἑαυτοῖς.

Nec in senatusconsultum * Libonianum, nec in falsi crimen impubes incidit. l.22.D.de l. Corn.de fals. * quo agitur in eos, qui sibi quid [in testamento] adscribunt.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον ε. κεφάλαιον με. καὶ βιβλίον ιε. τίτλον α. κεφάλαιον ξ. ἀνάγνωθι καὶ βιβλίον μδ. τίτλον ιδ. κεφάλ. ιδ. ἐν ᾧ φησίν· ὅτι ἐπὶ λεγάτου τῶν διατροφῶν, τῶν μὲν ἀῤῥένων ἡ ἥβη ἕως τοῦ ιη. ἔτους ὁρίζεται, τῶν δὲ θηλειῶν ἕως τοῦ ιδ.

SCHOLION.

Legito & lib. VII. tit. V. cap. XLV. Item lib. XV. tit. I cap. LX. Item lege lib. XLIIII. tit. XIIII. cap. XIIII. in quo dicitur: quod in alimẽtis legatis masculorũ quidem pubertas usque ad annum XVIII. definiatur, feminarum vero, usque ad XIIII. l.14.D.de alim. vel cib.leg.

ΠΕΡΙ ΚΟΥΡΑΤΩΡΩΝ ΚΑΙ ΠΡΟκουρατώρων, καὶ τίνες κωλύονται κουρατωρεύειν.

Τιτλ. β. κεφ. α.

Ἔγνως ὅτι κουράτωρα πατὴρ οὐ δύναται καταλιπεῖν τοῖς ἑαυτοῦ παισί. τούτοις τοίνυν ἀκολούθως καὶ ἡ παροῦσα διάταξις νομοθετοῦσα λέγει: ὅτι κουράτωρ μὲν ἐν διαθήκῃ πατρὸς, οὐκ ὀρθῶς δίδοται. εἰ δὲ δοθεὶς καὶ εἰδὼς ἑαυτὸν ἀνυπόστατον δεδόσθαι, θεσμῷ φιλίας διοικήσει τὰ πράγματα, ἡ κατὰ τῶν διοικησάντων ἀλλότρια κινουμένη ἀγωγὴ ἁρμόζει, καὶ κατὰ τοῦ ζῶντος, καὶ κατὰ τῶν κληρονόμων αὐτοῦ. καὶ κεφάλαιον ιζ.

DE CURATORIBUS ET PROCURATORIBUS, & quinam curatores esse prohibeantur.

Tit. II. cap. I.

Nosti patrem non posse liberis suis curatorem relinquere. Quapropter in hanc sententiam præsens quoque constitutio legem ferens, inquit: Curator quidem patris testamento non recte datur. Si vero datus sit, ac sciens inutiliter sese datum, amicitiæ iure res administraverit; negotiorum gestorum actio tam adversus eum superstitem, quam adversus heredes eius competit. Adde cap. XVII. l.5.C.de neg.gest.

Ἀνάγνωθι τίτλ. δ. κεφάλ. λ. καὶ τίτλον ε. οὗτινος ἐν τῷ ιθ. κεφαλαίῳ φησὶν, ὅτι γυνὴ οὐ κουρατωρεύει.

Item lege tit. IIII. cap. XXX. & tit. V. cuius XIX. cap. dicitur, mulierem curatoris officio fungi non posse. l.Adhuc. D.de tut.& cur.dat.

Ἐν δὲ τῷ λγ. κεφαλαίῳ.

Et cap. XXXIII.

Ὁ ἔνοπλον στρατείαν στρατευόμενος, οὐδὲ ἐπίτροπος, οὐδὲ κουράτωρ δύναται χειροτονηθῆναι. εἰ δὲ καὶ κατὰ πλάνην διοικήσει, κατέχεται τῇ τῶν πραγμάτων διοικήσεως ἀγωγῇ.

Armatæ militiæ muneribus occupatus, neque tutor, neque curator constitui potest. Quod si etiam errore ductus, res administraverit: negotiorum gestorum actione tenetur. l.4.C.qui dare tut.vel cur.

λς.

XXXVI.

Δοῦλος ἐπίτροπος ἢ κουράτωρ, οὐ δύναται δοθῆναι.

Servus tutor aut curator dari non potest.

Ἀνάγνωθι καὶ τίτλ. θ. οὗτινος ἐν τῷ ζ. κεφαλαίῳ φησίν.

Legito & tit. VIIII. cuius VII. cap. dicitur:

Ὁ κληρονόμος τοῦ κουράτωρος μὴ ὀχλῶν ἕτερον προβληθῆναι, καταβάλλει τόκους, καὶ ὑπὲρ τῶν παρ᾽ αὐτῷ ἀποκειμένων χρημάτων.

Heres curatoris non interpellans, ut alius curator substituatur, eius quoque pecuniæ, quæ apud ipsum est in arca, usuras præstat. l.9.D.de adm.& per.tut.

XX.

Curator actus sui rationes concuratori reddere non compellitur.

LX.

L.43.cod. *Curatori, si C. numos in dotem promiserit ei, cuius curator fuit, & are alieno emergente, patrimoniũ non sufficere deprehendatur, non succurritur. nam & creditoribus pupillaribus sponte stipulando se obliganti non * subuenitur.*

*SCHOLION.

Velut officium suum egresso, & qui non consenserit, sed ipsus principaliter promiserit.

*Quod si sciens, tantum patrimonio non contineri, promiserit: uel donasse uidetur, uel de dolo * tenetur. Sed si non donandi animo promisit, mulierem obligatã habet tam manente matrimonio, quam post diuortium.*

* scilicet marito. sed habet tamen mulierem obligatã.

Legito & tit. VIII. IX. X. XI. tractant enim specialiter de curatoribus.

Legito & lib. XXXIIX. tit. I. II. III. VII. IX. X. XII. XIII. XV. & XIX. nam similiter & in ijs particulariter de curatoribus agitur.

BASILICORVM

LIBER XVIII.

DE SERVIS ET FILIIS, QVI SVNT in potestate, deque his qui bona fide nobis seruiunt. quãdo & quomodo conueniantur & obligentur ij, quorum in potestate sunt, ex ipsorum contractibus, delictis, & debitis: siue quia preposuerint eos alicui negotiationi, siue quia peculij administrationem eis concesserint, siue quod in rem domini uel patris uerterint.

TIT. I. CAP. I.

l.1.D.de inst.act. *Qui præposuit institorem tabernæ, * conueniri quidem potest ab ijs, qui cum eo contraxerunt: non autem experiri potest aduersus eos, nisi proprium seruum tabernæ præposuerit.*

SCHOLION.

* Actione scilicet institoria. Notabis autẽ, quod institoria quidem in solidũ agatur aduersus eum, qui præposuit: tributoria uero, ad peculiũ. Et institoria quidem semper agitur aduersus eum, qui præposuit: tributoria uero ad peculiares merces serui, qui magnum æs alienum cõtraxit. quę quidem & inter creditores atque dominum merces pro rata diuidit.

Si uero seruus alienus, aut homo liber est, habet aduersus ipsum aut dominum actionẽ mandati uel negotiorum gestorum. Habet & actionem in eos, qui cum taberna præposito cõtraxerunt; si aliter rem suam seruare non potest.

κ.

Οὐκ ἀναγκάζεται ὁ κουράτωρ τῷ συγκουράτωρι τοὺς λόγους ἀποδοῦναι, τ῀ ἰδίας διοικήσεως.

ξ.

Ἐὰν κουράτωρ ὁμολογήσῃ ρ. νομίσματα, ὑπὲρ προικὸς τ῀ κουρατωρευομένης, καὶ χρέους ἀναφανέντος εὑρεθῇ μὴ ἔχουσα τοσαῦτα ἡ οὐσία, † βοηθεῖται. καὶ τοῖς ὀρφανικοῖς γὰρ δανεισταῖς ἑκουσίως ἐρωτώμενος ἐνοχοποιῶν ἑαυτὸν, οὐ * βοηθεῖται. † ὁ βοηθεῖται.

*ΣΧΟΛΙΟΝ.

Ὡς παρεξελθὼν τὸ ὀφφίκιον, καὶ μὴ συναινέσας: ἀλλὰ πρωτοτύπως ὑποσχόμενος.

Εἰ δὲ καὶ εἰδὼς μὴ τοσαύτην τὴν οὐσίαν ἔχειν, ὡμολόγησεν: ἢ ἔδοξε δωρεῖσθαι, ἢ διὰ τὸν δόλον * ἐνέχεται. εἰ δὲ μὴ ὡς δωρούμενος ὡμολόγησεν, ἔχει τὴν γυναῖκα ἔνοχον καὶ συνεστῶτος τοῦ γάμου, καὶ μετὰ λύσιν. * τῷ ἀνδρί. ἔχει μέντοι γυναῖκα ἔνοχον.

Ἀνάγνωθι καὶ τίτλον η. καὶ θ. καὶ ι. καὶ ια. διαλαμβάνουσι γὰρ αὐτοὶ μερικῶς περὶ κουρατώρων.

Ἀνάγνωθι ἐκ βιβλ. λη. τίτλ. α. καὶ β. καὶ γ. ἐκ ζ. καὶ θ. καὶ ι. καὶ ιβ. καὶ ιγ. καὶ ιε. καὶ ιθ. ὁμοίως γὰρ καὶ ἐν αὐτοῖς διαλαμβάνεται μερικῶς περὶ κουρατώρων.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. ιη.

ΠΕΡΙ ΥΠΕΞΟΥΣΙΩΝ ΔΟΥΛΩΝ τε καὶ υἱῶν, καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν. καὶ πότε καὶ πῶς ὑπὲρ αὐτῶν ἐνάγονται καὶ εὐθύνονται οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους, ἀπό τε συναλλαγμάτων αὐτ῀ καὶ ἁμαρτημάτων καὶ χρεῶν: εἴτε ὡς προστήσαντες αὐτοὺς πραγματείᾳ τινὸς, ἢ καὶ ὡς παραχωρήσαντες αὐτοῖς τὴν τοῦ πεκουλίου διοίκησιν, ἢ καὶ ὡς δαπανησάντων αὐτῶν εἰς τὰ τοῦ δεσπότου ἢ τοῦ πατρὸς πράγματα.

Τίτλ. α. κεφ. α.

Ὁ προβαλλόμενος προεστῶτα ἐργαστηρίου, * ἐνάγεται μὲν παρὰ τ῀ συναλλαξάντων αὐτῷ: οὐκ ἐνάγει δὲ αὐτοὺς, εἰ μὴ δοῦλος αὐτοῦ ἐστιν ὁ προεστὼς τοῦ ἐργαστηρίου.

ΣΧΟΛΙΟΝ.

* Τῇ ἰνστιτωρίᾳ ἀγωγῇ. καὶ σημείωσαι ὅτι ἡ μὲν ἰνστιτωρία εἰς ὁλόκληρον κινεῖται κατὰ τοῦ προτάξαντος: ἡ δὲ τριβουτωρία μέχρι τοῦ πεκουλίου. καὶ ἡ μὲν ἰνστιτωρία κινεῖται ἀεὶ κατὰ τοῦ προτάξαντος: ἡ δὲ τριβουτωρία κατὰ τῶν πεκουλιαρίων φορτίων τοῦ δούλου τοῦ πολλὰ χρεωστήσαντος, ὅτε καὶ μεταξὺ αὐτῶν καὶ τοῦ δεσπότου ἀναλόγως διαιρεῖται τὰ φορτία.

Εἰ δὲ δοῦλος ἀλλότριός ἐστιν ἢ ἐλεύθερος, ἔχει κατ᾽ αὐτοῦ ἢ τοῦ δεσπότου τὴν περὶ ἐντολῆς ἀγωγὴν, ἢ τὴν κατὰ πραγματευτῶν κινουμένην. ἔχει δὲ καὶ κατὰ τῶν συναλλαξάντων τῷ προεστῶτι τοῦ ἐργαστηρίου, ἔνθα τὸ ἴδιον ἄλλως οὐ δύναται σῶσαι.

γ. Ἀπὸ

γ.

Διὰ μόνων τῶν προσφόρων τῇ προστασίᾳ κατέχεται ὁ προβαλλόμενος. ὁ δανείζων τῷ προεστῶτι ἀγορανομίας ἐπὶ τῷ δημῶσαι τὸ ἐνοίκιον τοῦ ἐργαστηρίου, ἔχει καὶ κατὰ τοῦ προστήσαντος ἀγωγήν, εἰ μὴ ἐκωλύθη δανείζεσθαι. καὶ ὁ δανείζων ἔλαιον τῷ ἐπιτραπέντι ἀγοράζειν καὶ πιπράσκειν ἔλαιον. καὶ
† ὁ μὴ. ὁ διδοὺς αὐτῷ ἀρραβῶνα, εἰ † καὶ ἐπετέτραπτο παραχρῆμα τὸ τίμημα λαμβάνειν: καὶ ὁ δεδωκὼς ἐνέχυρον ἐπὶ τιμήματι: καὶ ὁ τὸν προεστῶτα ἐγγυησάμενος, ἔχει καὶ κατὰ τοῦ προστήσαντος ἀγωγήν.

δ.

Γίνονται προεστῶτες, καὶ ἄῤῥενες καὶ θήλειαι, ἐλεύθεροι, δοῦλοι ἴδιοι καὶ ἀλλότριοι. καὶ προϊστῶσι πάντες: καὶ γυνὴ γὰρ ἐὰν προστήσῃ ἢ προστεθῇ, ἐνέχεται ὡς ἐπὶ τῆς ἀγωγῆς τῆς κινουμένης κατὰ τοῦ προστήσαντος τὸν ἴδιον δοῦλον μαγίστορα τοῦ ἰδίου πλοίου.
† ὁ ὑπεξούσιος, ὁ δοῦλ. † καὶ ὑπεξουσίου δούλη, ἢ ἄνηβος προστῇ, χώρα τῇ κατὰ τῶν προεστώτων ἀγωγῇ. οἱ πολλοὶ γὰρ παῖδας καὶ παιδίσκας προϊστῶσιν ἐργαστηρίων. αὐτὸς μέντοι ὁ ἄνηβος προϊστῶν σὺν αὐθεντίᾳ τοῦ ἐπιτρόπου, ἐνέχεται: εἰ δὲ χωρὶς αὐθεντίας αὐτοῦ προέστησεν, οὐκ ἐνέχεται. ἐνάγεται μέντοι † ἐκ τούτου γεγονὼς εὐπορώτερος. † ὁ ἰα. εἰ δὲ καὶ κληρονόμος ὁ ἄνηβος ἐγένετο τοῦ προβαλλομένου, ἐνέχεται ἕως οὗ ἀποκινήσουσιν αὐτὸν οἱ ἐπίτροποι. ὁ δὲ νέος προστήσας, ἀποκαθίσταται, ἀλλ' οὐ χωρὶς αἰτίας εὐλόγου.

ε.

† προγράμματος. Ὁ προστήσας ἐνέχεται, εἰ μὴ κωλύσει διὰ † γράμματος συναλλάξαι τῷ προεστῶτι. δεῖ δὲ τὸ γράμμα εἶναι ἔνθα ἡ πραγματεία γίνεται, δυνάμενον δὲ ἐξ ἐπιπέδου ἀναγινώσκεσθαι, γράμμασι τοῖς ἐν τόπῳ συνηθάζουσι.

ΣΧΟΛΙΟΝ.

Τούτων γὰρ φυλαττομένων, οὐ δύναται λέγειν ὁ συναλλάξας, ὡς οὐκ ἐπέκειντο γράμματα ἢ οὐκ εἶδεν αὐτά.

Δεῖ δὲ τὸ πρόγραμμα κεῖσθαι διὰ παντὸς εὐανάγνωστον· εἰ τοίνυν ἐὰν ὑπὸ παλαιότητος ἢ βροχῆς, ἢ † τινὸς ἑτέρου, ἀμαυρωθέντος αὐτοῦ, ἢ αὐτοῦ τοῦ προεστῶτος περιαιρεθέντος, συναλλάξῃ τις μὴ μετοχῶν τοῦ δόλου, ἔχει τὴν κατὰ τῶν προστησαμένων ἀγωγήν. ὀφείλει δὲ ὁ ὅρος ἐφ' ᾧ τις προβάλλεται, φυλάττεσθαι. εἰ δὲ ποτὲ μὲν ἐπιτρέπει, ποτὲ δὲ κωλύει συναλλάξαι αὐτῷ διὰ τὴν συνεχῆ μεταβολήν, πᾶσιν ἐνέχεται.

† καπνοῦ ἢ κονιορτοῦ.

ΣΧΟΛΙΟΝ.

Σήμερον προέγραψεν μὴ εἶναι ἐπὶ οἴνου συναλλάσσειν, αὔριον ἐπ' ἐλαίου. καὶ οὕτω διαφόρως ἤμειψε τὴν προγραφήν.

Εἰ μέντοι τελείως ἀπαγορεύσει αὐτῷ συναλλάξαι, οὐκ ἔστι προεστώς, ἀλλὰ φύλαξ· καὶ οὐδὲν ἐκποιῆσαι δύναται.

III.

Qui praeposuit, ad praepositionem pertinentium nomine dumtaxat tenetur. Qui ad emendum praeposito credit, ad pensionem pro taberna exsoluendam; habet actionem & aduersus eum, qui praeposuit, nisi prohibitus fuit mutuari. Et is qui oleum mutuum dat ei, qui ad emendum uendendumque oleum praepositus est; & is qui ei dat arram, nisi mādatum fuit, ut statim pretium acciperet; & is, qui pignus ob pretium dedit; & qui pro institore fideiussit; aduersus illum actionem habet, qui praeposuit.

IIII.

Praepositi fiunt masculi, feminae, libri, serui, proprij, alieni. quilibet etiam praeponit. Nam & mulier si praeposuerit aut praeposita fuerit, tenetur exemplo actionis exercitoriae, quae conuenitur is, qui seruum suum magistrū naui suae praeposuit. Sed & si filiafamilias, uel ancilla, uel pupillus praeponantur; locus est actioni aduersus eos, qui praeposuerunt. Nam & plerique pueros puellasq; tabernis praeficiunt. Ipse quidē pupillus si tutoris auctoritate praeposuerit, tenetur: sin absq; illius auctoritate, non tenetur. conuenitur tamen, si ex ea re factus sit locupletior. Quod si pupillus heres exstiterit ei, qui praeposuerat, tenetur donec eum tutores remoueant. Minor qui praeposuit, [in integrum] restituitur: sed nō sine iusta caussa.

V.

Qui praeposuit tenetur, nisi proscriptione prohibuerit, ne cum praeposito contrahatur. Et esse proscriptum eo loci debet, ubi negotiatio exercetur, unde de plano legi possit, litteris eo loco frequentius usitatis.

SCHOLION.

Quippe si haec obseruentur, dicere non potest is, qui cōtraxit, non propositas fuisse litteras, aut eas se non uidisse.

*Item proscriptio semper esse proposita debet, ac lectu facilis. proinde si quū uetustate, uel pluuia, uel qua * re alia fuerit obscurata, uel ab ipso praeposito sublata, contraxerit cum eo quispiam, doli minime particeps: actionem aduersus eos, qui praeposuerunt, habet. Ceterum condicio, in qua quis praeponitur, seruari debet. Quod si permittit interdum, interdum prohibet cum eo contrahere: propter continuam uariationem omnibus tenetur.*

* fumo scilicet aut puluere.

SCHOLION.

Hodie, uerbi gratia, proscriptione uetuit de uino cum eo contrahere, cras de oleo. atq; hoc modo uarie proscriptionem mutauit.

Sed si in totū prohibuit cum eo contrahi, non praepositus, sed custos est; nec alienare quidquam potest.

VIIII.

VIIII.

Ex actoris fundi mei contractibus, non datur in præponentem actio. quippe fructuum susceptor est. nisi forte permissum ei fuerit aliquid distrahere.

XI.

Institor est, qui ad emendum uendendumue præpositus est loco, uel sine loco.

XII.

Si præpositus a me seruus post libertatẽ quoque datam permanserit in negotiatione, obligatus maneo.

XIII.

l.1.C.h.t. *Dominus qui seruũ alicui negotiationi præposuit, ita demum tenetur eo mutuum accipiente; si ei permiserit, ut etiam mutuum sumeret. Quod si non probetur, id ei fuisse permissum; tunc actio de peculio, deque uersis in rem domini, quæritur.*

Etsi a muliere præpositus fuerit curator rerum ipsius, ex contractibus eius mulier actione exercitoria tenetur. quippe si & institorem mulier præponat, institoria tenetur.

SCHOLION.

Quamuis enim mulier, si contractibus alienis interueniat, non teneatur: tamen heic non in alienas, sed mulieris res, licet ex alienis cõtractibus, actio nascitur. & propterea conuenitur.

Tit. II. cap. I. dicitur:

l.1.D.de tribut.act. *Actione de peculio mota, deducit dominus quod sibi debetur, si quidem ignorabat; si uero sciebat seruum peculiari merce negotiari, uelut extraneus [creditor] in * actionem uenit, quæ inter dominum & eos qui cum seruo contraxerunt, pro rata lucrum diuidit, † qualiscumque tamdem sit negotiatio.*

† siue terra, siue mari.

SCHOLION.

* quæ tributoria dicitur. est autẽ diuisoria. nam si contigerit eum diuersis, atq; etiam domino suo debere, cogitur in medium proferre merces suas, quarũ pro rata æris alieni fit diuisio, nec in ullo dominus potior est, sed debitũ æqualiter diuiditur.

Habet autem locum hæc actio, tametsi nihil sit in peculio. Scientiam in eadem accipimus, ipsam patientiam. quippe si dominus sciat, nec protestetur, aut contradicat: actione tributoria tenetur. Competit autem ea de quouis, qui iuris alieni est, bonaque fide seruit; tam libero quam seruo alieno, & in quo usumfructum habemus: si tamen peculiaris merx, qua negotiatur, ad reum pertineat.

* II. * VIIII.

Nõ omnis cõtractus, sed is qui nomine mercis initur, actionem tributoriã inducit, ac tribuitur, quod ex mercib. & quod eo nomine habet.

θ.

Ἐκ τῶν συναλλαγμάτων τοῦ διοικητοῦ χωρίου μου, ἡ κατὰ τοῦ προστήσαντος ἀγωγὴ οὐχ ἁρμόζει. ὑποδοχεὺς γάρ ἐστι τῶν καρπῶν: εἰ μὴ ἄρα ἐπιτράπη τι πιπράσκειν.

ια.

Προεστώς ἐστιν ὁ προβληθεὶς ἐπὶ τῷ πωλεῖν ἢ ἀγοράζειν ἐν τόπῳ, ἢ ἐκτὸς τόπου.

ιβ.

Ὁ προβληθείς μου δοῦλος, ἐὰν ἐλευθερωθεὶς ἐπιμείνῃ τῇ πραγματείᾳ, μένω ἐνεχόμενος.

ιγ.

Ὁ δεσπότης προστησάμενος τὸν οἰκέτην πραγματείας τινος, τότε κατέχεται δανειζομένου αὐτοῦ, ὅτε ἐπέτρεψεν αὐτῷ καὶ δανείζεσθαι. εἰ δὲ μὴ δείκνυται ἐπιτρέψας, τότε ζητοῦμεν τὴν πεκουλίου ἀγωγὴν, καὶ τὴν περὶ τῶν † ἀλωθέντων, ἐν τοῖς πράγμασι τοῦ δεσπότου. † εἰσενεχθέντων.

Εἰ καὶ παρὰ γυναικὸς προβληθῇ προνοητὴς τῶν πραγμάτων αὐτῆς, ἐκ τῶν πρὸς αὐτὸν συναλλαγμάτων κατέχεται ἡ γυνὴ τῇ κατὰ τοῦ προεστῶτος ἀγωγῇ. καὶ γὰρ προεστῶτα προβάληται ἡ γυνὴ, τῇ κατὰ τοῦ προεστῶτος ἀγωγῇ κατέχεται.

ΣΧΟΛΙΟΝ.

Εἰ καὶ γυνὴ ὑπὸ ἀλλοτρίων συναλλαγμάτων παρεμβάλλουσα ἑαυτὴν, οὐ κατέχεται: ἐνταῦθα οὐκ εἰς ἀλλότρια, ἀλλὰ εἰς γυναικὸς, ὡς καὶ ἀπὸ ἀλλοτρίων συναλλαγμάτων, ἡ ἀγωγὴ τίκτεται, καὶ διὰ τοῦτο ἐνάγεται.

β. τίτλ. κεφάλ. α. φησί.

Τῆς περὶ τοῦ πεκουλίου ἀγωγῆς κινουμένης, ὑπεξαιρεῖ ὁ δεσπότης τὸ κεχρεωστημένον, ἐὰν ἠγνόει ὁ δεσπότης: εἰ δὲ γινώσκει τὸν δοῦλον ἐν τῷ πεκουλιαρίῳ φορτίῳ πραγματεύεσθαι, † εἰς ἐξωτικὸς εἰς τὴν * ἀγωγὴν ἔρχεται τὴν διαιροῦσαν μεταξὺ τοῦ δεσπότου καὶ τῶν πρὸς αὐτὸν συναλλαξάντων ἀναλόγως τὸ κέρδος, † οἱαδήποτε ἂν εἴη πραγματεία. † ὡς ἐξωτικός. † ἤτοι κατὰ γῆν ἤτοι κατὰ θάλασσαν.

ΣΧΟΛΙΟΝ.

* Τὴν οὕτως ὀνομαζομένην τριβουτορίαν. ἔστι δὲ αὕτη διαιρετική. ἂν γὰρ συμβῇ διαφόροις ὀφείλειν, καὶ τῷ δεσπότῃ αὐτοῦ, ἀναγκάζεται εἰς τὸ μέσον ἀγαγεῖν τὰ φορτία. καὶ ἀναλόγως τῶν χρεωστουμένων γίνεται ἡ διαίρεσις, μὴ προτιμωμένου τοῦ δεσπότου ἔν τινι: ἀλλ' ἴσου γενομένου ἐν τῇ διαιρέσει τοῦ χρέους.

Χώραν δὲ ἡ τοιαύτη ἀγωγὴ ἔχει, κἂν μηδέν ἐστιν ἐν τῷ πεκουλίῳ. εἴδησιν ἐπὶ τῆς τοιαύτης ἀγωγῆς τὸ ἀνέχεσθαι λέγομεν. εἰδὼς γὰρ ὁ δεσπότης, καὶ μὴ διαμαρτυρούμενος, καὶ ἀντειπὼν, ἐνέχεται τῇ τοιαύτῃ ἀγωγῇ. ἁρμόζει δὲ ἐπὶ παντὸς ὑπεξουσίου καὶ τοῦ καλῇ πίστει δουλεύοντος, ἐλευθέρου τε καὶ δούλου ἀλλοτρίου, καὶ τοῦ ἐν χρήσει δουλεύοντος δούλου ἀλλοτρίου: ἐὰν μέντοι τὸ πεκουλιάριον † φρόντιον εἰς ὃ πραγματεύεται, ἀνήκει τῷ ἐναγομένῳ. † φορτίον.

† θ. † ι.

Οὐ πᾶν συνάλλαγμα, ἀλλὰ τὸ ἐπὶ τοῖς φορτίοις, εἰσάγει τὴν διαιροῦσαν τὸ κέρδος ἀγωγήν: καὶ μερίζεται ὅπερ ἐκ τῶν φορτίων ἔχει, καὶ κατὰ πρόφασιν αὐτῶν ἔσχε.

μερι-

μερίζεται ὁ ἔχων ὑπεξούσιον τὸν συναλλάξαντα μετὰ τῶν δανειστῶν, εἴτε ἐν τῷ φορτίῳ κεχρεώστηται, εἴτε ὅθεν δήποτε: καὶ εἴτε πρὸ τοῦ πραγματεύσασθαι τὸν ὑπεξούσιον ἐχρεωστήθη, ἢ ἄλλοι αὐτοῦ ὑπεξούσιοι, εἴτε μετὰ ταῦτα. εἰ δὲ τὰ φορτία τοῖς δανεισταῖς ὑπετέθη, προτιμῶνται τοῦ δεσπότου. εἰ πολλοὶ εἰσὶν οἱ δεσπόται, πᾶσιν πρὸς ἀναλογίαν τοῦ χρέους μερίζονται. οὐ πᾶν τὸ πεκούλιον, ἀλλ' ἡ πραγματεία μερίζεται, καὶ τὸ ἐξ αὐτῆς ληφθέν τι καὶ ὀφειλόμενον, καὶ τὸ ἐξ αὐτοῦ ἀγορασθὲν πεκούλιον, καὶ τὰ ὄντα ἐν τῷ ἐργαστηρίῳ δικαιώματα. ταῦτα γὰρ ἀεὶ τῆς δεσποτείας εἶναι πιστεύεται. ἐὰν δύο μέτεισι πραγματείας, ἢ ἐν διαφόροις τόποις ἐργαστήρια διαφόρους ἔχοντα λογοθέτας, κεχωρισμένως ἐπ' αὐτοῖς δανείζεται: οἱ τῆσδε τῆς πραγματείας, ἢ τοῦδε τοῦ ἐργαστηρίου δανεισταὶ, οὐ καλοῦνται εἰς τὰ φορτία τῆς ἄλλης. εἰ δὲ εἰς ἓν ἐργαστήριον ἐφέρετο πάντα, καλοῦνται πάντες, † καὶ φαίνωνται ἐκ τῶν † πραγμάτων τοῦ ἑνὸς ἀγορασθέντα: εἰ μὴ † ὑποτίθεισαν αὐτῷ. εἰ δὲ ἐπὶ προφάσει φορτίων αὐτὰ δέδωκα καὶ φαίνεται, εἰ μὲν τὴν δεσποτείαν μετέθηκα, πάντες καλοῦνται. εἰ δὲ μὴ, οὐ μερίζεται, ἀλλ' ἐκδικῶ αὐτά. οὐ παύεται γὰρ εἶναι τὸ πρᾶγμα τοῦ πιπράσκοντος, εἰ μὴ λάβῃ τὸ τίμημα, ἢ τὸ ἱκανὸν ἢ ἐγγυητάς.

† καί. † χρεώστ. † ὑποτεθεῖσαν.

Partitur ex merce is, qui habet in potestate contrahentem, cũ creditoribus: siue mercis nomine debeatur, siue quacũq; alia ex caussa: siue tã ipsi domino, quã alijs, qui eius in potestate sunt, deberi ceperit ante, quam negotiaretur is, qui est in potestate, siue postea. Quod si merces creditoribus oppignerata sunt, domino praferũtur. Si plures domini sunt, omnes ex merce pro rata debiti partiũtur. Non totum peculium, sed quidquid ex merce est tribuitur; tum quod ex ea receptum est, & quod debetur, quodq; comparatũ est ex ea peculium, queq; sunt in taberna instrumenta. Hac enim semper dominij esse credũtur. Si duas negotiationes exercet, uel in diuersis locis tabernas habet, quarum diuersi sunt ratiocinatores, ac separatim earum nomine mutuum sumsit: alterius negotiationis aut taberna creditores, in tributionem mercium alterius non uocantur. Sin eamdem in tabernam omnia deferebantur, uocantur omnes: etiamsi uideantur ex unius pecunia comparata. nisi forte pignerata illi fuerunt. Quod si mercium [uendũdarum] ea nomine dedi, si quidem dominium transtuli, uocantur [in tributum] omnes: sin minus, non tribuuntur, sed ego ea uindico. Quippe res uenditoris esse non desinunt, nisi uel pretium, uel satisdationem, uel fideiussores acceperit.

γ.

Ἐπιλογὴν ὁ δανειστὴς ἔχει, ἢ τὴν περὶ πεκουλίου ἀγωγὴν, ἢ τὴν διαιροῦσαν τὸ κέρδος κινῆσαι. ὑποστρέφειν δὲ πρὸς τὴν ἑτέραν οὐ δύναται: ἐκ διαφόρων δὲ αἰτιῶν ἑκατέραν δύναται κινεῖν.

III.

Electionem creditor habet, utrum actione de peculio, an tributoria uelit experiri. regredi quidem ad alteram non potest. Diuersis autem ex caussis utrãq; potest agere.

ΣΧΟΛΙΟΝ.

Σημείωσαι, ὅτι ἐπὶ τῆς τριβουτωρίας, διηνεκῶς ὁ δεσπότης ἐνέχεται: ἐπὶ δὲ τῆς περὶ πεκουλίου ἀγωγῆς ἐντὸς ἐνιαυτοῦ.

SCHOLION.

Nota, quod in actione quidem tributoria perpetuo dominus teneatur, in actione uero de peculio, intra annum.

δ.

Ποτὲ μὲν συμφέρει τῷ ἐνάγοντι κινῆσαι τὴν περὶ πεκουλίου ἀγωγὴν, ποτὲ δὲ τὴν διαιροῦσαν τὸ κέρδος. εἰς μὲν γὰρ τὴν διαιροῦσαν τὸ κέρδος τὰ τῆς πραγματείας φορτία φέρεται, καὶ τὸ ληφθὲν ἐξ αὐτῶν. εἰς δὲ τὴν περὶ πεκουλίου ἀγωγὴν ἅπαν τὸ πεκούλιον συγκείμενον καὶ τὸ φορτίον. συμβαίνει δὲ καὶ μηδὲν τῷ πατρὶ ἢ τῷ δεσπότῃ ὀφείλεσθαι.

IIII.

Interdum expedit agenti, de peculio potius agere; interdum uero, tributoria. nam in tributoriã merces negotiationis ueniunt, & quod ex ijs receptum est: at in actionẽ de peculio, totum peculium pariter & merx. atq; etiam usuuenire potest, ut patri dominóue nihil debeatur.

ια.

† δανείζων. Ὁ † δεσπόζων οἰκέτῃ ἀλλοτρίῳ: ζῶντος μὲν τοῦ οἰκέτου, διηνεκῶς: μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, ἐντὸς ἐνιαυτοῦ ἔχει τὴν περὶ πεκουλίου ἀγωγήν. εἰ δὲ δάπανημα εἰς τὰ τοῦ δεσπότου πράγματα ἐχώρησε, διηνεκῶς τὴν περὶ τῶν ἀναλωθέντων ἐν τοῖς πράγμασι τοῦ δεσπότου ἀγωγήν. εἰ δὲ ἐλευθέρῳ τινὶ διοικοῦντι πράγματά τινος συναλλάξας, τῇ περὶ αὐτὸν τῆς φροντίδος διαθέσει ἐδάνεισας, οὐδεμίαν ἀγωγὴν ἔχεις κατὰ τοῦ κυρίου τῶν πραγμάτων: εἰ μὴ ἄρα ἢ εἰς τὴν οὐσίαν αὐτοῦ τὰ νομίσματα προεχώρησεν, ἢ ἔφθασεν ἐκεῖνος τὸ πραχθὲν δεκτὸν ἡγήσασθαι.

XI.

Qui seruo alieno mutuũ dat, superstite quidem seruo, perpetuo: post mortem uero illius, intra annum actionẽ de peculio habet. Sin autem in rem domini uersum sit, perpetuo de in rem uerso actionem habet. Quod si cum libero res alicuius agente contraxisti, & ex adfectione erga ipsum procuratorem mutuum dedisti: contra dominum rerum actionem non habes, nisi uel in rem eius pecunia processit, uel prius ipse contractum hunc ratum habuit. l. 7. C. quod cum eo, qui in alie.

XIII.

XIII.

Nisi cōtra Macedonianum forte mutuatus est.

Filiusfamilias licite mutuatus, uel fideiussione pro patre praestita; tam in potestate positus in solidum tenetur, quam post mortem patris. Quod si heres scriptus est, rursus in solidum: sin minus, in quantum facere potest, tenetur.

XVII.

Dominus suo nomine non obligatur, quum seruus contraxit, sed actione de peculio tenetur, deducto scilicet eo, quod naturaliter ei seruus debet; deq́ in rem uerso.

Tunc dominus ex contractu serui tenetur, quum specialiter quantitatem definierit, quae uel seruo, uel conductori, siue colono, uel actori fundi mutuo dari debeat. Quippe non datur in eum actio, si per epistolā creditori seruū suum, uel conductores, uel actorem fundi cōmendauit.

SCHOLION.

ANATOLIVS. Tūc dominus actiōe QVOD IVSSV tenetur, quum aperte mutuam debere dari quantitatem praeceperit. Qui hoc modo uel seruis mutuum non dederit, uel colonis, uel conductoribus praedij, uel procuratori: nullā habeat actionem, nec aduersus eos, qui mutuati sunt, nec aduersus dominū. Per epistolas autem commendatio neminem obligatum reddat, nisi ipsius domini iussio sequuta fuerit. Quamobrem debito excidat, qui personis indicatis absque uoluntate domini, uel fideiussorum praestatione, crediderit. Quod si seruus fuerit, qui mutuum sumserit, nec domini rationibus fuerit obnoxius: actio de peculio moueatur.

Tit. III. cap. I. dicitur:

* Quid enim, si pater adiecerit, magnū esse locupletq́; filijfamilias peculium?

*Si iussu * meo is, qui est in potestate mea, contraxerit; in solidum teneor: si non iussu, eatenus teneor, quatenus in rem meam uersum fuerit: si neutrum horum sit, nec item competat institoria, per quam dominus in solidum cōuenitur ab ijs, qui cum existente in ipsius potestate contraxerunt; nec tributoria, quae inter dominum & creditores lucrum pro rata diuidit: actioni de peculio locus est.*

II.

Is, qui quum posset agere contra dominum, cuius iussu seruus contraxisset, de peculio egit: postea praedictam actionem habere non potest, nisi deceptus de peculio egerit.

VI.

Praeposui seruū meum mutuis pecunijs dandis, & pignoribus accipiendis. Is seruus accepto auro a quodam emtore hordei, & delegatus ad dandum ipsius nomine pretium uēditori, fugit. Quamuis in eam rem praepositus non erat, quia tamen in omnibus mihi substitutus fuit, teneor illi, qui eum accepit, ut suo nomine satisfaceret. licet esse fideiussio uideatur, pro alio soluere, nec

ιγ.

Ὁ ὑπεξούσιος θεμιτῶς δανεισάμενος, ἢ ἐὰν τὸν πατέρα ἐνεγγυήσηται· καὶ ὑπεξούσιος ὢν κατέχεται εἰς ὁλόκληρον, καὶ μετὰ τὸν θάνατον δὲ τοῦ πατρὸς· εἰ μὲν κληρονόμος ἐγράφη, πάλιν εἰς ὁλόκληρον· εἰ δὲ οὐκ ἐγράφη κληρονόμος, εἰς ὅσον εὐπορεῖ, κατέχεται.

εἰ μὴ ὑπὲρ μακεδονιανὸν τυχὸν ἐδανείσατο.

ιζ.

Ὁ δεσπότης ἰδίῳ ὀνόματι ἔνοχος οὐ γίνεται τοῦ οἰκέτου συναλλάξαντος· κατέχεται δὲ τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ, ὑπεξαιρῶν τὸ φυσικὸν τοῦ χρέους, καὶ τῇ περὶ τοῦ ἀναλωθέντος εἰς τὰ πράγματα αὐτοῦ.

Τότε κατέχεται ὁ δεσπότης τῇ ἐπὶ τῷ συναλλάγματι τοῦ οἰκέτου ἀγωγῇ, ὅτε ἰδικῶς ὁρίσει τὴν ποσότητα τὴν ὀφείλουσαν δανεισθῆναι ἢ τῷ δούλῳ, ἢ τῷ μισθωτῷ, ἤτοι τῷ γεωργῷ, ἢ τῷ διοικητῇ τοῦ ἀγροῦ. ἐπεί τοιγε οὐκ ἔστι κατ᾽ αὐτοῦ ἡ ἀγωγὴ, ἐὰν παρέθετο δι᾽ ἐπιστολῆς τῷ δανείσαντι τὸν οἰκέτην ἑαυτοῦ, ἢ τοὺς μισθωτὰς, ἢ τὸν τοῦ ἀγροῦ διοικητήν.

ΣΧΟΛΙΟΝ.

ἈΝΑΤΟΛΙΟΣ. Τότε κατέχεται ὁ δεσπότης τῇ QVOD IVSSV, ὅτι φανερῶς ἐκέλευσε δανεῖσαι ποσότητα· καὶ ὁ μὴ οὕτω δανείσας δούλοις, ἢ γεωργοῖς ἢ μισθωταῖς κτήματος, ἢ φροντιστῇ· μηδεμίαν ἐχέτω ἀγωγὴν, μήτε κατὰ τῶν δανεισαμένων αὐτῶν, μήτε κατὰ τοῦ δεσπότου. ἀλλὰ μὴ παραθέσεις δι᾽ ἐπιστολῶν ἐνοχήν τινα ποιείτω· ἂν μὴ ἰδίου δεσπότου παρακολουθήσῃ ἐπιτροπή. ἐκπιπτέτω τοίνυν τοῦ χρέους ὁ τοῖς ὡρισμένοις δανείσας δίχα γνώμης δεσπότου, ἢ δίχα ἐγγυητῶν. εἰ δὲ καὶ οἰκέτης ἐστὶν ὁ δανεισάμενος, καὶ μὴ ὑπόκειται λόγοις δεσπότου, κινείσθω ἡ de peculio.

γ. τίτλ. κεφάλ. α. φησίν.

Ἐὰν * κελεύσει μου ὑπεξούσιός μου συναλλάξῃ, εἰς ὁλόκληρον ἐνάγομαι· ἢ ἐὰν μὴ ἐκέλευσα, πρὸς τὸ γεγονὸς δαπάνημα εἰς τὰ πράγματά μου· ἢ μηδενὸς τούτων ὄντος, ἢ τῆς κατὰ τοῦ προεστῶτος ἀγωγῆς, δι᾽ ἧς ὁ δεσπότης εἰς ὁλόκληρον ἐνάγεται τοῖς τῷ ὑπεξουσίῳ συναλλάξασιν· ἢ τῆς διαιρούσης μεταξὺ τοῦ δεσπότου καὶ τῶν συναλλαξάντων τὸ κέρδος ἀναλόγως χώρα τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ.

* τί γὰρ, εἰ ἐπιβεβαιώσει ὁ πατὴρ πολὺ εἶναι καὶ εὔπορον τὸ τοῦ ὑπεξουσίου πεκούλιον;

β.

Ὁ δυνάμενος κινῆσαι τὴν κινουμένην ἀγωγὴν κατὰ τοῦ δεσπότου, ἡνίκα κελεύσει αὐτοῦ συναλλάξει μοι δοῦλος αὐτοῦ· ἐὰν κινήσῃ τὴν περὶ πεκουλίου, οὐ δύναται μετὰ ταῦτα κινεῖν τὴν προειρημένην ἀγωγὴν, εἰ μὴ † ἀπατηθεὶς ἐκίνησε τὴν περὶ πεκουλίου ἀγωγήν.

† ἀπαιτηθείς.

ς.

Προέστησα τὸν δοῦλόν μου ἐπὶ τῷ δανείζειν καὶ λαμβάνειν ἐνέχυρα. ὁ δὲ λαβὼν χρυσίον παρά τινος ἀγοράζοντος κριθὴν, καὶ παραδοθεὶς αὐτῷ ἀντ᾽ αὐτοῦ εἰς τὸ πληρῶσαι τῷ πράτῃ, ἔφυγεν. κἂν μὴ † τοῦτον προέστη, ὅμως ἐὰν ἐν πᾶσι τὸν τόπον μου ἐπεῖχεν, ἐνέχομαι τῷ προσλαβόντι αὐτὸν εἰς τὸ ἀποπληρωθῆναι· εἰ καὶ τὰ μάλιστα ἐγγύη δοκεῖ, τὸ ὑπὲρ ἄλλου καταβαλεῖν, ἐμὴν

† τοῦτο.

τὸ παρ

τὸ παρ᾽ ἑτέρου δέξασθαι. καὶ οὐκ εἴωθεν ὁ δεσπότης ἐκ τῆς τοιαύτης αἰτίας ἐνέχεσθαι, ὅτι δοκεῖ τοῦτο ἐντέλλεσθαι.

δ. τίτλ. κεφάλ. α.

Ὁ δανείζων ὑπεξουσίῳ χρήματα: οὔτε μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ ἔχει ἀπαίτησιν. οἱοσδήποτε ἀξιωματικὸς ὑπεξούσιος κεκώλυται δανείζεσθαι: πλὴν τοῦ ἔχοντος ἰδιόκτητον πεκούλιον: δανείζεται γὰρ μέχρι τοῦ ποσοῦ τοῦ ἰδιοκτήτου πεκουλίου. ὁ γὰρ ὑπεξούσιος ἐν τῷ ἰδιοκτήτῳ πεκουλίῳ, τάξιν ἔχει αὐτεξουσίου.

γ. κεφ. θεμ. ζ.

Ἐὰν ὑπεξούσιος ὁ προεστὼς δανείσηται: ὁ μὲν προστήσας αὐτὸν ἐνάγεται τῇ κατὰ τοῦ προστήσαντος κινουμένῃ ἀγωγῇ· αὐτὸς δὲ τὴν τοῦ δόγματος ἔχει παραγραφήν, εἰ μὴ ὁ πατὴρ αὐτὸν τῆς ἰδίας προεστήσατο πραγματείας, ἢ ἠνέσχετο ἐν τῷ πεκουλίῳ αὐτὸν πραγματεύεσθαι. γινώσκων γὰρ αὐτὸν πραγματεύεσθαι: δοκεῖ καὶ τοῦτο ἐπιτρέπειν, εἰ μὴ ῥητῶς κωλύσῃ. ἐὰν τὸ δανεισθὲν στρέψῃ εἰς τὴν οὐσίαν τοῦ πατρὸς, κἂν μὴ τοιαύτῃ γνώμῃ ἐδανείσατο, ἀργεῖ τὸ δόγμα. εἰ μέντοι ἀγνοοῦντι τῷ πατρὶ ὑπὲρ χρέους κατέβαλεν, οὐκ ἔστι δαπάνημα ὑπὲρ πατρός. καὶ χώρα τῷ δόγματι. ἐὰν λαβὼν δωρεὰν ὑπεξούσιος, καταβάλῃ τῷ δανείσαντι, παντὶ τρόπῳ ἀπαιτεῖ αὐτὰ ὁ πατήρ. οὔτε γὰρ εἶχεν αὐτῶν ὁ υἱὸς τὴν ἐκποίησιν, εἰ μὴ ὁ δωρησάμενος ἐπὶ τῷ καταβληθῆναι αὐτὰ τῷ δανειστῇ ἐδωρήσατο. καὶ ἐπὶ ὑπεξουσίας χώρα τῷ δόγματι, κἂν ἐκ τῶν δανεισθέντων ἠγόρασεν κόσμια. καὶ ἐπὶ υἱοῦ γὰρ, εἴτε δαπανηθῇ τὸ δανεισθὲν, εἴτε φαίνεται ἐν τῷ πεκουλίῳ, χώρα τῷ δόγματι.

ΣΧΟΛΙΟΝ.

Σημείωσαι, ὅτι ὁ δανείσας παρὰ τὸ μακεδονιάνειον, οὐδὲ φανερῶν ὄντων τῶν νομισμάτων καὶ ὄντων ἐν τῷ πεκουλίῳ τοῦ ὑπεξουσίου, δύναται ἀγωγὴν ἔχειν.

Ὁ ὑπεξούσιος καὶ οἱ παρεμβάλλοντες εἰ καὶ διηνεκῆ ἔχουσι παραγραφήν: ὅμως καταβαλόντες, οὐκ ἀναλαμβάνουσιν.

ΣΧΟΛΙΟΝ.

Κείμενον τῶν βασιλικῶν: καὶ οἱ ἐγγυηταὶ καὶ οἱ μανδάτορες τοῦ ὑπεξουσίου βοηθοῦνται, εἰ μὴ ὅλῃ ψυχῇ προθέσει παρενέβαλον ὅπερ τὸ συνάλλαγμα βεβαιῶσαι.

Ἡ γὰρ τοιαύτη παραγραφὴ, οὐ δι᾽ εὔνοιαν αὐτῶν, ἀλλὰ διὰ μῖσος εἰσήχθη τοῦ ἐνάγοντος, καὶ φυσικῶς ἐνέχονται.

ι.

Ἐὰν ὁ υἱὸς δανεισάμενος ἐπιδῷ προῖκα ὑπὲρ τῆς ἀδελφῆς: ἐνάγεται ὁ πατὴρ ὡσανεὶ τὰ δανεισθέντα εἰς αὐτὸν ἐδαπανήθησαν. αὐτὸς γὰρ ἔχει τὴν ἀνάληψιν τῆς προικὸς ἀποθνησκούσης αὐτῆς ἐν τῷ γάμῳ.

ΣΧΟΛΙΟΝ.

ΚΥΡΙΛΛΟΣ. ἐὰν ὑπεξούσιος δανείσηται καὶ προικίσῃ τὴν ἀδελφὴν, ὁ πατὴρ ἐνάγεται. αὐτῷ γὰρ ἁρμόζει τελευτησάσης τῆς κόρης ἡ ἀνάδοσις τῆς προικός.

ab alio suscipere: neq. soleat ex tali caussa dominus obligari, neque mandasse uideatur.

Tit. IIII. cap. I.

Qui filiofamilias pecuniam mutuam dat, ei ne post mortem quidem parentis, eius petitio datur. Cuiuscumque dignitatis sit filiusfamilias, mutuum sumere prohibetur. quippe mutuam dumtaxat pecuniam ad castrensis usque peculij quantitatem sumit. Nam filiusfamilias in castrensi peculio uicem patrisfamilias obtinet. D. de s. c. Maced.

Cap. III. them. VII.

Si filiusfamilias institor mutuam pecuniam acceperit, ille quidem, qui eum præposuit, actione institoria conuenitur: ipse uero senatusconsulti exceptionem habet, nisi pater eum merci suæ præposuit, uel peculio negotiari passus est. Nam si scit eum negotiari, etiam hoc permittere uidetur, nisi nominatim prohibuerit. Si mutuum in rem patris uertit, quamuis hoc animo mutuum non acceperit, senatusconsultum cessat. Sin pecuniam, ignoranti patri mutuatam, in proprium debitum soluit, in rem patris uertisse non uidetur, & senatusconsulto locus est. Si donatam sibi pecuniam filiusfamilias creditori soluerit, omni modo pater eam repetit. Non enim filius alienationem eius habebat, nisi donator ea condicione donauerit, ut creditori solueretur. In filia quoque familias senatusconsulto locus est, quamuis ex pecunijs creditis ornamenta comparauerit. Nam & in filio, siue mutuum consumtum sit, siue in peculio exstet, senatusconsulto locus est.

SCHOLION.

Nota, quod is qui contra senatusconsultũ Macedonianum credidit, ne quidẽ si numi existent, & in peculio filijfamilias sint, actionẽ habere possit.

Filiusfamilias & qui pro eo intercedunt, tametsi perpetuam exceptionem habent, tamen si soluerint, non repetunt.

SCHOLION.

Textus Basilicorum: Et fideiussoribus & mandatoribus filijfamilias succurritur, nisi toto animi proposito intercesserunt, ut totum cõtractum ratum facerent.

Nam talis exceptio, non eorum fauore, sed actoris odio introducta est, adeoq. naturaliter tenentur.

X.

Si filius accepta pecunia mutua, dotem sorori dederit; tenetur pater, quasi si creditum in rem eius uersum esset. nam filia in matrimonio moriente, ipsi dotis repetitio datur.

SCHOLION.

CYRILLUS. Si filiusfamilias pecuniam mutuam acceperit, & sororem dotauerit; pater conuenitur. Nam ipsi puella defuncta dos restituitur.

XVI.

L.3.C.eod. *In mutuo dumtaxat senatusconsulto locus est. quod si ex emtione filiusfamilias debeat, cessat senatusconsultum.*

SCHOLION.

THEODORVS. Si filiusfamilias aliquid mercatus, pretium cum usuris stipulato promiserit: recte ab eo petitur.

XVIII.

Si filiusfamilias alibi degens liberalium studiorum uel legationis caussa, mutuã pecuniam sumserit: senatusconsultum cessat. Tenetur ergo tam ipse, quam pater; non eo tantum superstite, sed etiam post mortem ipsius, intra annum. Sane si iussu patris mutuum datum sit, nec in quos usus uersa sit pecunia credita, disquirimus; sed perpetuo in patrem actio est.

Tit. V. cap. 1. dicitur:

D. de pecul. *Qui cum seruo uel ancilla contrahit, habet actionem de peculio. Si qui cõtraxit filiusfamilias aut seruus, impubes est: tunc competit haec actio, quum peculium locupletius factum est. Non solum nomine propriorum communiumq; seruorum cõuenimur, uerum etiam eorum, qui bona fide nobis seruiũt, siue liberi sint, siue serui alieni.*

XVI.

Seruus serui, & peculium, sunt primi serui. Quod igitur domino debetur a primo seruo, ex eius quoque peculio deducitur, qui serui seruus est: quod autem a serui seruo debetur, non ex primi serui, sed ex ipsius tãtum peculio deducitur, siue domino, siue primo seruo debeat. Quod autem primus seruus seruo suo debet, non deducitur illud quidem, sed eius tamen, qui serui seruus est, peculium auget: quemadmodum si dominus seruo suo debeat.

SCHOLION.

Quid ordinarius, & quid uicarius. Notabis eum, qui primus seruus est, ordinariũ dici: eius uero serui seruum, appellari uicarium.

XXII.

Vestis ea peculij est, quam dominus seruo dederit, ut ea solus ipse perpetuo uteretur, & apud ipsum eius usus gratia custodiretur. Si uero ad certum usum, certumue tempus dedit, ut ea scilicet uteretur, quum eum sequeretur, uel ministraret; non est peculij.

XXXII.

Seruus ratione iuris non debet, nec ei debetur. Nam quae ipsi debentur, dominus petit: de ijs uero, quae seruus debet, actione de peculio, uel in rem uerso conuenitur.

XXXIII.

Si post litem in actione de peculio contestatam, seruus uenditus fuerit: eius quoque peculij

ιϛ.

Ἐπὶ δανείου μόνον χώρα τῷ δόγματι. ἐὰν δὲ ἐξ ἀγορασίας χρεωστήσῃ ὁ ὑπεξούσιος, ἀργεῖ τὸ δόγμα.

ΣΧΟΛΙΟΝ.

ΘΕΟΔΩΡΟΣ. Ἐὰν ἀγοράσας ὑπεξούσιος, ἐπερωτηθῇ τὸ τίμημα μετὰ τόκων, καλῶς ἀπαιτεῖται αὐτό.

ιη.

Ἐὰν ὑπεξούσιος δανείσηται ἐλευθερίων σπουδασμάτων, ἢ πρεσβείας ἕνεκεν ἀπολιμπανόμενος, ἀργεῖ τὸ δόγμα. κατέχεται οὖν καὶ αὐτὸς καὶ ὁ πατὴρ, οὐ μόνον περιόντος αὐτοῦ, ἀλλὰ καὶ μετὰ θάνατον ἐντὸς ἐνιαυτοῦ. εἰ μέντοι κατὰ κέλευσιν τοῦ πατρὸς γέγονε τὸ δάνειον, τότε οὐδὲ εἰς τί δεδαπάνηται τὰ δανεισθέντα ζητοῦμεν, ἀλλὰ καὶ διηνεκῶς ἐστιν ἀγωγὴ κατὰ τοῦ πατρός.

ε. τιτλ. κεφαλ. α. φησίν.

Ὁ συναλλάσσων δούλῳ ἢ δούλῃ, ἔχει τὴν περὶ πεκουλίου ἀγωγήν. εἰ δὲ ἄνηβός ἐστιν ὁ συναλλάξας υἱὸς ἢ δοῦλος, τότε ἁρμόζει, ὅτε τὸ πεκούλιον γέγονεν εὐπορώτερον. οὐ μόνον ὀνόματι τῶν ἰδίων καὶ τῶν κοινῶν δούλων ἐναγόμεθα, ἀλλὰ καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν ἐλευθέρων τε καὶ δούλων ἀλλοτρίων.

ιϛ.

Ὁ δοῦλος τοῦ δούλου καὶ πεκούλιον εἰσὶ τοῦ πρώτου δούλου. τὸ οὖν χρεωστούμενον τῷ δεσπότῃ παρὰ τοῦ πρώτου δούλου, ὑπεξαιρεῖται καὶ ἐκ τοῦ πεκουλίου τοῦ δούλου τοῦ δούλου: ὅπερ χρεωστεῖται παρὰ τοῦ δούλου τοῦ δούλου, οὐχ ὑπεξαιρεῖται ἐκ τοῦ πεκουλίου τοῦ πρώτου δούλου, ἀλλὰ ἀπὸ μόνου τοῦ αὐτοῦ, εἴτε τῷ δεσπότῃ, εἴτε τῷ πρώτῳ δούλῳ χρεωστεῖ. ὅπερ δὲ ὁ πρῶτος δοῦλος χρεωστεῖ τῷ δούλῳ αὐτοῦ, οὐχ ὑπεξαιρεῖται μὲν, αὔξει δὲ τὸ πεκούλιον τοῦ δούλου τοῦ δούλου, ὥσπερ ὅτε χρεωστεῖ τῷ δούλῳ ὁ δεσπότης.

ΣΧΟΛΙΟΝ.

Σημείωσαι, ὅτι ὁ πρῶτος δοῦλος λέγεται ὀρδινάριος· ὁ δὲ δοῦλος τοῦ δούλου λέγεται βικάριος. ὀρδινάριος, καὶ βικάριος.

κβ.

Τοῦ πεκουλίου ἐστὶν ἡ ἐσθὴς ἣν ὁ δεσπότης παράσχῃ τῷ δούλῳ ἐπὶ τῷ αὐτὸν μόνον αὐτῇ διηνεκῶς κεχρῆσθαι, καὶ ἐπὶ τούτῳ φυλάττεσθαι παρ' αὐτῷ. εἰ δὲ πρὸς δηλὴν χρῆσιν, ἢ καιρὸν ἔδωκεν ὡρισμένον, ἵνα τυχὸν ὅτε ἀκολουθῇ ἢ ὑπηρετῇ κέχρηται αὐτῇ, οὐκ ἔστι † πεκούλιον. † πεκουλίου.

λβ.

Κατὰ νόμον οὔτε χρεωστεῖ δοῦλος, οὔτε χρεωστεῖται. τὰ τε γὰρ αὐτῷ χρεωστούμενα, ὁ δεσπότης ἀπαιτεῖται: περὶ δὲ τῶν παρ' αὐτοῦ χρεωστουμένων, ἐνάγεται τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ, ἢ τῇ περὶ δαπανημάτων τῶν γινομένων εἰς τὰ τοῦ δεσπότου πράγματα.

λγ.

Ἐὰν μετὰ προκατάρξιν τῆς περὶ τοῦ πεκουλίου ἀγωγῆς, πραθῇ ὁ δοῦλος, ἐνέχεται ὁ πράτης

καὶ

καὶ ὑπὲρ τοῦ † κτηθείσης μετὰ τὴν ἀγωγὴν τοῦ πεκουλίου. † κτηθέντος.

ΣΧΟΛΙΟΝ.

Ὁ μετὰ προκατάρξιν πωλήσας τὸν οἰκέτην, καὶ ἐκ τοῦ ὕστερον κτηθέντος πεκουλίου καταδικάζεται.

λε.

Ὁ συναλλάξας υἱῷ ὑπεξουσίῳ, αὐτὸν μὲν εἰς ὁλόκληρον ἔνοχον ἔχει· τὸν δὲ πατέρα τῇ περὶ τοῦ πεκουλίου.

λϛ.

Ὁ συγχωρῶν τῷ ὑπεξουσίῳ διοικεῖν τὸ πεκούλιον, ἐκεῖνα δοκεῖ γενικῶς ἐπιτρέπειν ἅπερ ἰδικῶς ἐπιτρέπειν ἤμελλεν.

λζ.

περὶ ἐγγύης δούλ. Ἀπὸ τῆς ἐγγύης τοῦ δούλου, οὐκ ἐνάγεται ὁ δεσπότης, εἰ μὴ εἰς πρᾶγμα τοῦ δεσπότου ἢ τοῦ πεκουλίου ἐνεγγυήσατο.

ϛ. τίτλ. κεφάλ. α. Φησίν.

Ἐφ' ὅσον ἐστὶν ὑπεξούσιος ὁ υἱὸς ἢ δοῦλος, διηνεκῶς ἁρμόζει ἡ περὶ τοῦ πεκουλίου ἀγωγή. μετὰ δὲ θάνατον, ἢ ἐκποίησιν, ἢ αὐτεξουσιότητα, ἢ ἐλευθερίαν, ἐνιαυσιαία ἐστίν. ὁ δὲ ἐνιαυτὸς συνεχής ἐστιν, ἀρχόμενος ἀφ' οὗ τις εὐχέρειαν σχοίη τοῦ κινῆσαι. ὅσον ἐπὶ τοῦ αἱρετικοῦ χρέους, οὐκ ἀπὸ τῆς αὐτεξουσιότητος, ἀλλ' ἀπὸ τῆς ἐκβάσεως τῆς αἱρέσεως ἀριθμεῖται· κινεῖται δὲ εἰς τὸ πεκούλιον, καὶ εἰς ὃ γέγονεν ἧττον τὸ πεκούλιον κατὰ δόλον, τοῦ τὸν ὑπεξούσιον ἔχοντος.

β.

Ἐὰν ἀπὸ τῆς περὶ χρεῶν ἀγωγῆς κινῆται μετὰ θάνατον τοῦ ὑπεξουσίου, εἰ μὲν κινεῖται ἡ περὶ πεκουλίου, ἐστὶν ἐνιαυσιαία· εἰ δὲ περὶ τοῦ πραθέντος ὑπαιτίου ἀντιστροφῆς, ἢ ἐξ μηνῶν μετὰ τὴν τελευτὴν τοῦ υἱοῦ κινεῖται. τὸ αὐτὸ καὶ ἐπὶ πασῶν τῶν προσκαίρων ἀγωγῶν. εἰ καὶ τῷ θανάτῳ καὶ τῇ ἐλευθερίᾳ τοῦ δούλου παύεται εἶναι πεκούλιον· ὅμως μετὰ θάνατον αὐτοῦ τῆς ἐνιαυσιαίας ἀγωγῆς κινουμένης, σκοπεῖται ἡ αὔξησις αὐτοῦ καὶ ἡ μείωσις.

ζ. τίτλ. κεφάλ. α. Φησίν.

† ληφθέν. Ἡνίκα τὸ † ληθὲν ὁ δοῦλος εἰς τὰ τοῦ δεσπότου δαπανήσει, ἀναγκαία ἐστὶ τῷ δανείσαντι ἡ περὶ τῆς δαπάνης ἀγωγή. τί γὰρ ὅτι οὐκ ἔστι πεκούλιον, ἢ ἧττόν ἐστι τὸ πεκούλιον τοῦ χρέους, ἢ χωρὶς δόλου ἀφῃρέθη, ἢ ἀπέθανεν ὁ ὑπεξούσιος, καὶ παρῆλθεν ὁ ἐνιαυτός, ὡς μὴ ἔχειν χώραν τὴν περὶ τοῦ πεκουλίου ἀγωγήν; ἡ γὰρ περὶ τῆς δαπάνης ἀγωγή, καὶ διηνεκής ἐστι, καὶ κινεῖται μὴ ὄντος πεκουλίου.

β.

Κανονικῶς τότε χώρα τῇ περὶ δαπάνης ἀγωγῇ, ὅτε εἴπερ ἦν ἐλεύθερος ὁ δαπανήσας ἤμελλεν ἔχειν τὴν περὶ ἐντολῆς ἀγωγήν, καὶ ὁσάκις ὁ δοῦλος δαπανήσας κρείττονα ἢ † χείρονα † μὴ χείρονα.

nomine uenditor tenetur, quod apud emtorem quæsitum erit.

SCHOLION.

Qui post litis contestationem seruum uendidit, etiam eius peculij nomine damnatur, quod deinde quæsitum est.

XXXV.

Qui cum filiofamilias contraxerit, ipsum quidem in solidum obligatum habet; patrem uero de peculio.

XXXVI.

Qui ei, quem habet in potestate, peculÿ administrationem cõcedit; uidetur ea generaliter permittere, quæ et specialiter permissurus erat.

XXXVII.

Ex fideiussione serui non aliter dominus tenetur, nisi in rem domini, uel ob rem peculiarem fideiusserit.

Tit. VI. cap. I. dicitur:

Quamdiu filius aut seruus in potestate est, actio de peculio perpetuo competit. Post eius uero mortem, uel alienationem, uel emancipationem, uel manumissionem, annalis est. Annus autem continuus est, incipiens ex quo facultatem agendi quis habuerit. Quantum ad condicionale debitum, non ab emancipatione, sed ex quo condicio extitit, computatur. Ceterum in actione de peculio, etiam in id agitur, in quantum minus factum est peculium dolo eius, qui hominem in potestate habebat. D. Quan. de pecul.

II.

Quum de debitis post filÿfamilias mortem [pater] conuenitur, si quidem de peculio est actio, annalis est: sin de rei uenditæ uitiosæ redhibitione, sex mẽsium datur actio post mortem filÿ. Idem & in omnibus temporalibus actionibus. Etiamsi morte & manumissione serui desinit esse peculium, tamen si post mortem eius annalis actio moueatur, tam incrementum quam decessio peculÿ consideratur.

Tit. VII. cap. I. dicitur:

Quum seruus id, quod accepit, in rem domini uertit; actio de in rem uerso creditori necessaria est. Quid enim, si nullum sit peculium? uel minus sit debito? uel sine dolo malo sit ademtũ? uel is, qui erat in potestate, mortuus sit, & annus praterierit, ut actio de peculio locum non habeat? Quippe de in rem uerso & perpetua est actio, & competit exstincto quoq; peculio. D. de in rem uerso.

II.

Tũc regulariter actioni de in rem uerso locus est, quum homo liber, qui in rem uertit, negotiorum gestorũ actionem habiturus est: & quoties seruus qui consumsit, meliorẽ aut non deteriorẽ

domini rem fecerit, & ubi mutuam pecuniam sumsit, ut se aleret ac uestiret secundum consuetudinem domini. Idem est & in filio. Sin ad uoluptatem opera fecerit, quæ dominus facturus non erat: in rem uersum non est, & licentiam permittendi dominus habet, ut ea sine domus iniuria creditores auferant, ne cogatur propter restitutionem domum uendere. quippe nec procurator, citra uoluntatem mandatumue domini sumtus huiusmodi faciens, repetitionem habet. In iis quæ necessario emuntur, in solidum quidquid expenditur, in rem uersum est; quamuis dominus ratum non habuerit. Sin res non necessaria, sed quasi necessaria tamen, emantur: eatenus in rem uersum est, quatenus est uerum pretium.

SCHOLION.

Quippe si non seruum, sed fundum seruus emebat, & præsumtione putabat, se illum quasi necessarium emisse: quāti dignus est emtus ille fundus, in tantam quantitatem dominus tenetur.

III. them. II.

* id est, gerens eius negotiū,

*Si ut * agens pro patre meo, pecuniam mutuatus, pro filia mea dotem dedero; in rem uersum est. Idem est, si pro sorore, uel nepte patris mei ex alio fratre dotem dedero: atque etiam, si seruus mutuatus fuerit, & domini sui filiæ dotem dederit.*

V.

Si filius pro patre fideiusserit & soluerit, in rem uersum est. quippe liberat eum. quemadmodum si suscepta ipsius defensione condemnatus fuerit. namque filius cum iudicio suscepto liberat.

VI.

Si fundum patri dominoue seruus aut filiusfamilias emit, in rem uersum est; & si quidem pretii minoris est, uerum pretium computatur [in rem uersum]: sin pluris, tantum id quod solutum est.

VIII.

Si filius pro patre constituerit, tunc in rem patris uertit, quum soluerit.

SCHOLION.

Etenim pecunia uidetur in rē eius uerti, eumque solum spectat. nam quod a patre cum effectu debebatur, filiusfamilias constituit.

Tit. VIII. cap. I. dicitur:

D. quod iussu.

Siue quis testato iusserit, ut cum ipsius seruo cōtraham, siue per epistolam, siue nudis uerbis, siue per nuntium, siue uno in negotio, siue generaliter, siue his uerbis, QVOD VOLES, CVM HOC SERVO MEO CONTRAHE: *in solidum, sicut & is qui contraxit, tenetur; nisi quid lex specialis prohibet.*

ποιήσει τὰ τοῦ δεσπότου, καὶ ἔνθα δανεισάμενος ἑαυτὸν ἀποθρέψει ἢ ἐνδύσει πρὸς τὴν συνήθειαν τοῦ δεσπότου. τὸ αὐτὸ καὶ ἐπὶ υἱοῦ. εἰ δὲ τὰ εἰς τέρψιν ἔργα ποιήσει, ἅπερ οὐκ ἂν ὁ δεσπότης ἐποίει: οὐκ ἔστι δαπανήματι· ἀλλὰ ἄδειαν ὁ δεσπότης ἔχει συγχωρῆσαι τοῖς δανεισταῖς περιελεῖν αὐτὰ χωρὶς τοῦ βλάψαι τὸν οἶκον, ἵνα μὴ ἀναγκασθῇ διὰ τὴν ἀπόδοσιν πωλῆσαι τὸν οἶκον. ὅτι γὰρ φροντιστὴς τὰ τοιαῦτα δαπανῶν παρὰ γνώμην ἢ ἐντολὴν τοῦ δεσπότου ἔχει ἀπαίτησιν. ἐπὶ μὲν τῶν ἀναγκαίως ἀγοραζομένων, ὅλον τὸ διδόμενον δαπάνημά ἐστι, κἂν μὴ δεκτὸν ὁ δεσπότης ἡγήσηται. ἐπὶ δὲ τῶν οὐκ ἀναγκαίων μὲν, ὡς ἀναγκαίων δὲ ἀγοραζομένων, δαπάνημά ἐστι τὸ ἀληθὲς τίμημα.

ΣΧΟΛΙΟΝ.

Εἰ γὰρ μὴ οἰκέτην, ἀλλὰ ἀγρὸν ἠγόρασεν ὁ οἰκέτης, καὶ κατὰ πρόληψιν ἐνομίζετο ὡς ἀναγκαῖον αὐτὸν ἠγορακέναι, ὅσου ἄξιος ἐστὶν ὁ ἀγορασθεὶς ἀγρὸς, ἐπὶ τοσοῦτο ποσὸν κατέχεται ὁ δεσπότης.

γ. θεμ. β.

Ἐὰν ὡς * πράττων τῷ πατρί μου, δανείσωμαι, καὶ προικίσω τὴν θυγατέρα μου, δαπάνημά ἐστι. τὸ αὐτὸ εἰ καὶ ἀδελφὴν ἢ ἐξ ἄλλου ἀδελφοῦ ἐκγόνην τοῦ πατρός μου προικίσω: κἂν δοῦλος δανεισάμενος προικίσῃ τὴν θυγατέρα τοῦ δεσπότου. * διοικῶν.

ε.

Ἐὰν ἐγγυησάμενος ὁ παῖς τὸν πατέρα καταβάλῃ, δαπάνημά ἐστιν. ἐλευθεροῖ γὰρ αὐτόν. ὥσπερ καὶ ὅτε διεκδικήσας αὐτὸν καταδικασθῇ. ὑποδεχόμενος γὰρ τὴν ἀγωγὴν αὐτοῦ, ἐλευθεροῖ αὐτόν.

ς.

Ἐὰν ὁ υἱὸς ἢ δοῦλος ἀγρὸν ἀγοράσῃ τῷ πατρὶ ἢ τῷ δεσπότῃ, δαπάνημά ἐστι. καὶ εἰ μὲν ἥττονος ἄξιός ἐστι, τὸ ἀληθὲς τίμημα λογίζεται· εἰ δὲ πλείονος, μόνον τὸ δοθέν.

η.

Ἐὰν υἱὸς ὑπὲρ πατρὸς ἀντιφωνήσῃ, τότε δαπάνημα ποιεῖ ὅτε καταβάλῃ.

ΣΧΟΛΙΟΝ.

Ἐπειδὴ δοκεῖ τὰ χρήματα ὠφελεῖν εἰς τὰ πράγματα καὶ μόνον αὐτὸν ὁρᾷ. τὸ γὰρ παρὰ τοῦ πατρὸς ἐνδεχόμενον χρεωστεῖσθαι ἀντιφωνήσας ὁ ὑπεξούσιος.

η. τίτλ. κεφ. α.

Εἴτε ἐπὶ μαρτύρων ἐπιτρέψει μοί τις συναλλάξαι τῷ δούλῳ αὐτοῦ, εἴτε διὰ ἐπιστολῆς, εἴτε ψιλοῖς ῥήμασιν, εἴτε διὰ ἀγγέλου, εἴτε ἐφ' ἑνὶ πράγματι, εἴτε γενικῶς, εἴτε οὕτως, ΟΠΕΡ ΘΕΛΕΙΣ ΣΥΝΑΛΛΑΞΟΝ ΤΩι ΔΕ ΤΩι ΔΟΥΛΩι ΜΟΥ: εἰς ὁλόκληρον, ὡς καὶ αὐτὸς συναλλάξας ἐνέχεται: εἰ μὴ νόμος † ἰδικῶς τι κωλύει. † ἰδικὸς.

ΣΧΟ-

ΣΧΟΛΙΟΝ.

Ὡς ἐπὶ τῶν δούλων τὸν γάμον, καὶ ἐπὶ τῶν ὑπεξουσίων τὸ δάνειον. κωλύει γὰρ ὁ νόμος δάνειον γίνεσθαι πρὸς υἱὸν ὑπεξούσιον.

Ἔξεστι δὲ αὐτῷ πρὶν ἢ συναλλάξω τὴν ἰδίαν ἀνακαλέσασθαι κέλευσιν καὶ δῆλόν μοι ποιεῖν. οὕτως γάρ ἐστι καὶ ἐπὶ ἐντολῆς. εἰ δὲ καὶ ἐντείληται ὁ πατὴρ ἢ ὁ δεσπότης, † τῇ κατ' αὐτοῦ ἀγωγῇ ὡς ἐπιτρέψαντος: οὐ μὴν ἐὰν ἐγγυήσηται τὸν δοῦλον. καὶ ἐὰν δεκτὸν ἡγήσηται τὸ πραχθὲν παρὰ τοῦ υἱοῦ ἢ τοῦ δούλου, χώρα τῇ κατὰ τοῦ δεσπότου ἀγωγῇ ὡς ἐπιτρέψαντος. † χώρα.

ΣΧΟΛΙΟΝ.

Μὴ νόμιζε αὐτὸ δύνασθαι ἰσχύειν κέλευσιν καὶ μανδάτον. ὅτε μὲν γὰρ κελεύσῃ ὁ δεσπότης, δύναται ὁ κελευσθεὶς πληρῶσαι τὸ κελευσθέν, ὅτε δὲ ἐντειλάμενος ἐπιτρέψῃ, οὐ δύναται παραιτεῖσθαι τὸ πρακτὸν ἢ τὸ μανδάτον, ἅπαξ καταδεξάμενος, διὰ τὴν καθολικὴν τῶν μανδάτων φύσιν. τὸ μὲν γὰρ κελεύειν, δεσπότου ἢ πατρός. τὸ δὲ κελεύεσθαι, δούλου ἢ υἱοῦ.

ε.

Ἐὰν πατὴρ ἢ δεσπότης μέλλων δανείζεσθαι, κελεύσῃ ἀπαριθμηθῆναι τῷ υἱῷ ἢ τῷ δούλῳ: οὐχ ὡς ἐπιτρέψας πραγματεύσασθαι, ἀλλὰ τῷ δανειακῷ ἐνάγεται.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον ε. κεφάλαιον νζ. ἐν ᾧ φησίν.

Ὁ ὑπεξούσιος καὶ ἀπὸ συναλλαγμάτων, καὶ ἀπὸ ἁμαρτημάτων ἐνάγεται. καὶ τελευτῶντος αὐτοῦ μετὰ προκατάρξιν, μεταβαίνει ἡ δίκη πρὸς τὸν πατέρα μέχρι τοῦ πεκουλίου καὶ τοῦ δαπανηθέντος περὶ τὰ τοῦ πατρὸς πράγματα.

Ἀνάγνωθι καὶ βιβλίον ιε. τίτλ. α. κεφάλαιον μα. καὶ νη. καὶ τίτλον η. κεφάλαιον ις. καὶ ιζ. καὶ κ. καὶ κβ.

Ἀνάγνωθι καὶ βιβλίον ιζ. τίτλον α. κεφάλαιον ιγ. καὶ ιε. ἐν ᾧ φησίν.

Δοῦλος διοικῶν τινὸς πράγματα καὶ μετὰ τὴν ἐλευθερίαν ἐπιμείνας τῇ διοικήσει, οὔτε τῇ περὶ ἐντολῆς ἀγωγῇ, οὔτε τῇ περὶ διοικήσεως ἐνέχεται εἰς ἅπερ ἐν καιρῷ δουλείας διῴκησεν, εἰ μὴ ἄρα οὕτως ἑκατέρα διοίκησις ἑνῶται ὡς μὴ δύνασθαι τοὺς λογισμοὺς αὐτῶν χωρίζεσθαι.

ΣΧΟΛΙΟΝ.

Τοῖχον γὰρ ᾠκοδόμησε, καὶ ἐν καιρῷ δουλείας ἀρξάμενος, τοῦτον μετὰ τὴν ἐλευθερίαν ἐπεράτωσε. τότε γὰρ ἐνάγεται ὑπὲρ ὧν ἐν τῇ δουλείᾳ διῴκησεν.

Ἀνάγνωθι καὶ βιβλίον ιθ. τίτλον ι. κεφάλαιον να. θεμ. δ. ἐν ᾧ φησίν.

† τῆς δουλείας. Οὐ τὸ διάστημα † τῆς λείας διακρίνει τὸν νεώνητον καὶ μὴ ἐντριβέντα τῶν τῆς πολιτείας ἐθῶν, † δοῦλ. ἐκ τοῦ προβληθέντος † δόλον ποιεῖν ἃ ποιοῦσιν ἐλεύθεροι: ἀλλὰ τὸ γένος καὶ ἡ αἰτία. καὶ νεώνητον γὰρ ἐὰν ἀγοράσω παρὰ σωματεμπόρου, καὶ προστήσω αὐτὸν † ἔμπειρος. ὑπηρεσίας, † ἔμπορος εὑρίσκεται. καὶ οὐ διαφερό-

SCHOLION.

Quemadmodum in seruis nuptias, in filijsfamilias mutuum. Lex enim prohibet, ne filiofamilias mutuum detur.

Licet autem ei prius, quam contraxero, iussum suum reuocare, meq; de hoc certiorem reddere. sic enim & in mandato est. Quod si etiam mandauerit pater dominusue, locus est actioni quod iussu. non tamen, si fideiusserit pro seruo. Item si ratum habuerit, quod a filio uel seruo gestum erit: locus est actioni quod iussu.

SCHOLION.

Ne putes eamdem esse uim & effectum iussus atq; mandati. Nam quum iussit dominus, potest is, qui facere iussus est, iussum exsequi. uerum ubi mandans iniunxerit, recusare factum uel mandatum non potest, quod semel recepit, propter generalem mãdatorum naturam. nam iubere quidem, domini uel patris est: iuberi uero, serui uel filij.

V.

Si pater uel dominus pecuniam mutuam accepturus, iusserit seruo filioue numerari: non actione quod iussu, sed ex credito conuenitur.

Legito & lib. VII. tit. V. cap. LVII. in quo dicitur:

Filiusfamilias tam ex contractibus, quam ex delictis conuenitur: & ipso mortuo post litis contestationem, iudicium transit in patrem, peculio tenus, & quod in rem patris uersum est. L.57.D.de iudic.

Legito & lib. XV. tit. I. cap. XLI. & LVIII. Item tit. VIII. cap. XVI. & XVII. & XX. & XXII.

Legito & lib. XVII. tit. I. cap. XIII. & XV. in quo dicitur:

Seruus administrans alicuius negotia, si post manumissionem in administratione permanserit: neque mandati, neque negotiorum gestorum actione de ijs tenetur, quæ tempore seruitutis gessit: nisi sic utraque connexa sit administratio, ut rationes earum separari nequeant.

SCHOLION.

Parietem scilicet ædificauit, & tempore seruitutis incipiens, eum post manumissionem absoluit. tunc enim actione gestorum in seruitute negotiorum conuenitur.

Legito & lib. XIX. tit. X. cap. LI. them. IIII. ubi dicitur:

Non seruitutis spatium discernit nouicium, & moribus ciuilibus nondum excultum, ab eo seruo, qui iam profecit in agendis ijs, quæ ingenui faciunt: sed genus, & caussa. Nam si nouicium emam a uenaliciario, atque eum alicui ministerio præposuero; ueterator esse reperietur. nec interesse putamus, L.ult.D.de ædil.ed.

* Si pro δὴ legas ὁ δὲ, cuius in manusc. extant uestigia, diuersam habebis sententiam.

Romane sciat, necne. * *Iisdem nec ob id ueterator est, quod liberalibus studijs eruditus sit.*

Legito & lib. XXIII. tit. I. cap. XXIX. & lib. XXVI. tit. VII. cap. XLI. in quo dicitur:

Actio † fideicommissaria, & institoria, perpetua sunt; & heredibus, & in heredes cõpetũt.

SCHOLION.

† Fideicommissaria est, quę datur aduersus eũ, qui alicui iussus est hereditatem restituere.

Legito & lib. LX. tit. V. cuius I. cap. dicitur:

D. de nox. act.

Noxales actiones aduersus dominos ex seruorum maleficijs competunt, ac licet ipsis damnatis eos dedere, qui deliquerunt, & aestimationem litis euitare.

II.

Si domino sciẽte seruus occidit, dominus conuenitur, quasi qui uideatur occidisse: sin autem insciẽte, noxalis competit. quippe dominus, qui non prohibuit, tenetur: etiamsi seruus alienatus, aut manumissus fuerit. & tenetur qui deliquit, secundum regulam, qua dicitur: Noxam caput sequi. Sane si dominus iussit, ut seruus delinqueret, ipse dumtaxat suo nomine, non is qui deliquit, tenetur. Si uero seruus sciente domino furtum fecerit, uel aliã noxã cõmiserit, noxaliter conuenitur, nec suo nomine dominus, ex lege duodecim, tenetur. quasi lex in eo seruis licentiam fecerit non obtemperandi dominis, Aquilia uero parentibus ignoscat. Sed quoniam ex legibus prioribus posteriores regulantur, & Aquilia, & noxali iudicio dominus serui nomine conuenitur.

III.

In omnibus noxalibus scientiam domini dicimus, si quum posset, non prohibuit.

IIII.

Dominus quum scit, tam suo nomine, quam noxali iudicio conuenitur. una uero pœna exacta, quã actor elegerit, altera tollitur. Siue quis autẽ noxali actione conuenerit, siue altera, qua suo nomine dominus tenetur; ante sententiam quidem alterutram relinquere potest, & experiri altera: uerum post sententiam, toti negotio res iudicata obest, quae actorem excludit.

V.

Qui scit, & in solidum tenetur, & post alienationem, uel manumissionem, uel mortem serui, tenetur. non tamen & heres eius.

XIII.

Si a pluribus actione noxali ex eiusdem serui delicto conuenitur, qui prior uicerit, accipit eum: nec illis obligatus sum, qui postea uicerint,

μεθα εἰ οἶδε ῥωμαϊστὶ, ἢ μή † οὐδὲ παιδευθεὶς ἐλευθέρια σπουδάσματα, κατ᾽ αὐτὸ ἔστιν ἔμπειρός ἐστιν. † ὁ δὲ πανλ.

Ανάγνωθι καὶ βιβλίον κγ. τίτλον α. κεφάλαιον κθ. καὶ βιβλίον κς. τίτλον ζ. κεφάλαιον μα. ἐν ᾧ φησίν.

Ἡ ἀποκαταστατικὴ * ἀγωγὴ, καὶ ἡ κατὰ τῶν προεστώτων ἀγωγὴ, διηνεκεῖς εἰσιν, ἁρμόζουσι κληρονόμοις καὶ κατὰ κληρονόμων.

ΣΧΟΛΙΟΝ.

* Ἡ κινουμένη κατὰ τοῦ προσταχθέντος ἀποκαταστῆσαι τινὶ κληρονομίαν.

Ανάγνωθι καὶ βιβλίον ξ. τίτλον ε. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Αἱ νοξαλίαι κατὰ τῶν δεσποτῶν ἁρμόζουσιν ἀπὸ τῶν ἁμαρτημάτων τῶν δούλων καὶ ἔξεστιν αὐτοῖς καταδικασθεῖσιν ἐκδοῦναι τοὺς ἡμαρτηκότας, καὶ φυγεῖν τὴν ἀποτίμησιν τῆς δίκης.

β.

Εἀν εἰδότος τοῦ δεσπότου φονεύσῃ δοῦλος, ὁ δεσπότης ὡς φονεύσας δοκῶν ἐνάγεται· εἰ δὲ ἀγνοοῦντος, νοξαλία ἁρμόζει. ὁ γὰρ μὴ κωλύσας δεσπότης, ἐνέχεται, κἂν ἐκποιηθῇ ἢ ἐλευθερωθῇ ὁ δοῦλος. καὶ αὐτὸς δὲ ὁ πλημμελήσας ἐνέχεται κατὰ τὸν κανόνα τὸν λέγοντα, τὸ ἁμάρτημα τῇ κεφαλῇ ἀκολουθεῖ. εἰ δὲ ὁ δεσπότης ἐκέλευσε τῷ δούλῳ πλημμελῆσαι, αὐτὸς μόνος ἰδίῳ ὀνόματι, οὐ μὴν ὁ πλημμελήσας ἐνέχεται. εἰ δὲ δοῦλος εἰδότος τοῦ δεσπότου κλέψῃ, ἢ ἄλλό τι πλημμελήσει, νοξαλίως καὶ οὐκ ἰδίῳ ὀνόματι ὁ δεσπότης κατὰ τὸν δωδεκάδελτον ἐνάγεται: ὡς ἐπ᾽ ἐκείνου μὲν τοῦ νόμου διδόντος ἄδειαν τοῖς δούλοις μὴ πειθαρχεῖν τοῖς δεσπόταις· ἐπὶ δὲ τοῦ ἀκυϊλίου συγγινώσκοντος αὐτοῖς πειθαρχοῦσιν. ἀλλ᾽ ἐπειδὴ καὶ ἐκ τῶν πρεσβυτέρων νόμων οἱ μετέστεροι κανονίζονται, καὶ ἐπὶ τοῦ ἀκυϊλίου καὶ νοξαλίως ὁ δεσπότης ὀνόματι τοῦ δούλου ἐνάγεται.

γ.

Εν πᾶσι ταῖς νοξαλίαις εἴδησιν τοῦ δεσπότου λέγομεν, ὅτι δυνάμενος οὐ κεκώλυσε.

δ.

Ὅτι γινώσκει ὁ δεσπότης, καὶ ἰδίῳ ὀνόματι, καὶ νοξαλίως ἐνάγεται. μιᾶς δὲ ποινῆς ἀπαιτηθείσης, ἣν ἂν ὁ ἐνάγων ἐπιλέξηται, ἀναιρεῖται ἡ ἄλλη. εἴτε δὲ τὴν νοξαλίαν, εἴτε τὴν ἰδίῳ ὀνόματι κινήσει, δύναται πρὸ ψήφου μέν τοι καταλιμπάνειν αὐτὴν καὶ τὴν ἑτέραν κινεῖν: μετὰ δὲ ψῆφον, ἐπὶ τῷ παντὶ πράγματι ἀντίκειται ἡ περὶ τοῦ πράγματος κρίσις, ἥτις ἐκβάλλει τὸν ἐνάγοντα.

ε.

Ὁ γινώσκων, καὶ ὡς ὁλόκληρον ἐνάγεται: καὶ μετὰ τὸ ἐκποιηθῆναι ἢ ἐλευθερωθῆναι ἢ ἀποθανεῖν τὸν δοῦλον ἐνέχεται. οὐ μὴν ὁ κληρονόμος αὐτοῦ.

ιγ.

Εἀν παρὰ πλειόνων ἐνάγομαι νοξαλίως, προφάσει τοῦ αὐτοῦ δούλου: ὁ πρῶτος νικήσας λαμβάνει αὐτὸν, καὶ οὐχ ὑπόκειμαι τοῖς μετὰ ταῦτα † κινοῦσι, † νικῶσι.

καὶ

καὶ πρῶτοι ἐνήγαγον. εἰ δὲ ὑπὸ αἵρεσιν ἐλευθερωθησόμενος ἦν, καὶ πρὸ ψήφου τῆς αἱρέσεως ἐξελθούσης ἐλευθερώσω αὐτὸν ἢ παράσχω τῷ ληγαταρίῳ, ἐλευθεροῦμαι, ὥσπερεὶ καὶ πρὸ ψήφου ἀποκαταστατικὴν ἐλευθερίαν αὐτῷ ἐπιθήσω. ὁ δὲ δοὺς ὀφείλει περὶ ἐκνικήσεως ἀσφαλίζεσθαι ἐξ οἰκείου ἔργου συμβαινούσης.

κ.

Μὴ θέλων . . . . μὴ ποιῶν ἐνάγεται. οὐ καταδικάζεται μὲν εἰ μὴ νέμεται, ἢ δόλῳ ἐπαύσατο.

κα.

Ὁ δεσπότης ὁμολογῶν ἔχειν τὸν δοῦλον, ἢ προσαγέτω αὐτὸν, ἢ ἀπόντα διεκδικείτω. ἐπεὶ εἰς τὸ

† περιόντα. διαφέρον καταδικάζεται, ὥσπερ εἰ † παρόντα μὴ ἐκδιδοὺς αὐτόν. ἀρνουμένου δὲ δεσπότου ἔχειν τὸν δοῦλον, ἐπιτέτραπται τῷ ἐνάγοντι, ἢ ὅρκον ἐπιφέρειν, ἢ ἐνάγειν εἰς τὸ διαφέρον: καὶ ἐὰν ἀποδείξῃ αὐτὸν

† ἤγουν, ὁ. † ἢ δόλῳ παυσάμενον, νικᾷ. εἰ δὲ μὴ, ἐκπίπτει τῆς ὑποθέσεως.

κε.

Οὐ μόνος ὁ μὴ ἔχων τὸν δοῦλον οὐκ ἀναγκάζεται ἐναχθῆναι: ἀλλὰ καὶ ὁ ἔχων μὲν, παραχωρῶν δὲ τῷ ἐνάγοντι τὸ ἴδιον δίκαιον, ὥσπερ εἰ κατεδικάσθη.

κζ.

† μὴ θέλω. Ἐὰν ἡ φαμιλία μου κλέψῃ, καὶ † θέλω ἐκδοῦναι αὐτοὺς: τοσοῦτον δίδωμι, ὅσον εἷς ἐλεύθερος κλέψας: τουτέστι τὸ διπλοῦν, καὶ τὴν τοῦ πράγματος διατίμησιν.

λη.

Αἱ νοξαλίαι διηνεκεῖς εἰσὶν, καὶ χώραν ἔχουσιν, ἐφ᾽ ὅσον ὁ ἐναγόμενος ἐκδοῦναι δύναται. καὶ ἁρμόζουσι κληρονόμοις καὶ κατὰ κληρονόμων, οὐχ ὡς κληρονόμων, ἀλλ᾽ ὡς δεσποτῶν. ὅθεν μετὰ ἐκποίησιν καὶ ὁ νέος δεσπότης ἐνάγεται. ἔνθα οἱ δοῦλοι ἥμαρτον, ὀφείλουσι παρίστασθαι καὶ διεκδικεῖσθαι. καὶ μὴ διεκδικῶν ὁ δεσπότης, πάντων στερεῖται.

μβ.

Ἡ διάταξις ὁμοία τῇ β. καὶ τῇ γ. καὶ λέγει, ὅτι ὁ δεσπότης ἀγνοῶν τὸ πταῖσμα τοῦ οἰκέτου, νοξαλίως μόνον κατέχεται· εἰδὼς δὲ, ἰδίῳ ὀνόματι. ὅλον δὲ τὸ τῆς διατάξεως νόμιμον, τοιοῦτον ἐστί. ὅτι ἐὰν οἰκέτης ἀλλότριος ἁρπάσῃ, εἴσω μὲν ἐνιαυτοῦ τὸ τετραπλοῦν ζητεῖ ἡ περὶ ἁρπαγῆς πραγμάτων ἀγωγή. μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν, ἤτοι ἐφ᾽ ᾧ δοῦναι τὸν οἰκέτην εἰς νόξαν, ἢ κατέχεσθαι τὸν δεσπότην αὐτοῦ, καὶ εἰς τὸ περιελθὸν εἰς αὐτόν. εἰ δὲ συνειδότος τοῦ δεσπότου ἥρπασεν, εἰς τὸ διαφέρον ἐνέχεται ὁ δεσπότης πάντως: τουτέστιν εἰς τὸ τετραπλοῦν. εἰ δὲ τὴν σὴν γαμετὴν ἥρπασεν, κατ᾽ αὐτοῦ τοῦ οἰκέτου κίνησον τὸ δημόσιον ἔγκλημα.

quamuis priores egerint. Si uero statuliber fuerit, & ante sententiam existente condicione, manumisero eum, uel legatario dedero, liberor: quemadmodum si & ante sententiam ei fideicommissariam libertatem praestitero. Qui dedit eum, de euictione ob suum factum cötingente, alteri cauere debet.

XX.

Qui non uult . . . . si id nö faciat, tenetur. sed non condemnabitur, nisi possideat, uel dolo malo [possidere] desierit.

XXI.

Dominus qui seruum habere se confitetur, aut exhibeat eum, aut absentem defendat. ceteroqui damnatur in id quod interest, atque si praesentem noxa non dedat. Negante domino se seruum habere, actori permittitur, ut uel iusiurandum deferat, uel ad id quod interest agat. Quod si probauerit, uel eum in illius esse potestate, uel esse dolo malo desijsse, uincit: si non probauerit, caussa cadit.

XXV.

Non solum qui seruum in potestate non habet, hoc experiri iudicio non cogitur; uerum & is, qui habet ille quidem, sed ius suum actori cedit, perinde ac si damnatus esset.

XXVII.

Si familia mea furtum fecerit, nec eos noxae dedere noluero; tantum praesto, quantum si unus homo liber furtum fecisset. id est, duplum, & rei pretium.

XXXVIII.

Noxales actiones perpetuae sunt, & locum habent, quam diu reus dedendi facultatem habet. heredibus quoq; competunt, & in heredes: non illos quidem ut heredes, sed ut dominos. Vnde post alienationem nouus quoq; dominus conuenitur. Vbi serui deliquerunt, ibidem & exhiberi, & defendi debent. Quod si dominus eos nö defendat, omnes amittit.

XLII.

*Haec constitutio similis est primae ac * secundae. dicit enim, dominum ignorätem serui delictum, noxali tantum actione teneri; scientem uero, suo nomine. Totum autë constitutionis ius huiusmodi est. Si seruus alienus aliquid rapuerit, intra quidem annum actione ui bonorü raptorum ab eo quadruplü exigitur, post annum uero simplum; hoc est, ut seruus noxae dedatur, & dominus eius in id teneatur, quod ad eü peruenit. Quod si domino conscio rapuit, omnimodo conuenitur dominus in id, quod interest; hoc est, in quadruplü. Sin uxorë tuam rapuit, aduersus ipsum seruü publicä accusationë instituito.* l.4.C.eod. * scilicet supra recitatae ex Digestis.

Legito ibidem & tit. VI. cap. XXXV. & tit. XII. cap. VII. & LIII.

them. VI.

l.56.§.ult.D. de furt. *Si duo serui tui uestem & argentum meum subripuerint, & alterius nomine de ueste tecum egero; recte alterius nomine de argento agam. Adde cap. LVI. & tit. LI. & XXXI.*

Ἀνάγνωθι καὶ τίτλον ς. κεφάλαιον λε. καὶ τίτλον ιβ. κεφ. ζ. καὶ κεφάλαιον νγ.

θεμ. ς. ἐν ᾧ φησίν.

Ἐὰν δύο δοῦλοι σου ἄργυρον καὶ ἐσθῆτα μου κλέψωσι, καὶ κινήσω κατὰ σοῦ περὶ τοῦ ἑνὸς ἐπὶ τῇ ἐσθῆτι: καλῶς περὶ τοῦ ἄλλου κινῶ ἐπὶ τῷ ἀργύρῳ. καὶ κεφάλαιον νς. καὶ τίτλον να. καὶ λα.

BASILICORVM LIBER XIX.

DE EMTIONE AC VENDITIONE.

deque pactis & conuentionibus earum. & quæ res uenire non possint, aut uenire prohibeantur. item de discrimine uenditionis & locationis; & qui emere uel uendere prohibeantur.

TIT. I. CAP. I.

D. de contrah. emt. *Olim erat permutatio, rebus hinc inde traditis. Postea uero sequuta est uenditio, numis subministratis. Quippe sine numis nulla uenditio est. Item, emtio iuris gentium est. propterea consensu peragitur, etiam inter absentes, & per internuntium, & per litteras.*

II.

*Inter patrem & filium uenditio cõtrahi non potest, extra quam in re * castrensi. Item, sine † pretio uenditio nulla est.*

* quippe filius familias in castrensi peculio uicem patris familias obtinet, l.2.D.de S.c.Mac.

SCHOLION.

† Sine pretio nulla uenditio contrahitur. Pretij uero numeratio uenditionem non perficit, sed ipsa conuentio de pretio. Dicimus autem hæc de uenditione, quæ fit sine scriptura. Nam in ea, quæ scriptura conficitur, non aliter perfici uenditionem & emtionem dicimus, nisi & emtionis instrumenta conscripta fuerint, uel propria uenditoris manu, uel ab alio quidem scripta, subscripta uero a uenditore. Quod si per tabellionem scribantur; nisi & completiones subsequutæ fuerint, præmissa subscriptione, & instrumenta partibus absoluta fuerint. Etenim quamdiu quid horum deest, & pœnitentiæ locus erit, & emtor uenditorque poterunt a contractu impune recedere. sic tamen, nisi iam arræ nomine quid datum fuerit. Quippe si hoc factũ sit, siue in scriptis, siue sine scriptis perfecta fuerit uenditio: recedens a contractu, si quidem emtor sit, arras amittit: sin uenditor, duplum præstare cogitur, quamuis tale nihil in dandis arris conuenerit. Omni modo uero pretium in uenditione definiendum est. Nam nisi subsit pretium, nulla erit uenditio. Quin & certum esse pretium debet.

VI.

Pactum ab initio, mutari per posterius potest, sicut & abire prorsus ab emtione licet: nisi fuerint impleta, quæ utraq. pars præstare debet. Potest, ait, a cõtractu quis recedere per pactum posterius, quũ neutra pars sua præstitit: emtor,

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. ιθ.

ΠΕΡΙ ΑΓΟΡΑΣΕΩΣ ΚΑΙ ΠΡΑΣΕΩΣ,

καὶ τῶν περὶ αὐτὰς συναλλαγμάτων τε καὶ συμφώνων. καὶ ποῖα πράγματα οὐ δύνανται πιπράσκεσθαι ἢ τοι κεκώλυνται. καὶ περὶ διαφορᾶς πράσεως καὶ μισθώσεως: καὶ τίνες κωλύονται ἀγοράζειν ἢ πωλεῖν.

Τίτλ. α. κεφάλ. α.

Ποτὲ καταλλαγὴ ἦν πραγμάτων ἀντιδιδομένων. ὕστερον δὲ γέγονεν ἡ πρᾶσις ἀργυρίων ἐπινεμηθέντων. χωρὶς γὰρ ἀργυρίων οὐ συνίσταται πρᾶσις. καὶ ὅτι ἡ ἀγορασία τοῦ ἐθνικοῦ νόμου ἐστί: διὸ καὶ συναινέσει συνίσταται: καὶ μεταξὺ ἀπόντων, καὶ διὰ μέσου καὶ διὰ γραμμάτων.

β.

Μεταξὺ πατρὸς καὶ υἱοῦ, εἰ * μὴ ἐπὶ ἰδιοκτήτῳ πράγματι, οὐ συνίσταται πρᾶσις. καὶ ὅτι † ἄνευ τιμήματος, οὐκ ἔστι πρᾶσις.

* ἐν γὰρ καστρεσίοις ἐν τῷ ἰδιοκτήτῳ τάξιν ἔχει αὐτεξουσίου.

ΣΧΟΛΙΟΝ.

† Χωρὶς τιμήματος οὐδεμία συνίσταται πρᾶσις. ἡ δὲ τιμήματος ἀπαρίθμησις οὐ συνίστησι τὴν πρᾶσιν, ἀλλὰ τὸ περὶ τούτου σύμφωνον. τοῦτο δὲ λέγομεν ἐπὶ τῆς ἀγράφου πράσεως. ἐπὶ γὰρ τῆς ἐγγράφου, οὐχ ἑτέρως τὸ τέλος προσγίνεσθαι λέγομεν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ, εἰ μὴ καὶ τὰ συμβόλαια τῆς πράσεως συγγραφῇ, ἢ οἰκείᾳ χειρὶ τοῦ πιπράσκοντος, ἢ ὑπὸ ἑτέρου μὲν γραφῇ, ὑπογράφῃ δὲ ὁ πιπράσκων. εἰ δὲ διὰ ταβουλλαρίου γίνεται, εἰ μὴ καὶ κομπλετίονες παρακολουθήσωσιν, ὑπογραφείσης τῆς ὑπογραφῆς, καὶ ἀπολυθῇ τὰ συμβόλαια τοῖς μέρεσιν. ἐν ὅσῳ γὰρ ἐλλείπει τι τούτων, καὶ μεταμελείας χώρα γίνεται, καὶ δύναται ὁ ἀγοραστὴς ἢ ὁ πράτης ἀζημίως ἀναχωρεῖν ἀπὸ τοῦ συναλλάγματος. ἔστω μέντοι εἰ μὴ ἄρα ἤδη ἔτυχε λόγῳ ἀρραβῶνος δοθέν. τότε γὰρ γενομένης εἴτε ἐγγράφως εἴτε ἀγράφως ἡ πρᾶσις γίνεται, ὁ ἀναχωρῶν τοῦ συναλλάγματος, εἰ μὲν ἀγοραστὴς εἴη, ἀπόλλυσι τὸν ἀρραβῶνα. εἰ δὲ πράτης, τὸ διπλοῦν παρέχειν ἀναγκάζεται: εἰ καὶ μηδὲν ἐν τῷ δίδοσθαι ἀρραβῶνας, συνεφωνήθη: τίμημα μέντοι πάντως ὁρίζεσθαι χρὴ ἐπὶ τῆς πράσεως: οὐδεμία γὰρ ἔσται πρᾶσις, τιμήματος μὴ ὑποκειμένου. ἀλλὰ καὶ κἂν ὡρισμένον ὀφείλει εἶναι τὸ τίμημα.

ς.

Τὸ ἐξ ἀρχῆς σύμφωνον διὰ μεταγενεστέρου δύναται ἀμείβεσθαι: ὥσπερ καὶ ἀποαναχωρεῖν τέλεον ἔξεστιν, εἰ μὴ ἐπληρώθη ἅπερ ἕκαστον μέρος ὀφείλει ποιεῖν. δύναται φησὶν ἀποαναχωρεῖν τοῦ συναλλάγματος πάκτῳ μεταγενεστέρῳ, ἡνίκα μηδέτερον τῶν μερῶν ἐποίησε τὰ ἑαυτοῦ: ὁ μὲν ἀγο-

ἀγοράσας διδὺς τὸ τίμημα: ὁ δὲ πράτλων, μὴ παραδιδεύσας τὸ πρᾶγμα, ἣ λεγομένη RE NONDOUM SEKOUTA.

ζ.

Οἱ πωλοῦντες καὶ οἱ ἀγοράζοντες, ἐὰν διχονοῶσι περὶ τὸ τίμημα, ἢ τὸ πρᾶγμα, ἢ τὴν ὕλην, οὐκ ἔρρωται ἡ πρᾶσις. τυχὸν γὰρ ἐγὼ πέτρον ἐνόμιζον πωλεῖν, καὶ σὺ παῦλον ἀγοράζειν: ἢ χαλκὸς ἀντὶ χρυσοῦ ἐπωλεῖτο.

ΣΧΟΛΙΟΝ.

Εἰ ἀντὶ χρυσοῦ πραθῇ χαλκός, ἑκατέρου ἀγνοοῦντος: ἄκυρος ἡ πρᾶσις. εἰ δὲ ἔχει ἀπὸ χρυσοῦ ὁ χαλκός ....

Ἡ δὲ περὶ τὴν προσηγορίαν τοῦ πιπρασκομένου πλάνη, οὐ † βλέπει τὸ συνάλλαγμα. εἰ γὰρ ὄξος ἀπὸ οἴνου, οὐ μὴν † σκευαστὸν, ἀντὶ οἴνου πραθῇ, ἔρρωται ἡ πρᾶσις.

† ὁρᾶται.
† σκευαστόν.

ΣΧΟΛΙΟΝ.

Καὶ μὴν τὸ ὄξος, ἐπειδὴ κατ᾽ ἀρχὰς οἶνος ἦν, συνίσταται ἡ πρᾶξις. εἰ δὲ ἐξ ἀρχῆς ὄξος ἦν, τυχὸν ὀμφάκων ταφεισῶν, οὐκ ἰσχύει.

Καὶ ἐὰν ἧττον δόκιμος ἐστιν ὁ πραθεὶς χρυσὸς παρ᾽ ὃ ὁ ἀγοραστὴς ἤλπιζεν, ἔρρωται ἡ πρᾶσις.

ιδ.

Ἐὰν κελευσθεὶς ὁ δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθέντος ἀγροῦ, πλείονα ὑποδείξῃ, ἢ κατὰ δόλον ἢ ἄγνοιαν, οὐ προκρίνει μοι. τὸ αὐτὸ καὶ περὶ παραδόσεως νομῆς σχολαζούσης, εἰ ἐσχόλασεν ὁ δεσπότης ....

ιε.

Ὅπερ ἐπώλησα, οὐ γίνεται τοῦ λαβόντος, εἰ μὴ δοθῇ τὸ τίμημα, ἢ ἱκανοδοσία, † ἢ χάριν ἱκανοδοσίας καταπιστεύσω τῷ ἀγοραστῇ.

† ἢ χωρίς.

ΣΧΟΛΙΟΝ.

Ἡ ἄγραφος πρᾶσις συνίσταται καὶ μόνον τὸ τίμημα καταβληθῇ ἢ τὸ πρᾶγμα παραδοθῇ, ἢ ἱκανοδοσία δοθῇ, ἢ χωρὶς ἱκανοδοσίας ὅταν ὁ πράτης καταπιστεύσῃ τῷ ἀγοραστῇ. ἡ δὲ ἔγγραφος πρᾶσις οὐ συνίσταται, εἰ μὴ .... καὶ ἀπολυθῇ τὸ περὶ αὐτῆς συμβόλαιον.

ιζ.

Καὶ εἰδὼς καὶ ἀγνοῶν ἀνισχύρως ἀγοράζω τὸ ἐμόν. εἰ δὲ ἠγνόησα, καὶ τὸ τίμημα ἀπαιτῶ. εἰ μέντοι μόνην χρῆσιν εἶχον ἐν τῷ πραθέντι μοι, ἔρρωται ἡ πρᾶσις. διαγνώσει δὲ τοῦ δικαστοῦ μειοῦται τὸ τίμημα .... δεσπότῃ, ἐν μέρει ἰσχύει, καὶ ἐν μέρει οὐκ ἰσχύει.

ιη.

Τὸ † περὶ τοῦ πράτου λεγόμενον ἀσαφῶς, αὐτὸν βλάπτει. οἷον ἐπώλησά τινι ἀγρὸν εἰς λίτρας ιβ. εἰπὼν διὰ γ. ἐτῶν ἀπολαβεῖν με τὸ τοιοῦτον ποσόν. πληρωθέντος γοῦν τοῦ χρόνου, ἐζήτουν τὰς δ. λίτρας. ὁ δὲ ἔλεγε, τῶν γ. πληρωθέντων ἐτῶν, ἅπαξ ἀποδοῦναι. διὰ τὸ ἀσαφῶς εἰπεῖν γοῦν ἐν τῇ πράσει πῶς ὤφειλον λαβεῖν, βέβλαμμαι. εἰ γὰρ ἐδήλωσα τοῦτο, ἔλαβον ἂν ὡς συνεφώνησα. νυνὶ δὲ πρὸς εὐεργεσίαν ἑρμηνευθήσεται τοῦ ἀγοραστοῦ.

† πρατοῦ.

soluendo pretium; uenditor, rem tradēdo. quod quidem dicitur, RE NONDVM SEQVVTA.

VII.

Si uēditores & emtores in pretio dissentiāt, uel in re, uel in materia; uenditio non ualet. ueluti, Petrum ego me uendere putabā, tu te Paulum emere. uel as pro auro uendebatur.

SCHOLION.

Si æs pro auro uendatur, utroque ignorante, nullius est momenti uenditio. sin habet æs ex auro.........

Error autem in nomine rei uendita, contractui non nocet. Quod si acetum e uino, non facticium, pro uino ueneat; ualet uenditio.

SCHOLION.

In aceto, quoniam ab initio uinum fuit, uenditio constat. Sin acetum erat ab initio, puta, de immaturis uuis; non ualet.

Itidem si aurum uēditum fuerit minus probum, quam emtor speraret; uenditio ualet.

XIIII.

Si seruus meus a me iussus agri uenditi fines demonstrare, uel dolo uel ignoratione plus demonstrauerit: nihil mihi praiudicat. Idem de traditione possessionis uacantis, si cessauit dominus.......

XV.

Quod uendidi, non fit accipientis, nisi pretium solutum sit, uel satis eo nomine datum, uel emtori sine satisdatione fidem habuero.

SCHOLION.

Sine scriptis uenditio peragitur, quū primum pretium solutum fuerit uel res tradita, uel satis eo nomine factum, uel sine satisfactione uenditor emtori fidem habuerit. In scriptis uero celebrata uenditio non constat, nisi......... & instrumentum de ea fuerit absolutum.

XVII.

Siue sciens, siue ignorans, inutiliter quod meum est, emo. quod si ignorans emi, pretium quoq; repeto. Si tamen solum usumfructum in emta re habui, ualet contractus. Cognitione tamen iudicis pretium minuitur.............. domino, pro parte ualet, pro parte non ualet.

XVIII.

Quod obscure dicitur a uenditore, ipsi nocet. exempli gratia, uendidi alicui agrum XII. libris, & dixi, me tribus annis huiusmodi quantitatem recipere uelle. Completo igitur anno, petebam IIII. libras. ille uero respondit, se tribus annis completis totum soluturum. Quoniam ergo non perspicue dixi in uenditione, quomodo accipere debuerim; mihimet nocui. Quippe si rē aperte significassē, accepissem sicuti conuenisset. Nūc autē in emtoris utilitatē fiet interpretatio.

XXII.

XXII.

Qui a quolibet emit, quem dominũ esse putat, bona fide emit: non autem, qui emit a pupillo sine tutoris auctoritate, uel scienter falsi tutoris auctoritate.

XXIII.

Seruum distractũ peculium ipsius non sequitur. unde si quam rem peculiarem seruus subripuerit, quæ ad emtorem peruenerit: locus est actioni, qua res furtiua condicitur, & actioni ad exhibendũ, & actioni ex uendito ad pretiũ.

XXVII.

Venditoris mei possessionẽ utiliter emo ab eo, qui eã habet: & in iudicio possessionis potior esse possum. Qui emit, improbare potest. at qui sub mensura [emit], nec addere, nec demere potest. Si dixero, EST MIHI EMTVS PETRVS AVT PAVLVS, *in potestate uenditoris est, quem uelit dare, sicut in stipulationibus .... alter datur. Nam prioris periculum ad uenditorem, alterius ad emtorem respicit. quod si pariter ambo decesserint, pretium debetur.*

XXX.

Qui pretiũ quidem definiuit, sed id donationis caussa nõ est exacturus; uẽdere non uidetur.

XXXII.

Si uẽditio fiat in uniuersum donationis caussa, nõ ualet. si uero donationis gratia uiliore pretio quid uendatur, ualet. inter uirum autem & uxorem ne hoc quidem ualet, sed nullius est momenti uenditio.

SCHOLION.

Quum quis uendẽs pretium definit, donationis gratia, non uelut exacturus: uenditio non ualet, propter regulã, qua dicitur; Quum quis aliud agit, & aliud simulat, ne id quidem, quod agit, ualere uidetur.

XXXIIII.

Si quum uendidi agrum, aquam concessi: etiam iter [aquæ] debeo.

XXXV.

Quæ a uenditore dicuntur ad commendationem rerum, quæ ueneunt, si palã apparent, non obligant eum: ueluti si dicat seruum formosum, uel domum bene ædificatam. at si dixerit litteratum, uel artificem esse; talem præstare debet, ut qui hoc ipso pluris uendiderit.

XXXIX.

Nemo ex officio, quod administrat, emere quid uel per se, uel per aliũ potest. nam alioquin & rẽ amittit, & in quadruplũ conuenitur. excipiũtur autẽ, quib. hoc nominatim est concessũ.

SCHOLION.

De magistratibus emẽtibus lege librum LVII. tit I. cap XVIII. quod in tit de militib. inuenies.

κβ.

Ὁ ἐξ οἱουδήτινος ἀγοράζων, νομίζων αὐτὸν δεσπότην, καλῇ πίστει ἀγοράζει: οὐ μὴν ὁ ἀγοράζων παρὰ ἀνήβου χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου, ἢ ἐν εἰδήσει † αὐθεντίᾳ. † ἀιδέσει τῷ πλαστοῦ ἐπιτρόπου αὐθεντίᾳ.

κγ.

Οὐχ᾽ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν δοῦλος κλέψῃ τι τοῦ πεκουλίου, καὶ περιέλθῃ εἰς τὸν ἀγοραστὴν, χώρα τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ τὸ κλαπὲν πρᾶγμα, καὶ τῇ περὶ ἀποκρυβῆς ἀγωγῇ, καὶ τῇ διεκδικούσῃ τὸ τοῦ πραθέντος τίμημα.

κζ.

Τοῦ πράτου μου τὴν νομὴν ἰσχυρῶς ἀγοράζω παρὰ τοῦ ἔχοντος αὐτὴν, καὶ δύναμαι † περαγμένῳ ἐν τῇ περὶ νομῆς δίκῃ. ὁ ἀγοράζων, δύναται ἀποδοκιμάζειν. ὁ δὲ ὑπὸ μέτρον, οὔτε προστιθέναι, οὔτε ὑφαιρεῖν. ἐὰν εἴπω, ΠΕΤΡΟΣ Η ΠΑΥΛΟΣ ΕΣΤΙ ΜΟΙ ΗΓΟΡΑΣΘΕΙΣ, ὃν θέλει ὁ πράτης δίδωσιν, ὡς ἐπὶ τῶν ἐπερωτήσεων ....ὁ ἄλλος δίδοται. ὁ γὰρ πρῶτος, τῷ πράτῃ: ὁ ἄλλος τῷ ἀγορασθέντι ἐγκινδυνευέτω. εἰ μὲν οἱ δύο ἅμα τελευτήσωσι, κεχρεώσηται τὸ τίμημα. † προτιμηθῶμαι.

λ.

Ὁ τίμημα μὲν ὁρίσας, κατὰ δὲ δωρεὰν μέλλων αὐτὸ μὴ ἀπαιτεῖν, οὐ δοκεῖ πιπράσκειν.

λβ.

Εἰ μὲν εἰς τὸ παντελὲς γένηται πρᾶσις δωρεᾶς αἰτίᾳ, οὐκ ἔρρωται. εἰ δὲ δωρεᾶς αὐθεντίᾳ πραθῇ ἥττονος τιμήματος, ἰσχύει. μεταξὺ δὲ ἀνδρὸς καὶ γυναικὸς οὐδὲ οὕτω ἔρρωται: ἀλλὰ ἄκυρος ἡ πρᾶσις.

ΣΧΟΛΙΟΝ.

Ἡνίκα τις πιπράσκων ὁρίζει τίμημα δωρεᾶς χάριν, οὐχ ὡς μέλλων ἀπαιτεῖν, ἡ πρᾶσις οὐκ ἔρρωται διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτε τις ἄλλο πράττει καὶ ἄλλο τι προσποιεῖται: οὐδὲ ὃ πράττει, δοκεῖ ἐρρῶσθαι.

λδ.

Ἐὰν πωλήσας ἀγρὸν, παραχώρησα ὕδωρ, καὶ ὁδὸν χρεωστῶ.

λε.

Τὰ εἰς ἔπαινον τοῦ πιπρασκομένου λεγόμενα παρὰ τοῦ πράτου, εἰ μὲν φαίνονται, οὐκ † ἐνοχοποιοῦσιν αὐτόν: οἷον ὅτι εὐειδής ἐστιν ὁ δοῦλος ἢ καλῶς οἶκος ἔκτισται. εἰ δὲ εἴποι γεγραμματισμένον, ἢ τεχνίτην εἶναι, τοιοῦτον δίδωσιν, ὡς κατὰ τοῦτο πλέονος πωλήσας. † ἐνοχοποιοῦσιν.

λθ.

Οὐδεὶς ἐκ τοῦ παρ᾽ αὐτοῦ χειριζομένου ὀφφικίου ἀγοράζειν τι δύναται διὰ ἑτέρου ἢ δι᾽ ἑαυτοῦ. ἐπεὶ καὶ τοῦ πράγματος ἐκπίπτει, καὶ εἰς τὸ τετραπλοῦν ἐνάγεται. ὑπεξαιροῦνται δὲ οἱ ῥητῶς ἐπιτετραμμένοι.

ΣΧΟΛΙΟΝ.

Περὶ ἀρχόντων ἀγοραζόντων ἀνάγνωθι βιβλίον νζ. τίτλον α. κεφάλαιον ιη. ὅπερ εὑρήσεις ἐν τῷ περὶ στρατιωτῶν.

να.

Ὁ πράττων ὀφφίκιον † ἐπαρχίᾳ ἢ στρατευόμενος, οὐ δύναται ἀκίνητον ἀγοράζειν ἐν αὐτῇ, εἰ μὴ πατρῷον παρὰ τοῦ δημοσίου.

νδ.

Συνεφώνησα τόσους κεράμους ποιῆσαι τοῦ νομίσματος. εἰ μὲν σή ἐστιν ἡ ὕλη, ἐξ ἧς γίνονται, πρᾶσίς ἐστιν. εἰ δὲ ἐγὼ δέδωκα αὐτὴν, μίσθωσίς ἐστιν. ἐπὶ μὲν γὰρ τῆς πράσεως, ἡ δεσποτεία τῆς ὕλης ἀμείβεται· ἐπὶ δὲ τῆς μισθώσεως, τοῦ αὐτοῦ μένει.

ξε.

Ὁ ἀγοραστὴς τοῖς δικαίοις τοῦ πράτου κέχρηται, καὶ τῇ νομῇ αὐτοῦ πρὸς τὴν τοῦ μακροῦ χρόνου παραγραφήν.

οα.

Μηδεὶς καπηλευέτω ἢ πιπρασκέτω πορφύραν, μήτε ἐν μετάξῃ, μήτε ἐν ἐρίῳ. ὁ δὲ πωλήσας, καὶ δημεύεται, καὶ κεφαλικῶς τιμωρεῖται. ὁμοίως δὲ καὶ ὁ ἀγοράσας σῖτον ἐκ τοῦ δημοσίου κανόνος ἢ πωλήσας, κεφαλικῶς τιμωρεῖται.

ογ.

Μηδεὶς εἰς τὸ βαρβαρικὸν ἀπαγέτω οἶνον ἢ ἔλαιον ἢ γάρον: μήτε τοῦ γεύσασθαι ἕνεκεν, μηδὲ ἐπὶ τῇ χρήσει αὐτῶν τῶν ἐμπόρων. μήτε δὲ ὅπλα ἢ σίδηρον πιπρασκέτω. ὁ δὲ παρὰ ταῦτα ποιήσας τι, δημευέσθω, καὶ κεφαλικῇ ὑποκείσθω τιμωρίᾳ.

οε.

Εἴ τις διὰ τὴν πολλὴν πενίαν, καὶ τὴν ἔνδειαν, τῆς τροφῆς ἕνεκεν, τὸν υἱὸν ἢ τὴν θυγατέρα πωλήσει, ἔρρωται ἡ πρᾶσις. ἐπὶ † τούτων δὲ μόνον ἔρρωται, ἐφ' ᾧ τὸν ἀγοράσαντα μὴ ἄλλως ἀναγκάζεσθαι ἀποδοῦναι ταῦτα τὰ πρόσωπα, ἐὰν μὴ ἢ τὸ τίμημα λάβῃ, ὅσον εἰσὶν ἄξια νῦν: ἢ ἀνδράποδον αὐτοῖς ὅμοιον. ἐξέστω γὰρ αὐτῷ τῷ πεπρακότι, ἢ τῷ πραθέντι, ἢ † ἐστι οἱῳδήποτε ἑτέρῳ εἰς τὴν ἰδίαν εὐγένειαν αὐτὸν ἐπαναλαβεῖν· μόνον ἐὰν ἢ τὸ τίμημα προσφέρῃ, ὅσον ἰσχύει νῦν ὁ πράτης, ἢ ἀνδράποδον ὑπὲρ τούτου παράσχῃ. εἰ γὰρ καὶ πένης ἦν, † εἶχε δὲ τὸν τρέφοντα αὐτὸν ὡς διὰ τὸ εὐσεβὲς, οὐ καλῶς πέπρακεν. ἡ γὰρ διάταξις φησὶν ὡς εἰ μὴ πάντα δράμωσιν, οὐκ ἔρρωται ἡ πρᾶσις.

Ἀνάγνωθι καὶ βιβλίον ι. τίτλον β. κεφάλαιον λγ. ἐν ᾧ φησί.

Παλαιῶν νόμων κωλυόντων τοὺς ἄρχοντας ἀγοράζειν τι παρὰ τῶν ἰδίων ἐπαρχιωτῶν: καὶ διατάξεως τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν τοῦτον τὸν νόμον ἀνανεωσάσης, τῆς ἀναλεγμένης ἐν τῷ α. βιβλίῳ τοῦ κώδικος: ἡ προκειμένη διάταξις γενικώτερον νομοθετεῖ, ἵνα κἂν ταξεώτης, ἢ ἄλλος τις, οἱονδήποτε μεταχειρίζων ὀφφίκιον: ἀγοράσῃ πρᾶγμα ἐν ἐκείνῃ τῇ ἐπαρχίᾳ, ἢ τῷ τόπῳ, ἐν ᾧ χειρίζει τὸ ὀφφίκιον τοῦ πεπρακότος εὐλαβηθέντος αὐτὸν: καὶ διὰ τοῦτο πωλήσαντος, ἵνα καὶ τὸ ἀγορασθὲν ἀναδίδωται πρᾶγμα: καὶ τὸ τίμημα κερδαίνῃ ὁ πεπρακώς.

LI.

Qui officium gerit in prouincia, uel militat, rem immobilem in ea coparare non potest; praeterquam paterna a fisco.

LIIII.

Conuenit mihi tecum, ut certum mihi numerum tegularũ certo pretio faceres. siquidem materia tua est, ex qua fiunt, uenditio est: sin ego eam dedi, conductio est. Nam in uenditione dominium materiae immutatur, in conductione uero eiusdem manet.

LXV.

Emtor iuribus uenditoris utitur, itidemque possessione ipsius, ad longi tẽporis praescriptionẽ.

LXXI.

Nemo cauponetur aut distrahat purpuram uel in serico, uel in lana. Qui uero distraxerit, & proscribitur, & capitaliter punitur. Similiter & is, qui ex canone publico frumentum emerit aut uendiderit, capitaliter punitur. l.1.C. quae res uenire non poss.

LXXIII.

Nemo ad barbaricum trãsferat uinum, uel oleum, uel garum, ne gustandi quidem caussa, nec ad usum ipsorum mercatorum. Nemo item arma, uel ferrum [barbaris] uendat. Qui cõtra fecerit, proscribitor, & capitali supplicio multator. C. quae res export. non deb.

LXXV.

Si quis propter magnam paupertatem & egestatem, uictus caussa filium uel filiam uendiderit; ualet contractus, sed in hoc tantummodo ualet, ut emtor non aliter eas personas reddere cogatur, nisi uel pretium, quanti digna sunt in praesenti: uel mancipium eis simile receperit. Nam & uenditori liceat, & uendito, & cuilibet alij ad ingenuitatem eum propriam repetere, modo si uel pretium offerat, quanti uenditus est in praesenti; uel mancipium pro eo praestet. Quamuis enim pauper esset, nec haberet, qui uelut ex pia caussa eum aleret; non recte tamen uendebat. Ait enim constitutio, nisi cõcurrant omnia, uenditionem non ualere. l.2.C. de patr. qui fil. s. distr.

Legito & lib. X tit. II. cap. XXXIII. in quo dicitur:

Quum priscae leges prohibeant, ne magistratus quid emant a suis prouincialibus, & constitutio pijssimi principis nostri, quae legitur in primo libro Codicis; eamdem hanc legem renouarit: haec praesens constitutio generalius sancit, ut siue officialis, siue quis alius, quodcumq. gerens officiũ, rem in ea prouincia uel loco emerit, quo in loco fungitur officio, uenditore ipsum uerito, & propterea uendente: tam res emta restituatur, quam pretium uenditori lucro cedat. Intelligit l. un. C. de contrac. iudic. l. u. C. de his quae ui metusue.

Legito

Legito & tit. III. cap. XXXVI. in quo dicitur:

l. 37. D. de do. ma. *Venditor ex ijs, quæ commendationis rei uenditæ caussa dicit, non obligatur: nisi decipiendi emtoris caussa dixerit. Tunc enim actio de dolo competit.*

Legito & tit. IIII. cap. XVI. them. IIII. in quo dicitur:

l. 16. §. penult. D. de minor. *In emtione ac uenditione naturaliter contrahentibus in pretio se circumuenire licet.*

Legito & lib. LVI. tit. II. cap. XLI. in quo dicitur:

l. 46. §. quod a præside. D. de iu. fisc. *Si præses prouinciæ, uel alius eam administrãs, aliquid in ea comparauerit, licet per subiectam personam; emtione facta irrita, res uindicatur, & pretium fisco infertur. quippe prouinciam administranti ne nauim quidem ædificare in ea licet.*

Legito & lib. LX. tit. XLVIII. cap. I. in quo dicitur:

l. 2. D. de l. Fab. de plag. *Potest dominus absentem seruum uendere, sed non fugitiuum. Recte tamen mandat fugitiuum requiri, & emtum haberi, & alij uendi. nam qui fugam seruorum suorum uendunt, in legem incidunt.*

Et cap. X.

l. 6. C. eod. *Seruum fugitiuum nec uendere, nec donare, nec emere licet. Vnde qui horum quid facit, in legem de plagiarijs incidit, excepto coherede .... Nam hi in diuisione cõmunium rerum necesse habent etiam de fugitiuo seruo pacisci, cuius sit. Potest & ita uenditio sub condicione fieri, exempli gratia, si repertus fuerit, emtus esto tibi tot numis. Legito & titulum XVI. huius XIX. libri, quo de * tutore & curatore tractatur.*

SCHOLION.

* Posse scilicet eos uendere res suas, quamuis obligatæ sint pupillo. Sed quia tacitam hypothecam habent ij, qui sub tutoribus & curatoribus sunt, suo nomine, id est, cum onere hypothecæ, quã habet tacite pupillus & minor aduersus uendentem tutorem uel curatorem, & uendunt & oppignerant res suas tam tutores, quam curatores.

DE DIRVENTIBVS AEDIFICIA.

Tit. eiusd. cap. XLII.

l. 52. D. de contrah. emt. *Non permittitur, ut quis suam alienamue domũ, aut uillam diruat, uel plus lucrandi, uel negotiandi caussa. nam quod ad personam uenditoris attinet, irrita fit uenditio: emtor uero pretium duplum ærario infert, & a uenditore pretium repetit, si quidem solutum fuit.*

Legito & lib. LVIII. tit. X. cap. LXX. in quo dicitur:

Ἀνάγνωθι καὶ τίτλον γ. κεφάλ. λϛ. ἐν ᾧ φησίν.

Ὁ πράτης ἐφ᾽ οἷς λέγει πρὸς ἔπαινον τοῦ πιπρασκομένου, οὐκ ἐνέχεται: εἰ μὴ ἀπάτη τοῦ ἀγοραστοῦ εἶπεν τί ποτε· γὰρ ἡ περὶ δόλου ἁρμόζει.

Ἀνάγνωθι καὶ τίτλον δ. κεφάλαιον ιϛ. θέμα. δ. ἐν ᾧ φησίν.

Ἐπὶ τῆς πράσεως καὶ τῆς ἀγορασίας, ἔξεστι κατὰ φύσιν ἀλλήλους ἐν τῷ τιμήματι περιγράφειν τοὺς συναλλάσσοντας.

Ἀνάγνωθι καὶ βιβλίον νϛ. τίτλον β. κεφάλαιον μα. ἐν ᾧ φησίν.

Ἐὰν ἄρχων ἐπαρχίας, ἢ † ἄλλως διοικῶν αὐτὴν, ἀγοράσῃ τι ἐν αὐτῇ, κἂν διὰ μέσου: τῆς πράσεως ἀκυρουμένης ἐκδικεῖται τὸ πρᾶγμα. καὶ ἡ τιμὴ τῷ δημοσίῳ εἰσκομίζεται. τῷ δὲ διοικοῦντι, οὐδὲ πλοῖον ἔξεστιν ἐν αὐτῇ κατασκευάζειν. † ἄλλος.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον μη. κεφάλαιον α. ἐν ᾧ φησίν.

Δύναται τὸν ἀπόντα δοῦλον πωλεῖν ὁ δεσπότης, οὐ μὴν τὸν φυγάδα. καλῶς δὲ ἐντέλλεταί τινι ζητῆσαι τὸν φυγάδα, καὶ ἔχειν ἠγορασμένον, καὶ ἑτέρῳ πωλῆσαι. οἱ γὰρ τὴν φυγὴν τῶν ἰδίων δούλων πωλοῦντες, ὑπόκεινται τῷ νόμῳ.

Καὶ ἐν τῷ ι. κεφ.

Ὅτι τὸν μὲν ἐν φυγῇ δοῦλον, οὔτε πωλεῖν δύναταί τις, οὔτε δωρεῖσθαι, οὔτε ἀγοράζειν. ἀλλ᾽ ὁ ἕν ἐκ τούτων ποιήσας, ὑπόκειται τῷ νόμῳ τῷ περὶ ἀνδραποδισμοῦ: ὑπεξῃρημένου συγκληρονόμου .... οὗτοι γὰρ ἐν τῷ διαιρεῖσθαι τὰ ἐπίκοινα πράγματα, ἀνάγκην ἔχουσι καὶ περὶ τοῦ ὄντος ἐν φυγῇ οἰκέτου συμφωνεῖν: ὥστε τοῦδε αὐτὸν εἶναι. δύναται δὲ οὕτως πρᾶσιν συμφωνηθῆναι, ὑπὸ αἵρεσιν τυχόν: ὅτι ἐὰν εὑρεθῇ, πιπράσκω σοι αὐτὸν τόσων ἢ νομισμάτων. ἀνάγνωθι καὶ τίτλον ιϛ. τοῦ ιθ. τούτου βιβλίου. ἐν ᾧ φησὶ περὶ * ἐπιτρόπου καὶ κουράτορος.

ΣΧΟΛΙΟΝ.

* Ὅτι δύνανται πιπράσκειν τὰ προσόντα αὐτοῖς πράγματα, καὶ τὰ μάλιστα κατεχόμενα χρεωστεῖσθαι τῷ ἀνήβῳ. ἀλλ᾽ ἐπειδὴ σιωπηρὰν ὑποθήκην ἔχουσιν οἱ ἐπιτροπευόμενοι καὶ κουρατευόμενοι, ἰδίῳ ὀνόματι (τουτέστι μετὰ τοῦ βάρους τῆς ὑποθήκης ἣν ἔχει σιωπηρὰν ὁ ἄνηβος καὶ ὁ ἀφῆλιξ κατὰ τοῦ πράτου ἐπιτρόπου καὶ κουράτορος) καὶ πιπράσκουσι καὶ ὑποτίθενται τὰ προσόντα αὐτοῖς πράγματα, καὶ οἱ ἐπίτροποι καὶ οἱ κουράτορες.

ΠΕΡΙ ΚΑΤΑΛΥΟΝΤΩΝ ΟΙΚΟΥΣ.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. μβ.

Οὐκ ἐφεῖται ἴδιον ἢ ἀλλότριον οἶκον, ἢ ἐποίκιον καταλῦσαι, ἐπὶ τῷ πλέον κερδαίνειν, ἢ ἐπὶ τῷ πραγματεύσασθαι, ἐπεὶ ἄκυρος μὲν ἡ πρᾶσις, ὡς πρόσωπον τοῦ πράτου: ὁ δὲ ἀγοραστὴς, διπλοῦν δίδωσι τὸ τίμημα τῷ δημοσίῳ: καὶ ἀναλαμβάνει τὸ τίμημα παρὰ τοῦ πράτου, ἐὰν ἔτυχεν αὐτὸ δεδωκώς.

Ἀνάγνωθι καὶ βιβλίον νη. τίτλον ι. κεφάλαιον ο. ἐν ᾧ φησίν.

Ἐὰν

† καὶ δ. Ἐὰν τις δὲ ἐμπορείαν οἶκον ἢ μέρος αὐτοῦ καταλύσῃ, καὶ αὐτὸς † ὁ ἀγοραστὴς ἕκαστος, αὐτῶν τὸ τίμημα τῷ δημοσίῳ δίδωσιν. εἰς μέντοι τὸ δημόσιον ἔργον μάρμαρα καὶ κίονες νομίμως μεταφέρονται.

Ἀνάγνωθι καὶ τίτλον ια. κεφάλ. β. ἐν ᾧ φησίν.

Πραγματείας χάριν, οὐκ ὤφελον τὰ οἰκήματα καταστρέφεσθαι, καὶ τὰ μάρμαρα ἀποσπᾶσθαι. ἀπὸ οἴκου μέντοι εἰς ἕτερον οἶκον μεταφέρειν ἔξεστιν, ἐν ᾧ μὴ σῶός ἐστιν: ἐπεὶ κεκώλυται διὰ τὴν εὐκοσμίαν τῆς πόλεως καὶ τὴν πρόσοψιν. καὶ κεφάλαιον ϛ. καὶ ζ.

ΠΕΡῚ ἈΓΟΡΑΣΊΑΣ ΚΑῚ ΠΡΆσεως εἰκονικῆς.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. με.

* ὁ ἐν ἀνυπο-μένατος. Ὅτι: εἰκονικὴ * πρᾶσις, οὐδέν: ὅτι δοκεῖ ἐκποιεῖσθαι τὸ πρᾶγμα.

Ἀνάγνωθι καὶ βιβλίον ια. τίτλ. β. κεφ. κθ. καὶ βιβλίον νβ. τίτλον α. κεφάλ. νγ. ὅπερ εἴρηται ἐν τῷ περὶ ἐνοχῶν.

ΠΕΡῚ ΕὐΝΟΎΧΩΝ, ΚΑῚ ΠΕΡῚ τοῦ μὴ εὐνουχίζεσθαι ῥωμαῖον.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. οδ. θεμ. β.

Ἡ διάταξις κελεύει, ὥς τι μηδένα ῥωμαῖον εὐνουχίζεσθαι, μηδὲ ἔξω τοῦ ῥωμαϊκοῦ ἐδάφους: μηδὲ ἀγοράζειν μηδένα τῶν εὐνουχισθέντων ῥωμαίων: ἀλλὰ καὶ τὸν εὐνουχίσαντα καὶ αὐτὸν τὸν ἀγοράσαντα, καὶ τὸν συμβολαιογράφον τὸν συγγράψαντα τοιοῦτον συμβόλαιον καὶ τὸν τελώνην τὸν κομισάμενον τέλος τι ὑπὲρ τούτου, τιμωρεῖσθαι. τὰ δὲ βάρβαρα ἀνδράποδα τὰ εὐνουχιζόμενα ἔξω τοῦ ῥωμαϊκοῦ ἐδάφους, ἐξέστω πᾶσι τοῖς ἐμπόροις, καὶ ἀγοράζειν καὶ πιπράσκειν.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον γ. κεφάλαιον κϛ. ἐν ᾧ φησίν.

Ὁ εὐνουχίσας παῖδα, καὶ ποιήσας τιμιώτερον, τῇ περὶ ὕβρεως ἀγωγῇ ὑπόκειται, καὶ τῷ παραγγέλματι τῶν ἀγορανόμων εἰς τὸ τετραπλοῦν.

Ἀνάγνωθι καὶ βιβλίον λγ. τίτλον α. κεφάλαιον νβ. ἐν ᾧ φησίν.

Ὁ εὐνοῦχος, ὄνομά ἐστι γενικόν· τέμνεται δὲ εἰς τρία. οἱ μὲν γὰρ αὐτῶν εἰσὶ σπάδωνες, οἱ δὲ καστράτοι, οἱ δὲ θλιβίαι. καὶ σπάδωνες, οἵ τινες διά τι πάθος ἢ ψύξιν ἐνοχλήσασαν τοῖς γονίμοις μορίοις, παιδοποιεῖν κωλύονται: τούτου δὲ ἀπαλλαγέντες παιδοποιοῦσι. θλιβίαι δὲ οἵ τινες ὑπὸ τῆς τροφοῦ ἢ τῆς μητρὸς τυχὸν ἐκθλιβῆναι τῶν διδύμων ὑπέστησαν. καστράτοι δέ εἰσιν ἐφ' ὧν γέγονεν ἐκτομὴ τῶν γεννητικῶν μορίων. καὶ ὅτι ὁ μὲν καστράτος καὶ ὁ θλιβίας, εἰς θέσιν τινὰ οὐ λαμβάνουσιν. ἐπειδὴ οὐδὲ παιδοποιεῖν δύνανται. ὁ δὲ σπάδων λαμβάνει: ἐπειδὴ τοῦτον ἐλπὶς † εἰκὸς τοῦ πάθους ἀπαλλαγέντα δύνασθαι παιδοποιεῖν. († καὶ ἀνάγ.)

Si quis negotiandi caussa domum, partemue domus demolitus fuerit; tam ipse, quam emtor singuli pretium fisco praestant. Marmora tamen & columnæ ad opus publicum licite transferuntur. l.ult.D.de dam.inf.

Legito & tit. XI. cap. II. ubi dicitur:

Negotiãdi caussa non debent ædificia dirui, & marmora detrahi. De domo tamen in aliam domum transferre licet, quum integra non est. nam [alioqui] prohibitum est, propter ornatum & adspectũ urbis. Adde cap. VI. & VII. l.2.C.de ædif. priu.

DE EMTIONE AC VENDITIONE imaginaria.

Tit. eiusdem cap. XLV.

*Imaginaria * uenditio pro non facta est, nec res alienari uidetur.* l.55.D.de contrah.emt. *id est, quæ fit sine pretio.

Coniunge librum XI. tit. II. cap. XXIX. Item lib. LII. tit. I. cap. LIII. quod indicatum est in tit. de obligationibus.

DE EVNVCHIS, ET DE EO, quod hominem Romanum castrare non liceat.

Tit. eiusd. cap. LXXIIII. them. II.

Constitutio iubet, ut ne quisquam Romanus castretur, ne quidem extra solum Romanum; neue quis ullum Romanum castratum emat: sed tam is qui castrauit, quam qui emit, cum ipso tabellione, qui eiusmodi conscripsit instrumentum, & publicano, qui uectigal pro eo recepit, puniantur. Barbara uero mãcipia, quæ extra solum Romanum castrata sunt, cunctis negotiatoribus emendi uendendiq; facultas esto. l.2.C.de eunuch.

Legito & lib. LX. tit. III. cap. XXVI. in quo dicitur:

Qui puerum castrauerit, & pretiosiorem fecerit, iniuriarum tenetur, & edicto ædilium in quadruplum. l.27.§.17.D. ad l. Aquil.

Legito & lib. XXXIII. tit. I. cap. LII. in quo dicitur:

Eunuchus generale nomen est, ac in tres species diuiditur. Nam quidam eorum sunt spadones, quidam castrati, quidam thlibiæ. Spadones sunt, qui propter aliquem morbum, uel frigiditatem, genitalibus membris noxiam, quo minus liberos procreent, impediuntur. Thlibiæ uero, quibus a nutrice uel matre forte sunt extriti testes. Castrati autem, quibus exsecta sunt membra genitalia. Item castratus & thlibias neminem adoptant, quum nec gignere possint. Spado autem adoptat. quippe spes est, & consentaneum, posse hunc morbo liberatum liberos procreare. Theophil. in Instit. tit. de adopt. l. spadonum. D. de uerb. sign.

SCHOLION.

Legenda & CXLII. nouella, in qua dicitur: Si quidem uiri sunt, qui aliquem castrauerunt, idem & ipsi patiantur, quod fecerunt; & fisco bonis eorum addictis, in gypsum mittantur, ubi degant, quamdiu supersunt. Sin mulieres fuerint, & ipsæ puniantur, ac bonis fisco addictis, in exsilium mittātur. Ipsi uero castrati, si serui fuerint, libertatem consequuntur. Sciendum est autem, hoc caput & in Basilicis esse positum.

DE REBVS VENDITIS ET EMTORI traditis, deque harum exceptione. Item de ijs, quę uendi mandata sunt.

Tit. II. cap. I.

l.1.§.2.D.de excepti.rei uend. *Si res mea uendita fuerit minoris, quam ipse mandaram; uendita non uidetur, & mihi petenti eam non obstat exceptio.*

Et III. cap.

*Quamuis emtor re sibi non tradita, possessionem sine * uitio nactus fuerit; habet exceptionem contra uenditorem. nisi forte uenditor † iustam caussam habet, cur rem uindicet. quippe si iusta caussa subsit, & post traditionem uindicat, & exceptioni replicationem opponit.*

* id est, non ui aut clam.

SCHOLION.

† puta, si conuenerit, ut a cōtractu recederent: uel si XXV. annis minor fuit uēditor, aut circumscriptus est.

DE EMTIONE AC VENDITIONE ea lege contracta, uti subsequuta licitatione siue auctione pretij, intra diem, de quo in contrahenda uenditione conuenit, uenditio rescindatur.

Tit eiusd. cap. III.

l.4.§.3.D.de in diem addic. *Melior condicio fit & in maiori quantitate, & maturiore uel faciliore solutione, & opportuniore loco, & emtore locupletiore; uel si condicione leuiori ematur, uel si a uenditore nec satisda tio, nec cetera, quæ grauia in uenditione priori erant, exigantur; tametsi pretium minus detur. nam quæ uenditori conducunt, meliorem ipsius condicionem faciunt.*

Et cap. X.

Emtor posterior rem solam, non fructus accipit. Nec enim propterea, quod priori pretium refundit, uenditoris condicio melior fieri uidetur, si fructus ipse lucraturus sit.

Legito & lib. XV. tit. I. cap. XL. Et reperies de his clarius in sequenti de licitatione titulo.

DE LICITATIONE.

Tit. eiusd. cap. IIII.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ ρμβ. νεαράν. φησὶ γὰρ ὡς εἰ μὲν ἄνδρες εἶεν οἱ εὐνουχίσαντες, ταυτὸ τοῦτο παθεῖν, ὃ πεποιήκασι: καὶ τὰ πράγματα αὐτῶν δημοσίῳ προσκυροῦσθαι, πέμπεσθαι ἐν γύψῳ οἰκήσοντας, καὶ ἐκεῖ μέχρι περιῶσιν. εἰ δὲ γυναῖκες ὦσι, καὶ αὐτὰς τιμωρεῖσθαι, καὶ τὰ πράγματα αὐτῶν τῷ δημοσίῳ προσκυροῦσθαι, καὶ ἐν ἐξορίᾳ πέμπεσθαι. τοὺς δὲ εὐνουχισθέντας, εἰ δοῦλοι εἶεν, ἐλευθερίας τυγχάνειν. ἰστέον δὲ, ὅτι τὸ κεφάλαιον τοῦτο κεῖται ἐν τοῖς βασιλικοῖς.

ΠΕΡῚ ἈΓΟΡΑΣΘΈΝΤΩΝ ΠΡΑγμάτων καὶ παραδοθέντων τῷ ἀγοραστῇ: καὶ περὶ τῆς τούτων παραγραφῆς. καὶ περὶ ἐνταλθέντων πραθῆναι.

Τίτλ. β. κεφ. α.

Ἐὰν ἧττονος ὑπὲρ ἐνετειλάμην πραθῇ τὸ πρᾶγμά μου, οὐ δοκεῖ πεπρᾶσθαι. καὶ οὐκ ἀντίκειταί μοι παραγραφὴ ἀπαιτοῦντι αὐτό.

Ἐν δὲ τῷ γ. κεφαλαίῳ.

Εἰ καὶ μὴ παρεδόθη τῷ ἀγοραστῇ τὸ πρᾶγμα: δράξεται δὲ τῆς νομῆς αὐτοῦ * ἄνευ αἰτίας, ἔχει κατὰ τοῦ πράτου τὴν παραγραφήν, εἰ μὴ † εὔλογον αἰτίαν ὁ πράτης ἔχει, δι' ἣν ἐκδικεῖ τὸ πρᾶγμα. εὐλόγου γὰρ ὑπούσης αἰτίας, καὶ μετὰ τὸ παραδοῦναι ἐκδικεῖ: καὶ ἀντιτίθησι τῇ παραγραφῇ ἀντιπαραγραφήν.

* τουτέστι, μὴ βίᾳ καὶ λάθρα.

ΣΧΟΛΙΟΝ.

† οἷον ὡς συνέθεντο τοῦ αὐτοὺς ἀναχωρεῖν τοῦ συναλλάγματος ἢ καὶ ἐλάττων ἦν τῶν κε. ἐνιαυτῶν ὁ πωλήσας ἢ περιεγράφη.

ΠΕΡῚ ἈΓΟΡΑΣΊΑΣ ΚΑῚ ΠΡΆσεως ἐπὶ ὅρῳ γινομένης, ὥς ἵνα γινομένου ὑπερθεματισμοῦ ἤτοι ἐπαυξήσεως τοῦ τιμήματος, εἴσω τοῦ δόξαντος ἐν τῷ συμφώνῳ τῆς πράσεως ὅρου, ἀναλύηται ἡ πρᾶσις.

Τοῦ αὐτοῦ τίτλ. κεφ. γ.

Κρείττων ἡ αἵρεσις γίνεται, καὶ ἐν πλείονι ποσῷ: καὶ ἐν ταχυτέρᾳ ἢ εὐχερεστέρᾳ καταβολῇ: καὶ ἐν τόπῳ ἐπιτηδειοτέρῳ, καὶ ἐν εὐπορωτέρῳ ἀγοραστῇ: καὶ ἐν τῷ ἀγοράσαι ἐπὶ ἐλαφροτέρᾳ αἱρέσει: καὶ ἐν τῷ μὴ ἀπαιτῆσαι τὸν πράτην ἱκανοδοσίαν: καὶ τὰ λοιπὰ ὅσα ἦν ἐν τῇ πρώτῃ πράσει βαρέα: κἂν ἧττον τίμημα δίδωσι. τὰ γὰρ λυσιτελοῦντα τῷ πράτῃ, κρείττονα ποιεῖ τὴν αἵρεσιν αὐτοῦ.

Ἐν δὲ τῷ ι. κεφαλαίῳ.

Ὅτι ὁ δεύτερος ἀγοραστής, μόνον τὸ πρᾶγμα, καὶ οὐ τοὺς καρποὺς λαμβάνει. οὐ παρὰ τοῦτο γὰρ ἐὰν τῷ αὐτῷ πρώτῳ δίδωσι τίμημα, δοκεῖ γίνεσθαι κρείττων ἡ αἵρεσις τοῦ πράτου, ὡς αὐτοῦ μέλλοντος κερδαίνειν τοὺς καρπούς.

Ἀνάγνωθι καὶ βιβλίον ιε. τίτλον α. κεφάλαιον μ. περὶ τούτων δὲ εὑρήσεις σαφέστερον ἐν τῷ περὶ ὑπερθεματισμοῦ τίτλῳ.

ΠΕΡῚ ΥΠΕΡΘΕΜΑΤΙΣΜΟΥ.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. δ.

Ἔξεστι

Ἔξεστι τῷ πράτῃ γινομένης τῆς αἱρέσεως αὐτοῦ κρείττονος, * προσκυροῦν δευτέρῳ, εἰ μὴ πλέον ὁ πρῶτος ὑπερθεματίζει.

ΣΧΟΛΙΟΝ.

* Δηλονότι ἢ συμφωνήσαντα ἀναλύειν τὴν πρᾶσιν ἐπὶ αἱρέσεως αὐτῷ κρείττονος γινομένης. εἰ γὰρ μὴ τοῦτο συμφωνήσῃ, οὐ δύναται προσκυροῦν τῷ ὑπερθεματίζοντι, εἰ μὴ θέλει ὁ πρῶτος ἀγοραστὴς ἀναγκάζεσθαι δοῦναι τὴν ἴσην τῷ ὑπὲρ τὸ διπλοῦν ὑπερθεματίζοντι, ὡς ἔξεστι καταμαθεῖν ἐν τῷ ι. τίτλῳ κεφάλ. νη. καὶ ξδ. τοῦ αὐτοῦ ιθ. βιβλ.

Ἐν δὲ τῷ η. κεφάλ.

Δυνατὸν καὶ ἐπὶ τῷ ὑπερθεματίζοντι συμφωνεῖν τῆς ἡμέρας ὡρισμένην ἔκβασιν: ὥστε ἀφαιρεθῆναι αὐτοῦ τὸ πραθὲν, ἄλλου ὑπερθεματίζοντος: καὶ τοῦτο ἐπὶ τρίτου ἀγοραστοῦ.

ια.

Ἐὰν ἐκ καινῆς πρᾶγμα προστεθῇ τῷ ὑπερθεματίζοντι, ἄξιον ὂν τῆς παρ' αὐτοῦ γινομένης προσθήκης, ἡ πρώτη πρᾶσις οὐ † βούλεται. ὥσπερ ὅτι ὑπερθέσεως ἐπὶ τῇ καταβολῇ δοθείσης, τοσοῦτος ἠδύνατο ληφθῆναι τόκος, ὅσον ἐστὶν ἡ γινομένη προσθήκη.

† λύεται.

Ἀνάγνωθι καὶ τίτλον ι. κεφάλαιον νη. ἐν ᾧ φησίν.

Ἐάν τις τὸ ἴδιον πρᾶγμα ἐλαχίστου τιμήματος πωλήσῃ, δύναται τὸ τίμημα ἀναδοὺς λαμβάνειν τὸ ἴδιον πρᾶγμα. ἐλάχιστον δὲ τίμημά ἐστι τὸ μηδὲ εἰς ἡμίσειαν διατίμησιν ἀναφερόμενον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λεῖπον τῷ δικαίῳ τιμήματι δοῦναι, ἔχειν αὐτὸν τὸ † πεπραγμένον πρᾶγμα. τὸ αὐτὸ δὲ δίκαιον καὶ ἐπὶ τοῖς παισὶ τοῦ πράτου προβαινέτω.

† πεπραμένον.

Καὶ κεφάλ. ξβ. καὶ ξδ.

Ὅτι οὐκ ἀρκεῖ πρὸς ἀπόδειξιν δόλου τὸ λέγειν πλείονος ἄξιον εἶναι τὸ πρᾶγμα. ἔξεστι γὰρ ἐν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ, περιγράφειν, εἰ μὴ ἄρα τὸ ἔλαττον τοῦ ἡμίσεως μέρους τοῦ δικαίου τιμήματος δέδωκεν ὁ πράτης, τῆς ἐπιλογῆς τῆς ἤδη παρασχεθείσης τῷ ἀγοραστῇ φυλαττομένης.

ΠΕΡῚ ἈΓΟΡΑΣΊΑΣ ΚΑῚ ΠΡΆσεως ἐπὶ ὅρῳ γινομένης, ἵνα εἰ μὴ ἐντὸς τῆς ὡρισμένης προθεσμίας καταβληθῇ τὸ τίμημα, ἀναλύηται.

Τίτλ. γ. κεφάλ. α.

Τὸ εἰπεῖν, ἘᾺΝ ΕἼΣΩ ΤΗ͂ΣΔΕ ΤΗ͂Σ ΠΡΟΘΕΣΜΊΑΣ ΜῊ ΚΑΤΑΒΆΛΗΣ ΤῸ ΤΊΜΗΜΑ, ἈΝΑΓΌΡΑΣΤΟΣ ἘΣΤῚΝ Ὁ ἈΓΡῸΣ: ὑπὲρ τοῦ πράτου ἐστί. καὶ δύναται αὐτῷ μὴ χρήσασθαι, μήτε τὴν πρᾶσιν ἀναλύειν. οὐ γὰρ ἄκων κέχρηται τῷ † προστεθέντι ὅρῳ. ἐν δὲ τῷ μεταξὺ τῷ ἀγοραστῇ κινδυνεύεται τὸ πραθέν.

† προστεθέντι.

ΠΕΡῚ ἈΓΩΓΗ͂Σ Ἢ ΚΛΗΡΟΝΟμίας ἢ γραμματείου ἀγορασθέντος.

Τίτλ. δ. κεφάλ. † α.

† ια.

*Licet uenditori, meliore adlata condicione, * addicere posteriori: nisi prior plus adyciat.* l.7.D.de in diem addic.

SCHOLION.

* Si uidelicet pactus sit, ut uenditio rescindatur, meliore ipsi condicione allata. Nam nisi hoc paciscatur, non potest ei addicere, qui plus adijcit, si prior emtor nolit ei par pretium dare, qui supra duplum in licitatione adijcit, quemadmodũ licet intelligere de tit. X. cap. LVIII. & LXIV. huius ipsius XIX. libri.

Et cap. VIII.

Potest & illi, qui plus adijcit, rursus in diem quis addicere: ut adimatur scilicet ei res uendita, si alius adyciat, idque ad tertium usque emtorem.

XI.

Si de nouo res accesserit ei, qui plus adycit, quae res non minoris sit, quam id quod ab ipso adiectum est; prior uenditio non rescinditur. quemadmodum & die longiore prety soluendi concesso, non tanta capi usura poterit, quanti est facta accessio.

Legito & tit. X. cap. LVIII. in quo dicitur:

Si quis rem suam minimo pretio distraxerit, potest restituto pretio rem suam recipere. Minimum uero pretium est, quod nec dimidiam aestimationem aequat. Sin emtor maluerit id quod iusto pretio deest, praestare; rem uenditam retinebit. Idem ius & in liberis uenditoris procedat. l.2.C.de rescind.uend.

Item cap. LXII. & LXIIII.

Non sufficit ad arguendum dolum, dicere, rem maioris esse prety. Nam in emtione ac uenditione circumscribere licet, nisi minus dimidia parte iusti prety dederit uẽditor, electione iam emtori praestita seruanda.

DE EMTIONE AC VENDITIONE ea lege facta, ut nisi pretium intra certum diem solutum fuerit, contractus rescindatur.

Tit. III. cap. I.

Haec uerba, SI INTRA HVNC DIEM PRETIVM NON SOLVERIS, FVNDVS INEMTVS SIT, *pro uenditore sunt, cui ea lege non uti liberum est, nec uenditionem rescindere. Non enim inuitus legem adiectam exercet. Interea uero res uendita periculo emtoris est.* l.1.& 2.D.de leg.commiss.

DE ACTIONE, VEL HEREditate, uel nomine uendito.

Colonus ante quinquennium expulsus, statim totius quinquennij nomine agit: etsi reliquis annis eum fundi dominus frui patiatur. quippe si aliam in coloniam se contulit, nec duabus sufficit: ipse quidem non soluit pensionem, & quod interest sua, consequitur. quod si paucis diebus prohibitus est, neq. damnum passus est: non releuatur. Ex conducto agitur & quum locator non praestat ea, quae conuenerant: ac uel ipse colonum frui prohibet, uel alius, quem locator prohibere potest.

XXIIII.

Qui fundum uel habitationem alicui locauit, si eam uendat, cum emtore pacisci debet, ut locationem seruet. alioquin conductores prohibiti, cum eo ex conducto agunt.

XXV.

Coloni culpa est, si propter inimicitias eius uicinus arbores exciderit. ipse uero si exciderit, nō solum ex locato tenetur, sed etiam arborum furtim caesarum actione, & interdicto quod ui aut clam.

XXVI.

Qui pecunia conduxit, damnum immodicum, quod fructibus accidit ex diuina quam uocant ira, non agnoscit; sed modicum. partiarius uero colonus, quasi iure societatis, & damnum & lucrum cum fundi domino partitur.

XXXIII.

Si balneum conducam, ut anno toto lauer, idq. tertio mense comburatur: residui temporis mercedem repeto. Si quis iumentum conduxerit ad certum onus gestandum, idque imposito grauiori pondere laesum fuerit; ex locato cum eo quidem agitur, qui damnum dedit, Aquilia uero locus est in eum dūtaxat, qui iumentū egit.

XXXVIII.

Qui operas suas locauit, si per eum non stetit, quo minus eas praestaret; totius temporis mercedem accipit. Aduocatus quoq., si per eum non stetit, quo minus caussā agat, mercedē non reddit.

XL.

Qui pro alicuius rei custodia mercedem accepit, is huius periculum custodiae praestat: excepto damno ab alio dato, nisi custodiri potuit. quod si & custos ipse damnum dedit, tenetur.

XLV.

Qui rem mobilem uel se mouentem conduxerit, nec eam restituerit; quāti in litem iuratum fuerit, tenetur.

LII.

Si conductor sine caussa fundū ante finitum tempus deseruerit, totius temporis pensionem soluit, quatenus locatoris interest.

LIX.

Si colonus citra legem locationis conserendo, maiorem fundo reditum adquisierit; expensas consequitur, uel ea cum pensione compēsantur.

νθ.

Ἐὰν χωρὶς συμφώνου φυτεύσας ὁ μισθωτὸς πλείονα περιποιήσῃ πρόσοδον, λαμβάνει τὰς δαπάνας, ἢ συλλογίζεται εἰς τὸ μίσθωμα.

LXVI.

L.6.C.eod. *Nemo prohibetur fundum, quem fruendum conduxit, rursus alij locare.*

ξς.

Οὐδεὶς κεκώλυται τὸν ἀγρὸν, ὃν ἐπὶ τῷ καρπώσασθαι ἐμισθώσατο, πάλιν καὶ αὐτὸς ἄλλῳ μεταμισθῶσαι.

LXVII.

Qui conduxit ad certum tempus, eoque temporis expleto spatio permanserit; uidetur & in alium annum cōducere. Verum fideiussor ipsius eo, quod remissum sit tempus conductionis, non amplius adstringitur; nisi de integro cōduxerit.

ξζ.

Ὁ μισθωσάμενος ἐπί τινα χρόνον, καὶ μετὰ τὴν τοῦ χρόνου συμπλήρωσιν ἐπιμείνας, δοκεῖ καὶ ἄλλον ἐνιαυτὸν ἐπιμισθοῦσθαι. ὁ δὲ ἐγγυητὴς αὐτοῦ τῷ συγχωρηθῆναι τὸν χρόνον τῆς μισθώσεως, οὐκέτι κατέχεται, εἰ μὴ ἀνωθεν μισθώσηται.

LXVIII.

Vult hæc constitutio, sterilitatem quæ uitio cœli accidat, non esse periculo coloni, sed domini: nisi aliud conuenerit, uel mos regionis id postulet. Ad priorum quidem annorum ubertates sterilitatem, quæ accidit, repensari conuenit; atque ita in subleuando residuo damno post fertiles annos coloni rationem haberi.

ξη.

Ἡ διάταξις βούλεται τὴν ἀπὸ τοῦ οὐρανοῦ γινομένην ἀφορίαν, μὴ τῷ μισθωτῷ κινδυνεύεσθαι, ἀλλὰ τῷ δεσπότῃ: εἰ μὴ τὸ ἐναντίον συμπεφώνηται, ἢ τὸ ἔθος τοῦ κλίματος οὕτω βούλεται. χρὴ μέν τοι πρὸς τὰς γινομένας ἤδη εὐφορίας τὴν συμβᾶσαν ἀφορίαν ἀναλογισθῆναι, καὶ οὕτως ἐπικουφισθῆναι τὸν μισθωτὸν μετὰ τὰς εὐφορίας τὴν ἀπομένουσαν βλάβην.

LXIX.

Si quis fundum uendiderit, in quo colonum habet; emtor colono permittere non cogitur, ut in fundo maneat, nisi ea lege emit.

ξθ.

Ἐάν τις πωλήσῃ ἀγρὸν ἔχων ἐν αὐτῷ μισθωτὸν, οὐκ ἀναγκάζεται ὁ ἀγοραστὴς συγχωρῆσαι τῷ μισθωτῷ μένειν ἐν τῷ ἀγρῷ, εἰ μὴ ἄρα ἐπὶ τοιούτῳ συμφώνῳ ἠγόρασεν.

LXXV.

Quamdiu tempus conductionis durat, canonem dominus augere nequit, aut colonū expellere. Verum exacto tempore, potest hoc facere, nisi uel nominatim, uel tacite locatio redintegrata sit.

οε.

Ἐφ᾽ ὅσον ὁ τῆς μισθώσεως παρεκτείνεται χρόνος, οὐ δύναται ὁ δεσπότης † ἀξῆσαι τὸν κανόνα, ἢ ἐκβάλλειν τὸν μισθωσάμενον. τοῦ δὲ χρόνου παραδραμόντος, δύναται τοῦτο ποιεῖν, εἰ μὴ ἄρα ἀνενεώθη ἡ μίσθωσις ἢ ῥητῶς ἢ σιωπηρῶς. † αὐξῆσαι

LXXXI.

Non potest aliquis propterea dumtaxat expellere conductorem, quod alius uenerit, qui maiorem pensionem præstaturum se polliceatur.

πα.

Οὐ δύναταί τις διὰ τοῦτο μόνον ἐκβάλλειν τὸν μισθωσάμενον, ὅτι ἦλθεν ἕτερος πλείονα μισθὸν ἐπαγγελλόμενος παρασχεῖν.

XC.

Miles neque conductor, neque procurator, neque fideiussor, neque mandator conductoris fieri potest: ne & ipse circa hæc occupetur, ac uicinis ob cinguli priuilegium grauis existat.

ϟ.

Στρατιώτης οὔτε μισθωτὸς, οὔτε διοικητὴς, οὐδὲ ἐγγυητὴς, ἢ μανδάτωρ μισθωτοῦ δύναται γενέσθαι, ἵνα μὴ καὶ αὐτὸς ἀπασχόληται περὶ ταῦτα, καὶ βαρὺς ἔσται τοῖς γειτνιῶσιν ἐκ τοῦ τῆς ζώνης προνομίου.

XCII.

Quando tam rem, quam æstimationem rei conductor præstet. *Qui rem conduxerunt, & post finitum conductionis tempus eam non restituunt ante condemnationem, sed usque ad definitiuam sententiam exspectant: & rem ipsam reddant, & æstimationem præterea rei præstent.*

ϟβ.

Οἱ μισθωσάμενοι πρᾶγμα, καὶ μετὰ τὴν συμπλήρωσιν τῆς μισθώσεως μὴ ἀποκαθιστῶντες πρὸ καταδίκης, ἀλλ᾽ ἀναμένοντες ἄχρι αὐτοτελοῦς ἀποφάσεως: καὶ τὸ πρᾶγμα ἀποδιδότωσαν, καὶ καταβαλλέτωσαν ἔξωθεν τὴν τοῦ πράγματος διατίμησιν. πότε ὁ μισθωτὴς καὶ τὸ πρᾶγμα δίδωσι καὶ τὴν αὐτοῦ διατίμησιν.

XCIII.

Hactenus desiderata Lib. C. h. t. *Hæc constitutio permittit utrique, tam locatori quam conductori, ut liceat intra annum conductionem soluere, tam in Italia, quam in omnibus prouincijs, ac ne pœnam quidem uelut ex transgressione præstare: nisi contractus initio specialiter huic legi maledixerint, aut citra scripturam renuntiarint.*

ϟγ.

Ἑκατέρῳ ἡ διάταξις ἐπιτρέπει, καὶ τῷ μισθώσαντι καὶ τῷ μισθωσαμένῳ ἐξεῖναι ἐντὸς ἐνιαυτοῦ λύειν τὴν μίσθωσιν, καὶ ἐν Ἰταλίᾳ καὶ ἐν πάσαις ταῖς ἐπαρχίαις: καὶ μηδὲ διδόναι πρόστιμον ὡς ἐκ παραβασίας, εἰ μὴ ἐν ἀρχῇ τοῦ συναλλάγματος ἀπετάξαντο ἰδικῶς τῷ τοιούτῳ συμφώνῳ, ἢ ἀγράφως ἀπεῖπον.

Ἀνάγνω-

Ἀνάγνωθι καὶ βιβλίον κε. τίτλον β. κεφάλαιον λγ. καὶ κεφάλαιον ξα. ἐν ᾧ φησίν.

Τὰ εἰσαχθέντα πράγματα ὑπὸ τοῦ μισθωσαμένου ὑπόκειντας, οὐ μόνον ἐν ἑκατέρᾳ ῥώμῃ, ἀλλὰ καὶ ἐν πάσαις ταῖς ἐπαρχίαις τὰ αὐτὰ κρατεῖν βουλόμεθα.

Ἀνάγνωθι καὶ βιβλ. λ. τίτλ. α. κεφάλαιον μγ. καὶ βιβλίον νε. τίτλον η. καὶ θ. ἐν οἷς φησὶ περὶ πατριμοναλίων μισθωτῶν.

Ἀνάγνωθι καὶ βιβ. νϛ. τίτ. α. κεφάλαιον η. θεμ. γ. καὶ βιβ. νη. τίτ. ιη. ἐν ᾧ φησὶ περὶ ὑπερώου κειμένου ἐν τῷ μισθωθέντι ἐδάφει.

ΠΕΡΙ ἘΝΟΙ͂ΚΩΝ.

Τοῦ αὐτοῦ τίτλ. κεφ. νδ.

Τῶν ἐνοίκων ἐπὶ πολλῶν χρόνων, τουτέστιν ἐπὶ διετίαν μὴ φαινομένων, μήτε τὰ ἐνοίκια καταπιθέντων: ἔξεστιν οἷς διαφέρει, ἀνοίγειν, καὶ παρόντων δημοσίων προσώπων, ἀπογράφεσθαι ἐκεῖ ὄντα.

ξγ.

Ὡραῖον λέγει νόμιμον ἡ διάταξις, ὅτι ὁ ἔνοικος ἐφ' ὅσον δίδωσι τὸ μίσθωμα, οὐκ ἐκβάλλεται παρὰ τοῦ δεσπότου: εἰ μὴ ἄρα ἢ εἰς ἰδίαν χρείαν ἀναγκαίαν δέεται τοῦ οἴκου, ἢ ἐπισκευάσαι βούλεται, ἢ ἔνοικος κακῶς αὐτῷ κέχρηται.

ξε.

Πάντα ὅσα οἱ μισθωταὶ εἰσάγουσιν εἰς τὸν οἶκον τοῦ μισθωθέντος αὐτοῖς ἀγροῦ, βουλομένου τοῦ δεσπότου, ὑπόκειντας ταῦτα ἐπὶ τῷ μισθώματι ἐπὶ δὲ οἴκου μισθωθέντος, καὶ ἀγνοοῦντος τοῦ δεσπότου εἴ τινα εἰσενεχθῶσιν, ὑπόκειντας.

Ἀνάγνωθι καὶ βιβλίον κε. τίτ. γ. οὗ τινος ἐν τῷ β. κεφαλαίῳ φησίν.

Τὰ εἰσφερόμενα εἰς τὸν οἶκον πάντα τὰ πράγματα τοῦ ἐνοίκου, ὑπόκεινται οὐ μόνον ἐπὶ τοῖς ἐνοικίοις, ἀλλὰ καὶ ἐφ' οἷς τὸν οἶκον κατὰ ῥᾳθυμίαν ἔβλαψε: περὶ ὧν καὶ ἐπὶ τῇ μισθώσει ἀγωγῇ ὑπόκειται. ὁμοίως ἐν τῷ δ. κεφαλαίῳ φησίν. ἀνάγνωθι καὶ τίτλον ε. κεφάλαιον θ. θεμ. β.

Ἀνάγνωθι καὶ βιβ. ξ. τίτ. ιθ. ἐν ᾧ διαλαμβάνεται

ΠΕΡΙ ΤΩ͂Ν ΚΩΛΥΟΜΈΝΩΝ ΜΕΤΟΙΚΗ͂ΣΑΙ. οὗ τινος ἐν τῷ β. κεφ. φησίν.

Εἰ συμφωνήσει ὁ ἔνοικος πρὸ ῥητοῦ χρόνου μὴ ἀναχωρεῖν, καὶ δοὺς ὑπὲρ μέρος, θελήσει μετοικῆσαι: οὐ κινεῖ τὸ νόμιμον παράγγελμα, εἰ μὴ τὸ πᾶν δῷ. εἰς ὅλον γὰρ τὸν χρόνον ὑπόκεινται τὰ ἐνέχυρα. καὶ εἰ μὴ ἐλευθερωθῶσιν, οὐ κινεῖται τὸ νόμιμον παράγγελμα. περὶ τούτων δὲ πλ[illegible]τερον εὑρήσεις ἐν τῷ περὶ μισθώσεως καὶ ἐκμισθώσεως τίτλῳ.

ΠΕΡΙ ἘΜΦΥΤΕΥ͂ΣΕΩΝ.

Τιτλ. β. κεφ. α.

Ἡ διάταξις λέγει ἵνα μήτε μισθώσεως, μήτε ἐκποιήσεως εἶδός ἐστιν ἡ ἐμφύτευσις † ἀλλ' ἰδικὰ νόμιμα ἔχει. καὶ εἰ μὲν βλάβη γένηται κατὰ παντὸς τοῦ πράγματος, τῷ δεσπότῃ τοῦ πράγματος κινδυ-

† ἀλλ' ἰδικὰ νόμιμα.

Legito & lib. XXV. tit. II. cap. XXXIII. & cap. LXI. cuius uerba sunt:

Obligata sunt res inuectæ a conductore, idque non solum in utraque Roma; uerumetiam in omnibus prouinciys obtinere uolumus. l.7.C.in quib. cauf.pig.

Legito & lib. XXX. tit. I. cap. XLIII. & lib. LV. tit. VIII. & IX. in quibus tractatur de patrimonialibus colonis.

Legito & lib. LVI. tit. I. cap. VIII. them. III. & lib. LVIII. tit. XVIII. ubi dicitur de pergula in solo conducto sita.

DE INQVILINIS.

Tit. eod. cap. LIIII.

Inquilinis diu, id est, biennio non apparentibus, neque pensionem soluentibus; licet ys, quorum interest, aperire; publicisque personis præsentibus ea, quæ ibi sunt, describere. l.56.D.loc.

LXIII.

Pulcrũ ius constitutio recitat, uidelicet quod inquilinus, quamdiu pensionem soluit, a domino non expellatur: nisi uel ad proprium usum, eumque necessarium, domo egeat; uel eam reficere uelit; uel inquilinus ea male sit usus. l.3.C.eod.

LXV.

Omnia quæcumque coloni, domino uolente, in locati fundi domum inducũt, pignoris nomine sunt obligata. Quin & si qua domino ignorante illata sunt in domum conductam, pignoris iure tenentur.

Legito & lib. XXV. tit. III. cuius II. cap. dicitur:

Omnes res inquilini, quæ inferuntur in domum, obligatæ sunt non solum pro pensionibus: sed etiam illorũ nomine, quibus habitationem culpa sua deteriorem fecit. ob quæ & ex locato actione tenetur. Similiter in cap. IIII, dicit. Legito & tit. V. cap. IX. them. II. l.2.D.in quib. cauf.pig.

Item lege lib. LX. tit. XIX. in quo tractatur

DE HIS QVI MIGRARE PROHIBENTVR. Eius II. cap. dicitur:

Si conuenerit inquilinus, ut ante certũ tempus non migraret, & soluta pensione pro parte migrare uelit: non aget interdicto, nisi totã soluerit. quippe in uniuersum tẽpus obligata sunt pignora, quæ nisi liberata fuerint, non agitur interdicto. De his autem latius dicitur in titulo de locatione & conductione. l.1.§ si pensio. D.de migran.

DE EMPHYTEVSIBVS.

Tit. II. cap. I.

Hæc constitutio tradit, emphyteusim nec conductionem esse, nec alienationem; sed ius habere proprium. Ac si quidem totius rei clades emerserit, domino rei periculum imputari, l.1.C.de iu. emph.

sicut in uenditione fiat. Sin particulare damnũ accidat, id emphyteuticarij periculo fieri, sicut in locatione. Sic autem a nobis hæc dicuntur, si conuentiones aliæ speciales de rei damno non interuenerint.

II.

Iubet hæc constitutio, ut si quidem pactiones factæ sint, & de ceteris emphyteuseos capitulis, & de reiectione illius, qui emphyteusim suscepit; eadem tam in alijs capitibus, quam in emphyteutæ reiectione seruentur. Sin de alijs quidem capitibus quædam pactiones factæ sint, at nihil de eo sit dictum, quo pacto emphyteutam reijcere oporteat: tum si per triennium nec emphyteuticũ canonem emphyteuta soluerit, nec publicorum [tributorum] apochas domino reddiderit, nulla meliorationis uel emponematum, quæ dicũtur, ratione habita, sed ea modis omnibus amittens, repellatur. neq. proferre ad defensionem sui poterit, quod uerbi gratia propter emphyteuma non fuerit inquietatus. Nam hoc ipsum uoluntate spõtanea, non ex inquietatione præstitum oportuit.

IIII. & V.

Nouel. 7. cap. 3. § 1 fin. autem. *In rebus ecclesiasticis & religiosarum domuum, quum biennio cõstitutum canonem emphyteuta non soluerit, emphyteusin amittit: in ceteris, per triennium. Iisdem supra dictum est in titulo de conductionibus.*

DE PERMVTATIONE, QVIDque differat a uenditione permutatio.

Tit. III. cap. III.

Si quis accepta re, rem aliã eius loco præstet, puta si uestem accipiat, reddat seruum; non omnino permutatio est: sed hoc etiam quæri debet, an is qui uestem habet, eam uendere uoluerit; & qui seruum habet, uestem emere cupiuerit, quumque de pretio conuenirent, pretij loco rẽ tradi placuerit: an uero nec ab initio de uenditione cogitarint, sed res permutare uoluerint.

Cap. IIII.

L. 2. C. de rer. permut. *Permutatio bona fide contracta, uenditioni & emtioni adsimilatur.*

BASILICORVM

LIBER XXI.

DE TESTIBVS TAM EXISTImationis honestæ, quam infamibus.

TIT. I. CAP. I.

D. de testib. *Testes esse fide dignos oportet atq. tam in pecuniarijs, quam criminalibus [causis] adhiberi*

γνέσθαι ὡς ἐπὶ πράσεως. ἐὰν δὲ μερικὴ γένηται ἡ βλάβη, τῷ ἐμφυτευσαμένῳ † διαφέρει, ὡς ἐπὶ μισθώσεως. ταῦτα δὲ λέγομεν, εἰ μὴ ἄλλα σύμφωνα ἰδικὰ ἐγένοντο περὶ τῆς ἐν τῷ πράγματι βλάβης. † *periculum est.*

β.

Ἡ διάταξις κελεύει: εἰ μὲν σύμφωνα γεγένασι καὶ περὶ τῶν ἄλλων τῆς ἐμφυτεύσεως κεφαλαίων, καὶ περὶ ἀποβολῆς τοῦ ἐμφυτευσαμένου, ταῦτα κρατεῖν καὶ ἐπὶ τοῖς ἄλλοις κεφαλαίοις, καὶ ἐπὶ τῆς τοῦ ἐμφυτευτοῦ ἀποβολῆς. ἐὰν δὲ περὶ μὲν τῶν ἄλλων κεφαλαίων τινὰ συνεφωνήθη: οὐδὲν δὲ ἐρρήθη περὶ τοῦ πῶς δεῖ τὸν ἐμφυτευτὴν ἀποβληθῆναι: τότε ἐὰν τρεῖς ἐνιαυτοὺς, μηδὲ ὁ ἐμφυτευτὴς καταβάλῃ τὸν ἐμφυτευτικὸν κανόνα: μήτε τὰς τῶν δημοσίων ἀποχὰς ἐνέγκῃ τῷ δεσπότῃ, ἐκβάλλεσθαι αὐτὸν μηδένα λόγον ἔχοντα περὶ τῆς βελτιώσεως, ἤτοι τῶν λεγομένων ἐμπονημάτων· ἀλλὰ πᾶσι τρόποις ταῦτα ζημιούμενον, καὶ μὴ δυνάμενον προφέρειν εἰς δικαιολογίαν, ὅτι τυχὸν οὐκ ὠχλήθη περὶ τοῦ ἐμφυτεύματος. δεῖ γὰρ αὐτὸν ἑκουσίως, ἀλλὰ μὴ μετὰ ὀχλήσεως τοῦτο καταβάλλειν.

δ. καὶ ε.

Ὅτι ἐπὶ μὲν τῶν ἐκκλησιαστικῶν καὶ εὐαγῶν οἴκων ἐπὶ διετίαν μὴ καταβάλῃ ὁ ἐμφυτευτὴς τὸν συμφωνηθέντα κανόνα, ἐκπίπτει τῆς ἐμφυτεύσεως. ἐπὶ δὲ τῶν ἄλλων ἐὰν ἐπὶ τριετίαν. ὁμοίως καὶ ἐν τῷ περὶ ἐκλήψεων προείρηται.

ΠΕΡῚ ἈΝΤΑΛΛΑΓΗ͂Σ, ΚΑῚ ΤΊ διαφέρει ἀνταλλαγὴ πράσεως.

Τίτλ. γ. κεφάλ. γ.

Ἐάν τις πρᾶγμα λαβὼν, ἕτερον πρᾶγμα ἀντ' αὐτοῦ παράσχῃ, τυχὸν λαβὼν ἐσθῆτα, δέδωκεν οἰκέτην, οὐ πάντως ἀνταλλαγή ἐστιν. ἀλλὰ δεῖ ζητεῖν ἡμᾶς κἀκεῖνο: ἆρα μήτι ὁ τὴν ἐσθῆτα ἔχων πωλῆσαι αὐτὴν ἐβούλετο, καὶ ὁ τὸν οἰκέτην ἔχων ἀγοράσαι ταύτην ἐπεζήτει. καὶ ἐν τῷ συμφωνεῖν τὰ περὶ τοῦ τιμήματος, συνέδοξεν ἀντὶ τοῦ τιμήματος δοθῆναι τὸ πρᾶγμα: ἢ μήτι αὐτοὶ ἐξ ἀρχῆς οὐδὲ εἰς ἔννοιαν πράσεως ἦλθον, ἀλλ' ἐναλλάξαι τὰ πράγματα ἠβουλήθησαν.

Ἐν δὲ τῷ δ. κεφαλαίῳ.

Ἡ ἐναλλαγὴ καλῇ πίστει οὖσα, ἔοικε τῇ πράσει καὶ τῇ ἀγορασίᾳ.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. ΚΑ.

ΠΕΡῚ ΜΑΡΤΎΡΩΝ, ΚΑῚ ΕΥ'Τελήπτων καὶ ἀτίμων.

Τίτλ. α. κεφάλ. α.

Ἀξιοπίστους εἶναι δεῖ τοὺς μάρτυρας. καὶ παρέχονται καὶ ἐπὶ χρηματικοῖς καὶ ἐγκληματικοῖς, εἰ μὴ

οἱ μὴ κεκωλυμένοι ὑπὸ νόμου ἢ ἐξκουσατευόμενοι. εἰ δὲ πλείονος ἀριθμοῦ μαρτύρων ὁ νόμος μνημονεύσει, τοὺς ἀρκοῦντας ὅμως οἱ δικασταὶ παραδεχέσθωσαν, ἵνα μὴ τῇ τῶν πλειόνων ἀγωγῇ σκύλλωνται.

tur, quibus a lege non interdictũ est, & qui non excusantur. Quamquam maioris testium numeri lex mentionem fecerit, tamen iudices tot admittunto, quot sufficiunt; ne ob plurium productionem [homines] uexentur.

γ.

Ἐπὶ ἑκάστου μάρτυρος ὀφείλει ζητεῖσθαι πρότερον, ἄρχων ἢ ἰδιώτης ἐστὶ, τίμιος καὶ ἄμεμπτος, ἢ ἄτιμος καὶ ἐπίψογος, εὔπορος ἢ ἐνδεὴς, ὥστε διὰ κέρδος τι πλημμελῆσαι· φίλος τοῦ παράγοντος, ἢ ἐχθρὸς τοῦ καθ' οὗ παρέρχεται. ὅταν γὰρ ὑποψίας ἐστέρηται, μαρτυρεῖ. τὰ δὲ περὶ τούτου διακρίνει ὁ δικαστὴς, καὶ εἰ ἁπλῶς μαρτυροῦσιν, ἢ μίαν μεμελετημένην ὁμιλίαν προσφέρουσι· καὶ εἰ πρὸς τὰς πεύσεις πιθανῶς ἀποκρίνονται. καὶ ποῖα τεκμήρια ὀφείλει προσδέχεσθαι, καὶ τὸ μέτρον τῆς ἀποδείξεως ἑκάστου πράγματος. εἰ καὶ μὴ πάντοτε, ἀλλ' οὖν ὡς ἐπὶ τὸ πλεῖστον, καὶ χωρὶς δημοσίων ὑπομνημάτων ἡ ἀλήθεια δείκνυται, ποτὲ μὲν διὰ τοῦ ἀριθμοῦ τῶν μαρτύρων, ποτὲ δὲ διὰ τῆς ἀξίας καὶ αὐθεντίας, ἄλλοτε διὰ τῆς συμφώνου φήμης. καὶ ἁπλῶς, τῆς τοῦ δικαστοῦ γνώμης ἤρτηται πιστεῦσαι καὶ μή. τοῖς μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον. αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκλημάτων· καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν, ἐξορίζεται. ἄλλη οὖν ἐστιν ἡ αὐθεντία τῶν παρόντων μαρτύρων, καὶ ἄλλη ἡ τῶν ἀναγινωσκομένων ἐκμαρτυρίων. ὁ οὖν θέλων ἐπισχεῖν τοὺς μάρτυρας, δαπάνας αὐτοῖς διδότω.

III.

In quolibet teste primum explorandum est, magistratus an plebeius sit; honestus & inculpatus, an notatus & reprahensibilis; locuples an egẽs, ut lucri caussa quid admittat; amicus producentis, an inimicus ei, cõtra quem uenit. quippe si suspicione careat, ad dicẽdum testimonium admittitur. Hæc autẽ discernit is, qui iudicat; & an simpliciter testimonium dicãt, an unum meditatum sermonem adferant, an ad ea, quæ interrogantur, uerisimiliter respondeant. Quæ argumenta, quem modum probandæ cuiusq; rei debeat admittere. Si non semper, ut plurimum tamen etiam sine publicis monumentis ueritas deprahenditur, alias ex numero testiũ, alias ex dignitate ac auctoritate, alias ex fama consentiente. Denique simpliciter ex iudicis sententia pendet, quid credat, aut non credat. Testibus, non testimonijs credendum est. Nam de criminibus in persona propria interrogantur a iudicibus, & qui non probat quod intenderat, relegatur. Igitur alia est auctoritas præsentium testium, alia testimoniorum, quæ recitantur. ac propterea qui testes detinere uult, det eis impendia.

δ.

Περὶ βίας οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ· οὔτε ἄνηβος, οὔτε ὁ δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς, καὶ μὴ ἀποκαταστάς· ἢ ἐν δεσμοῖς, ἢ δημοσίᾳ φρουρᾷ βληθείς· οὔτε ὁ πρὸς τὸ θηριομαχῆσαι μισθώσας ἑαυτὸν, οὔτε ἡ φανερῶς πόρον ποιουμένη ἢ ποιησαμένη ἐκ τοῦ σώματος· οὔτε ὁ ἐλεγχθεὶς ἢ καταδικασθεὶς λαβεῖν χρήματα ἐπὶ τῷ μαρτυρῆσαι, ἢ μὴ μαρτυρῆσαι. ἄκων οὐδεὶς μαρτυρεῖ ἐπὶ ἐγκληματικοῦ δικαστηρίου κατὰ τοῦ ἰδίου πενθεροῦ, ἢ γαμβροῦ, ἢ πατρωοῦ, ἢ προγόνου, ἢ ἀνεψιοῦ, ἢ ἀνεψιᾶς, ἢ τῶν ἐξ αὐτῶν τεχθέντων, ἢ τῶν ἐνδοτέρου βαθμοῦ ὄντων· οὔτε κατὰ πάτρωνος ἢ πατρωνίσσης, ἢ παίδων αὐτοῦ, ἢ γονέων αὐτοῦ, ἢ γυναικὸς τοῦ πάτρωνος, ἢ ἀνδρὸς πατρωνίσσης· οὔτε πάτρων ἢ πατρώνισσα, κατὰ ἀπελευθέρου.

IIII.

De ui non dicit testimonium libertus in patronum, uel filium eius; nec impubes, nec qui iudicio publico damnatus est, ac necdum in integrum restitutus; nec qui in uinculis, custodiaue publica est; nec qui se locauit, ut cum bestijs pugnaret; nec quæ palam corpore quæstum facit, aut fecit; nec qui ob testimonium dicendum, uel non dicẽdum, pecuniam accepisse conuictus est, aut condemnatus. Inuitus nemo testimonium in criminali iudicio dicit aduersus socerum suũ, uel generum, uel uitricum, uel priuignum, uel sobrinum, uel sobrinam, uel ex his natos, uel eos qui gradu interiore sunt. Nec item aduersus patronum, uel patronam, uel liberos eius, uel parentes, uel uxorem patroni, uel patronæ maritum: neue patronus, aut patrona, aduersus libertum.

ϛ.

Οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος παρ' ἐμοῦ ἐπὶ τῷ μαρτυρῆσαι.

VI.

Non uidetur esse testis fide dignus, cui potest a me imperari, ut testimonium dicat.

η.

Ὁ υἱὸς πατρὶ, ἢ πατὴρ υἱῷ οὐ μαρτυρεῖ· οὔτε οἱοσδήποτε ἐν ἰδίῳ πράγματι.

VIII.

Non filius patri, uel pater filio testis est; nec in re sua quisquam.

X.

Vbi numerus testium non adijcitur, duo sufficiunt. nam pluralis significatio duorum numerum continet.

XIII.

Repetundarum damnatus nec in testamento, nec alias ad testimonium adhibetur.

XIIII.

Qui falso, uel in quo sibi ipsis aduersarētur, pro utraq. parte, testimonium dixerunt, a magistratibus competentibus puniuntur. Pater & filius, qui in potestate eius est, item duo fratres, qui in eiusdem patris potestate sunt, testes in eodem testamento, eodemq. negotio fieri possunt. quippe nihil nocet ex una domo plures testes alieno negotio adhiberi.

XVI.

hoc idd l.20.§.6. D.de testam. sed paulo aliter hoc. *Mulier in testamēto non fit testis, in alijs uero testimoniū perhibet, in quib. uiri nō arcessūtur.*

XIX.

Harenarium uel similes, absque tormentis non admittimus.

XX.

Si testes omnes eiusdem honestatis & existimationis sint, & inter se discrepent, non omnimodo maiori parti fides est adhibenda: sed ei quod naturæ negotij conuenit, & quod inimicitiæ uel gratiæ suspicione caret, quodq. confirmatur ab animo iudicis & argumentis. Non enim ad multitudinem respici oportet, sed ad fidem & sinceritatem testium.

XXII.

*Qui iam in aliquem testimoniū dixit, * rursus in eum testis non est. Accusator suos testes domesticos producere nequit. Qui patrocinium in caussa præstitit, uel exsequutor negotij fuit, in eodem testis esse non potest.*

* al. rursus pro eo.

XXIIII.

Domestica testimonia reijciuntur.

XXVI.

Iis testibus, qui ob gratiam uel potentiam alicuius testimonium perhibent, fides nō habetur.

XXVII.

Nemo testes in seipsum producere cogitur, sed actor arbitratu suo probationes suas instituere debet. Seruos nec pro domino, nec aduersus dominum interrogari posse; non ambigitur.

XXVIIII.

Adscēdētes & descēdentes inuicē aduersus se, ne quidē si uelint, perhibere testimoniū possunt.

XXX.

Iurisiurandi religione testes prius, quam testimonium perhibeant, adstringendi sunt; & honestioribus fides potius adhibenda. Vnius

ι.

Ἔνθα μὴ προστίθεται μαρτύρων ἀριθμὸς, ἀρκοῦσι δύο. ἡ γὰρ πληθυντικὴ σημασία, τὸν δυϊκὸν ἀριθμὸν περιέχει.

ιγ.

Ὁ τῷ ἐγκλήματι τῷ περὶ ἀδικίας ἀρχόντων ἢ δικαστῶν καταδικασθεὶς, οὔτε ἐν διαθήκῃ, οὔτε ἄλλως μαρτυρεῖ.

ιδ.

Οἱ πλαστῶς, ἢ ἐναντίως ἑαυτοῖς ὑπὲρ τῶν δύο μερῶν μαρτυρήσαντες ὑπὸ τῶν προσφόρων ἀρχόντων τιμωροῦνται. πατὴρ καὶ υἱὸς ὑπεξούσιος, καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι, δύνανται μαρτυρεῖν ἐν τῇ αὐτῇ διαθήκῃ καὶ πράγματι. οὐδὲν γὰρ βλάπτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν.

ιϛ.

Γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ· ἐν ἄλλοις δὲ μαρτυρίαν νέμει ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται.

ιθ.

Κυνηγὸν ἢ τοὺς ὁμοίους, χωρὶς βασάνων οὐ πιστεύομεν.

κ.

Ἐὰν πάντες οἱ μάρτυρες τῆς αὐτῆς τιμῆς καὶ ὑπολήψεως ὦσι, καὶ ἐναντιωθῶσιν ἀλλήλοις, οὐ πάντως τὸ μεῖζον μέρος πιστεύεται· ἀλλὰ τὸ συμβαῖνον τῇ φύσει τοῦ πράγματος, καὶ ὑπονοίας ἔχθρας ἢ φιλίας ἐστερημένον, καὶ βεβαιούμενον ἀπὸ τῆς ψυχῆς τοῦ δικαστοῦ καὶ τεκμηρίων. οὔτε γὰρ τῷ πλήθει δεῖ προσέχειν· ἀλλὰ τῇ πίστει καὶ τῇ ἀκεραιότητι τῶν μαρτύρων.

κβ.

Ὁ κατά τινος ἤδη μαρτυρήσας, οὐ μαρτυρεῖ πάλιν † κατ᾽ αὐτοῦ. ὁ κατήγορος οἰκειακοὺς αὐτοῦ μάρτυρας οὐ δύναται παραγαγεῖν. ὁ συνηγορήσας ἢ ἐκβιβάσας ἐν ὑποθέσει, οὐ μαρτυρεῖ ἐν αὐτῇ. † ὑπὲρ αὐτοῦ.

κδ.

Αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκιμάζονται.

κϛ.

Οἱ μάρτυρες οἱ κατὰ χάριν ἢ δυναστείαν τινὸς μαρτυροῦντες, οὐ πιστεύονται.

κζ.

Οὐδεὶς ἀπαιτεῖται καθ᾽ ἑαυτοῦ μάρτυρας παραγαγεῖν· ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας. τοὺς δούλους μηδὲ ὑπὲρ τοῦ δεσπότου, μηδὲ κατὰ τοῦ δεσπότου δύνασθαι ἐρωτηθῆναι, οὐκ ἀμφιβάλλεται.

κθ.

Οἱ ἀνιόντες καὶ κατιόντες κατ᾽ ἀλλήλων οὔτε βουλόμενοι δύνανται μαρτυρῆσαι.

λ.

Δεῖ τοὺς μάρτυρας πρότερον ὀμνῦναι πρὶν ἢ μαρτυρήσουσι. δεῖ δὲ τοῖς τιμιωτέροις μᾶλλον πιστεύειν.

ἑνὸς

ἑνὸς δὲ μαρτυρία οὐκ ἔσται δεκτὴ ἐν οἱαδήποτε δίκῃ, κἂν συγκλητικὸς εἴη.

λγ.

Ἀπελεύθερος κατὰ πάτρωνος, μηδὲ ἑκὼν, μηδὲ ἄκων μαρτυρείτω.

λδ.

Τοῦτο τὸ κεφάλαιον εὑρήσεις ἐν τῷ περὶ ψευδομαρτύρων.

λϛ.

Χρεία ἐστὶν ἐν τῇ ἀποδείξει μαρτύρων πέντε, ἐὰν μὴ ὦσι δικαιώματα πρὸς * σύστασιν ἐπιτήδεια. εἰ δὲ εἰσὶ δικαιώματα, ἀρκούμεθα τρισὶ μάρτυσιν. εἰ δὲ τὸ δικαίωμα τοιοῦτόν ἐστιν, ὥστε αὐτὸ πάντων ἀρκεῖν (ἴσως γὰρ ὑπόμνημα δημόσιον † ᾖ) τότε οὐδὲ δεόμεθα μαρτύρων.

*ἀποδείξεως συγγενείας.

†ὄν.

Ἐπιφέρει δὲ καὶ ἕτερον κεφάλαιον ἡ διάταξις τοιοῦτον. ἐάν τις ἐν ὑπομνήμασι καὶ ἐν συμβολαίῳ προσμαρτυρήσῃ, ἀνάγκην ἐχέτω πᾶσι τρόποις, καὶ δίκης ἐπὶ τῷ πράγματι κινουμένης, μαρτυρῆσαι, κἂν ἕτερον φόρον ἐπιγράφηται. εἰ γὰρ μὴ τοῦτο εἴπωμεν, βλάπτεται ὁ δεηθεὶς τῆς αὐτοῦ μαρτυρίας.

λζ.

περὶ ἀναγκαζομένων μαρτυρεῖν.

Ἡ διάταξις κελεύει μὴ μόνον ἐν ταῖς ἐγκληματικαῖς δίκαις, ἀλλὰ καὶ ἐν ταῖς χρηματικαῖς ἕκαστον ἀναγκάζεσθαι μαρτυρεῖν ἅπερ ἐπίσταται, μεθ' ὅρκου δόσεως, ἢ ὀμνύειν ὡς οὐκ ἐπίσταται. ὑπεξῃρημένων τῶν προσώπων, τῶν ἀπὸ νόμου κωλυομένων μαρτυρεῖν, καὶ τῶν ἰλλουστρίων, καὶ τῶν ὑπερβεβηκότων αὐτοὺς: εἰ μὴ † τι θεῖος γένηται τύπος. καὶ εἰ μὲν ἐνδημοῦσιν ἐν τῇ βασιλίδι πόλει, δι' οἰκείας φωνῆς μαρτυρεῖν: εἰ δὲ ἀπολιμπάνονται, στέλλεσθαι τοὺς τῶν μερῶν ἐντολέας, ἐφ' ᾧ καταθέσθαι ἅπερ ἐπίστανται, ἢ ἐπομόσασθαι ἅπερ ἀγνοοῦσι. δηλονότι καὶ ἐπὶ † τοῖς ὑπομνήμασι μαρτυρίας, τῶν αὐτῶν προσώπων ὑπεξῃρημένων. πάσας δὲ τὰς ἐπὶ τούτοις διαλαλίας καὶ τὰς παραγωγὰς, ἀζημίους εἶναι τοῖς μάρτυσιν.

† γρ.

† ἐλλείπει.

λη.

Ὁ προάγων μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ' αὐτοῦ προφέροιντο, μὴ ἐχέτω ἐξουσίαν παραιτήσασθαι αὐτοὺς, τυχὸν ὡς εὐτελεῖς, ἢ τοιοῦτον. εἰ μέντοιγε δεικνύουσιν ἐν τῷ μεταξὺ ἢ ἔχθραν γενομένην αὐτῷ, δεκτὴν τοῖς νόμοις, καὶ ποιοῦσαν ὑπόπτους τοὺς μάρτυρας: ἢ πολλάκις ἐλεγχθῇ φανερῶς ἐπὶ λημμάτων χρημάτων ἢ ὑποσχέσει πωλουμένην τὴν μαρτυρίαν, ἔξεστω αὐτῷ παραιτεῖσθαι τοὺς μάρτυρας. εἰ δὲ καὶ δύναται ψευδῆ τὰ παρ' αὐτῶν λεγόμενα δεῖξαι, καὶ τοῦτο ποιείτω. τοῦτο γὰρ μόνον εἶπεν ἡ διάταξις, μὴ δύνασθαι αὐτοὺς παραιτεῖσθαι, οὐ μὴν ἵνα καὶ πάντως πιστεύωμεν τῇ τούτων φωνῇ.

λθ.

Οἱ ἐγγράφως ὁμολογήσαντες χρεωστεῖν,

nero testimonium, quamuis senator sit, in quacumq; caussa, non debet admitti.

XXXIII.

Libertus in patronum nec uolens, nec inuitus testimonium dicito.

XXXIIII.

*Hoc caput inuenies in * titulo de falsis testib.* debet esse l. 12. C. h. t.

XXXVI.

Quinque testibus ad probationem opus est, si instrumenta non exstent, ad † probandum idonea. sin adsint instrumenta, tres nobis testes sufficiunt. Quod si tale sit instrumentum, ut uice probationum omnium esse possit: (nam forte publicum monumentum fuerit:) tunc ne testibus quidem egemus.

* Sup. lib. 3. debet esse l. 14. C. h. t.

† scilicet cognationem.

Subijcit & aliud tale caput hac constitutio: Si quis in actis & instrumento fuerit adtestatus, ei necesse sit omnibus modis etiam lite de negotio mota testimonium perhibere, quamuis praescriptione fori utatur. Quippe ni hoc dicamus, laeditur is, qui eius testimonio indiget.

XXXVII.

Iubet constitutio, non solum in caussis criminalibus, uerumetiā in pecuniarijs unumquemque cogi testimonium perhibere cum praestatione sacramenti de his, quae nouit; aut iurare, se nihil compertum habere: personis tamen ijs exceptis, quae lege testimonium dicere prohibentur, & illustribus, & ijs qui gradu supra illustres excelsiore sunt, nisi sacra forma interueniat. Ac si quidem in urbe imperatrice praesto sunt, [iubet] eos sua uoce testimonium dicere: sin absunt peregre, mitti partium procuratores, ut deponant quae nouerint, aut quae ignorāt deierent. Easdem scilicet personas & in testimonio, quod in actis fit, excipi. Omnes uero de his interloqutiones & productiones sine detrimento testium fieri debere.

De his, qui testimonium dicere coguntur. debet esse l. 15. C. eod.

XXXIIX.

Qui testes in caussa quadā producit, si deinceps ijdem in alia lite aduersus eum producantur, facultatem non habeat eorum personas excipiendi, puta uiles esse, uel quid eiusmodi. Si tamen ostendat, uel interea temporis inimicitias inter se & illos emersisse, quas leges admittant, & quae testes suspectos reddant; uel euictum palam fuerit, eos saepius ob dationē promissionēue munerum testimoniū dixisse; liceat ei testes reijcere. Quod si & ea, quae ab ipsis dicta sunt, falsa probare potest; licet id quoque faciat. Nam hoc tantum cōstitutio dicit, eos non posse reijci, non quod omnino uerbis eorum fides habenda sit.

XXXIX.

Qui per scripturam se debere confessi sunt,

non

non facile audiuntur, si dicant, uel omne debitum, uel partem eius se sine scriptis, testibus adhibitis, soluisse. Quamobrem nisi quinque testes integrae fidei praesto fuerint facta citra scripturam solutioni, & cum sacramenti religione deposuerint, in praesentia sua debitum esse solutū; uel ab ipso creditore depositio de solutione facta fuerit: aliter admittatur nemo, qui solutionem sine scriptura factam dicat. Igitur omnes ui legis huius perspecta, non aliter uel omne debitū, uel partem eius soluant, nisi probationem per scripturam consequantur, uel quinque testes idonei, non uiles, solutioni uel depositioni adsint. Sin autem facta quidem sit per scripturam securitas, sed casu fortuito uel incendij uel naufragij, uel aliter perierit: tunc probare liceat ijs, qui soluerunt, datam ipsis nomine solutionis factae cautionem perijsse, nec eius amissionis caussa quidquam detrimenti capiant.

XLIII.

L. penult. C. de haeret. *Ex haereticis, Manichaei, uel Borboritae, uel pagani, uel Samaritae, uel Montanistae, uel Ascodrugitae, uel Ophitae, uel qui Iudaicam superstitionem colunt, nulla in re testes adhibeantur. Ceteri omnes in iudicio, quo aduersariū orthodoxum habent, non admittuntor: in reliquis uero contractibus uniuersis, aut testamentis, aut iudicijs, quae haereticos aduersarios habent, sine distinctione testimonium perhibento, quo amplior sit probationum facultas.*

XLIIII.

Nouel. 90. cap. 2. *Quamuis iam ante sanciuimus, ne qua in contractus per scripturam debitis solutionum citra scripturā factarum probatio per testes admittatur, nisi secundum indicatam ibidem obseruationem, quam & obtinere uolumus; nihilo tamen minus id nunc quoque redintegramus. Nam si debitum interueniente scriptura contractum sit, & solutionis sine scriptura factae probatio per testes a litigatoribus praetendatur: tunc a iudicibus eam admitti uolumus, quum ad hoc ipsum testes adhibiti fuerint, ut celebrādae solutioni, uel memoriae caussa, quod iam facta solutio sit, idque confiteatur is qui pecuniam accepit, homines fide digni testimonio sint, aut etiam testimonijs suis hoc manifestum faciant. At illa testimonia uana, quasique obiter instructa, nulla prorsus ratione ualeant; quum huiusmodi testimonia finguntur, quasi quis aliam ob caussam interueniens, hunc dicentem audierit, se ab illo pecuniam accepisse, uel illi debere. Sunt enim haec palam nobis suspecta, nulliusque momenti: quum in tractandis iudicijs tale quid aliquando nobis occurrerit, ut tametsi*

οὐκ εὐχερῶς ἀκούονται λέγοντες ἢ ὅλον τὸ χρέος, ἢ μέρος αὐτοῦ καταβεβληκέναι ἀγράφως ἐπὶ μαρτύρων. ἐὰν οὖν μὴ πέντε μάρτυρες ἀξιόπιστοι πάρεισιν ἐν τῇ ἀγράφῳ καταβολῇ, καὶ ἐνομότως καταθῶνται ὡς παρόντων αὐτῶν κατεβλήθη τὸ χρέος, ἢ κατάθεσις τῆς καταβολῆς παρὰ τοῦ δανειστοῦ γέγονεν: οὐκ ἄλλως τις ἐστὶν εὐπρόσδεκτος ὁ καταβολὴν ἄγραφον λέγων γεγονέναι. εἰδότες οὖν ἅπαντες τοῦ νόμου τὴν δύναμιν, μὴ ἄλλως ἢ τὸ πᾶν χρέος καταβαλλέτωσαν, ἢ μέρος αὐτοῦ, εἰ μὴ ἔγγραφος αὐτοῖς ἀπόδειξις γένηται, ἢ πέντε μάρτυρες ἀξιόπιστοι μὴ εὐτελεῖς πάρεισιν τῇ καταβολῇ ἢ τῇ καταθέσει. εἰ δὲ γέγονε μὲν ἀπόδειξις ἔγγραφος, κατὰ δὲ τυχηρὰν περίστασιν, ἢ ἐμπρησμῷ τυχὸν ἢ ναυαγίῳ, ἢ ἄλλως πως, ἀπώλετο, ἐξέστω τότε τοῖς καταβεβληκόσιν ἀποδεικνύειν, ὡς ἀπώλετο ἡ γενομένη αὐτοῖς καταβολῆς ἀσφάλεια, καὶ μηδὲν ἐκ τῆς τοιαύτης ἀπωλείας ζημιούσθωσαν.

μγ.

Τῶν αἱρετικῶν, οἱ μὲν μανιχαῖοι, ἢ βορβορῖται, ἢ ἕλληνες, ἢ σαμαρεῖται, ἢ μοντανισταί, ἢ ἀσκοδρουγῖται, ἢ ὀφῖται, ἢ οἱ τὴν ἰουδαϊκὴν θρησκείαν σέβοντες, ἐν μηδενὶ μαρτυρείτωσαν. οἱ δὲ λοιποὶ πάντες ἐν δικαστηρίῳ μὲν ὀρθόδοξον ἔχοντι ἀντίδικον μὴ δεχέσθωσαν: ἐν δὲ τοῖς λοιποῖς πᾶσι συναλλάγμασιν ἢ διαθήκαις ἢ δικαστηρίοις, αἱρετικοὺς ἔχουσιν ἀντιδίκους, ἀδιαστίκτως μαρτυρείτωσαν, † τοῦ πλάτους χάριν τῶν ἀποδείξεων. περὶ αἱρετικῶν. † [illegible]

μδ.

Εἰ δὲ καὶ ἤδη μηδεμίαν ἐπὶ χρέεσιν ἐγγράφοις ἀγράφων καταβολῶν ἀπόδειξιν διὰ μαρτύρων δέχεσθαι νενομοθετήκαμεν, πλὴν εἰ μὴ κατὰ τὴν ἐκεῖσε ῥηθεῖσαν παρατήρησιν, ἣν δὴ καὶ κρατεῖν βουλόμεθα: ἀλλ' οὖν καὶ νῦν τοῦτο ἀνανεούμεθα. εἰ γὰρ καὶ ἔγγραφον εἴη τὸ χρέος, καὶ ἀγράφου καταβολῆς προτείνοιτο παρὰ τῶν δικαζομένων ἡ διὰ τῶν μαρτύρων ἀπόδειξις: τότε δεκτὴν αὐτὴν παρὰ δικασταῖς εἶναι, ἡνίκα ἐπ' αὐτῷ † τοῦτο παραλαμβάνοιντο μάρτυρες, ἐφ' ᾧ τῇ γενησομένῃ καταβολῇ, ἢ τῇ μνήμῃ τοῦ γεγενῆσθαί τινα καταβολὴν ἤδη, καὶ τοῦτο ὁμολογεῖσθαι παρὰ τοῦ τὰ χρήματα λαβόντος, μαρτυρήσαιεν ἄνδρες ἀξιόπιστοι καθεστῶτες, ἢ καὶ ἐν ἐκμαρτυρίοις ἴσως ποιήσαιεν φανερόν. τὰς δὲ ματαίας ταύτας καὶ ἐκ τοῦ παρήκοντος γενομένας μαρτυρίας, μηδενὶ παντάπασι λόγῳ κρατεῖν, καὶ τοιαύτας τινὰς ἀναπλάττειν μαρτυρίας, ὡς δὴ ἄλλην τινὰ χρείαν παρατυχὼν, ἀκούσαι τοῦδε λέγοντος εἰληφέναι παρὰ τοῦδε χρυσίον, ἢ ὀφείλειν τῷδε. αὗται γὰρ σαφῶς ἡμῖν ὕποπτοι καθεστᾶσι, καὶ οὐδενὸς ἄξιαι λόγου. ὁπότε καί τι τοιοῦτον ἐν τῷ δικάζειν εὕρομεν, ὡς καί τι † [illegible]

πολλῶν

πολλῶν χρημάτων λεγομένων καταβεβλῆσθαι, ταβουλάριοι δύο μόνοι τοῦτο † ἔφθασαν ἀκηκοέναι, (margin: † ἔφασαν.) μάρτυρος παρόντος οὐδενός, καίτοι τοῦ χρέους ἐγγράφου τυγχάνοντος, καὶ τοῦ κατατιθεμένου δῆθεν γράφειν ἐπισταμένου, καὶ δυναμένου διὰ οἰκείων γραμμάτων ταῦτα φανερὰ καταστῆσαι. ὅπερ ἐξ ἐκείνου μισήσαντες, ἀφορμὴν τοῦ παρόντος εἰλήφαμεν νόμου. καὶ αὖθις παρήχθη τις ἕτερος τὸ εἶδος ἐοικὼς τῷ συκοφάντου μέσῳ, καὶ ἐπὶ μαρτύρων δῆθεν καὶ ἐπὶ ταβουλαρίων κατατίθετο καθ' ἑαυτοῦ χρέα. καὶ ὁ μὲν μισθοῦ τοῦτο πράξας ἀπῆλθεν: ἕτερος δὲ εἰσεπράχθη τὸ χρέος παρ' ἑτέρου τινὸς, ὡς παρ' αὐτοῦ δῆθεν ὁμολογηθέν. καὶ τοῦτο ὕστερον οὐ διέλαθε, τοῦ θεοῦ τὰ τοιαῦτα μέχρι παντὸς οὐ συγχωροῦντος κατακρύπτεσθαι. οὔτε οὖν τῆς τοιαύτης πιστεύομεν μαρτυρίας, ἢ τῆς τῶν ταβουλαρίων (καθάπερ εἰπόντες ἔφθημεν) καταθέσεσιν ἡνίκα γραμμάτων ἐπιστήμονες εἰσὶν οἱ καταθέσθαι λεγόμενοι, παρὸν καὶ γράψαι, ἢ ἐν δικαστηρίῳ καταθέσθαι, καὶ δοῦναι τῷ πράγματι πίστιν ἀναμφισβήτητον: οὔτε μένειν αὐτὰς τοῖς ἀληθέσι λυμαινομένας συγχωροῦμεν, οὔτε εἴ τι τοιοῦτο γέγονε, προσιέμεθα: ἀλλ' ἀπαιτοῦμεν τὸ παρακεκλῆσθαι παρὰ τοῦ παράγοντος τοὺς μάρτυρας, † ἐπ' αὐτὸ τοῦτο, καὶ τοῦτο διὰ μαρτυρίας ἀποδείκνυσθαι, καὶ εἶναι καὶ αὐτοὺς (τοῦτο δὴ τὸ τῶν διαθηκῶν) παρακεκλημένους, καὶ εὐυπολήπτους καθεστάναι. καὶ οὕτω τὸ πρᾶγμα δέχεσθαι τὴν ἐξ αὐτῶν ἀπόδειξιν, καὶ μηδὲ ἐκ μαρτυρίας τοῦ λοιποῦ, μὴ καὶ μαρτύρων ἐχούσαν καὶ παρουσίαν, καὶ κατάθεσιν καὶ ὑπογραφὴν, κρατεῖν. εἰ δὲ μὴ τοιοῦτοι καθεστῶσιν οἱ μάρτυρες, ὁποίους ἔμπροσθεν εἰρήκαμεν, καὶ βασάνοις αὐτοὺς ὑποκεῖσθαι κελεύομεν. εἰ δέ τινες καθαρῶς ἐναντία σφίσιν αὐτοῖς, ἢ καὶ ἀλλήλοις φθέγξονται: τοὺς δικαστὰς μάλιστα τούτῳ προσέχειν τὸν νοῦν, καὶ εἰ περὶ τὰ καιριώτερα τῶν μαρτυρουμένων τὰς ἐναντιότητας εὕροιεν, ἐκβάλλειν τὰς τοιαύτας μαρτυρίας τοῖς παρὰ τῶν ἀξιοπιστοτέρων καὶ πλειόνων προσέχοντας. εἰ δὲ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες, καὶ ἐντεῦθεν ἐκπίπτοντες εἰς ἐναντίωσιν: μηδὲ ἀθώους αὐτοὺς καταλιμπάνειν, εἴπερ μὴ κατὰ πλάνην (ὡς εἰκὸς) ἀλλ' ἐξεπίτηδες τὰ ἐναντία δειχθεῖεν λέγοντες.

magna pecunia persoluta diceretur, duo tamen dumtaxat id audisse se tabularij profiterentur, nullo teste præsente, quum quidem & scripto comprahensum esset debitum, & is qui deponebat, sciret scribere, suisque litteris rem manifestam facere posset. quod quum ex eo tempore nobis odio fuerit, legis huius occasionẽ præbuit. Rursus & alius quidam productus est, qui speciem præ se ferret hominis per calumniam circumuenti, atque ita coram testibus & tabularijs debere se confiteretur. quo ille mercedis caussa peracto, abijt. uerum ab alio debitum id exactum fuit, tamquam si ipse debere se confessus fuisset, quod alius confessus erat. idque deinceps palam factum est, non permittente Deo talia perpetuo celari. Nec igitur eiusmodi testimonijs credimus, aut tabulariorum (uelut antea dictum est) depositionibus, quum scribendi periti sunt, qui deposuisse dicuntur; quando eadem opera scripto rem complecti possunt, uel in iudicio deponere, ac indubitatam negotio fidem facere: nec ea subsistere patimur, quum ueris testimonijs obsint: nec si quid eiusmodi accidit, admittimus: sed requirimus, ut a productore testes ad hoc ipsum rogati sint, idque testimonijs doceatur, esse scilicet ipsos (uelut in testamentis fieri consueuit) rogatos, & existimationis honestæ. atq; hoc modo negotium per ipsos probationem consequatur, quæ firma rataque sit, quamuis deinde nec testimonia, nec testium præsentiam, depositionẽ, subscriptionẽ habeat. Quod si testes eiusmodi non fuerint, quales antea descripsimus; etiam supplicijs eos multari præcipimus. Si uero quidam perspicue sibimet ipsis, uel inuicem contraria protulerint, id ipsum uel maxime iudices respicere uolumus, ac si quidẽ circa potiorem partem caussæ, quæ de testimonia dicuntur, contrarietates deprahẽdant; ut eiusmodi testimonia reijciant, ijs potius aduertentes animum, quæ a fide dignioribus & pluribus sunt profecta. Sin eos data opera pareat agere nequiter, ob eamq; caussam in illam diuersitatem prolabi: ne relinquantur impuniti, si quidem eos non ex errore (ceu credi par est) sed de industria contraria dixisse constiterit.

με.

XLV.

Ἐπειδὴ δὲ † πολλάκις μάρτυρας παραστησάμενοι, καὶ τρισάκις τοῦτο πράξαντες, εἶτα ἐπειδὰν ἀποτάξοιντο, καὶ ἐκλάβοιεν τὰς μαρτυρίας, πειρῶνται προσπαλεύοντες ἡμᾶς ἐνοχλεῖν, καὶ βούλεσθαι καὶ τετράκις παραγαγεῖν μάρτυρας: θεσπίζομεν τοὺς ἡμετέρους δικαστὰς τούτοις μάλιστα προσέχειν, καὶ εἰ τρισάκις ἤδη παρῆλθον οἱ μάρτυρες, καὶ παρὰ τοῦ τοὺς μάρτυρας παραγαγόντος καὶ ἀποταξαμένου καὶ ἐκλαβόντος πάλιν αἰτοῦνται μάρτυρες,

(margin: † πολλοὶ πολλάκις.)

Quia uero multi multoties productis testibus, eoq; tertium iterato, renuntiatione facta, excepisq; testimonijs, interpellando molesti esse nobis audent, & ut quartum ij producantur, petere: sancimus, ut maxime nostri iudices ijs intenti sint, ac si quidem iam tertium euocati sint testes, & ab eo, qui produxit, & renuntiauit, & eorum dicta excepit, rursum poscantur testes:

[illegible]

omnino non admittantur, quum suspicio sit, ne prioribus illis, quique iam de testimonijs suis aperte cogniti sunt, aliquid omittentibus; non testium ille productionem, sed quamdam ad dicta prius appendicem, eorundemque correctionem desideret. Sin autem is qui produxit, nec ipse dicta testium exceperit, eorumque copiam nactus sit, nec quisquam aduocatorum eius; quum aduersarius ea solus exceperit, & exscriptiones fecerit, nec edat ei, qui iam tertiū produci testes curauit, ne productor scilicet exscripta cognitis ijs, quæ testimonijs suis desint, ea suppleat: tum uero quarta quoque productio testium petenti concedenda est, iureiurando prius ab eo præstito, quod neque exceperit, neque nactus sit dicta testium, uel ipse uel quisquam ipsius aduocatus, uel qui eius negotia gereret; quodque nec aliquo dolo, nec machinatione, nec arte quartam hanc productionem testium fieri petat: sed quia non potuerit hactenus promissa testium dicta consequi. Quod quidem si fiat, ne iussu quidem principis, ut olim fieri consueuit, opus erit. Illud sane in confesso est, quod si quis semel aut bis testes produxerit; renunciarit, & uel ipsius eorum dicta exceperit & examinarit, uel quum aduersarius id fecisset, ipse descripta exceperit, deque his testium dicta cognouerit; omnino licentiam nullam sit habiturus, utendi deinceps ulla productione testium, ne quidem si sacer ei iussus suppeditetur. Si quis tamen dixerit eum, qui ad dicendum testimonium ueniat, esse inimico aduersus se animo, puta etiam ab se accusatum; si quidem statim, criminalem inter ipsos actionem institutam esse docuerit: ad testimonium dicendum ne accedat, qui tam infestus ei sit, ut & criminale iudicium intentet. Sin aliter inimicus esse dicatur, uel pecuniaria lite conuentus: testimonij quidem dictio procedat, eiusmodi uero quæstiones in exceptionum tempus reseruantor. Quoniam uero legem tulimus, ut in pecuniarijs quoque iudicijs inuiti testimonium dicant, non cogendis dumtaxat ijs ad id præstandum, qui arbitratores eorum fuerint; eaque lege quidam abutuntur, & testimonium perhibere nolunt: sancimus, ut si pars utraque communi consensu uelit, arbitratorem eorum testimonium dicere, quo quidem ipsi contenti futuri sint, inuitus quoque testimonium perhibere cogatur; impedimento, cuius caussa lex illa nostra prior eum inuitum testem esse nolebat, per consensum partis utriusque sublato. Scimus & hoc sæpenumero fieri, quod aliqui uel defensores locorum, uel clarissimos prouinciarum præsides, uel heic (uti par est) clarissimum

τούτους παντελῶς μὴ προσίεσθαι, ὡς ὑπόψιας ὄντας, μήποτε παραλιπόντων τι τῶν προτέρων, καὶ ἤδη φανερῶν τούτων διὰ τῆς μαρτυρίας γινομένων, ἐκεῖνος οὐ παραγωγῆς μαρτύρων, ἀλλὰ τῆς τῶν ἔμπροσθεν μαρτυρηθέντων προσθήκης, καὶ μαρτυρηθέντων ἐπανορθώσεως ἐπιζητεῖ. εἰ δὲ ὁ παραγαγὼν μὲν οὐκ ἐκλάβοι, οὐδὲ ἐντύχοι ταῖς μαρτυρίαις, οὐδὲ αὐτὸς, οὐδέ τις τῶν συνηγόρων αὐτοῦ· ὁ δὲ ἀντιτεταγμένος ἐκλάβοι μόνος, καὶ ποιήσαιτο παραγραφάς, οὐ μὴν ταύτας ἐκδοίη τῷ τρὶς ἤδη ποιησαμένῳ τὴν τῶν μαρτύρων πάροδον, ὥστε μὴ διὰ τῶν παραγραφῶν μαθόντα τὸν τούτους παράγοντα, τὰ ἐλλείποντα ταῖς μαρτυρίαις ταῦτα προσθεῖναι· τηνικαῦτα δέ τοι καὶ τετάρτην παραγωγὴν μαρτύρων τῷ ταύτην αἰτοῦντι, πρότερον ὅρκου διδομένου παρ' αὐτοῦ, ὡς ὅτι † ἐξείληφεν, οὐδὲ ἐνέτυχε ταῖς μαρτυρίαις, οὐδὲ αὐτὸς, οὐδέ τις ἢ συνήγορος, ἢ ὅλως ὑπὲρ αὐτοῦ πράττων, ὅτι κατά τινα † οὐδὲ μηχανὴν, οὐδὲ τέχνην τὴν τετάρτην παραγωγὴν αἰτεῖ ποιήσασθαι τῶν μαρτύρων, ἀλλὰ διὰ τὸ μὴ δυνηθῆναι πρότερον ταῖς ἐπαγγελλομέναις χρήσασθαι μαρτυρίαις. καὶ εἰ τοῦτο γένοιτο, μὴ δεῖ κελεύσεως ὑπὲρ τούτων δέεσθαι βασιλικῆς, καθάπερ ἔμπροσθεν ἦν. ἐκεῖνο μέντοι τῶν ὡμολογημένων ἐστὶν, ὡς εἰ καὶ ἅπαξ τις παραγαγὼν μάρτυρας ἢ δὶς, ἀποτάξεται, καὶ ἢ ἐκλάβῃ τὰς μαρτυρίας καὶ κατασκέψεται, ἢ τοῦ ἀντιτεταγμένου τοῦτο ποιήσαντος, αὐτὸς τὰς παραγραφὰς ἐκλάβοι, κἀκεῖθεν μάθῃ τὰ μεμαρτυρημένα· οὐχ ἕξει παντελῶς ἄδειαν οὐδεμίαν περαιτέρω χρήσασθαι μαρτύρων παραγωγῇ, οὐδ' ἂν εἰ θεία τούτῳ κέλευσις προσελθείη. εἰ μέντοι τις φήσειεν ἀπεχθῆ τὸν παρελθόντα πρὸς μαρτυρίαν αὐτῷ καθεστάναι, τυχὸν καὶ ὑπὸ αἰτίασιν παρ' αὐτοῦ γενέσθαι· εἰ μὲν δείξειεν εὐθὺς, ὡς ἐγκληματικὴ μεταξὺ αὐτῶν κινεῖται δίκη, μὴ † παρέτω πρὸς μαρτυρίαν ὁ μέχρι τοσούτου δυσμενὴς, ὡς καὶ περὶ ἐγκλημάτων δικάζεσθαι. εἰ δὲ ἄλλως † ἀπεχθὴς εἶναι λέγοιτο, ἢ καὶ αἰτιάσασθαι χρηματικῶς· † προΐζοιτο τὰ τῆς μαρτυρίας, τῷ δὲ καιρῷ τῶν παραγραφῶν φυλαττέσθω τὰ τῶν τοιούτων ζητήσεων. ἐπειδὴ δὲ ἐθήκαμεν νόμον, ὥστε καὶ ἐπὶ χρηματικῶν δικῶν ἄκοντας μαρτυρεῖν, ἐκείνων οὐκ ἀναγκαζομένων τὴν μαρτυρίαν νέμειν ὅσοι μεσῖται γεγόνασιν αὐτοῖς, καί τινες ἀποχρῶνται τούτῳ, καὶ μαρτυρίαν οὐ βούλονται νέμειν· θεσπίζομεν εἴπερ ἑκάτερον μέρος συναινοίη, τὸν μεσίτην αὐτῶν γενόμενον μαρτυρεῖν, † θήσεσθαι τοῖς παρ' αὐτοῦ λεγομένοις, ἀναγκάζεσθαι αὐτὸν καὶ ἄκοντα τὴν μαρτυρίαν νέμειν· τοῦ κωλύματος δι' ὅπερ αὐτὸν ἄκοντα μαρτυρεῖν ὁ πρότερος ἡμῶν οὐκ ἐβούλετο νόμος, διὰ τῆς συναινέσεως ἑκατέρων τῶν μερῶν ἀνῃρημένου. καὶ τοῦτο δὲ πολλάκις πραττόμενον ἴσμεν, ὥς τινες ἢ παρὰ τοῖς τῶν τόπων ἐκδίκοις, ἢ παρὰ τοῖς λαμπροτάτοις τῶν ἐπαρχιῶν ἄρχουσιν, ἢ (ὡς εἰκὸς) ἐνταῦ-

† ἐξέλαβεν.
† τινα ἄλλην.
† παρίτω.
† ἀπεχθὲς.
† προΐτω.
† καὶ ἀρκεῖσθαι.

ἐντυχεῖν παρὰ τῷ λαμπροτάτῳ μαγίστρῳ τῶν κήνσων εἰσιόντες καὶ μεμφόμενοι, ὡς παρὰ τοῦδε πεπονθότες τι παράνομον, ἢ ἄλλως ἠδικημένοι, ἢ ἐζημιωμένοι, βούλονται μάρτυρας παρίστασθαι. καὶ ἵνα μὴ ὕστερον ἀντιταθείη αὐτοῖς, ὡς κατὰ μίαν μοῖραν τὰ πεπραγμένα συνίστη: δεῖ κἀκεῖνον ἐν αὐτῇ τῇ πόλει καθεστῶτα, ἔνθα αἱ μαρτυρίαι δίδονται, ὑπομνησθῆναι παρὰ τοῦ ἄρχοντος ἢ τοῦ ἐκδίκου παραγίνεσθαι καὶ ἀκοῦσαι τῶν μαρτυριῶν. εἰ δὲ μὴ βουληθείη παραγίνεσθαι, ἀλλὰ διαπτύσειεν, ὥστε † ἐκ τῶν κατὰ μίαν μοῖραν δίδοσθαι τὰς μαρτυρίας, κατ' αὐτὸ τοῦτο ἀχρήστους εἶναι: θεσπίζομεν τὰς τοιαύτας μαρτυρίας οὕτω κρατεῖν, ὥσπερ εἰ μὴ μονομερῶς τυγχάνουσι, ἀλλὰ καὶ αὐτοῦ παρόντος ἐγεγόνεισαν. εἰ γὰρ παραιτήσοιτο, καὶ ἐλθεῖν μὴ βουληθείη, καὶ ἀκοῦσαι τῶν κατατιθεμένων, οὐκ ἐξ ἀπαραιτήτου τινὸς ἀνάγκης ἀφικέσθαι μὴ δυνάμενος: ἐν ἴσῳ τοῖς † παραγενησομένοις ἔσται, καὶ οὐδὲν ὄφελος ἐκ τῆς αὐτοῦ περιττείας αὐτῷ γενήσεται, ἀλλὰ δοκείτωσαν μὲν συνεδρίῳ γεγονέναι. ὅσα δ' ἂν ἁρμόσειεν αὐτῷ παραγράφεσθαι περὶ αὐτῶν, ἐξεῖναι τούτοις χρῆσθαι: μόνου τοῦ δοκεῖν αὐτὰς εἶναι μονομερεῖς διὰ τὴν αὐτοῦ περιττείαν, οἷα κατ' αὐθάδειαν μὴ παραγινομένου ταῖς μαρτυρίαις, ἀντιτίθεσθαι μὴ δυναμένου.

Ἀνάγνωθι καὶ βιβλίον ϛ. τίτλον α. κεφάλ. β. ἐν ᾧ φησιν.

Ἡ κατὰ τοῦ ἀδικήσαντος ἐν ἐπαρχίᾳ ἄρχοντος ἀγωγὴ, κωλύει μαρτυρεῖν ἢ δικάζειν τὸν διὰ αἰσχρότητα τῆς συγκλήτου ἀποκινηθέντα, καὶ μὴ ἀποκατασταθέντα.

Ἀνάγνωθι καὶ βιβλίον κβ. τίτλον α. κεφάλαιον οε. καὶ οζ. ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον μα, κεφάλαιον κζ. ἐν ᾧ φησιν.

Οἱ ἐναντία μαρτυρήσαντες ἀλλήλοις, καὶ ὁ ἐναντιούμενος τῇ οἰκείᾳ ὑπογραφῇ, καὶ δύο τισὶν ἐναντία προσμαρτυρῶν: ὑπόκειται τῷ πλαστῷ.

ΠΕΡΙ ἈΤΙΜΟΥΜΕΝΩΝ, ΚΑΙ ἘΞ ὧν αἰτιῶν ἀτιμοῦταί τις, καὶ δι' ὧν ἀτιμία προσγίνεται.

Τίτλ. β. κεφάλ. β.

Ὅτι πάντες οἱ διὰ κέρδος εἰς ἀγῶνα κατιόντες, ἄτιμοι εἰσίν. καὶ οἱ διὰ φιλοτιμίαν ἐπὶ σκηνῆς προϊόντες. ἔστι δὲ σκηνὴ ἔνθα τίς ἵσταται ἢ κινεῖται, παιδικὴν ἐπιδεικνύμενος τέχνην. οὐκ ἔστι δὲ παιγνικὴ τέχνη οὐδὲ ἀτιμωτικὸς ἡ τῶν ἀθλητῶν, καὶ τῶν λεγόντων ἐν τοῖς ὀλυμπίοις τὰ ἐνθύρια, καὶ τῶν ἐν ξυστῷ ἀγωνιζομένων, καὶ τῶν ἡνιόχων, καὶ τῶν ἄλλως ὑπουργούντων ἐν τοῖς ἱεροῖς ἀγῶσιν. ἀτιμοῦνται δὲ καὶ οἱ προαγωγοὶ, καὶ συκοφάνται, καὶ ἡ πρὸ τῆς προθεσμίας γαμηθεῖσα, καὶ ὁ ἐν εἰδήσει ἀγαγόμενος αὐτήν: καὶ ἡ μνηστευομένη ἑτέρῳ καὶ ἄλλῳ γαμηθεῖσα:

magistrum censuum adeuntes, & se ab hoc uel illo nefarie tractatos, uel adfectos iniuria, uel læsos querentes, eius rei testes sistere cupiant. Atque uti deinceps eis nonobijciatur, ab una tantum parte res actas esse: oportet & illum alterum, in eadem urbe constitutum, ubi testimonia perbibentur, a præside uel defensore commonitum adesse, ac dicta testium audire. Verum ille si nolit adesse, sed respuat; uti scilicet eo ipso nullius sint momenti testimonia, quod ab una parte præstita sint: sancimus, ut huiusmodi testationes sic ualeant, atque si non ab una dumtaxat parte, sed ipso præsente factæ fuissent. Quippe si recuset, nec uenire uelit, ac depositiones audire, quum non ex ineuitabili quadam necessitate uenire nequeat: perinde habebitur, atque si adfuisset, nec de temeritate sua quidquã commodi feret, sed testimonia præsentibus utrisque dicta uidebuntur. Quæcumque tamen ei competent exceptiones aduersus dicta testium, ijs licebit utatur. Dumtaxat hoc unum, uideri scilicet ea partis unius testimonia, propter ipsius temeritatem, quasi qui per contumaciam non adfuerit examini testium, opponi non poterit.

Legendus & lib. VI. tit. I. cap. II. cuius hæc uerba sunt:

Lata lex in præsidem iniuste se gerentem in prouincia, uetat eum testimonium dicere uel iudicare, qui propter turpitudinem senatu motus, nec restitutus est. l. 2. D. de senat.

Legito & lib. XXII. tit. I. cap. LXXV. & LXXVII. Item lib. LX. tit. XLI. cap. XXVII. ubi dicitur:

Qui diuersa inuicem testimonia dicunt, & qui suæ subscriptioni aduersatur, & qui diuersa duobus testimonia præbet, falsi tenetur. l. 27. D. ad l. Corn. de falsis

DE HIS QVI NOTANTVR INfamia, tum quibus ea de caussis, & per quos irrogetur.

Tit. II. cap. II.

Omnes qui quæstus caussa in certamen descendunt, infames sunt; & qui præmij caussa in scenam prodeunt. Est autem scena, ubi quis consistit, aut mouetur, artem ludicram faciens. Athletica uero non est ars ludicra, nec ignominiosa; sicuti nec illorum, qui in Olympijs enthyria dicunt, & qui in xysto exercentur, & agitatorum, & qui alio quo modo certaminibus sacris deseruiunt. Infamia quoque notantur lenones, & calumniatores, & quæ ante nupsit, quam luctus tempus exiret; & qui sciens eam duxit; & quæ alteri sponsa, nupsit alteri; D. de his qui not.

& damnatus crimine stellionatus; & quæ prægnatem se finxit.

Legito & tit. III. cuius III. cap. dicitur:

L. 13. § 5. D. eod. l. 4. C. ex quib. cau. inf. *Condemnatio grauior irrogata, ultra pœnam a lege definitam, releuationem infamiæ largitur.*

XVI.

L. 8. C. eod. *In actione iniuriarum non solum qui damnatur, infamis fit: uerumetiam qui transigit, infamia notatur, quum numerata pecunia transigit. nam propterea quod sibi delicti conscius sit, pecuniam numerare uidetur. quippe si simpliciter & absolute, sine pecunia pactus fuerit; & adfectus iniuria nõ agit iniuriarum, & reus ex eo non fit infamis.*

XVIII.

Qui fænus improbum exercent, & usuras usurarum petunt, infamia notantur.

XX.

Fidem societatis rumpens, cum infamiæ periculo, suo nomine actione pro socio conuentus, & infamis fit, & ut socio faciat satis urgetur.

DE TEMPORE LVCTVS, ET qui non lugeantur.

Tit. II. cap. V.

D. eod. l. 9. *Vir non luget uxorem, nec sponsa sponsum. Iussu principis mulier intra tempus luctus nubere potest. Quæ [uirum] eluget, recte despondetur, etsi talis sit maritus, ut eum lugeri non oporteat .... Transfuga, & perduellionis damnatus, & proditor & suspendiosus, &* (Qui non lugeantur.) *qui sibi ipsi manus intulit, non tædio uitæ, sed mala conscientia....... Sed tamen propter turbationem seminis ea, quæ ante nubit, quam lugendi tempus exierit, infamia notatur & qui sciens eam duxit. Ignorantia uero facti non iuris, ueniam consequitur. Quæ intra tempus luctus partum edidit, statim nuptum se collocare potest. Filiusfamilias patris iussu lugentem ducens, ueniam meretur; pater autem notatur. Quamuis deinde patria potestate liberatus, eam retinuerit; non notatur. Si ab initio pater ignoret, at postea nuptias ratas habeat: non notatur.*

Legendus & tit. III. Item lib. XXVIII. tit. V. cap. XVII. cuius uerba sunt:

l. 10 & 11 D. de his qui not. inf. *Eorum qui lugentur, quique non lugentur, uxores intra legitimum luctus tempus nubere prohibentur. Quæ uero intra luctus tempus peperit, statim nubere potest.*

ἢ ὁ καταδικασθεὶς τοῦ στελλιονάτυς: καὶ ἡ † πλασαμένη ἐγκυμονεῖν. .... († πλασαμένη.)

Ανάγνωθι καὶ τίτλον γ. οὗ τινος ἐν τῷ γ. κεφαλαίῳ φησίν.

Η κατ' αὔξησιν ἐπιφερομένη καταδίκη, ὑπὲρ τὴν ὡρισμένην ἐκ τοῦ νόμου τιμωρίαν, κουφισμὸν τῆς ἀτιμίας χαρίζεται.

ιϛ.

Επὶ τῇ περὶ ὕβρεως ἀγωγῇ, οὐ μόνος ὁ καταδικαζόμενος ἀτιμοῦται: ἀλλὰ καὶ ὁ διαλυόμενος ἀτιμοῦται: ὅταν ἐπὶ † χρήματι διαλύσηται. δοκεῖ γὰρ ἐκ τοῦ συνειδέναι ἑαυτῷ ὡς ἁμαρτήσαντι, παρασχεῖν τὰ χρήματα. ἐπεὶ ἐὰν ἁπλῶς καὶ ἀπολελυμένως, χωρὶς χρημάτων συμφωνήσῃ, καὶ ὑβρισθεὶς οὐ κινεῖ τὴν περὶ ὕβρεως ἀγωγὴν, ἢ οὐ γίνεται ἄτιμος ἐκ τούτου ὁ ἐναγόμενος. († χρήματι.)

ιη.

Οἱ ἀναισχύντως τοκίζοντες, καὶ τόκους τόκων ἀπαιτοῦντες, ἀτιμοῦνται.

κ.

Ο τὴν πίστιν ῥηγνὺς τῆς κοινωνίας, μετὰ τοῦ τῆς ἀτιμίας κινδύνου, οἰκείῳ ὀνόματι τῇ περὶ τῆς κοινωνίας ἀγωγῇ ἐνεχθεὶς, καὶ ἀτιμοῦται, καὶ εἰς τὸ ποιῆσαι τὸ ἱκανὸν τῷ κοινωνῷ συνελαύνεται.

ΠΕΡΙ ΠΕΝΘΙΜΟΥ, ΚΑΙ ΤΙΝΕΣ οὐ πενθοῦνται.

Τίτλον β. κεφάλ. ε.

Ο ἀνὴρ οὐ πενθεῖ τὴν γαμετὴν, οὐδὲ ἡ μνηστὴ τὸν μνηστῆρα. κατὰ κέλευσιν βασιλέως δύναται ἡ γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖν. ἡ πενθοῦσα, καλῶς μνηστεύεται. εἰ καὶ τοιοῦτός ἐστιν ὁ ἀνὴρ ὥστε μὴ πενθεῖσθαι, ... ὁ αὐτόμολος καὶ ὁ κατακριθεὶς ἐπὶ τυραννίδι, καὶ ὁ προδότης, καὶ ἀπαγχόμενος, καὶ ὁ χεῖρας ἐπιβαλὼν ἑαυτῷ μὴ μίσει τῆς ζωῆς, ἀλλὰ † ἢ συνειδήσει, ... ὅμως διὰ τὴν σύγχυσιν τῆς γονῆς ἡ πρὸ τοῦ πενθίμου γαμοῦσα, ἀτιμοῦται, καὶ ὁ ἐν εἰδήσει ἀγαγόμενος αὐτήν. ἡ δὲ τοῦ φάκτου ἄγνοια, ἤγουν ἡ τοῦ νόμου συγγνώσκεται. ἡ δὲ τεκοῦσα ἐν τῷ πενθίμῳ, παραχρῆμα δύναται γαμεῖν. ὁ ὑπεξούσιος κελεύσει τοῦ πατρὸς ἀγαγόμενος τὴν πενθοῦσαν, συγγινώσκεται: ὁ δὲ πατὴρ ἀτιμοῦται: κἂν μετὰ τὸ γενέσθαι αὐτεξούσιος μείνῃ ἔχων αὐτὴν, οὐκ ἀτιμοῦται. εἰ μὴ κατ' ἀρχὰς ὁ πατὴρ γνῷ, ἀλλ' ὕστερον ἀποδέξηται τὸν γάμον: οὐκ ἀτιμοῦται. († τίνες οὐ πενθοῦνται.) († κακῇ συνειδήσει.)

Ανάγνωθι καὶ τίτλον γ. ἀνάγνωθι καὶ βιβλίον κη. τίτλον ε. κεφάλαιον ιζ. ἐν ᾧ φησίν.

Αἱ τῶν πενθουμένων, καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ, κωλύονται ἐν τῷ πενθίμῳ καιρῷ γαμεῖσθαι. ἡ δὲ τεκοῦσα ἐν τῷ πενθίμῳ, παραχρῆμα δύναται γαμεῖν.

Ανάγνω-

Ἀνάγνωθι καὶ τίτλον ιε. κεφάλαιον β. ἐν ᾧ διαλαμβάνεται ΠΕΡΙ' ΤΗ͂Σ ΤΕΚΟΥ'ΣΗΣ ΤΩ͂Ι ια. ΜΗΝΙ'. καὶ φησὶ ἐν τῷ ε. αὐτοῦ θεμ.

Ὅτι θεσπίζομεν εἴ τι τοιοῦτο συμβαίη, καὶ πρὸ τοῦ πενθίμου χρόνου τίκτοι γυνὴ πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε † ἀμφισβήτητον εἶναι, τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου: παντοίως αὐτὴν στερεῖσθαι τῆς προγαμιαίας δωρεᾶς, καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν, ὑποκειμένην καὶ τοῖς ἄλλοις ἅπασιν ἐπιτιμίοις, ὥσπερ εἰ δευτέροις ἔτυχε πρὸ τοῦ πενθίμου χρόνου νομίμοις ὁμιλήσασα γάμοις. μὴ γάρ ποτε πλεῖον ἐχέτω σωφροσύνης ἀσέλγεια. ἀλλ' ὑποκείσθω μὲν καὶ αὐτὴ ταῖς αὐταῖς ποιναῖς, κινδυνευέτω δὲ καὶ περὶ τὴν ἐλπίδα τῆς ἀπὸ τῆς μοιχείας γραφῆς, ὅπως ἂν μηδὲ γάμων ἀώρων ἐπιθυμοίη, μηδὲ τοὺς νομίμους γάμους μείζονι κακῷ σοφίζοιτο.

† ἀναμφισβήτητον.

Ἀνάγνωθι καὶ βιβλίον νθ. τίτλον α. κεφάλαιον † νζ. ἐν ᾧ φησίν.

† λζ.

Ὁ προδότης τῆς ἰδίας πατρίδος οὐ πενθεῖται, ἀλλὰ καὶ ἀψόγως παῖς πατέρα τοιοῦτον ἀναιρεῖ, καὶ τοὔμπαλιν. καὶ ἄθλων ἀξιοῦται. εἴρηται δὲ περὶ τῶν πρὸ τοῦ πενθίμου ἐρχομένων εἰς δεύτερον γάμον, καὶ ἐν τῷ περὶ δευτερογαμούντων πλατύτερον.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. κβ.

ΠΕΡΙ' ἈΠΟΔΕΙ'ΞΕΩΝ: ΚΑΙ' ΤΙ'Σ καὶ πῶς ὀφείλει ἀποδεικνύειν.

Τίτλ.α.κεφάλ.β.

Ὅτι ὁ λέγων, οὐ μὴν ὁ ἀρνούμενος, δεικνύει.

δ.

Ἐὰν μὴ δείκνυται, ὁ ἀγοραστὴς δεικνύει τὸν δοῦλον πρὸ τῆς πράσεως πεφευγέναι.

ς.

Ἐὰν μὴ δείκνυται εἰ παρὰ τῷ πράτῃ φυγὰς ἦν ὁ δοῦλος, τῇ ἐμβασανίῳ αὐτοῦ ζητήσει πιστεύομεν. καθ' ἑαυτοῦ γὰρ ἐρωτᾶσθαι δοκεῖ, οὐ μὴν ὑπὲρ δεσπότου, ἢ κατὰ δεσπότου. καὶ ὁ υἱὸς λέγων ἑαυτὸν αὐτεξούσιον, δεικνύει.

ια. θεμ β.

Ἔσθ' ὅτε ὁ ἐναγόμενος δείκνυσιν, ὡς ἐπὶ τοῦ συνομολογοῦντος μὲν δανείσασθαι, λέγοντος δὲ καταβεβληκέναι.

ιζ.

Ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων ἐστὶ. καὶ ὑπόκειται ταῖς ἀποδείξεσιν.

κβ.

Ἐὰν χιασθῇ τὸ γραμματεῖον, ὁ χρεώστης ἠλευ-

Legito ibid. & tit. XV. cap. II. in quo tractatur DE EA QVAE MENSE VNDECIMO PEPERIT. In cius V. them. dicitur:

Sancimus, ut si quid tale contigerit, & mulier intra tempus luctus sub finem anni pepererit, nullum ut dubium sit, eam sobolem ex priori matrimonio non existere; donationem ante nuptias omnibus modis amittat, tam ratione proprietatis, quam usus fructus, omnibus alijs quoque pœnis subyicienda, quasi si prius, quam lugendi tempus exisset, ad secundas legitimas nuptias conuolasset. Absit enim, ut umquam lasciuia potior sit condicio, quam castitatis. Nimirũ hac mulier pœnis hisce subycitor, & praterea in periculo as metu accusationis adulterij uersator: ut nec intempestiuas nuptias appetat, nec improbitate maiori legitimis nuptijs illudat. Nouel. 39. in fin.

Legendus & lib. LIX. tit. I. cap. *LVII. cuius uerba sunt: *XXXVII.

Proditor sua patria non lugetur, sed & absque uituperatione filius patrem, qui talis est, interficit; ac uice uersa. quinetiam pramijs dignus censetur. Ceterum de ijs, qua inter luctus tempus ad secundas nuptias accedunt, etiam in titulo de contrahentibus secundas nuptias latius dictum est. L. 35. D. de rel. & sumpt.

BASILICORVM LIBER XXII.

DE PROBATIONIBVS, ET quis, quoue modo probare debeat.

TIT. I. CAP. II.

Is probat, qui dicit; non qui negat. D. de probat.

IIII.

Nisi probetur, emtor probat seruũ ante uenditionem fugisse.

VI.

Si non probetur, an ad uenditorem seruus fugerit; quastioni eius tormentis facta credimus. nam in se, non pro domino, uel in dominum, interrogari uidetur. Filius quoque sui se iuris esse dicens, probat.

XI. them. II.

Interdum reus probat. uelut in eo, qui mutuum se quidem accepisse confitetur; uerum solutam esse pecuniam dicit.

XVII.

Reus in exceptionibus actor est, & ad probationes tenetur.

XXII.

Si cancellata fuerit cautio, debitor prasum-

tione liberatus est; nisi creditor probauerit, adhuc sibi deberi.

XXIII.

Quum de indebito quæritur, si quidem omnino se reus accepisse cõfiteatur, tum is qui se dicit indebitum soluisse, probat per dolum accipientis, uel aliam quam iustam ignorãtiæ caussam indebitum solutum. quod nisi faciat, condemnatur. Sin autem pupillus, uel minor, uel mulier, uel miles, uel imperitus & expers rerum ciuilium, uel alias simplex est, qui dedit; tunc qui accepit, ostendit se debitum accepisse. Sin is ab initio, qui accepit, accepisse se negauerit, et actor solutionem probauerit; tum uero non is qui dedit, indebitum se dedisse probat: sed is qui accepit, quod pecuniam debitam acceperit. Si quis autem nõ totum se dicat indebitum soluisse, sed uel partem, uel iterum soluisse, uel exceptionem habuisse: ipse, quisquis fuerit, quod dicit probat. In omnibus his licet iusiurandum inferre, ac sacramentum de calumnia præstatur, & referre. Atque hæc de solutione. Nam si quis dicat, se indebite cautionem fecisse, atque illa certa est: is qui eam accepit, probat esse debitum. Si uero specialiter is qui cautionem exposuit, caussas explanet, propter quas eamdem cõscripsit: procedere cogitur, nisi euidenter in scriptis probauerit, se hæc indebite promisisse.

XXVIII.

l.1. D. de fid. instrum.

Instrumentorũ nomine significantur omnia, quæ caussam instruunt. ideoq. tam testimonia, quam testes instrumentorum loco habentur.

XLI.

l.8. C. de probat.

Reus probationibus non oneratur.

LII.

l.26. eod.

Tractatur de proclamantibus in libertatem.

LVII.

Si quis scripturam aliquam protulerit, ipsius eam ueram esse probare debet. quippe ni hoc doceat, falsi iudicium sustinebit.

LX.

l.3. C. de fid. instr.

Qui apud acta contestatus est, se instrumento quodam non usurum: non amplius eo utitur.

LXXIII.

debet esse l.16. C. de fid. instrum. De infitiantibus suum chirographum, legito & lib. 22. tit.1. & nouel.59. deque hoc inuenies in tit. de debiti petitione.

Si quis conuentus, manum suam prolatam in cautione, in dote, uel in alia charta, fuerit infitiatus; siquidem ex comparatione conuictus fuerit, hoc est, prolata ipsius alia manu, & ad eam explorata, quæ est in cautione posita: pœnæ nomine pro mendacio suo XXIIII. aureos præstabit. Si uero uel tabellio productus fuerit, a quo perscriptum sit instrumentum, uel etiam alij quidam, de ueritate testantes: tunc præter XXIIII. aureorum pœnam, ne licentiam

θέρωται κατὰ πρόληψιν: εἰ μὴ δείξει ὁ δανειστὴς ἔτι χρεωσθῆναι.

κγ.

Ζητήσεως περὶ τοῦ μὴ χρεώστου γινομένης, εἰ μὲν ὅλως συνθῆται λαβεῖν ὁ ἐναγόμενος, τότε ὁ λέγων μὴ χρεωστῶν καταβαλεῖν, δείκνυσι † δόλον τοῦ δεξαμένου ἢ ἑτέραν εὔλογον ἄγνοιαν καταβαλεῖν: καὶ τοῦτο μὴ ποιῶν, καταδικάζεται. εἰ δὲ ἀνήβος, ἢ νέος, ἢ γυνὴ, ἢ στρατιώτης, ἢ ἄπειρος καὶ ἀχρεῖος πολιτικῶν πραγμάτων, ἢ ἄλλως ἁπλοῦς ἐστιν ὁ δεδωκὼς, τότε ὁ λαβὼν, δείκνυσι χρέος εἰληφέναι. εἰ δὲ τὴν ἀρχὴν ὁ δεξάμενος ἀρνήσηται λαβεῖν, καὶ συστῇ τῇ δόσει ὁ ἐνάγων, λοιπὸν οὐχ ὁ δεδωκὼς δείκνυσι μὴ χρεωστῶν δεδωκέναι, ἀλλ' ὁ δεξάμενος χρέος λαβεῖν. εἰ μέν τοι τὶς μὴ τὸ πᾶν λέγει καταβαλεῖν μὴ χρεωστούμενον, ἀλλὰ μέρος, ἢ δεύτερον, ἢ παραγραφὴν ἐσχηκέναι, αὐτὸς οἷος ἂν εἴη δείκνυσιν ὃ φησίν. ἐν πᾶσι τούτοις, ἐφεῖται ὅρκον ἐπάγειν, καὶ ὁ τῆς συκοφαντίας δίδοται, καὶ ἀντιπιφέρειν. ταῦτα περὶ καταβολῆς. εἰ γὰρ λέγοι τὶς μὴ χρεωστῶν ποιῆσαι γραμματεῖον, καὶ ἔστιν ἀσφαλὲς, ὁ λαβὼν αὐτὸ δείκνυσι χρεωστούμενον. εἰ δὲ ῥητῶς ὁ τὸ γραμματεῖον ἐκθέμενος εἴπῃ τὰς αἰτίας δι' ἃς συνεγράψατο, στοιχεῖν ἀναγκάζεται, εἰ μὴ προφανῶς δι' ἐγγράφων δείξῃ μὴ χρεωστῶν ὁμολογῆσαι.

κη.

Τῷ ὀνόματι τῶν δικαιωμάτων δηλοῦνται πάντα τὰ τὴν ὑπόθεσιν δεικνῦντα. διὸ καὶ τὰ ἐκμαρτύρια καὶ οἱ μάρτυρες, τάξιν δικαιωμάτων † ἀπέχουσιν. † ἐπέχουσι.

μα.

Ὁ ἐναγόμενος ἀποδείξεσιν οὐ βαρεῖται.

νβ.

Περὶ τῶν εἰς ἐλευθερίαν ἀναφωνούντων.

νζ.

Ἐάν τις προφέρῃ τινὰ γραφὴν, ὀφείλει † αὐτὸς αὐτὴν ἀποδεικνύειν ἀληθῆ, ἐπεὶ εἰ μὴ τοῦτο δείξει, πλαστογραφίας δίκην ὑφέξει. † αὐτός.

ξ.

Ὁ ἐν ὑπομνήμασιν ὁμολογήσας μὴ κεχρῆσθαι συμβολαίῳ, οὐκέτι αὐτῷ κέχρηται.

ογ.

Ἐὰν ἐναγόμενος τὶς ἀρνήσηται χεῖρα ἰδίαν προφερομένην ἐν γραμματείῳ, ἐν προικὶ, ἢ ἐν ἑτέρῳ χάρτῃ, εἰ μὲν ἀπὸ συγκρίσεως ἐλεγχθείη, τουτέστιν αὐτοῦ ἑτέρας προφερομένης χειρὸς καὶ ἀντεξεταζομένης πρὸς τὴν ἐν τῷ γραμματείῳ κειμένην, διδόναι αὐτὸν λόγῳ προστίμου τῷ ἐνάγοντι ὑπὲρ αὐτοῦ τοῦ ψεύδους κδ. νομίσματα. ἐὰν δὲ ἡ συμβολαιογράφος παρενεχθῇ, † παρ' ᾧ τὸ συμβόλαιον ἐγράφη, ἢ καὶ ἕτεροί τινες μαρτυροῦντες τῇ ἀληθείᾳ, τότε αὐτὸν πρὸς τῷ ἐπιτιμίῳ τῶν κδ. νομισμάτων οὐδὲ παῤῥησίαν δημόσ-

† κατὰ δόλον.

περὶ ἀρνουμένων τὸ ἴδιον χειρόγραφον, ἀναγίνωσκε καὶ βιβλ. κγ. τιτ. α. νεαρὰν νθ. ὅπερ εὑρήσεις τίτλῳ τῷ περὶ χρέους ἀπαιτήσεως.

† παρ' ὧ.

† δύναται. † δύναται ἔχειν πρὸς τὸ ἀντιθέναι τὴν τῆς ἀναργυρίας παραγραφήν· λέγοντα ὅτι καὶ τὸ συμβόλαιον ἐγένετο, οὐκ ἐδόθησαν τὰ ἐν αὐτῷ γεγραμμένα. ἀλλὰ πάντως καταδικάζεσθαι, κἂν εἰ μηδὲν αὐτῷ τῆς ἀληθείας κατεβλήθη. ταῦτα μὲν ἐὰν ἐνάγηταί τις ἐξ οἰκείου συναλλάγματος. εἰ δὲ ἐπίτροπός ἐστιν ἢ κουράτωρ ἑνὸς τῶν κουρατωρευομένων προσώπων, ἄρρεν ἔτι θήλεια κατὰ τὰς διατάξεις ἐπιτροπεύουσα τῶν ἰδίων παίδων, καὶ χεῖρα ἰδίαν προφερομένην ἐν τῷ συναλλάγματι τῶν ἐπιτροπευομένων ἢ κουρατωρευομένων ἀρνήσηται: τηνικαῦτα εἰ μὲν ἀπὸ μόνης συγκρίσεως ἐλεγχθείησαν ψευδόμενοι, παρέχειν αὐτοὺς τὰ κδ. νομίσματα. εἰ δὲ ἐκ παραγωγῆς συμβολαιογράφου ἢ μαρτύρων, τὴν μὲν τῆς ἀναργυρίας παραγραφὴν μὴ ἀφαιρεῖσθαι τοῖς ἐπιτροπευομένοις ἢ κουρατωρευομένοις προσώποις (οὐδὲ γὰρ ἥμαρτον ἐκεῖνοι) αὐτοὺς δὲ τοὺς ἐπιτρόπους ἢ κουράτωρας, ἑτέρους κδ. χρυσοὺς λόγῳ προστίμου διδόναι τῷ ἐνάγοντι: ἐχόντων τῶν ἐπιτροπευομένων καὶ κουρατωρευομένων σωζομένην αὐτοῖς τὴν τῆς ἀναργυρίας παραγραφήν. οὐδὲ γὰρ δίκαιόν ἐστιν αὐτοὺς ἐξ ἀλλοτρίων ἁμαρτημάτων ζημιοῦσθαι. ταῦτα περὶ τῶν ἐναγομένων εἰποῦσα ἡ διάταξις, ἔρχεται καὶ εἰς τὸ τῶν ἐναγόντων πρόσωπον, κελεύουσα, ἵνα ὁ ἐνά-

† ἰδίαν χεῖρα. γων † χεῖρα ἰδίαν ἀρνήσηται, κειμένην ἐν χάρτῃ κατ' αὐτοῦ προφερομένῳ, τυχὸν ἐν ἀποληπτικῇ ὁμολογίᾳ, καὶ αὐτὸς ὁμοίως (εἰ μὲν ἐκ μόνης συγ-

† ἐλεγχθείη. κρίσεως † ἐλεγχθείη) παρέχῃ τὰ κδ. νομίσματα. εἰ δὲ ἐκ παραγωγῆς συμβολαιογράφου ἢ μαρτύρων, τηνικαῦτα πᾶσι τρόποις ὑπολογίζεσθαι αὐτὸν τὰ ἐν ἐκείνῃ τῇ ἀποδείξει περιεχόμενα, κἂν μὴ τῆς ἀληθείας κατεβλήθησαν ἐπ' αὐτῷ. ταῦτα ἐὰν οἰκείῳ ὀνόματι ἐνάγηται. ἐὰν δὲ ἐπίτροπός ἐστιν ἢ κουράτωρ, δίδωσι μὲν διπλάσιον τὸ ἐπιτίμιον τῶν κδ. νομισμάτων. ὁ δὲ ἐπιτροπευόμενος ἢ κουρατωρευόμενος δύναται ἀντιτιθέναι τῇ ἀποδείξει τὴν ἀναργυρίαν. νόησον δὲ τὴν σύγκρισιν πανταχοῦ γίνεσθαι κατὰ τὴν νεαρὰν διάταξιν τὴν κελεύουσαν μεθ' ὅρκου γίνεσθαι τὰς τῶν γραμμάτων συγκρίσεις.

οζ.

Ζήτει τὸ περὶ τῶν ἀναγκαζομένων μαρτυρεῖν τίτ.

οη.

Ἐν τοῖς συναλλάγμασιν ἡ τῶν πραγμάτων ἀλήθεια σκοπείσθω μᾶλλον, ἤπερ τὸ ἔγγραφον.

Ἀνάγνωθι καὶ τίτλον γ. τοῦ αὐτοῦ κβ. βιβλίου. καὶ τίτλον δ. ἐν οἷς φησὶ περὶ τῆς τῶν προκομιζομένων ἐγγράφων βεβαιώσεως, διὰ τῆς τῶν πραγμάτων συγκρίσεως, καὶ διὰ τῆς τῶν μαρτύρων ὑπογραφῆς, καὶ ἑτέρων τινῶν σημείων. περὶ ὧν πλατύτερον ἐν

† τῆς περὶ. † τῆς περὶ βεβαιώσεως εὑρήσεις.

Ἀνάγνωθι καὶ βιβλίον κϛ. τίτλον ε. κεφάλαιον ρκε. ἐν ᾧ φησίν.

quidem habeat exceptionem non numeratæ pecuniæ opponendi, nec dicendi, quamuis instrumentum factum sit, non tamen esse data, quæ in eo perscripta sint: sed omnino condemnandus erit, etiamsi reapse nihil ei sit numeratum. Et hæc quidem, si quis ex contractu suo conueniatur. Sin tutor est, aut curator alicuius personæ, sub cura constitutæ, mas siue femina, quæ secundum constitutiones suorum liberum tutelam gerit, ac manum suam in contractu pupillorum uel puberum infitiatur: tunc si quidem ex sola comparatione conuicti de mendacio fuerint, aureos illos XXIIII. præstabunt. sin autem ex productione tabellionis aut testium: exceptio quidem non numeratæ pecuniæ personis sub tutela uel cura constitutis non adimetur, (nec enim ea deliquerunt) ipsi uero tutores aut curatores totidem alios XXIIII. aureos actori pœnæ nomine præstabunt; salua pupillis & puberibus non numeratæ pecuniæ exceptione. Nec enim æquum est eos ex delictis alienis damnum sentire. Postquam hæc de reis constitutio protulit, ad actorum quoque personam transit, iubens ut actor manum suam infitiatus in charta contra se prolata, puta in cautione receptoria, & ipse similiter, si sola comparatione conuictus fuerit, XXIIII. aureos præstet: sin tabellione uel testibus productis, tunc omnibus modis accepta ferātur, quæ illa probatione continentur, etiamsi reuera numerata non fuerint. Atque hæc, si suo nomine conueniatur. Si uero tutor est, aut curator, præstat ille quidem duplam XXIIII. aureorum pœnam; sed pupillus aut puber huic probationi exceptionem non numeratæ pecuniæ opponere potest. Ceterum animaduertito, comparationem ubique fieri secundum nouam illam constitutionem, quæ iubet, ut iureiurando prius præstito litterarum comparationes fiant. L.comparationes, C.eod.

LXXVII.

Quære in titulo de his, qui testimonium dicere coguntur.

LXXIX.

In contractibus rerum ueritas potius inspiciatur, quam scriptura. L.1.C.plus ual. quod.

Legendus & huius ipsius XXII. libri titulus III. & IIII. in quibus agitur de scripturis, quæ proferuntur, confirmandis per rerum comparationem, & testium subscriptionem, & alia quædam signa. de quibus inuenies in titulo de instrumentorum confirmatione.

Legito & lib. XXVI. tit. V. cap. CXXV. cuius hæc uerba sunt:

Qui adfirmat se soluisse debitum, probare debet. Ceterum si probauerit, cautionem secundum leges recipiet.

Legito & lib. L. tit. XI. cap. XI. in quo dicitur:

Nouel 18. cap. 10. *Si quis accusetur rerum alienarum detentor, isque neget eas res illius esse, de quo dicit actor; & coactus fuerit is, qui actionem intendit, uel instrumentis, uel testibus, uel alijs uti laboribus ad probandum, eas res illius esse; tamdem is qui semper infitiatus fuerat has eius esse, uoluerit instrumentis alterius uti, seq. dixerit ex hypothecis aut alijs caussis, ad eam personam relatis, actore potiorem esse: aliæ quidem omnes sententiæ cessent, quæ nostris antecessoribus ad animum acciderunt, modica uero quædam, & humana, ipsique rei consentanea pœna ijs, qui negarunt, irrogetur. Nam pro facta infitiatione, proque laboribus actoris, & caussæ nomine, quæ adhuc agitur, ad actorem possessio rerum, de quibus quæstio fuit, ita transferatur; ut licentiam habeat is, qui eam reddit, si qua iura sibi competentia habeat ab ea persona, circa quam prius infitiatio contigit, ea in medium proferendi, ac ius & æquum impetrandi, pœna dumtaxat in translatione possessionis circumscripta.*

Legendus & lib. VII. tit. XIIII. ubi dicitur:

L. 1. C. de iu. prop. cal. *In omnibus caussis, siue propter litteras certatum fuerit, siue propter instrumenta, siue propter quidquam aliud, in quo necessitas probationis incumbit: sancimus, non aliter easdem probationes præstare compelli, nisi prius is, qui eas exposcit, iuramentum de calumnia præstiterit, quod non caussa differendi litem allegationes huiusmodi proposuerit. Nam sacramenti metu contentiosa litigantium instantia compescitur. Ne uero temere ad seruorum quæstionem quidam uenientes, sui animi crudelitatem exerceant; non aliter eis concedi, qui quæstionem serui exposcunt, ad hoc uenire, uel audiri a iudice, nisi prius tactis sacrosanctis scripturis deponant, quod non odio seruorum, uel propter offensas coheredum ad hoc uenerint: sed quia aliter rerum hereditariarum ueritatem exquirere uel ostendere non possint.*

Legito & lib. LI. tit. IIII. cap. XXVI.

Item legendus titulus de his, qui testimonium dicere coguntur.

SCHOLION.

Legito & nouellā CXIX. in qua dicitur: si quis in quodā instrumento faciat alterius instrumenti

Ὅτι ὁ λέγων πεπληρωκέναι τὸ χρέος, αὐτὸς ὀφείλει δεικνύειν. λοιπὸν δὲ εἰ δείξει, ἀναλήψεται κατὰ τοὺς νόμους τὸ γραμματεῖον.

Ἀνάγνωθι καὶ βιβλίον ν. τίτλον ια. κεφάλ. ια. ἐν ᾧ φησίν.

Εἴ τις ἐγκαλοῖτο πράγματα κατέχειν ἑτέρου· φάσκοι δὲ οὐκ εἶναι τὰ πράγματα ἐκείνου, περὶ οὗ φησὶν ὁ διώκων· † ἀναγκασθῇ δὲ ὁ τὴν ἐναγωγὴν ποιούμενος ἢ συμβολαίοις, ἢ μάρτυσιν, ἢ ἑτέροις πόνοις χρήσασθαι πρὸς τὸ δειχθῆναι τὰ πράγματα ἐκείνου καθεστάναι, εἶτα ὕστερον ὁ μέχρι παντὸς † διαρνηθεὶς ἐκείνου ταῦτα μὴ γίνεσθαι, χρήσασθαι βουληθείη τοῖς ἐξ ἐκείνου δικαίοις, καὶ † φάσκειν ὡς ἐξ ὑποθηκῶν ἢ ἑτέρων αἰτιῶν εἰς ἐκεῖνο τὸ πρόσωπον ἀναφερομένων, κυριώτερος ἐστὶ τοῦ τὴν δίκην κινοῦντος: αἱ μὲν οὖν ἄλλαι πᾶσαι σχολαζέτωσαν γνῶμαι αἱ τοῖς πρὸ ἡμῶν παραστᾶσαι. μετρία δέ τις καὶ φιλάνθρωπος, καὶ † αὐτῆς τοῦ πράγματος ἐστοχασμένη ποινὴ τοῖς ἀρνηθεῖσιν ἐπαγέσθω. ὑπὲρ γὰρ τῆς περὶ ταῦτα ἀρνήσεως καὶ τῶν τοῦ διώκοντος πόνων καὶ λεγομένης ἔτι τῆς δίκης, ἐπὶ τὸν διώκοντα μετατιθέσθω τῶν πραγμάτων περὶ ὧν ἡ ζήτησις γέγονεν, ἡ νομή: ἄδειαν ἔχοντος τοῦ ταύτην ἀποδιδόντος, εἴ τινα δίκαια ἔχοι ἐξ ἐκείνου τοῦ προσώπου, περὶ οὗ πρότερον τὴν ἄρνησιν ὑπέμεινε, προσήκοντα αὐτῷ, ταῦτα προτιθέναι: καὶ τοῦ νόμου καὶ τοῦ δικαίου τυγχάνειν, τῆς ποινῆς ἐν μόνῃ τῇ μεταστάσει τῆς νομῆς περιϊσταμένης.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλ. ιδ. ἐν ᾧ φησίν.

Ἐν πάσαις ταῖς αἰτίαις εἴτε διὰ γράμματα ἐφιλονεικήθη, εἴτε διὰ συμβόλαια, εἴτε διά τι ἕτερον, ἐν ᾧ ἀνάγκη ἀποδείξεως ἔγκειται: θεσπίζομεν μὴ ἄλλως τὰς αὐτὰς ἀποδείξεις παρέχειν ἀναγκάζεσθαι, εἰ μὴ πρότερον ὅστις ταύτας † ἀπαιτεῖ, ὅρκον περὶ συκοφαντίας παράσχῃ. ὅτι οὐκ ἐπὶ τῷ ὑπερθέσθαι τὴν δίκην τὰς τοιαύτας † προσέθηκε δικαιολογίας. καὶ γὰρ τῷ φόβῳ τοῦ ὅρκου ἡ ἐμφιλόνεικος τῶν δικαζομένων ἔνστασις κατέχεται. ἵνα μὴ δὲ προπετῶς εἰς βάσανον οἰκετῶν τινὲς χωριζόμενοι, τὴν τοῦ ἰδίου λογισμοῦ ὠμότητα ἐγγυμνάζωσι: μὴ ἄλλως αὐτοῖς συγχωρεῖσθαι, οἵτινες τὴν βάσανον αἰτοῦσι τοῦ οἰκέτου, εἰς τοῦτο ἐλθεῖν, ἢ ἐκ τοῦ δικαστοῦ αὐτοὺς ἀκουσθῆναι, εἰ μὴ πρότερον κατασχεθεισῶν τῶν ἁγίων γραφῶν καταθῶνται, ὅτι οὐ μίσει τῶν οἰκετῶν, ἢ δι' ἀγανάκτησιν τῶν συγκληρονόμων εἰς τοῦτο ἦλθον: ἀλλ' ἐπειδὴ ἄλλως τῶν πραγμάτων τῶν κληρονομιαίων τὴν ἀλήθειαν ζητῆσαι ἢ ἀποδεῖξαι μὴ δύνανται.

Ἀνάγνωθι βιβλίον να τίτλον δ. κεφάλαιον κϛ.

Ἀνάγνωθι καὶ τὸν περὶ ἀναγκαζομένων μαρτυρεῖν τίτλον.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν ριθ. ἐν ᾗ φησίν, ὅτι εἴπερ τις ἔν τινι συμβολαίῳ ἑτέρου ποιήσηται μνήμην συμβολαίου,

μὴ δὲ

πρὸς μίαν ἀπάντησιν γίνεσθαι, ἢ μὴ τὸ δεύτερον συμβόλαιον προκομισθῇ. ἀνάγνωθι καὶ νεαρὰν ιη' ἐν ᾗ φησὶ περὶ τῶν ἀγνωμονούντων καὶ ἀρνουμένων τὰ ἴδια χειρόγραφα.

ΠΕΡΙ' Α'ΝΑΦΩΝΟΥ'ΝΤΩΝ ΕΙ'Σ ἐλευθερίαν ἤτι εἰς εὐγένειαν.

Τιτλ.α. κεφ.η.

Ὅτι καὶ ἀναφωνῶν εἰς ἐλευθερίαν δείκνυσι· εἰ καὶ τὸ μάλιστα ὁ παραγραφόμενος ὃ λέγει δεικνύει. καὶ κεφάλαιον νβ. καὶ βιβλίον μη. τίτλον η. οὗ τινος ἐν τῷ ζ κεφαλαίῳ φησίν.

Ὁ εἰς ἐλευθερίαν ἀναβοῶν, ἐνάγων ἐστίν. εἰ δὲ ἐκ ταύτης δουλαγωγεῖται, ὁ λέγων αὐτὸν εἶναι δοῦλον. εἰ δὲ ἄδηλόν ἐστι, τοῦτο αὐτὸ πρῶτον δεῖ σκοπεῖσθαι, ὥστε γνωσθῆναι τίς βαρεῖται ταῖς ἀποδείξεσιν.

Ἀνάγνωθι καὶ τίτλον θ. καὶ κ. καὶ κεφάλ. κα. ἐν ᾧ φησίν.

Ὁ ἀπὸ δουλείας ἀναφωνῶν εἰς ἐλευθερίαν, αὐτὸς βαρεῖται τῇ ἀποδείξει. ἐὰν δέ τις τὸν ἐλεύθερον εἰς δουλείαν ἕλκει, πάλιν αὐτὸς τοῦτο ἀποδείκνυσιν.

Ἀνάγνωθι καὶ τίτλον κα. καὶ κβ. καὶ τίτλον ι. ἐν ᾧ διαλαμβάνει περὶ τῶν εἰς εὐγένειαν ἀναφωνούντων ἀπελευθέρων. οὗ τινος ἐν τῷ β. κεφαλαίῳ φησίν.

Ἀπελεύθερος εὐγενὴς εἶναι λέγων, ἐντὸς ε. ἐτῶν ἀφ' οὗ ἠλευθερώθη ἀκούεται. εἰ δὲ μετὰ ταῦτα λέγει εὑρεῖν δικαιώματα ὑπὲρ τῆς εὐγενείας, δεῖ αὐτὸν βασιλεῖ προσελθεῖν, ἐφ' ᾧ διαγνῶναι.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλ. ε. κεφάλαιον πς. καὶ πζ. καὶ πη.

Ὅτι πᾶς ἀναφωνῶν εἰς ἐλευθερίαν ἀπὸ δουλείας, ἐν τῷ φόρῳ τοῦ λεγομένου δεσπότου δικάζεται.

ΠΕΡΙ' Ε'ΛΕΥΘΕ'ΡΩΝ ΠΡΑΘΕ'ΝΤων, ἢ δουλαγωγουμένων, ἢ βίᾳ κατεχομένων.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. ιη.

Ὁ βίᾳ τὸν ἐλεύθερον συλλαβόμενος καὶ δήσας, οὐκ ἔστι νομεύς.

Ἀνάγνωθι καὶ βιβλίον κη. τίτλον η. κεφάλαιον ιδ. καὶ κη. ἀνάγνωθι καὶ τίτλον κ. οὗ τινος ἐν τῷ ιβ. κεφαλαίῳ φησίν.

Ἐάν τις τὸν ἐλεύθερον ἀγοράσῃ, οὐ κτᾶται αὐτὸν δοῦλον.

Ἀνάγνωθι καὶ τίτλον κβ οὗ τινος ἐν τῷ ε. κεφαλαίῳ φησίν.

Ὁ δουλαγωγούμενος καὶ λέγων τινὰ χρεωστεῖσθαι, ὀφείλει πρότερον ἀποδεῖξαι τὰ περὶ τῆς τύχης τῆς ἰδίας: καὶ μετὰ ταῦτα περὶ τῶν κεχρεωστημένων αὐτῷ ἐναγάγειν.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον μζ. καὶ τίτλον μη. κεφάλαιον ιη. ἐν ᾧ φησίν.

mentionem: nihil peti posse, nisi & alterum illud instrumentum proferatur. Legito & nouellam XIIX in qua tractatur & de contumacibus atque chirographa sua infitiantibus.

DE PROCLAMANTIBVS AD libertatem, siue ingenuitatem.

Eiusd. I. tit. cap. VIII.

Qui proclamat ad libertatē, probat: quamuis excipiens plerumq. quod ait probet. Adiunge caput LII. Item lib. XLVIII. tit. VIII. cuius VII. cap. dicitur: l.8.D.de prob.

Qui ad libertatem proclamat, actor est. At uero si ex hac in seruitutem petatur, actor est is, qui seruum esse dicit. Sin autem incertū est, hoc ipsum prius est spectādum, ut cognoscatur, quis probationibus oneretur.

Legito & tit. IX. & XX. cap. XXI. cuius uerba sunt:

Qui ex seruitute proclamat in libertatem, ipse probatione oneratur. At si quis liberum in seruitutem trahat, rursus idem hoc probat. l.21.C.de lib. cau.

Legito & tit. XXI. & XXII. & tit. X. in quo tractatur de libertis ad ingenuitatem proclamantibus. Eius cap. II. dicitur:

Ingenuum se libertus adserens, intra quinquennium, ex quo manumissus est, auditur. Sin autem postea dicat, instrumenta se pro ingenuitate reperisse: principem ipsum adire cogniturum oportebit. l.2.D.si ingen. esse dic.

Legito & lib. VII. tit. V. cap. LXXXVI. & LXXXVII. & LXXXVIII.

Quicumque in libertatem ex seruitute proclamat, in eius foro, qui se dominum dicit, iudicium sustinet. l.4.C.ubi cau. stat.

DE LIBERIS HOMINIBVS DIstractis, uel in seruitutem reuocatis, uel ui detentis.

Tit. I. eiusd. cap. XVIII.

Qui liberum hominem ui rapuerit, & uincierit, non est possessor. l.10.D.de prob.

Legito & lib XXVIII. tit. VIII. cap. XIIII. & XXVIII. Item tit. XX. cuius XII. cap. dicitur:

Si quis hominem liberum emerit, non facit illum seruum.

Adiunge tituli XXII. cap. V. cuius uerba sunt:

Qui reuocatur in seruitutem, ac debitum ab aliquo petit, eum prius oportet statū suum probare, ac postea debitorum nomine conuenire. l.5.C.de ord. cognit.

Legendus & lib. LX. tit. XLVII. & tit. XLVIII. cap. XVIII. in quo dicitur:

l.15.C. ad l. Fab. de plag. De pœna plagiariorum.

Qui liberum sciens inuitum uendit, plagiarius est. ac si quidem seruus est, aut libertinus, uerberato ac tonso manus abscinduntor: sin liber, manus ei dumtaxat abscinduntor. Similiter illi manus abscinduntor, qui liberum sciens emit, uel donauit, uel in dotem dedit, uel permutauit.

SCHOLION.

Legito & lib. XIX. tit I. cap. LXXIX in quo dicitur de filio distracto, de quo dicitur in titulo de emtione.

DE PRAELATO DIE.

Tit. eiusdem cap. XXX.

l.3. D. de fid. instrum. *Tametsi fieri non debeat diei prælatio, tamen quod attinet eos, qui in hoc consenserunt, falsi crimen nō competit. Magis enim debitor, quam creditor, deliquit.*

Legito & lib. LX. tit. XLI. cuius cap. XXIIX. dicitur:

l.28. D. de l. Cor. de fal. *Creditor diem pignorum præferens, falsi tenetur.*

APVD QVEM TESTAMENTI TABVLÆ deponi debeant, & de inofficioso testamento.

Tit. eiusd. cap. XXXII.

l. ult. D. de fid. instrum. *Si quæratur, cui testamentum deponi oporteat; senior iuniori, amplioris honoris inferiori, mas feminæ, ingenuus libertino præfertur.*

Legito & lib. XXXIX. tit. I. cap. III. in quo dicitur:

l.3. D. de inoff. test. *Inofficiosum quis testamentum dicit, quum ait exheredari se uel præteriri non debere. Nec enim consentiendum est parentibus, qui in testamentis iniuriam liberis faciunt. Legendus & lib. XXX. cap. XLIX.*

DE ARRIS.

Tit. eiusd. cap. LXXIIII.

l. contractus in fine. C de fid. instr. Instit. de emt. & uend. in principio. *Arræ naturam hanc tacite habent, ut siue is, qui eas dedit, contractum non impleat, omnibus modis arram perdat: siue qui eas accepit, non impleat; omnibus modis duplum restituat.*

DE TABELLIONIBVS ET instrumentis.

Tit. II.

Nouel. 44. in fin. & 47. in princ. *Tabelliones in aliam chartam instrumentum ne scribant, nisi quæ propositum habeat quod protocollum uocant. Et hoc quodam modo inchoanda sunt instrumēta:* IMPERII HVIVS VEL ILLIVS SACRATISSIMI AVGVSTI ET IMPERATORIS ANNO ILLO. *Secundum hæc consulis, qui eo anno fuerit, nomen subyciatur; ac indictioni tertio loco mensis atque dies adiungantur.*

περὶ ποινῆς τῶν ἀνδραποδιστῶν.

Ὁ τὸν ἐλεύθερον ἐν εἰδήσει μὴ βουλόμενον πιπράσκων, ἀνδραποδιστής ἐστι. καὶ εἰ μὲν δοῦλός ἐστιν, ἢ ἀπελεύθερος, τυπτόμενος καὶ κειρόμενος, χειροκοπείσθω. εἰ δὲ ἐλεύθερός ἐστι, χειροκοπείσθω μόνον. ὁμοίως χειροκοπείσθω, καὶ ὁ τὸν ἐλεύθερον εἰδὼς ἀγοράσας, ἢ δωρησάμενος, ἢ εἰς προῖκα δοὺς, ἢ καταλλάξας.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ βιβλίον ιθ. τίτλον α. κεφ. οθ. ἐν ᾧ φησὶ περὶ υἱοῦ πραθέντος· ὅπερ προείρηται ἐν τῷ περὶ ἀγορασίας.

ΠΕΡΙ † ΧΡΟΝΙΣΜΟΥ.

† προχρονισμοῦ.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. λ.

Εἰ καὶ μὴ χρὴ γίνεσθαι προχρονισμὸν, ὅμως ὅσον πρὸς τοὺς ἐκ συναινέσεως τοῦτο ποιήσαντας, οὐχ ἁρμόζει τὸ τοῦ πλαστοῦ ἔγκλημα. μᾶλλον γὰρ ὁ χρεώστης † ὅπερ ὁ δανειστὴς ἥμαρτεν.

† ἤπερ.

Ἀνάγνωθι βιβλίον ξ. τίτλον μα. κεφάλαιον κη. ἐν ᾧ φησίν.

Προχρονίζων τὴν ἡμέραν τῶν ἐνεχύρων ὁ δανειστὴς ὑπόκειται τῷ πλαστῷ.

ΠΑΡΑ ΤΙΝΙ ΟΦΕΙΛΕΙ Η ΔΙΑθήκη παρατίθεσθαι, καὶ περὶ ἀκαθηκούσης διαθήκης.

Τοῦ αὐτοῦ τίτλ. κεφ. λβ.

Ἐὰν ζητῆται, τίνι ὀφείλει ἡ διαθήκη παρατιθέναι, ὁ γέρων τοῦ νεωτέρου προκρίνεται: καὶ ὁ μείζονος τιμῆς, τοῦ ἥττονος: καὶ ὁ ἀνὴρ τῆς γυναικός: καὶ ὁ εὐγενὴς τοῦ ἀπελευθέρου.

Ἀνάγνωθι καὶ βιβλίον λθ. τίτλον α. κεφάλαιον γ. ἐν ᾧ φησίν.

Ἀκαθήκουσάν τις λέγω διαθήκην, ἐν τῷ λέγειν μὴ ὀφείλειν ἀποκληρον γενέσθαι ἢ ἀμνημονευτον. ὅτι γὰρ δεῖ τοῖς γονεῦσι συναινεῖν, ζημιοῦσι τοὺς παῖδας ἐν ταῖς διαθήκαις. ἀνάγνωθι καὶ βιβλίον λ. κεφάλαιον μθ.

ΠΕΡΙ ΑΡΡΑΒΩΝΩΝ.

Τοῦ αὐτοῦ τίτλ. κεφ. οδ.

Τοὺς ἀρραβῶνας φύσιν ἔχειν σιωπηρῶς τοιαύτην, ἵνα εἴτε ὁ δεδωκὼς μὴ πληροῖ τὸ συνάλλαγμα, πᾶσι τρόποις ἐκπίπτῃ τῶν ἀρραβώνων: εἴτε ὁ λαβὼν μὴ πληροῖ, πᾶσι τρόποις διπλάσιον ἀποδίδωσι.

ΠΕΡΙ ΣΥΜΒΟΛΑΙΟΓΡΑΦΩΝ καὶ συμβολαίων.

Τίτλ. β.

Τοὺς μὴ εἰς ἕτερον χάρτην τοὺς συμβολαιογράφους γράφειν συμβόλαιον, εἰ μὴ εἰς τὸν ἔχοντα προκείμενον τὸ καλούμενον πρωτόκολλον: καὶ οὕτως πως ἄρχεσθαι τῶν συμβολαίων: ΒΑΣΙΛΕΙΑΣ ΤΟΥΔΕ ΤΟΥ ΘΕΙΟΤΑΤΟΥ ΑΥΓΟΥΣΤΟΥ ΚΑΙ ΑΥΤΟΚΡΑΤΟΡΟΣ, ΕΤΟΥΣ ΤΟΣΟΥΔΕ. καὶ μετ' ἐκεῖνα ἐπιφέρειν τὴν τοῦ ὑπάτου προσηγορίαν τοῦ κατ' ἐκεῖνο τὸ ἔτος ὄντος, καὶ τρίτην τῆς ἐπινεμήσεως παρεπομένων τοῦ μηνὸς καὶ τῆς ἡμέρας.

ΣΧΟ-

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν νδ. καὶ νεαρὰν μζ ἐν ᾗ φησὶ δεῖν προτάττεσθαι τὸ τοῦ βασιλέως ὄνομα ἐν τοῖς συμβολαίοις καὶ τὸ ἔτος.

ΠΕΡΙ ΒΕΒΑΙΩ'ΣΕΩΣ ΤΩ͂Ν προκομιζομένων ἐγγράφων δικαιωμάτων.

Τίτλ. γ. κεφ. α.

Κἀκεῖνο δὲ ἡγούμεθα τῷδε χρῆναι † προσθεῖναι τῷ νόμῳ. ἐπειδὴ γὰρ ἤδη γεγράφαμεν νόμον βουλόμενοι ἐξ ἰδιοχείρων μηδεμίαν γίνεσθαι σύγκρισιν, εἰ μὴ ἄρα τριῶν μαρτύρων ὑπογραφὰς ἔχοιεν τὰ χειρόγραφα, καὶ αὐτοὶ οἱ μάρτυρες συνομολογήσωσιν ὅτι ὑπέγραψαν, ἢ ἀρνούμενοι περὶ τῆς ἰδίας χειρὸς ἀπὸ συγκρίσεως τῶν ἰδίων γραμμάτων ἐλεγχθῶσιν, ἀλλ' ἐκ μόνων τῶν ἀγοραίων: ὁρῶμεν δὲ τὴν τῶν πραγμάτων πεῖραν δεομένην προσηκούσης ἐπανορθώσεως ἐν τῷ νόμῳ, καὶ τοῦτο ἐξ αὐτῆς τῆς τῶν δικαζομένων εὕρομεν πείρας: ἐπανορθῶσαι αὐτὸν κατὰ τοῦτο βουλόμεθα τὸ σχῆμα. πολλάκις γὰρ προκομίσας τις ἰδιόχειρον συμβόλαιον, καὶ ἐξ αὐτοῦ ποιούμενος ἢ τὴν ἀγωγὴν, ἢ τῶν οἰκείων δικαίων ἀπόδειξιν, ἐπειδὴ τῆς αὐτῆς χειρὸς τὸ ἐναντίον μέρος προεκόμισε γράμματα, εἶτα νόμιμον σύστασιν ἐκεῖθεν ἠθέλησε γενέσθαι, ἐξ ὧν ὁ αὐτὸς ὁ ἀντιτεταγμένος αὐτῷ † προσκεκόμικεν, ὁ δὲ * ἀντέχοιτο τῷ νόμῳ, τῷ δεῖν ἐξ ἀγοραίων συμβολαίων γίνεσθαι †, ἀλλ' οὐ τῶν αὐτογράφων: θεσπίζομεν, εἴ τι τοιοῦτόν τι συμβαίη, καί τις βουληθείη πρὸς αὐτὰ τὰ παρὰ τοῦ ἀντιδίκου προκομισθέντα γράμματα γίνεσθαι τὴν ἐξέτασιν: μὴ διαβάλλεσθαι τοῦτο, ὡς οὐκ † ὀρθὸν γινόμενον. ᾧ γὰρ αὐτὸς πιστεύει, καὶ ὃ προκεκόμικε, καὶ ἐξ οὗ τὰ οἰκεῖα ἐπιρρώννυσι, τοῦτο οὐκ ἂν διαβάλοι, † εἰ δὲ κωλύσειε τὴν σύγκρισιν τῶν γραμμάτων γενέσθαι πρὸς αὐτὸ, κἂν εἰ τύχοι καθεστὼς ἰδιόχειρον. οὐ γὰρ ἂν αὐτὸς ἑαυτῷ πολεμοίη, καὶ ἅπερ ἰσχυρίζεται, ταῦτα διαβάλοι. εἰ δὲ καὶ ἐκ δημοσίων ἀρχείων προκομισθείη χάρτης, οἷον ἀπόδειξις τῆς τραπέζης τῶν ἐνδοξοτάτων ὑπάρχων (ἴσμεν γὰρ δὴ καὶ τοῦτο ζητηθὲν) καὶ τὸ ἐκ τῶν δημοσίων προκομιζόμενον, καὶ δημοσίαν ἔχοι μαρτυρίαν: καὶ τοῦτο δεκτὸν εἶναι πρὸς τὰς συγκρίσεις τίθεμεν. πανταχοῦ γὰρ τὰ τῆς παραποιήσεως μισοῦντες † πλημμελήματα, καὶ τὸν ὅρκον δεδωκέναι τοὺς † ἀντεξετάζοντας τὰ γράμματα νενομοθετήκαμεν, καὶ τὴν ἐξ ἀγοραίων μόνον συμβολαίων παράθεσιν εἰσηγησάμεθα. ὥστε κρατείτω διὰ πάντων ὁ νόμος ἐκεῖνος, τῆς παρούσης ὑποδιαιρέσεως ἐπιτεθειμένης αὐτῷ, τοῦ μέντοι ὅρκου τῶν συγκρινόντων ἐκ τρόπου παντὸς διδομένου.

† προστεθῆναι. † προσκεκόμικεν. * ἀντέχηται. † γίνεσθαι τὰς συγκρίσεις. † ὀρθῶς. † ἰδί. † πλημμελήματα † τοὺς τὰς συγκρίσεις ποιοῦντας ταβελλίωνας.

SCHOLION.

Legito & nouellam * LIIII & nouellã XLVII. in qua dicitur, debere nomen imperatoris in instrumentis primo loco poni, una cum anno.

* XLIIII.

DE CONFIRMATIONE INSTRVMENTORUM, QUÆ IN SCRIPTIS PROFERUNTUR.

Tit. III. cap. I.

Nouel. 49. cap. 2.

*Illud etiam huic adyciendum legi ducimus. Quando enim iam lex a nobis est lata, quæ uult ne qua litterarum comparatio fiat ex priuatis chirographis, nisi trium ea testium subscriptiones habeant, & testes ipsimet confiteantur se subscripsisse, uel infitiantes ex cõparatione suarum litterarum conuicti de manus suæ scriptura fuerint, sed tantum ex forensibus & publicis [instrumentis]; uidemus autem rerum ipsarum experientiam egere conuenientis in lege correctionis, id quod de ipso litigantium experimento deprehendimus: hac eam forma corrigere uolumus. Nam sæpe contigit, ut quis instrumento prolato, quod eius manu scriptum esset, ex eoq; uel actione, uel allegationum suarum probatione instituta, posteaquam pars aduersa litteras eiusdem manus protulisset, deque ys ipsis legitimam probationem fieri cupiuisset, quæ aduersarius protulisset; ipse legis illius adiumento uteretur, quæ de publicis instrumentis, non de propria manu scriptis, litterarum comparationes fieri præcipit. Itaque sancimus, ut si quid eiusmodi accidat, & uoluerit aliquis ex ipsis litteris ab aduersario prolatis examinationem fieri; nequaquam hoc calumniæ sit expositum, quasi quod recte non fiat. quippe cui fidem ipsius habet, quodque protulit, & ex quo sua corroborat; id fieri nequit ut obtrectando criminetur, nec ut litterarum comparationem ad id fieri prohibeat, quamuis priuati hominis manu scriptum sit. Nec enim ipse secum pugnauerit, nec ea quæ adfirmat, falsitatis insimulauerit. Quod si de publicis archiuis charta prolata fuerit, puta si documentum mensæ gloriosissimorum præfectorum, (scimus enim & hoc aliquando quæsitum) & ex publicis quid proferatur, quod publicum testimonium contineat: id quoque admittendum ad comparationes statuimus. Nam quum in omnibus falsi delictum oderimus, & iusiurandum ab ys, qui * litteras examinant, præstari sancimimus; & collationem ex publicis dũtaxat instrumentis introduximus. Quapropter ea lex in omnibus rata sit, præsenti subdistinctione adhibita; ipsoq; iuramẽto ab ys, qui litteras comparant, omnimodo præstando.*

* hoc est, a tabellionibus, qui comparationes faciũt.

Titul.

Titulus IIII. etiam legatur, cuius I. cap. dicitur:

Nouel. 73. cap. 1.

*Si quis caute uult * deponere, non soli accipientis scriptura credat; (id quod mota lite in quaestionem deductum, quia non professus est suam scripturam esse, qui scripsisse dicebatur, magnas turbas dedit: ipso etiam alia scribere coacto, quae licet esse similia uiderentur, non per omnia tamen respondebant, ut sane litterarum nomine caussa † indefinita manserit) sed qui depositum tradit, etiam testes arcessat, quantum eius fieri potest, graues ac fide dignos, nec pauciores tribus: ne de solis * litteris, & earum examinatione pendeamus, sed etiam ab ipsis testibus aliquid adiumēti iudices habeant. Nam eiusmodi testimonia requirimus, ut testes † presentes dicant, se praesentibus eum subscripsisse, qui confecerit instrumentum, idque se [factum] scire. quippe si testes eiusmodi non pauciores tribus, fide dignos, reperiamus; tale testimonium non reijcimus. Nec enim hanc legem ferimus, ut probationes in angustum redigamus: sed ut efficiamus, quo & sint, & certa sint probationes. Sed & si quis instrumentum mutui, uel alterius contractus faciat, nec uelit hoc in publico componi, (quod & in deposito definimus) non ex sese fidem mereri putetur instrumentum crediti nomine scriptum, nisi testium quoque fide dignorum praesentiam habeat, non pauciorum tribus: ut siue ipsi compareant, & scriptura sua testimonium perhibeant, siue alij quidam, testantes se praesentibus instrumentum esse compositum; utrimque fidem contractus accipiat: non quod examinatio * scripturae prorsus reijcienda sit, sed quod sola non sufficiat, uerum per accessionem testium confirmetur. Quod si quid tale usuueniat, quale quiddam in Armenia contigit, ut aliud collatio scripturae, aliud testimonia efficiant: tunc nos quidem existimamus ea, quae uiua uoce proferuntur, & cum praestatione iurisiurandi, maiorem quam ipsam per se scripturam, fidem mereri. Verum esto iudicantis hoc prudentiae simul atque religionis, ut ueris potius, quam eiusmodi fidem habeat. Ac nos quidem hoc pacto fidem instrumentorum probandam putamus. Verum si quis uel deponens aliquid, uel mutuans, uel aliter contrahens, sola contrahentis secum scriptura contentus sit: eius erit scire, se rem totam illius fidei credidisse. Ac scripturam quidem quod attinet, per eam parum sufficiens & idonea, secundum nostram legem, fides instrumento conciliatur.*

* hoc est, alicui depositum tradere.

† lis non transacta.

* uidelicet eius, qui deposi tum accepit, & scripturam manu sua fecit.

† adstantes in iudicijs.

* uidelicet illius, qui depositum accepit, & se accepisse scripsit.

Ἀνάγνωθι καὶ τίτλον δ΄. οὗ τινος ἐν τῷ α΄. κεφαλαίῳ φησίν.

Εἴ τις ἀσφαλῶς † παρακατατεθεῖσθαι βούλεται, μὴ μόνοις πιστευέτω τοῖς τοῦ λαμβάνοντος γράμμασι (τοῦτο ὅπερ ἐν τῇ δίκῃ ζητηθέν, ἐπειδήπερ οὐ συνωμολόγησεν ὁ γεγραφέναι λεγόμενος αὐτοῦ καθεστάναι τὰ γράμματα, μεγάλην ἔσχε ταραχήν, καὶ γράψαι ἕτερα καταναγκασθέντος ἅπερ ἔδοξε παρόμοια μέν, οὐ μὴν διὰ πάντων ἐοικότα, † καὶ τό γε ἐπὶ τοῖς γράμμασιν ἀκρίτου τοῦ * πράγματος μεμενηκότος) ἀλλ' ὁ τὴν παρακαταθήκην διδοὺς † προσκαλείσθω καὶ μάρτυρας, ὡς οἷόν τε σεμνοὺς καὶ πίστεως ἀξίους, καὶ οὐκ ἐλάττους τριῶν: ἵνα μὴ ἐπὶ μόνων ἠρτήμεθα τῶν * γραμμάτων, καὶ τῆς τούτων ἀντεξετάσεως, ἀλλ' εἴη τοῖς δικάζουσι καὶ ἡ παρὰ μαρτύρων βοήθεια. καὶ γὰρ δὴ καὶ τοιαύτας μαρτυρίας προσιέμεθα, ὥστε * παρόντας μάρτυρας λέγειν, ὡς αὐτῶν παρόντων ὑπέγραψεν ὁ τὸ συμβόλαιον ποιούμενος, καὶ τοῦτο ἐπίστανται. εἰ γὰρ εὕροιμεν καὶ τοιούτους τινὰς μάρτυρας οὐκ ἐλάττους τῶν τριῶν ἀξιοπίστους καθεστῶτας, οὐδὲ τὴν τοιαύτην ἀπαγορεύομεν πίστιν. οὐ γὰρ ἵνα συστείλωμεν τὰς ἀποδείξεις, τίθεμεν τὸν νόμον, ἀλλ' ἵνα καὶ εἶναι † αὐτοὺς ποιήσωμεν καὶ ἀσφαλῶς εἶναι. ἀλλὰ κἂν εἴ τις δανείσματος συμβόλαιον, ἢ ἄλλου τινὸς πράττοι, καὶ μὴ βούλεται οὕτω † ἀπ' ἀγορᾶς συντεθῆναι (ὅπερ καὶ ἐπὶ τῆς παρακαταθήκης ὁρίζομεν) μὴ αὐτόθεν ἀρκείτω πιστὸν τὸ γραφόμενον ἐπὶ τῷ δανείσματι συμβόλαιον, πλὴν εἰ μὴ καὶ μαρτύρων ἔχει παρουσίαν ἀξιοπίστων, οὐκ ἐλαττόνων τῶν τριῶν, ἵνα † τι αὐτοὶ παραγίνοιντο, καὶ τοῖς οἰκείοις μαρτυρήσαιεν γράμμασιν. εἴτε ἕτεροί τινες, μαρτυροῦντες ὡς παρόντων αὐτῶν τὸ συμβόλαιον συνετάγη, † λαμβάνει τὸ πρᾶγμα τὴν πίστιν ἑκατέρωθεν, οὐκ ἀποβλήτου παντελῶς καὶ τῆς τῶν † γραμμάτων ἐξετάσεως οὔσης, ἀλλὰ μόνης οὐκ ἀρκούσης, τῇ δὲ προσθήκῃ τῶν μαρτύρων βεβαιουμένης. εἰ μέντοι † τοιοῦτο συμβαίη, ὁποῖον ἐπ' Ἀρμενίας ἐγένετο, καὶ ἕτερον μὲν ἡ παράθεσις τῶν γραμμάτων ἐποίει, ἕτερον δὲ αἱ μαρτυρίαι: τηνικαῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ ζώσης φωνῆς λεγόμενα καὶ μεθ' ὅρκων, ταῦτα ἀξιοπιστότερα τῆς αὐτῆς γραφῆς καθ' αὐτὴν τυγχάνειν. πλὴν ἀλλ' ἔσω τοῦτο τῆς τοῦ δικάζοντος ἀγχινοίας τε ὁμοῦ καὶ θεοφιλείας, τὸ τοῖς ἀληθέσι μᾶλλον αὐτὸν τῶν τοιούτων πιστεῦσαι. καὶ ἡμεῖς μὲν κατὰ τοῦτον τὸν τρόπον οἰόμεθα δεῖν ἀποδείκνυσθαι πιστὰ τὰ συμβόλαια. εἰ μέντοι τις ἢ παρακατατιθέμενος, ἢ δανείζων, ἢ ἄλλως συμβάλλων ἀρκεσθείη τοῖς γράμμασι μόνον τοῦ πρὸς αὐτὸν συμβάλλοντος, ἐπ' αὐτῷ κείσεται τὸ γινώσκειν, ὡς τῆς ἐκείνου πίστεως τὸ πᾶν αὐτὸς ἀνηρτήσατο. καὶ ὅσον μὲν ἐκ τῆς γραφῆς, οὐκ αὖ αὐτάρκης δόξειε κατὰ τὸν ἡμέτερον νόμον, τῷ συμβολαίῳ προστίθεσθαι πίστις.

εἰ δὲ

† παρακαταθέσθαι δύναται.

† κἄν τοι γε.

* ἀδιάλυτα ἔμενεν τὰ δίκαια.

† προσκαλείσθω.

* τοῦ λαβόντος δηλονότι, καὶ τὸ ἔγγραφον οἰκείᾳ χειρὶ ποιήσαντος.

* παρισταμένους ἐν δικαστηρίῳ.

† αὐτάς.

† ἵνα.

† ὅτι.

† λαμβανέτω.

† τοῦ λαβόντος καὶ γράψαντος ἐπίλαβον.

† τοιοῦτό τι.

εἰδὲ ἡ παρουσία τῶν μαρτύρων, ἐφ' ὧν τὸ συνάλλαγμα γέγονεν, ἢ ἴσως † ἡ τελευταία τοῦ πράγματος καταφυγὴ βοηθήσειεν αὐτῷ: (φαμὲν δὲ τὴν ἐξ ὅρκων) † ἀκυροῦμεν τὸ γινόμενον. τὰς γὰρ παραποιήσεις, καὶ τὰς μιμήσεις εὐλαβούμενοι, καὶ * γυμναῖς ταύταις αὐταῖς οὐ πιστεύοντες, τὴν τοιαύτην ἀκρίβειαν προστίθεμεν τῷ πράγματι: οὐχ ἵνα τοὺς † πιστεύσαντας ἀφελώμεθα τῆς ἑαυτῶν περὶ τοὺς φίλους πίστεως. ἀλλ' ἵνα, ὡς οἷόν τε τὴν ἀγνωμοσύνην τι καὶ ἄρνησιν πολλοῖς ἐλέγχωμεν τρόποις. ἀλλὰ καὶ τὰ συμβόλαια τὰ ἐπ' ἀγορᾶς συντελούμενα, εἰ καὶ τὴν τῶν συμβολαιογράφων ἔχει πλήρωσιν, προσλαμβανέτω καὶ αὐτὰ πρὸ τοῦ † τελέσματος, τὴν ἐν γράμμασι τῶν * μαρτύρων, ὡς εἴρηται, παρουσίαν. δεῖ μέν τοι τοὺς δικάζοντας, καὶ εἴτινα σημεῖα εὕροιεν προσγεγραμμένα τοῖς χάρταις, καὶ ταῦτα ἀναζητεῖν καὶ ἀναγινώσκειν πειρᾶσθαι, (πολλὰ γοῦν ἴσμεν, καὶ ἐξ ἐκείνων διαφανέντα) καὶ μὴ προχείρως τὰς πίστεις τῶν γραμμάτων ἐκ παραθέσεως ἑτέρων προσίεσθαι, διὰ τὰς ἔμπροσθεν ἡμῖν εἰρημένας αἰτίας. εἰ μέν τοί γε τελευτήσειεν ἅπαντες οἱ μάρτυρες, ἢ καὶ ἄπεισι τυχὸν, ἢ καὶ ἄλλως οὐ ῥᾴδιον ἐστὶ τὴν ἐκ τῶν μαρτύρων τῶν ὑπογεγραφότων πίστιν ἐπιθῆναι, μηδὲ ὁ συμβολαιογράφος περίεστιν ὁ τελέσας, εἴγε ἀγοραῖον εἴη, ὥστε μαρτυρήσαι τοῖς ἑαυτοῦ, ἢ μηδὲ ἐνδημοίη, ἀλλὰ πάντως ἀνάγκη τὴν ἀντεξέτασιν τῶν γραμμάτων, ἢ τῶν * τελεσάντων, ἢ τῶν ὑπογραψάντων παραλαβεῖν: τηνικαῦτα πρέπον ἐστὶν, ἰέναι μὲν ἐπὶ τὰς συγκρίσεις (οὐδὲ γὰρ παντάπασιν αὐτὰς ἀπαγορεύομεν) διὰ δὲ πάσης ἀκριβείας χωρεῖν, καὶ πάντως εἰ νομίσειεν αὐτὰς χρῆναι πιστεύειν, καὶ ὅρκον ἐπάγειν τῷ προκομίζοντι, ὅτι μηδὲν συνειδὼς πονηρὸν τῷ παρ' αὐτοῦ προκομιζομένῳ, οὐδέ τινα τέχνην περὶ τὴν σύγκρισιν γενέσθαι παρασκευάσας, οὕτω χρῆται τούτῳ, ὥστε μηδὲ ἀναιρεθῆναι τι παντελῶς, καὶ διὰ πάντων τὸ ἀσφαλὲς τοῖς πράγμασι φυλάττεσθαι. ἐπὶ γὰρ δὴ τῶν ἐπ' ἀγορᾶς συντελουμένων συμβολαίων, εἴπερ ὁ συμβολαιογράφος παρέλθοι καὶ μαρτυρήσειε μεθ' ὅρκου, εἰ μὲν οὐ δὴ ἑαυτοῦ ἔγραψεν, ἀλλὰ διά τινος τῶν ὑπουργούντων αὐτῷ, παρίτω κἀκεῖνος, εἴγε περίεστιν, καὶ εἰ δυνατὸν ὅλως αὐτὸν ἐστιν ἐλθεῖν, καὶ οὐδεμία τὴν αὐτοῦ πάροδον αἰτία κωλύει, ἢ νόσος τυχὸν ἰσχυρὰ, ἢ τις τῶν περιστάσεων τῶν ἄλλων, ἅπερ ἀνθρώποις ἅπαντα. εἰ δὲ καὶ ἀριθμητὴν ἔχοι τὸ συμβόλαιον, κἀκεῖνος παραγινέσθω, ὥστε τρεῖς εἶναι τοὺς μάρτυρας, ἀλλ' οὐχ ἕνα. εἰ δὲ οὔτε ἀριθμητὴς προσελήφθη, τό, τι

Margin notes (Greek): † τὸ ἔργον τοῦ λεγομένου τῶν γραφῶν ἐκ τοῦ ... ἀμφιβολίαν. † ἐκ ἀπορία. * ἄνευ μαρτύρων ἀπλῶς. † τελέσματος. † τὴν ἐκπλήρωσιν τῶν ταβελλιώνων γινομένην. * ἐπ' ἀμφοῖν τοῦ ... μαρτυρίου καὶ τοῦ ... * τῶν συγγραψαμένων ... γραμμάτων ... τῶν ταβελλιώνων ... γραφέντων ...

Sin autem præsentia testium, coram quibus contractus celebratus est, uel extremum rei fortasse * refugium (dicimus autem id, quod ex iuramentis petitur) opis aliquid ei ferat; nequaquam id, quod agitur, irritum esse uolumus. Quippe dum scripturæ deprauationes & imitationes cauemus, ijsque † nudis non credimus, huiusmodi accurationem in hac re adhibemus; non ut eos, qui fidem suis habent, abstrahamus ab hac erga suos amicos fiducia: sed uti, quantum eius fieri potest, perfidiam & infitiationem multis modis redarguamus. Quin & instrumenta, quæ publice perficiuntur, quamuis impletionem tabellionum habeant; ante * perfectionem tamen, † testium quoque scriptam, ceu diximus, præsentiam accipiant. Debent autem iudices & si qua signa repererint ad scripta chartis scrutari, & legere conari, (quippe multa scimus etiam de his paruisse) nec propter caussas a nobis prius indicatas, scripturarum probationes ex collatione aliarum admittere. Quod si testes uniuersi uita defuncti fuerint, uel absuerint forte, uel aliam ob caussam non facile sit adiumento testium, qui subscripserunt, fidem facere; nec tabellio superstes sit, qui perfecit instrumentum, (si quidem publicum erit) ut scriptis ab se testimonium perhibere posset, aut domi non sit; sed omnino necesse fuerit examinationem * scripturæ uel eorum, qui perfecerunt, uel eorum, qui subscripserunt, adiungere: tum uero par est ad litterarum quidem comparationes decurrere, (nec enim prorsus has reijcimus) sed omni cum accuratione procedendum erit, & omnino (si quidem iudex eis habendam fidem existimabit) iusiurandum quoque producenti deferendum, quo adfirmet, se nullius in prolato ab se instrumento fraudis sibi conscium, nec annisum, ut ulla in comparatione techna fieret, ita scilicet hoc uti: quo nec omnino quidquam perimatur, & per omnia rebus sua certitudo constet. Enimuero in illis instrumentis, quæ publice componuntur, si tabellio prodeat, & cum iurisiurandi præstatione testimonium dixerit, si quidem non ab eo scriptum sit instrumentum, sed per quemdam ex eius ministris: accedat is quoque, si quidem superstes est, & omnino adesse potest, accessum eius caussa nulla præpediente, puta morbo uehementiore, uel alio quopiam aduerso casu, cuiusmodi mortalibus accidunt. Quod si etiam adnumeratorem habet instrumentum, accedat & is; quo tres sint, qui testentur, non unus. Si uero nec adnumerator adhibitus fuit, ac to-

* scilicet ut eius iuramento, qui scripturam perfecisse dicitur, ambiguitas tollatur.
† a testibus scilicet destitutis.
* hoc est, ante cõpletionem tabellionum.
† ut addatur, coram hoc & illo teste.
* scilicet debitorũ, qui scripserunt. quippe scripturam dicit & eius, qui mutuum accepit, & eius qui absoluit, hoc est, tabularij qui perfecit. nam consentaneum est, eum qui accepit, initiũ quidem scripturæ facere: alium uero cõplere.

at totum instrumentum per se scripsit & absoluit tabellio, uel scriptor eius abest, aut alia de caussa nequit adesse, nihiloque minus ipse cum præstatione iurisiurandi confecto ab se operi testimonium perhibet, ita ut nullus comparationi litterarum locus relinqui debeat: etiam hoc modo fidem instrumenta mereantur. Quippe testimonium, quod illius uoce, qui cōpleuit instrumentum, profertur, & iusiurandum adiunctum habet; non potest non aliquod negotio momentum afferre. Sin tabellio rebus humanis excessit, & ex alia collatione testimonium completioni feratur: si quidem ita quoque superstitem instrumentum habet eum, qui composuit, & adnumeratorem; prodeant illi, si domi sunt, & fidem scriptura tam ex collatione completionum, quam ab ipsis testibus consequatur. Si uero nullus horum sit, tunc completionum collatio fiat, nec in hoc illa tantum sufficiant; uerum & aliorum, puta qui subscripserunt, uel ipsorum contrahentium scriptura examinentur: ut multis ex collationibus tam cōpletionis, quā subscriptorum forte, uel contrahentium, una quadam undique fides colligatur & efficiatur. Quod si nihil aliud inuentum fuerit, quam instrumentorū collatio: locum habeat id, quod hactenus obtinuit, ut qui ad instituendam comparationem instrumentum profert, sacramētum sollemne præstet. Atque uti negotium quamdam omnino consequatur accessionem, ad ampliorem rei fidem: etiam is ipse, qui hæc fieri postulabit, iureiurando confirmet, se nec instructum alia probatione idonea, ad instrumentorum comparationem deuenisse, nec quidquam circa hæc instituisse uel molitum esse, quod probabili modo ueritatem occultare possit. Estque situm in arbitrio contrahentium, his liberari, si uelint, & in hoc utrique consentiant, ut instrumenta insinuentur, & ipsimet contrahentes apud acta monumētorum profiteantur: quo immunes sint a perfidia, corruptione, deprauationibus, alijsque malis, quorum corrigendorum caussa legem hanc ferimus: manentibus scilicet in sua ui atque robore ijs, quæ iam a nobis de litterarum collationibus, quæ ex instrumentis manu priuata scriptis fiūt, sancita sunt: itidemque ratis illis, quæ in personis litterarum ignaris iampridem in iudicijs obtinent; postquam ex iudiciarijs formis ea conuenienter sunt explorata. Debent autem in his, qui litterarum rudes sunt, omnino tabularij testesque duo (quibus quidem in locis tabularij sunt) adhiberi, præsertimque testes contrahentibus non ignoti; ut illi quidem pro litterarum ignaro, uel

τό, τε συμβόλαιον ἅπαν διʼ ἑαυτοῦ γέγραφέ τε καὶ ἐτέλεσεν ὁ συμβολαιογράφος, ἢ ὁ τοῦτο συγγράψας ἄπεστιν, ἢ ἄλλως παρεῖναι οὐκ ἰσχύσει· αὐτὸς μέντοι μεθʼ ὅρκου τῷ οἰκείῳ τελέσματι † μαρτυρείτω, ὥστε μηδὲ τῇ συγκρίσει γίνεσθαι χώραν· ἔστω καὶ οὕτω πιστὰ τὰ συμβόλαια. ἡ γὰρ μαρτυρία καὶ παρὰ τῆς φωνῆς τοῦ τελέσαντος γινομένη, καὶ τὸν ὅρκον ἔχουσα προσκείμενον, ποιήσειεν ἄν τινα τῷ πράγματι ῥοπήν. εἰ δὲ ὁ συμβολαιογράφος ἐτελεύτησε, καὶ μαρτυρηθείη τὸ τέλεσμα ἐξ ἑτέρας παραθέσεως, εἰ μὲν καὶ οὕτως ἔχοι τόν τε συντάξαντα τὸ συμβόλαιον περιόντα, καὶ τὸν ἀριθμητήν· παρίτωσαν κἀκεῖνοι, εἴγε ἐνδημοῖεν, καὶ ἐχέτω καὶ τὴν ἐκ παραθέσεως τῶν πληρώσεων τὸ γράμμα πίστιν, καὶ τὴν ἐκ τῶν μαρτύρων. εἰ δὲ μηδεὶς τούτων εἴη, τηνικαῦτα γινέσθω μὲν ἡ τῶν τελεσμάτων παράθεσις, μὴ μόνα δὲ ταῦτα πρὸς τοῦτο ἀρκείτω, ἀλλὰ καὶ αἱ τῶν ἄλλων, τῶν ὑπογεγραφότων ἴσως, ἢ καὶ τῶν συμβαλλόντων γραφαὶ κατεξεταζέσθωσαν, ὥστε ἐκ πολλῶν παραθέσεων, τῶν τε τοῦ τελέσματος, τῶν τε † ὑπογραφέντων ἴσως, ἢ καὶ τῶν συμβαλλόντων, μίαν τινὰ συνάγεσθαι † πίστιν. εἰ δὲ οὐδὲν ἕτερον εὑρεθείη, πλὴν τῆς παραθέσεως τῶν συμβολαίων, τὸ μέχρι νῦν κεκρατηκὸς προβαινέτω, τὸ τὸν προκομίζοντα εἰς τὴν παράλληλα κρίσιν τὸ συμβόλαιον, ὀμνύναι τὰ νενομισμένα. ἵνα δέ τινα ὅλως τὸ πρᾶγμα λάβῃ προσθήκην, εἰς πλείονα τοῦ πράγματος πίστιν· καὶ αὐτὸς ὁ ταῦτα αἰτῶν γίνεσθαι, προσομνύτω, ὡς οὐδὲ ἄλλης εὐπορῶν πίστεως, ἐπὶ τὴν παράλληλα κρίσιν τῶν συμβολαίων ἐλήλυθεν, οὐδέ τι περὶ αὐτὴν ἔπραξεν ἢ ἐμηχανήσατο, ὅπερ (ὡς εἰκὸς) δυνηθείη τὴν ἀλήθειαν κατακρύψαι. ὧν ἔξεστιν ἀπηλλάχθαι τοῖς συμβάλλουσιν, εἴπερ βούλοιντο, καὶ ἑκάτεροι πρὸς τοῦτο συμβαῖεν, τὸ ἐμφανῆ ποιεῖσθαι † τὰ σύμβολα, καὶ κατατίθεσθαί τι ἐπὶ πράξεως ὑπομνημάτων αὐτοὺς τοὺς συμβάλλοντας, ἵνα ἀπαλλαγεῖεν ἀγνωμοσύνης τε καὶ νοθείας, καὶ παραποιήσεων, καὶ ὁπόσα ἄλλα κακὰ ἐπανορθοῦντες τὸν παρόντα τίθεμεν νόμον. τῶν ἤδη παρʼ ἡμῶν ἐπὶ τῆς παραθέσεως τῶν γραμμάτων τῆς ἐξ ἰδιοχείρων γινομένης νενομοθετημένων, ἐπὶ τῆς ἰδίας μενόντων ἰσχύος δηλαδή, καὶ τῶν ἐπὶ τοῖς τῶν γραμμάτων ἀνεπιστήμοσιν ἤδη κρατησάντων ἐν τοῖς δικαστηρίοις, τὴν ἑαυτῶν ἐχόντων ἰσχύν, ἐπειδήπερ ἐκ δικαστικῶν τύπων τὰ τοιαῦτα τὸν προσήκοντα ἔλαβεν ἐξετασμόν. δεῖ δὲ ἐπὶ τῶν γράμματα οὐκ ἐπισταμένων ταβουλλαρίους δύο πάντως καὶ μάρτυρας παραλαμβάνεσθαι, ἐν οἷς εἰσὶ ταβουλλάριοι τόποις, μάλιστα δὲ μάρτυρας οὐκ ἀγνῶτας τοῖς συμβάλλουσιν, ἵνα οἱ μὲν γράφωσιν ὑπὲρ τοῦ ἀγραμμάτου, ἢ ὀλιγο-

† μαρτυρεῖ.

† ὑπογεγραφότων.

† πανταχόθεν καὶ ἀποτελεῖσθαι πίστιν.

† τὰ συμβόλαια.

ὀλιγογραμμάτου καθεστῶτος, οἱ δὲ μαρτυρῶσιν, ὡς καὶ παρόντων αὐτῶν ταῦτα ἐπράχθη, καὶ εἰδόσιν αὐτὸν, καὶ οὕτως ἡ τῶν τοιούτων συμβολαίων ἐνδειχθείη πίστις. δῆλον οὖν ὡς οὐκ ἐλάττους πέντε μαρτύρων ἐπὶ τῶν τοιούτων παραληφθήσονται, ἐν οἷς ἔσται καὶ ὁ γράφων ὑπὲρ τοῦ συμβάλλοντος, ἢ τὸ πᾶν ἢ τὸ μετὰ τὰ ὀλίγα γράμματα τὰ παρ' ἐκείνου τεθέντα, ὥστε μηδὲν διαπιστεῖν τῆς εἰς ἄκρον ἀκριβείας. καὶ ταῦτα φαμὲν ἐπὶ τῶν ἐγγράφων συμβολαίων. εἰ γάρ τις ἀγράφως πρᾶξαι οἱονδήποτε συνάλλαγμα βουληθείη· τοῦτο πρόδηλον, ὡς ἢ τὴν διὰ μαρτύρων, ἢ τὴν διὰ ὅρκων δέξεται πίστιν, τοῦ μὲν ἐνάγοντος μάρτυρας παράγοντος, τοῦ φεύγοντος δὲ ὀμνύντος, ἢ ἀντεπάγοντος, καθάπερ ἂν ὁ δικαστὴς τὴν ὑπόθεσιν τάξειεν, ἵνα μηδὲν εἴη μηδὲ τούτων ἀδιόρθωτον. κἀκεῖνο μέντοι τῷ νόμῳ προσθεῖναι καλὸν, ὥστε εἰ μέχρι μιᾶς χρυσίου λίτρας εἴη τὸ συνάλλαγμα, τὴν τοιαύτην παρατήρησιν ἐπὶ † τούτου μὴ φυλάττεσθαι, ἀλλὰ κατὰ τὸ μέχρι νῦν πολιτευόμενον τὸ πρᾶγμα γίνεσθαι, ἵνα μὴ περὶ πραγμάτων σμικρῶν, μεγάλας συντριβὰς ὑπομένωσι ἄνθρωποι. ταῦτα δὴ πάντα κρατεῖν ἐπὶ ταῖς πόλεσι βουλόμεθα. ἐπεί τοιγε ἐν χωρίοις, ἔνθα πολλὰ τὰ τῆς ἁπλότητός ἐστι, καὶ οὐδὲ γραφόντων ἢ μαρτυρούντων πολλῶν εὐπορία, τὰ μέχρι † παρ' αὐτοῖς κρατοῦντα καὶ νῦν ἔστω βέβαια. τοῦτο γὰρ καὶ ἐπ' αὐτῶν τῶν διαθηκῶν, ἐφ' αἷς μάλιστα σπεύδομεν, ἤδη παρ' ἡμῶν νενομοθέτηται. καὶ τοῦτο πρὸς τούτοις παραγγέλλομεθα, ὥστε * εἴπερ τις ἔν τινι συμβολαίῳ ἑτέρου ποιήσηται μνήμην συμβολαίου, μηδεμίαν ἐκ ταύτης τῆς μνήμης ἀπαίτησιν γίνεσθαι, πλὴν εἰ μὴ καὶ τὸ ἕτερον συμβόλαιον, οὗτινος μνήμη κατὰ τὸ δεύτερον γέγονε, προκομισθείη, ἢ ἑτέρα παρασχεθείη κατὰ τοὺς νόμους ἀπόδειξις, ὅτι περ καὶ ἡ ποσότης, ἧς μνήμη γέγονε, ταῖς ἀληθείαις ὀφείλεται. τοῦτο γὰρ καὶ ἐπὶ τοῖς παλαιοῖς εὑρίσκομεν νόμοις.

† τούτῳ.

† τῶν πολ.

παρὰ μὲν. * εἴπερ [illegible]

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν μθ. κεφ. β. ἐν ᾗ καὶ περὶ συγκρίσεως γραμμάτων, καὶ περὶ ὅρκου διδομένου παρὰ τῶν διαδικαζομένων. καὶ νεαρὰν ογ. ἐν ᾗ φησί, πῶς χρὴ ἐπιστοῦσθαι τὰ ἐμφανιζόμενα συμβόλαια.

ΠΕΡΙ ΟΡΚΟΥ ΕΠΑΚΤΟΥ, ΚΑΙ ἀντεπαγομένου, καὶ δικαστικοῦ, καὶ τοῦ περὶ συκοφαντίας. καὶ τίνες οὐ δύνανται ὅρκον ἐπάξαι, ἢ ἀντεπάξαι. καὶ πότε οὐκ ἔχει παραγραφὴν ὁ ὀμνύς. καὶ ὅτι οἱ ἔνδοξοι καὶ οἱ ἀσθενεῖς οἴκοι ὀμνύουσι.

Τίτλ. ε. κεφ. α.

Ὅρκος ἐπιφερόμενος εἴτε παρὰ τοῦ ἀντιδίκου εἴτε παρὰ τοῦ δικαστοῦ, τέμνει τὴν ἀμφισβήτησιν. ἔοικε γὰρ διαλύσει, καὶ μείζων ἐστὶ

§.1.Instit.de nupt. *Cognatio nomen est generale, quod in tria diuiditur: in adscendentes, in descendentes, & in eos, qui ex transuerso sunt. Et adscēdentes quidem sunt, qui nos genuerunt. ueluti pater, mater, auus, auia, proauus, proauia, & qui adhuc supra hos sunt. Descendentes uero, qui ex nobis gignuntur. ueluti filius, filia, nepos, neptis, pronepos, proneptis, & qui adhuc infra hos sunt. Ex transuerso sunt, qui neque nos genuerunt, neque gignuntur a nobis: sed stirpem nobiscum radicemque communem habent. ueluti frater, soror, patruus, amita, consobrinus, consobrina, & qui ex his descēdunt. Ceterum haec ex transuerso cognatio, in duo diuiditur: in eos qui per sexū masculum, & qui per femineum nobis coniunguntur. Qualibet autem cognationis series uarios & diuersos gradus habet. Ac in adscendentibus quidem & descēdentibus simplicior quaedam est, facilisque graduum perceptio. Nam qualibet harum personarum gradum efficit, ac simpliciter quot generationes, tot etiam gradus sunt. In ijs uero, qui sunt ex transuerso, impeditior nec perceptu facilis est graduum inuentio. Non enim continuo currendum est ad personam ex transuerso, sed adscensio primum instituenda est ad adscendentes, donec ad eum perueniamus, qui huic ex transuerso personae uitae auctor est. Quo reperto, descendendum ad quaesitam ex transuerso personam, atque ita generationes omnes collectae numerandae sunt, tam in adscensu, quam in descēsu. Quamlibet enim generationem in gradu peculiari collocādo, numerationem institue: quod in descendentibus, expeditum est. uerbi gratia, filius meus quoto est gradu? I: quidem illum genui. Ecce, una generatio gradum unum effecit. itaque gradu mihi primo est. Nepos quoto? Ego filium genui, filius nepotē. Ecce generationes duae gradus duos effecerunt. Itaque nepos secundo mihi gradu est.*

κ.

Ὁ ἐν ἐπαρχίᾳ χειρίζων ὀφφίκιον, εἰ καὶ αὐτὸς οὐ δύναται γαμεῖν, κατὰ τὸν τοῦ ὀφφικίου καιρὸν, ἀλλ' οὖν τὰς οἰκείας θυγατέρας ἑτέροις πρὸς γάμον συνάπτειν, καὶ ἐπιδιδόναι προῖκα ὑπὲρ αὐτῶν, οὐ κεκώλυται.

λ.

Ἐὰν παρὰ τὰς διατάξεις ὁ ἄρχων ἐκ τῆς ἐπαρχίας ἀγάγηται συναινούσαν γυναῖκα, πῶς μὲν ἄχρηστος ὁ γάμος: ἐὰν δὲ μετὰ ταῦτα στέρξῃ τὸν πρὸς αὐτὸν γάμον ἡ γυνὴ, οἱ μετὰ ταῦτα τικτόμενοι παῖδες, νόμιμοί εἰσι.

ΠΕΡΙ ΒΑΘΜΩΝ ΣΥΓΓΕΝΕΙΑΣ.

Τοῦ αὐτοῦ τίτλου κεφ. ......

Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαιρεῖται δὲ εἰς τρία, εἰς ἀνιόντας, εἰς κατιόντας, καὶ εἰς τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν, οἱ ἡμᾶς γεγεννηκότες. οἷον πατὴρ, μήτηρ, πάππος, μάμμη, προπάππος, προμάμμη, καὶ οἱ ἔτι τούτων ἀνωτέρω. κατιόντες δὲ, οἱ ἐξ ἡμῶν γεννώμενοι. οἷον υἱὸς, θυγάτηρ, ἔκγονος, ἐκγόνη, προέκγονος, προεκγόνη, καὶ οἱ ἔτι τούτων κατωτέρω. ἐκ πλαγίου δὲ, οἱ μήτε ἡμᾶς γεγεννηκότες, μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες. οἷον ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεία, ἀνεψιὸς, ἀνεψιά, καὶ οἱ ἐκ τούτων κατιόντες μενοι. ἡ δὲ ἐκ πλαγίου συγγένεια, διαιρεῖται εἰς δύο, εἰς τοὺς κατὰ ἀρρενογονίαν καὶ κατὰ θηλυγονίαν ἡμῖν συναπτομένους. ἑκάστη δὲ τάξις συγγενείας, ποικίλους ἔχει καὶ διαφόρους βαθμούς. ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων ἁπλουστέρα τίς καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν. ἕκαστον γὰρ τούτων τῶν προσώπων, βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γενέσεις, τοσοῦτοι καὶ βαθμοί. δυσχερεστέρα δὲ καὶ οὐκ εὐκατάληπτος ἐκ πλαγίου, ἡ τῶν βαθμῶν εὕρεσις. δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι ἀνάβασιν ἐπὶ τοὺς ἀνιόντας, μέχρις οὗ ἐπιστῶμεν ἐκείνῳ τῷ αἰτίῳ τῆς γεννήσεως τοῦ ἐκ πλαγίου. εἶτα τοῦτο εὑρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τὸ ἐκ πλαγίου. καὶ οὕτως πάσας ἀριθμεῖν τὰς γεννήσεις τὰς συναγομένας, τοῦτο μὲν ἐπὶ τῆς ἀνόδου, τοῦτο δὲ ἐπὶ τῆς καθόδου. ἑκάστην γὰρ γέννησιν ἐν ἰδιάζοντι τάττων βαθμῷ, ποιοῦ τὸν ἀριθμόν. ἐπὶ μὲν τῶν κατιόντων, εὐχερὲς τοῦτο. οἷον ὁ υἱός μου πόστου ἐστὶ βαθμοῦ; ἐγὼ δὲ ἔτεκον. ἰδοὺ μία γέννησις, ἕνα βαθμὸν ἀπετέλεσεν. οὐκοῦν πρώτου μοί ἐστι βαθμοῦ. ὁ ἔκγονος πόστου; ἐγὼ ἐγέννησα τὸν υἱὸν, ὁ υἱὸς τὸν ἔκγονον. ἰδοὺ δύο γεννήσεις, δύο βαθμοὺς ἀπετέλεσαν. οὐκοῦν ὁ ἔκγονος ἐστὶ δευτέρου βαθμοῦ.

τὸ αὐτὸ

τὸ αὐτὸ ἐφεξῆς ἐπὶ προεκγόνου καὶ ἀπεκγόνου. ὁμοίως δὲ ἐπὶ τῶν ἀνιόντων. ὁ πατὴρ πόστου ἐστὶ βαθμοῦ; ἐμὲ ἐγέννησεν ὁ πατήρ. ἰδοὺ μία γέννησις, ἕνα βαθμὸν ἀπετέλεσεν. οὐκοῦν πρώτου μοι ἐστὶ βαθμοῦ. † πόσ. ὁ πάππος, † πόστου; ἐμὲ ὁ πατὴρ ἐγέννησεν· τὸν πατέρα ὁ πάππος. ἰδοὺ δύο γεννήσεις, δύο βαθμοὺς ἀπετέλεσαν. ἐστὶν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐπὶ μητρὸς καὶ μάμμης καὶ πάντων τῶν ἀνιόντων, ἀρρένων τε καὶ θηλειῶν. ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ὡς εἴρηται, δεῖ ἀνιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον, τὰς γεννήσεις ἀριθμοῦντα: καὶ πάλιν κατιέναι ψηφίζοντα τὰς γεννήσεις, ἕως οὗ ἔλθωμεν εἰς τὸ πρόσωπον, περὶ οὗ ἡ ζήτησις. εἰ γάρ τις σε ἐρωτήσει, ὁ ἀδελφος πόστου ἐστὶ βαθμοῦ; λέγε δευτέρου. διὰ τί; ἀνέρχῃ πρὸς τὸν πατέρα. ἰδοὺ μία γέννησις ἀπὸ τοῦ πατρὸς εἰς σε, ἕνα βαθμὸν ἀπετέλεσεν. εἶτα ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε πρὸς τὸν ἀδελφὸν προστιθεὶς ἐντεῦθεν ἑτέραν γέννησιν. ἰδοὺ δύο γεννήσεις, δύο βαθμοὺς ἀπετέλεσαν. οὐκοῦν καλῶς εἴρηται, ὅτι ὁ ἀδελφὸς δευτέρου βαθμοῦ ἐστί. πάλιν ἐάν τις σε ἐρωτᾷ, ὁ θεῖος πόστου σοι ἐστὶ βαθμοῦ; λέγε τρίτου. ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν σὸν πατέρα, καὶ λέγειν: ἐμὲ ἐγέννησεν ὁ πατήρ, τὸν πατέρα ὁ πάππος. ἰδοὺ δύο γεννήσεις. ὁ αὐτὸς πάππος τὸν ἐμὸν θεῖον. ἰδοὺ τρεῖς γεννήσεις, τρεῖς ἀπετέλεσαν βαθμούς. ὥστε οὖν τρίτου ἐστὶ βαθμοῦ ὁ θεῖος. οὕτως καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι, δύναμαι καταλαβεῖν τοὺς βαθμούς.

Ἀνάγνωθι καὶ βιβλίον με. τίτλον β. κεφάλαιον θ. ἐν ᾧ φησίν.

Ἡ συγγενικὴ βοήθεια ἐξ βαθμοὺς συγγενείας λαμβάνει, καὶ ἀπὸ τοῦ ἑβδόμου βαθμοῦ πρόσωπα δύο, τὸ τικτόμενον ἀπὸ δισεξαδέλφου καὶ δισεξαδέλφης.

Καὶ κεφάλαιον κβ.

Ὀγδόου βαθμοῦ συγγενὴς, κἂν μὴ ὑπεισέλθῃ τῇ κληρονομίᾳ, ἔχει τὴν τοῦ νόμου βοήθειαν.

Ἀνάγνωθι καὶ τίτλον γ. κεφάλαιον α. ἐν ᾧ φησίν.

Τῶν συγγενῶν οἱ μὲν τῶν ἀνιόντων εἰσίν, οἱ δὲ τῶν κατιόντων, ἄλλοι δὲ τῶν ἐκ πλαγίου. καὶ οἱ μὲν ἀνιόντες, καὶ οἱ κατιόντες ἀπὸ τοῦ πρώτου βαθμοῦ ἄρχονται. οἱ ἐκ πλαγίου δὲ, πρῶτον οὐκ ἔχουσιν, ἀλλ' ἀπὸ δευτέρου ἄρχονται. ἡνίκα δὲ περὶ κληρονομίας ἢ διακατοχῆς ζητεῖται, οὐ συντρέχουσιν ἀλλήλοις πάντοτε οἱ τοῦ αὐτοῦ βαθμοῦ ὄντες.

β.

Ἐν τῇ φυσικῇ συγγενείᾳ, τὸν ἕβδομον βαθμὸν οὐ παρεξερχόμεθα. οὐ γὰρ ἡ φύσις ἀνέχεται ὑπὲρ τοῦτον τὸν βαθμὸν τὴν ζωὴν τῶν ἀνθρώπων ἐκτείνεσθαι.

Idem deinceps in pronepote & abnepote. Similiter & in adscendētibus. Pater quoto mihi gradu iungitur? Me pater genuit. En una generatio gradum unum absoluit. Itaque primo mihi gradu eſt. Auus quoto? Pater me genuit, auus patrem. ecce generationes duæ gradus duos effecerunt. Igitur auus secundo mihi gradu eſt. Idem in matre, auia, & omnibus adſcendentibus, tam maſculis, quam feminis. In ijs autem, qui ex tranſuerſo ſunt, ueluti diximus, adſcendendum eſt ad auctorem generationis, ipſas generationes numerando: ac rurſus deſcendendū, computando generationes, donec ad eam perſonam deueniamus, de qua quæſtio eſt. Nam ſi te quis interrogauerit, frater quoto gradu ſit: reſponde, ſecundo. quamobrem? adſcendito ad patrem. Ecce una generatio inter patrem ac te, gradum unum conſtituit. Deinde quum auctorem generationis iam inueneris, ad fratrem deſcendito, alteram heic generationem adijciens. Ecce duæ generationes duos gradus effecerunt. Itaque recte dictum eſt, fratrem ſecundo gradu iunctum eſſe. Rurſum ſi te quis interroget, patruus quoto tibi gradu ſit? dic tertio. Nam te neceſſe eſt ad patrem tuum adſcendere, ac dicere: Pater me genuit, patrem auus. Ecce duæ generationes. Idem auus pâtruum meum procreauit. Ecce tres generationes gradus tres confecerunt. Itaque patruus tertio gradu eſt. Sic & in perſonis ordine ſequentibus, eamdem regulam obſeruans, gradus percipere poſſum.

Legito & lib. XLV. tit. II. cap. VIIII. cuius hæc uerba ſunt:

Indulgentia qua cognatis ſuccurritur, ſex gradus cognationis complectitur, & ex ſeptimo duas perſonas, quæ ſobrino & ſobrina naſcuntur. L.1.§.2.D.unde cogn.

Et XXII. cap.

Octaui gradus cognatus, licet non exſtiterit heres, legis indulgentiam habet.

Legito ibid. & tit. III. cuius I. cap. dicitur:

Cognatorum alij ſunt adſcendentes, alij deſcendentes, alij ex tranſuerſo. Et adſcendentes quidem ac deſcendentes, a primo gradu incipiunt: qui autem ex tranſuerſo ſunt, primum non habent, ſed a ſecundo incipiunt. Quum uero de hereditate uel bonorum poſſeſſione quæritur, non ſemper qui gradus eiuſdem ſunt, concurrunt. L.1.D.de grad.

II.

In cognatione naturali ſeptimum gradū non excedimus. Nec enim ultra gradum illum naturæ uitam hominum porrigi patitur.

DE ACTIONE RERUM amotarum.

Tit. XI. cap. I.

D. h. s.

*Uxor quæ marito furtũ fecit, actione rerum amotarum post diuortium conuenitur; non furti in duplum: sicut & * filia patri furtum faciens. Nam actio famosa aduersus uxorem non datur. Sin post diuortium res easdem cõtrectat, actione furti in duplum tenetur.*

*quippe ne illa quidem furti conuenitur.

III.

Ea quæ dicta sunt, de uxore quæ filiafamilias est, deq; uiro qui est filiusfamilias, dicimus.

VII.

Qui rerum amotarum actionem instituit, iusiurandum deferre potest: & prior ipse sacramentum de calumnia præstat. Is autem solus iurare cogitur, qui amouisse dicitur, non pater, aut heres eius. Est enim iniquum, alium de alieno facto iurare. Propterea non refertur nec item qui furti conuenitur, actori defert; ut iuret, an ipse fur sit. Ideoque nec mulier refert.

Si quidẽ uult is, cuius res amotæ sunt, ipsi reo iurat; sicuti lib. XII. Digestorum, tit. II. constitutione XXVIII. dicitur. Quando iusiurãdum non refertur.

DE CONTRAHENTIBUS SECUNdas nuptias, uel non contrahentibus: deque successione liberorum eorum: & de his qui ante tempus luctus exactum secundas ad nuptias conuolant.

Tit. XII. cap. I. & II.

Nouel. 22. cap. 20.

Soluto per omnia prius commemorata diuortia matrimonio, utrique coniugum prospere feliciterque cedet, si cubili priore contenti maneant, neque sequentibus matrimonijs procreata iam soboli forte mærorem adferant. quod si fecerint, & nuptijs prioribus institerint: sua quidem obtinebunt, id est, dotem mulier, uir donationem ante nuptias; non nimis hoc curiose nobis exigentibus, quod in secundis nuptijs: lucri facient autem, maritus ea, quæ ex dote; uxor, quæ ex donatione ante nuptias percipiuntur. Quia uero mulieres ad secundas nuptias non accedentes, quadam prærogatiua supra ceteras secundo nubentes, dignas esse censemus: iccirco sancimus, ut si qua secundis nuptijs amisso marito semet abstinet, non usumfructum dumtaxat donationis ante nuptias habeat, quemadmodum & prius sanciuimus; uerumetiam tantum proprietatis, quantum rata respectu liberorum pars efficit; ut ratione proprietatis, unius & ipsa filij personã sustinere uideatur. Atq; hæc non in matribus tantum esse rata iubemus, uerumetiã in patribus & alijs adscendentibus, qui ad secũdas nuptias non cõuolant.

ΠΕΡῚ ἈΓΩΓΗ͂Σ ἈΦΑΙΡΕσεως πραγμάτων.

Τίτλ. ια. κεφάλ. α.

Ὅτι γυνὴ κλέψασά τι ἐκ τοῦ ἀνδρὸς, τῇ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγῇ ἐνάγεται μετὰ διαζύγιον: οὐ μὴν τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον: ὥσπερ καὶ ἡ * θυγάτηρ κλέψασα ἐκ τοῦ πατρὸς. ἄτιμος γὰρ ἀγωγὴ κατὰ γαμετῆς οὐ δίδοται. εἰ δὲ μετὰ διαζύγιον ψηλαφᾷ τὰ πράγματα, τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἐνέχεται.

* οὐδὲ γὰρ οὐδ' αὐτὴ τῷ περὶ κλοπῆς ἐνάγεται.

γ.

Ὅτι τὰ εἰρημένα περὶ ὑπεξουσίας γυναικὸς λέγομεν: καὶ περὶ ὑπεξουσίου ἀνδρος.

ζ.

Ὅτι ὁ κινῶν τὴν περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγὴν, ὅρκον ἐπάγειν δύναται: καὶ ὀμνύει πρῶτος τὸν περὶ συκοφαντίας. ὁ δὲ λεγόμενος κλέψαι, μόνος ὀμνύειν ἀναγκάζεται: οὐ μὴν ὁ πατὴρ ἢ ὁ κληρονόμος αὐτοῦ. ἄδικον γάρ ἐστιν ἄλλον ὀμνύναι περὶ τοῦ ἀλλοτρίου ἀποτελίσματος. διὸ οὔτε ἀντιπεριφέρεται. οὔτε ὁ τῇ περὶ κλοπῆς ἐναγόμενος ἐπιφέρει τῷ ἐνάγοντι, ἵνα ὀμόσῃ ὅτι κλέπτης ἐστίν. ὅθεν οὐδὲ γυνὴ ἀντιπεριφέρει.

ἀλλ' εἰ θέλει ὁ τὴν κλοπὴν ὑποστάς, ἐπάγει τῷ ἐναγομένῳ αὐτῷ, ὡς βιβλίον ιβ. τῶν διγέστων, τίτλος β. διατάξει κη. ὅτε ἐν ὅρκος οὐ περιφέρεται ὅρκος.

ΠΕΡῚ ΤΩ͂Ν ΔΕΥΤΕΡΟΓΑΜΟΎΝτων, ἢ μὴ δευτερογαμούντων. καὶ περὶ διαδοχῆς τῶν παίδων αὐτῶν, καὶ περὶ τῶν πρὸ τοῦ πένθιμον χρόνον πληρωθῆναι, εἰς δεύτερον γάμον ἐρχομένων.

Τίτλος ιβ. κεφάλ. α καὶ β.

Λυθέντος τοῦ γάμου κατὰ τὰς ἔμπροσθεν ἁπάσας διαζεύξεις, εὐδαίμοσι μὲν καὶ μακαρίοις ἑκατέρῳ τῶν συμβαλλόντων μένειν ἐπὶ τῆς προτέρας εὐνῆς, καὶ μὴ τὴν γινομένην γενεὰν ταῖς ἐφεξῆς συνοικεσίοις ἴσως λυπεῖν. καὶ εἴγε τοῦτο πράξαιεν, καὶ ἐπὶ τῶν προτέρων σταῖεν γάμων, ἕξουσι μὲν τὰ οἰκεῖα, τουτέστι προῖκα μὲν ἡ γυνὴ, προγαμιαίαν δωρεὰν ὁ ἀνὴρ, οὐδὲν πολυπραγμονούντων ἡμῶν τοῦτο, ὅπερ ἐπὶ τῶν δευτέρων ἐστὶ γάμων: λήψονται δὲ τὰ κέρδη, ὁ μὲν ἀνὴρ τὰ ἐκ τῆς προικὸς, ἡ γαμετὴ δὲ τὰ ἐκ τῆς προγαμιαίας δωρεᾶς. † ἐπειδὴ καὶ τὰς γυναῖκας τὰς εἰς δεύτερον γάμον οὐκ ἐρχομένας προτιμήσεώς τινος ἀξίας παρὰ τὰς δευτερογαμούσας εἶναι νομίζομεν: θεσπίζομεν, εἴ τις ἀποβαλλομένη τὸν ἄνδρα, ἑτέρων ἀπόσχοιτο γάμων, † ἔχει μὲν αὐτὴν τὴν χρῆσιν τῆς πρὸ γάμου δωρεᾶς, καθὰ καὶ πρότερον ἐθεσπίσαμεν: ἔχειν δὲ αὐτὴν καὶ δεσποτείας τοσοῦτον, ὅσον ἡ πρὸς τοὺς παῖδας ἀναλογία ποιεῖ, ἵνα κατὰ τὸν τῆς δεσποτείας λόγον, ἑνὸς καὶ αὐτὴ παιδὸς πρόσωπον ἔχειν δοκῇ. ταῦτα δὲ κρατεῖν οὐκ ἐπὶ μητέρων μόνον κελεύομεν, ἀλλὰ καὶ ἐπὶ πατέρων καὶ τῶν ἄλλων ἀνιόντων βουλόμεθα, τῶν εἰς δευτέρους γάμους οὐκ ἐρχομένων. καὶ

† ἐπειδὴ.

† ἔχειν.

ἔσονται ταῦτα αὐτοῖς οἰκεῖα, οὐδὲν σχεδὸν τῆς ἄλλης αὐτῶν διαφέροντα κτήσεως, καὶ πᾶσαν ἄδειαν ἕξουσιν εἰς τὸ ἐκποιεῖν ταῦτα καὶ ἔτι περιόντες καὶ τελευτῶντες, καθ' ὃν ἂν βουληθεῖεν τρόπον. εἰ μέντοιγε ἀνεκποίητα αὐτὰ καταλίποιεν τελευτῶντες, καὶ μὴ ῥητῶς ἢ πάντα ἤ τινα τούτων πρός τινας παραπέμψοιεν, λαμβάνειν αὐτὰ τοὺς παῖδας ἐξ ἴσης, κἂν εἰ μὲν κληρονομοῖεν τοῦ πατρὸς ἢ τῆς μητρός, κἂν εἰ τινὲς μὲν αὐτῶν κληρονομοῖεν, τινὲς δὲ οὐχί. εἰ μή τις ἐξ αὐτῶν ἀχάριστος φανῇ· καὶ τῆς τοιαύτης φιλοτιμίας ἐκπέσοι. εἰ δὲ τῶν παίδων, οἱ μὲν ζῶσιν, οἱ δὲ ἀπέλθοιεν μέν, παῖδας δὲ καταλίποιεν, τὸ τοῦ τελευτήσαντος μέρος τοῖς ἐκείνου δίδομεν παισίν, εἰ κληρονομοῖεν τοῦ πατρός. ἐπεὶ τοίγε ἐπὶ τοὺς ἀδελφοὺς ἄγομεν αὐτό.

Ἀνάγνωθι καὶ τίτλον ιδ. οὗτινος ἐν τῷ α.
κεφαλαίῳ φησίν.

Εἰ μὲν ἄπαιδες διαμείνοιεν ἐκ τῶν προτέρων, ἢ καὶ ἐξ ἀμφοτέρων τῶν γάμων, οὐδεμία πολυπραγμοσύνη περὶ τὰ δεύτερα. ἀλλ' ἄνδρες μὲν ἀπελεύσονται παντελῶς πάσης παρατηρήσεως ἐλεύθεροι, γυναιξὶ δὲ μόνον ἐπικείσεται δέος τὸ μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου πρὸς δεύτερον ἐλθεῖν συνοικέσιον· ἢ γινώσκειν, ὡς εἴτι τοιοῦτο πράξαιεν, καὶ ἀώρους συναλλάξαιεν γάμους, ὑφέξουσι ποινάς, ἄλλας μὲν εἴπερ ἄπαιδες ἐκ τῶν προτέρων εἰσὶ συνοικεσίων, μείζους δέ, εἰ καὶ παῖδες ὑπεῖεν. εἰ μὲν γὰρ οὐχ ὑπέστι γονή, τὸ τῆς ἀτιμίας εὐθὺς ἐπακολουθήσει, καὶ ἔσται παντελῶς ἡ γυνὴ διὰ τὴν τῶν γάμων σπουδὴν ἠτιμασμένη. καὶ οὐδὲ λήψεταί τι τῶν παρὰ τοῦ προτέρου καταλελειμμένων αὐτῇ συνοικεσίου, οὔτε ἀπολαύσει τῆς προγαμιαίας δωρεᾶς, οὐδὲ τῷ συνοικοῦντι κατὰ τὸν δεύτερον γάμον περαιτέρω τῆς τρίτης τῆς οἰκείας περιουσίας ἐπιδώσει μοίρας. ἀμέλει οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλοτιμίας, οὐδὲ λήψεται παντελῶς παρ' οὐδενὸς τῶν ἔξωθεν, οὐ κλῆρον, οὐ λεγάτον, οὐ θανάτου αἰτίᾳ δωρεάν, ἀλλὰ ταῦτα ἐλεύσεται, † εἰ μὲν εἶεν παρὰ τοῖς κληρονόμοις τοῦ τελευτήσαντος, καὶ συγκληρονόμοις αὐτῆς, εἴγε ἠδύνατο κληρονομεῖν ὅλως, διὰ ταύτης οὐδ' ὁτιοῦν ὄφελος ἐχούσης. ἀλλ' εἰ γεγραμμένοι καὶ ἕτεροι τύχοιεν κληρονόμοι, εἴτε ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνους ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα. οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται, μήποτε δόξωμεν τὰ τοιαῦτα σωφρονίζοντες, τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας. ἀλλ' οὕτω μὲν τὰ παρὰ τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα, πρὸς ἑτέρους χωρήσει. τὰ δέ γε παρὰ τοῦ προτέρου συνοικήσαντος, ἀφίξεται παρ' αὐτῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος ἀνδρὸς συγγενείας, τὰ τῷ νόμῳ * περιεχόμενα, τουτέστιν ἀνιόντας καὶ κατιόντας, καὶ τοὺς ἐκ πλαγίου μέχρι δευτέρου τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως.

† [illegible]

* τουτέστιν υἱός, θυγάτηρ, ἔγγονος, ἐγγόνη, πατήρ, μήτηρ, πάππος, μάμμη, ἀδελφὸς καὶ ἀδελφή.

& erunt eis propria, nihil propemodum a ceteris eorum bonis discriminis habentia; concessa ysdem licentia tam uiuis, quam morientibus, ea quocunq. modo noluerint, alienandi. Quod si non alienata morientes reliquerint, nec nominatim uel omnia, uel quædam ex eis ad quosdam transmiserint: accipient ea liberi ex æquo, licet neque patris neque matris hereditatem adeant, uel aliqui ex eis adeant, aliqui non adeant: nisi quis eorum ingratus exstiterit, & huiusmodi largitione exciderit. Quod si quidam ex liberis superstites fuerint, quidam decesserint illi quidem, sed liberos post se reliquerint: defuncti partem liberis ipsius cōcedimus, si quidem patris heredes exstiterint. ceteroquin eam ad fratres eius transferimus.

Legito & tit. XIIII. cuius I. cap. dicitur:

*Quod si liberorum expertes manserint ex prioribus, uel etiam utrisque nuptys, nihil circa secundas est negotij: sed uiri quidem prorsus ab omni obseruatione immunes euadent, mulieribus autem metus hic dumtaxat incumbet, ne ante tempus anniuersarium ad secundum matrimonium conuolent: aut futurum sciant, ut si quid eiusmodi commiserint, & intempestiuis sese nuptys collocauerint, pœnas perferant, alias quidem si nullos ex prioribus coniugys liberos sustulerint; maiores uero, si & liberi subsint. quippe si nulla subsit soboles, infamia statim eam comitabitur, & erit omnino propter deproperatas nuptias infamis, neq. quidquam relictorum ex priori matrimonio capiet, neque donatione ante nuptias fruetur, neque secundo marito ultra tertiam patrimony sui partem offeret. Immo nec largitionis aliunde prouenientis fructum sentiet, nec penitus ab ullo extraneorum uel hereditatem, uel legatum, uel mortis caussa donationem accipiet: sed peruenient hæc, aut manebunt apud heredes defuncti, & ipsius mulieris coheredes, si quidē heres omnino esse poterat, ipsa scilicet nihil inde commodi ferente. Adeoque siue aly quoque scripti heredes exstiterint, siue qui ab intestato uocentur; ad eos bona tali mulieri relicta peruenient. Quippe fiscus illa sibi non uindicabit, ne forte huiusmodi castigando, fisci commodis prospicere uideamur. Atque hoc modo relicta illi ab extraneis ad alios concedent. Quæ autē a priori marito relicta fuerint, adempta mulieri peruenient ad decem illas personas ex defuncti cognatione, quæ edicto * continentur, id est, adscendentes, descēdentes, & ex transuerso, gradibus ad secundū usq. suo in ordine seruādis.*

Cap. 22. ibid.

*hoc est, filius, filia, nepos, neptis, pater, mater, auus, auia, frater, & soror.

quibus non existentibus, ad ærarium deuoluentur. Nec item longius suorum cognatorum hereditatē adibit ab intestato, quam ad tertium usque gradum. Quod si qui ab ea remotiores sunt, heredes alios habebunt. Pœna uero, quæ illi ante ceteras irrogatur, infamia scilicet, si quidem ex prioribus nuptijs liberos nullos habuerit, principis ita iubentis rescripto aboleri poterit. Sin autem liberi cuiuscumque sexus extent, permissum ei quidem est, principi pro abroganda infamia preces offerre; sed nullum ex rescriptis fructum percipiet. Si qua tamen uelit aliquid a principe commodi consequi, ceterisque pœnis liberari: natis ex priori coniugio liberis dimidiam patrimonij sui partem tribuat. qui sane si liberos habent, ad eos illa transmittent. Intestati autem, defuncti defunctorumque partes pro rata fratres eorum capient, qui & in reliquis defuncti defunctorumue filiorum bonis matri præferuntur. Si tamen omnes intestati decesserint, infelicitatis suæ consolationem mater capiat, dum ea recipit quæ liberis donauit. Quod si definitum luctus tempus mulier exspectet, indicatasque pœnas effugiat, ad secundas tamen nuptias conuolet: si liberos quidem non habeat, (dicatur enim & denuo) periculo res omnino caret; sin extet soboles, & lex adfectos ignominia liberos ob maternas nuptias uideat: omnē ei largitatem a marito profectam aufert iure proprietatis, usufructu dumtaxat relicto. Atque hæc statuta sunto tam de donatione ante nuptias, quam de largitione quauis alia; siue a marito uiuo ad eam peruenerit, uel ex testamento, uel mortis caussa donatione; siue pars sit institutionis, siue legatum. Et generaliter denique rem explicemus, omnis eam proprietatis titulus in ijs, quæ a priori marito ad eam peruenerint, destituet: eaque liberi accipient, & ius proprietatis statim consequentur eo tempore, quo matrimonium alterius mater amplexa fuerit.

Simile quiddam traditur XLI. lib. I. tit. III. cap.

SCHOLION.

Sciendum est, largitatem sponsaliciam, quam theoretrum uocant, etiam secundas contrahentem nuptias iure proprietatis accipere. Nam cap. XX tit. I. lib. XXX. dicitur, factas donationes ante nuptias iure consistere, licet eodem die nuptiæ fuerint consequutæ.

Atque hæ pœnæ tam mulieri, quam uiro incumbant. Quippe si & is, quum liberos habeat, uxorem alteram eis induxerit: lucra dotalia titulo proprietatis haud percipiet, nec ab uxore profecta quæ alia largitas ei solida futura est, extra ius utendi fruendi quoad uixerit.

ὧν οὐχ ὑφεστώτων, ἐπὶ τὸ ταμιεῖον ἐλεύσεται. ἀλλ' οὐδὲ πορρωτέρω κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπεισελεύσεται συγγενῶν, ἀλλὰ μέχρι τρίτου βαθμοῦ. οἱ πορρωτέρω δὲ, ἑτέρους ἕξουσι κληρονόμους. καὶ ἥν γε πρὸ τῶν ἄλλων αὐτῇ ποινῶν ἐπήγαγεν, φαμὲν δὴ τὴν ἀτιμίαν, εἰ μὲν ἄπαις ἐκ τῶν προτέρων εἴη γάμων, λελύσεται βασιλέως γράμμασι κελεύοντος. εἰ δὲ παῖδες ὑπεῖεν, οἱασδήποτε γονῆς: ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὠφελές τι τῶν ἀντιγραφομένων ἐγγενήσεται. πλὴν εἰ βούλεταί τις ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν, καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν: τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶν τὴν ἡμίσειαν τῆς οἰκείας οὐσίας παρέξει μοῖραν. καὶ παῖδας μὲν ἔχοντες, εἰς τοὺς ἑαυτῶν παραπέμψουσι παῖδας: εἰ δὲ οὐκ ἔχοιεν, τὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων μέρη λήψονται πάντως ἀναλόγως οἱ τούτων ἀδελφοὶ οἱ προτιμώμενοι τῆς μητρὸς εἰς τὴν ἄλλην οὐσίαν τοῦ τελευτήσαντος παιδὸς, ἢ τῶν τελευτησάντων. εἰ δὲ πάντες ἀπέλθοιεν ἀδιάθετοι, ἐχέτω παραψυχὴν τῆς ἑαυτῆς δυσκληρίας ἡ μήτηρ, τὸ ταῦτα πάλιν ἀναλαβεῖν, ἅπερ τοῖς παισὶν ἐδωρήσατο. εἰ δὲ † ἀναμείνει μὲν τὸν χρόνον ἡ γυνὴ, καὶ διαφύγῃ τὰς εἰρημένας ποινὰς, ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον: εἰ μὲν οὐκ ἔχοι παῖδας (εἰρήσθω δὲ καὶ αὖθις) ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν. εἰ δὲ ὑπείη γονὴ, καὶ παῖδας ὁ νόμος ἐντεῦθεν ἀτιμασθέντας ἴδοι: τηνικαῦτα πάσης φιλοτιμίας τῆς ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης κατὰ τὸ τῆς δεσποτείας ἀφαιρεῖται μέρος, μόνην † αὐτὴν καταλείπων τὴν χρῆσίν τε καὶ ἐπικαρπίαν. καὶ ταῦτα νενομοθετήσθω καὶ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς, καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας, εἴτε ἐν ζωῇ παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν γινομένης, ἢ ἐκ διαθήκης, ἢ θανάτου αἰτίᾳ δωρεᾶς, εἴτε ἐνστάσεως εἴη μέρος, εἴτε πρεσβεῖον. καὶ γενικῶς εἰπεῖν, ἅπας αὐτὴν ἐπιλείψει δεσποτείας τρόπος ἐπὶ τοῖς παρὰ τοῦ προτέρου ἀνδρὸς εἰς αὐτὴν ἀφιγμένοις, καὶ οἱ παῖδες αὐτὰ λήψονται, καὶ τῆς δεσποτείας ἔσονται κύριοι, κατὰ τὸν καιρὸν εὐθὺς, καθ' ὃν ἡ μήτηρ συνῴκησεν ἄλλῳ.

[illegible] ἐν τῷ μα. βιβ. τίτλ. α, κεφ. γ.

† ἀναμένουσα.

† αὐτῇ καταλείπων.

ΣΧΟΛΙΟΝ.

Ἰστέον, ὅτι τὸ θεώρετρον [illegible] καὶ ἡ δευτερογαμοῦσα λαμβάνει κατὰ δεσποτείαν. φησὶ γὰρ κεφ. κ. τίτ. α. βιβλ. λ. ὅτι αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν.

Καὶ ταῦτα γυναικὸς καὶ ἀνδρὸς ἐπιτίμια κείσθω. εἰ γὰρ δὴ κἀκεῖνος παῖδας ἔχων δευτέραν αὐτοῖς ἐπεισαγάγῃ γαμετὴν, οὐ τῶν ἐκ τῆς προικὸς ἀπολαύσει κερδῶν κατὰ δεσποτείας λόγον, οὐ φιλοτιμίαν ἄλλην παρὰ τῆς γυναικὸς λαβὼν ταύτην ἕξει βεβαίως, πλὴν ὅσον χρῆσθαι καὶ καρποῦσθαι μέχρι παρείη μόνον.

καὶ τοῦ-

καὶ ἐνταῦθα γὰρ οἱ παῖδες, εἰ καὶ ὑπεξούσιοι καθεστήκασιν, ἀλλ' οὖν κύριοι τῶν τοιούτων κατὰ δεσποτείαν ἔσονται, προσγινομένων εὐθὺς εἰς † αὐτὸν μόνον ἅμα τῇ τῆς δευτέρας γυναικὸς συναφείᾳ. ἀλλὰ καὶ ἐάν τι ἐκ τῶν τοιούτων πραγμάτων ἐκποιηθῇ παρὰ τῶν δευτερογαμούντων γονέων, ἐκδικηθήσεται παρὰ τῶν παίδων καὶ τῶν κληρονόμων αὐτῶν καὶ διαδόχων: οὐκ ἄλλως ἀποκλειομένων, πλὴν εἰ μὴ τριακονταετὴς παρῆλθε χρόνος, καὶ ἡ κατοχὴ κυρίους τοὺς λαβόντας καταστήσει, ἀρχομένου τοῖς παισὶ τοῦ χρόνου τρέχειν, ἐξ οὗπερ αὐτεξούσιοι φανεῖεν ὄντες, ἢ γινόμενοι, πλὴν εἰ μή τις ἄνηβος ἡλικία προσβοηθήσειεν ἔτι. καὶ ὅτι εἰ πλειόνων ὄντων παίδων τελευτήσειεν εἷς, εἰ μὲν ἔχοι παῖδας, ἐπ' ἐκείνους φέρεσθαι τὸν κλῆρον τοῦτον. εἰ δὲ οὐκ ἔχοι παῖδας, μὴ πάντως εἰς τοὺς ἀδελφοὺς τὸ πᾶν ἔρχεσθαι, ἀλλ' ὅσον ἐκ τοῦ συμφώνου τῆς ἀπαιδίας ἐγένετο τῷ γεγαμηκότι, τοῦτο αὐτὸν κερδαίνειν: τὸ λοιπὸν δὲ συγχωρεῖν ἔρχεσθαι ἐπὶ τοὺς τοῦ παιδὸς διαδόχους, εἴτε ἀδελφοὶ καθεστήκοιεν, εἴτε ἐξωτικοὶ τυχόν, ὅπερ μάλιστα ἐπὶ μητρὸς συμβαίνει, εἴτε καὶ ἀδιάθετοι τελευτήσαιεν, εἴτε διάθοιντο. καὶ ὅτι ἐπὶ τούτων κερδῶν, ὅσα πρὸς τοὺς δευτέρους ἐρχομένων τῶν γονέων γάμους λαμβάνουσιν οἱ παῖδες, οὐ περιεργαζόμεθα, πότερον κληρονομοῦσι τοῦ προτελευτῶντος γονέως, ἢ οὐχί: ἀλλὰ καθάπερ ἔμπροσθεν εἴπομεν, γέρας αὐτοῖς δίδομεν τοῦτο, καὶ ἐξίσου λήψονται αὐτοὶ μὲν περιόντες, σὺν αὐτοῖς δὲ καὶ οἱ τοῦ τελευτήσαντος παῖδες, τὸ τοῦ γεγονηκότος λαμβάνοντες μέρος, πανταχοῦ μέντοι τῆς ἀχαριστίας ἐμποδὼν πρὸς τὸ τοιοῦτο κέρδος ἱσταμένης τῷ τοιούτῳ παιδί. τοὺς γὰρ κατὰ τῶν ἀχαρίστων κειμένους οὐχ ὑπερβαίνομεν νόμους, ταύτῃ καὶ τοὺς γονεῖς τιμῶντες, καὶ τοὺς παῖδας εἰς εὐσέβειαν ἄγοντες.

† αὐτοῖς μόνοις.

δ. κεφ.

Ὅτι οὐ δύνανται οὔτε εἰς μητρυιὰν οἱ πατέρες οὔτε εἰς τὸν πατρῶον αἱ μητέρες κατὰ τὸν τῆς ζωῆς χρόνον τὴν οἱανοῦν ποιεῖσθαι φιλοτιμίαν, ἢ ἐν τελευτῇ καταλιμπάνειν πλέον ἑνὸς παιδὸς τοῦ τὸ ἔλαττον ἔχοντος: ἐκ τῆς ἐκείνων περιουσίας δηλαδὴ τῆς πρώην τετάρτης, νυνὶ δὲ τρίτης, ἢ ἡμισείας κατὰ τὸν ἡμέτερον νόμον, πάντως τοῖς παισὶ καταλιμπανομένης, ἢ διδομένης μοίρας: εἰ μὴ πάλιν ὁ τῆς ἀχαριστίας ἐναντιοῦται λόγος. πανταχοῦ τούτου φυλαττομένου, καὶ ἐπὶ πάππου καὶ μάμμης, καὶ προπάππου καὶ προμάμμης, καὶ ἐκγόνων ἀρρένων τε καὶ θηλειῶν, καὶ προεκγόνων ὁμοίως, εἴτε ὑπεξούσιοι τυχόν, εἴτε αὐτεξούσιοι καθεστήκοιεν, ἐκ τῆς πατρῴας ἢ μητρῴας κατιόντες σειρᾶς. εἰ δέ τι πλέον καταλειφθῇ τῷ πατρωῷ, ἢ τῇ μητρυιᾷ, τοῦτο ἐξίσης διαιρεθήσεται τοῖς ἐκ τοῦ προτέρου γάμου παισίν.

ζ.

Εἰ δὲ μόνον χρῆσιν πραγμάτων ἢ ὁ ἀνὴρ τῇ γαμετῇ, ἢ ἡ συνοικοῦσα τῷ γήμαντι κατὰ τελευτὴν

Nam & heic liberi, quamuis in potestate sint, eiusmodi rerum domini iure proprietatis erũt, deuolutarum ad eos solos statim ab uxoris secundæ coniugio. Quinetiam si quid ex huiusmodi rebus a parentibus secundas contrahentibus nuptias alienatum fuerit, uindicabitur a filijs, & heredibus ac successoribus eorum, non aliter excludendis, quam si tempus tricennale praterierit, & possessio dominos effecerit eos, qui res ipsas consequuti fuerint; tempore filijs incipiente currere, ex quo sui iuris eos esse, uel factos esse, paruerit; nisi pupillaris ætas adhuc eis opituletur. Item, si quum filij plures existerent, unus decesserit, & liberos habeat; ad eos hereditas ista deferatur: si uero filios nullos habeat, non omnino ad fratres eius totum ueniat, sed quantum ex pacto non existentium liberorum parenti accessisset, tantum lucretur; reliquum ad successores filij peruenire sinat, siue fratres illi sint, siue fortassis extranei, quod in matre maxime contingit, siue defuncti sint intestati, siue testamentum fecerint. Item, in ijs lucris, quæ filij capiunt, parentibus ad secundas nuptias accedentibus, curiose non inquirimus, utrum prius defuncti parentis hereditatem adeant, nec ne: sed quemadmodum antea diximus, loco muneris hoc eis largimur, idque tam ipsi capient superstites, quam cum eis liberi defuncti, partem parentis sui sumentes: ubique tamen ingratitudine lucrum huiusmodi filij præpediente. Quippe latas aduersus ingratos leges non transgredimur, eademq; ratione tum honore parentes adficimus, tum liberos ad pietatem traducimus.

IIII. cap.

Item, non possunt nec in nouercam patres, nec in uitricum matres uel per tempus uitæ suæ quamcumq; largitionem exercere, uel sub mortem plus relinquere, quam uni ex liberis, qui minimum habet; ex bonis scilicet ipsorum quarta quidem olim parte, nunc uero tertia, uel dimidia secundum legem nostram, liberis omnino relinquenda uel danda: nisi rursus ingratitudinis obstet ratio: eodem hoc obseruando tum in auo & auia, tum in proauo & proauia, itemq; nepotibus masculis & feminis, atq; etiam pronepotibus: siue in potestate, siue emancipati fuerint, paterna maternaue linea descendentes. Quod si uitrico uel nouercæ relictum amplius fuerit, id ex æquo in procreatos ex priori coniugio liberos distribuetur.

VII.

Si uero dumtaxat usumfructum rerum uel maritus uxori, uel uxor marito dederit in ex-

trema uoluntate: tam diu uolumus hunc apud eos manere, quam diu superstites sunt; nisi qui donationem fecit aut reliquit, mas siue femina, nominatim expresserit, uelle se, secundas ad nuptias eo transeunte, qui usumfructum accepit, & extingui eum, & ad proprietatem suam reuerti. Atque hæc quidem de ijs dicimus, quæ per caussam largitatis offeruntur. Sin autem usufructus rerum in dotem, uel ante nuptias donationem, datus fuerit: nihil penitus innouamus, sed dudum legibus sancita ualeant.

VIII.

De hac inuenies accuratius dictum in titulo de hereditate, ubi de bonis maternis tractatur.

Omnium rerum, quæ ad filios perueniunt uel ex materna linea, uel ex ipsorum filiorum nuptiali caussa, uel aliunde, pater usumfructum casus expertem habet, quam quidem diu superstes est, quamuis ad secūdas nuptias transierit. Ratio tamen castrensium peculiorum excepta esto.

XIII.

*Si mater liberum suorum tutelam gerat, nimirum adhuc impuberum, quæ secundas ad nuptias minime conuolaturam se promiserit; posteaque nulla tam prioris tori, quam promissorum suorum ratione habita, secundas nuptias contraxerit, non petito prius tutore, nec rationibus redditis, & omnibus solutis, quæ antea debebat: non tantum liberis lex permittit, ut in hypothecam facultates ipsius habeant, uerumetiam illius bona qui eam duxit, in hypothecarum nexum simul abripit, eique filij successione * interdicit, si decedat impubes, quamuis ex substitutione pater eam ad filij successionem uenire iusserit. Et hæc quidem ij, qui nos præcesserunt. Nos uero statuimus, ut mulieres quæ hoc modo fidem fallere deinceps ausæ fuerint, præter indicatas tam antea pœnas, & illas omnes sustineant, quas supra recensuimus, in mentione mulierum intra tempus legitimum luctus nubētium; adijcientes his & infamiam, & cetera omnia, liberationemq. a pœnis eamdem eis concedentes, quam & illis, ut principi scilicet preces offerant, suorumque bonorum partem dimidiam liberis tribuant, ne quidem usufructu apud matrem manente: denique simpliciter eam propter intempestiuitatem nuptiarum parem illi facimus, quæ intra legitimum luctus tempus nupsit. eisdem uero pœnis etiam semet obligabit, si naturalium liberorum tutelam gerat. Ceterum de matre tutelam gerente copiosius dictum in titulo de tutoribus inuenies.*

* Hoc etiā lib. XLV. tit. I. cap. XXXV. dicitur, & in tit. de hereditate reperies.

XV.

Sed & si quis religiosissimorum clericorum

δ' ἰδίαν βούλησιν· μένειν ταῦτα παρ' αὐτοῖς βουλόμεθα μέχρι περίεισιν· εἰ μὴ ῥητῶς ὁ τὴν δωρεὰν πεποιημένος, ἢ ὁ ταύτην καταλιπὼν, εἴτε ἄρρην, εἴτε θήλεια, φησὶ βούλεσθαι πρὸς δευτέρους ἀφικνουμένου γάμους τοῦ τὴν χρῆσιν λαβόντος, λύεσθαί τε αὐτὴν, καὶ πρὸς τὴν οἰκείαν ἀναστρέφειν δεσποτείαν, ἀλλὰ ταῦτα μὲν περὶ τῶν κατὰ φιλοτιμίαν διδομένων φαμέν. εἰ μέντοι ἐν προικὶ ἢ προγαμιαίᾳ δωρεᾷ πραγμάτων χρῆσις δοθῇ, οὐδὲν παντελῶς καινίζομεν· ἀλλὰ τὰ ἤδη νενομοθετημένα κρατείτω.

η.

Ὅτι ὁ πατὴρ πάντων τῶν εἰς τοὺς παῖδας ἀφικνουμένων, εἴτε ἐκ μητρῴας σειρᾶς, εἴτε ἐκ γαμικῆς τῶν παίδων αἰτίας, εἴτε ἀλλαχόθεν, τὴν χρῆσιν ἔχει, κἂν εἰ πρὸς δευτέρους ἔλθοι γάμους, ἄχρις οὗ περίεισιν ἀδιάπτωτον. ὁ δὲ τῶν ἰδιοκτήτων πεκουλίων ἐξαιρείσθω λόγος.

περὶ τούτου εὑρήσεις ἀκριβέστερον ἐν τῷ περὶ κληρονομίας, ἵνα περὶ μητρῴων ὑπαρξέων.

ιγ.

Εἰ ἐπιτροπεύοι γυνὴ τῶν παίδων, πρόδηλον ὡς ἀνήβων καθεστώτων, διεπαγγειλαμένη μὴ πρὸς δεύτερον ἔρχεσθαι γάμον, εἶτα καταφρονήσασα καὶ τῆς προτέρας εὐνῆς καὶ τῶν ἐπαγγελιῶν δευτερογαμήσει, μὴ πρότερον ἐπίτροπόν τε αἰτήσασα, καὶ τοὺς λογισμοὺς παρασχομένη, καὶ καταβαλοῦσα πᾶν ὅσον ἔμπροσθεν ὀφείλει· οὐ μόνον τὰ αὐτῆς ὑποθήκην ἔχειν ὁ νόμος συγχωρεῖ τοῖς παισὶν, ἀλλὰ καὶ τὴν τοῦ γήμαντος οὐσίαν συνυπάγει ταῖς ὑποθήκαις.† αὐτῇ τε ἀπαγορεύει τὴν τοῦ παιδὸς διαδοχὴν ἀνήβου τελευτῶντος, εἰ καὶ ἐξ ὑποκαταστάσεως ὁ πατὴρ αὐτὴν ἐλθεῖν πρὸς τὴν τοῦ παιδὸς εἶπε διαδοχήν. ἀλλὰ ταῦτα μὲν οἱ πρὸ ἡμῶν. ἡμεῖς δὲ νομοθετοῦμεν τὰς οὕτω τοῦ λοιποῦ διαψεύδεσθαι τολμώσας γυναῖκας, πρὸς ταῖς ἤδη προειλημμέναις ποιναῖς, καὶ πάσας ὑφίστασθαι ποινὰς, ἃς πρότερον εἴπομεν ἐπὶ τῶν πρὸ τοῦ πενθίμου χρόνου γαμουμένων γυναικῶν, τήν τε ἀτιμίαν καὶ τὰ ἄλλα πάντα, πρὸς ταύταις ἐπάγοντες, καὶ λύσιν αὐταῖς τῶν ποινῶν διδόντες τὴν αὐτὴν, ἥνπερ κἀκείναις, τὸ δεῖσθαι βασιλέως, καὶ τὴν ἡμίσειαν μοῖραν διδόναι τοῖς παισὶ τῶν οἰκείων, οὐδὲ τῆς χρήσεως παρ' αὐταῖς μενούσης, καὶ ἁπλῶς ἴσην αὐτὴν τίθεμεν διὰ τὴν τῶν γάμων ἀωρίαν τῇ πρὸ τοῦ πενθίμου χρόνου γημαμένῃ. ταῖς αὐταῖς ὑποκειμένη ποιναῖς, εἰ καὶ τῶν φυσικῶν ἐπιτροπεύοι παίδων. εὑρήσεις δὲ περὶ ἐπιτροπευούσης μητρὸς πλατύτερον, ἐν τῷ περὶ ἐπιτρόπου τίτλῳ.

† τοῦτο καὶ ἐν τῷ με. βιβλίῳ τίτλῳ α. κεφ. λε. ῥητῶς, καὶ εὑρήσεις αὐτὸ περὶ κληρονομίας.

ιε.

Ἀλλὰ καὶ εἴ τις ἐν τοῖς εὐλαβεστάτοις τελῶν κληρι-

κληρικοῖς (τοῖς ὑπὲρ τὸν ἀναγνώστην ἢ ψάλτην φαμὲν) ὅλως ὁμιλήσειε γάμοις: τοῦτον ἐκ τῆς ἡμετέρας διατάξεως ἐκπίπτειν τῆς ἱερωσύνης διετάξάμεθα. εἰ μέντοι ἀναγνώστης ὢν, δευτερογαμήσει: οὐκέτι πρὸς ἱερωσύνην ἀναβήσεται.

numero comprehensus, (intelligimus autem eos, qui supra lectorem uel cantorem sunt) nuptias omnino contraxerit: eum constitutione nostra sacerdotio deyciendum praecepimus. Si [illegible] quum lector esset, secundum matrimonium contraxerit: non amplius ad sacerdotium adscendet.

ιζ'.

περὶ κληρονομίας τῶν παίδων τῶν δευτερογαμούντων.

Ὅτι ἤδη μὲν ἐθεσπίσαμεν τὰς μητέρας ἐπὶ τὸν τοῦ παιδὸς τοῦ μὴ καταλιπόντος παῖδας μετὰ τῶν αὐτοῦ τοῦ τελευτήσαντος ἀδελφῶν ἀπραγμόνως καλεῖσθαι κλῆρον, καὶ τοῦτον μετὰ τῆς χρήσεως καὶ τὴν δεσποτείαν ἔχειν βεβαίως, εἴτε πρὸ τοῦ κλήρου, εἴτε μετὰ ταῦτα δευτέροις ὁμιλήσαιεν γάμοις. ταύτην ἡμῶν τὴν νομοθεσίαν κυρίαν μένειν ἐπὶ τὰς ἤδη πρὸς δευτέρους ἐλθούσας γάμους βουλόμεθα. τὰ δὲ μετὰ ταῦτα, οὕτως ἡμῖν ὁ παρὼν νόμος τυπούτω τε καὶ διαθεσμοθετείτω. εἰ τοίνυν νομίμως ὁ παῖς διαθέμενος καταλείψει τῇ μητρὶ τὴν οὐσίαν, ἢ καὶ μοῖραν ταύτης τινά: ταύτην ἐκείνη λαμβανέτω διὰ τὴν γραφὴν (ἐπειδὴ πανταχοῦ φυλάττεσθαι τὰς τῶν τελευτώντων βουλόμεθα γνώμας) καὶ ἐχέτω τὸ καταλελειμμένον κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν. εἰ δὲ ἀδιάθετος ὁ παῖς τελευτήσειεν, ἤδη πρὸς δευτέρους τῆς μητρὸς ἐλθούσης γάμους, ἢ καὶ ὕστερον ἐρχομένης: καλείσθω μὲν καὶ αὐτὴ μετὰ τῶν τοῦ παιδὸς ἀδελφῶν ἢ καὶ ἀδελφοπαίδων προσωπικῶς (δηλονότι κατὰ τὴν ἡμετέραν διάταξιν) ἐξ ἀδιαθέτου πρὸς τὴν ἐκείνου διαδοχήν. ἀλλ' ὅσα μὲν ἐκ πατρῴας οὐσίας εἰς τὸν παῖδα εἰσῆλθον, τούτων μόνην ἐχέτω τὴν χρῆσιν, εἰς δευτέρους ὅλως ἢ πρότερον ἢ ὕστερον ἀφικομένη γάμους. εἰς δὲ τὰ λοιπὰ πάντα πράγματα, ὁπόσα ἔξωθεν ἦν τῷ παιδί, παρὰ τὴν τοῦ πατρὸς διαδοχήν, ἐρχέσθω κατὰ τὴν κλῆσιν τὴν ἡμετέραν, ἣν αὐτίκα ἐροῦμεν, τινὸς ἐπανορθώσεως καὶ αὐτὴν δεομένην. καὶ ταῦτα φαμὲν ἐπὶ τοῖς πράγμασι τοῖς ἔξω τῆς προγαμιαίας δωρεᾶς. τὰ γὰρ † ἐπ' ἐκείνης νενομοθετημένα ἀκέραια φυλάττομεν, ἐφ' οἷς μόνην ἡ μήτηρ ἕξει τὴν χρῆσιν καὶ ἐπικαρπίαν. ἀλλ' ἐπὶ τοῖς ἄλλοις πράγμασι ταῦτα νομοθετοῦμεν, καὶ τῷ ἑξῆς παραδίδομεν χρόνῳ, ὅσα μετὰ τὴν προγαμιαίαν δωρεάν ἐστιν ἐκ πατρὸς ἀφικόμενα τῷ παιδί, ἢ ἐξ ἄλλων αἰτιῶν, ἐπί τε τῶν ἐκ διαθήκης, ἐπί τε τῶν ἐξ ἀδιαθέτου κλήσεων: τοῦ κατὰ τῶν ἀχαρίστων παίδων λόγου πανταχόθεν καὶ ἐπὶ τούτοις τοῖς πράγμασι φυλαττομένου. τὴν δὲ ἀχαριστίαν ἐνταῦθα σκοποῦμεν οὐ μόνον πρὸς τὴν μητέρα: ἀλλὰ καὶ πρὸς τὸν τελευτήσαντα ἀδελφόν.

† ἐπ' ἐκείνης.

XVII.

De secundo nuptias contrahentium successione in bonis libero-

Sancimus iam, ut matres ad hereditatem filij, qui sine liberis decessit, cum defuncti fratribus citra ullum impedimentum uocentur, eiusque proprietatem cum usufructu firmiter habeant, siue ante delatam hereditatem, siue postea secundas nuptias contraxerint. Hanc sanctionem nostram in ijs, quae iam ad secundas nuptias progressae sunt, ratam manere uolumus. Verum de ijs, quae deinceps euentura sunt, in hunc modum a nobis hac lege decretum & statutum esto. Itaque si filius testamento legitime facto, substantiam suam, eiusue partem aliquam matri reliquerit; eam illa capiat propter scripturam, quum in omnibus ratas esse morientium uoluntates uelimus, remque relictam iure tam proprietatis quam usufructus obtineat. Sin autem filius intestatus decesserit, matre iam secundas ad nuptias progressa, uel postea progrediente: ad successionem illius ipsa quoque cum eius fratribus uel fratrum filijs pro uirili parte, secundum nostram scilicet constitutionem, ab intestato uocetur. Verum quaecumque de bonis paternis ad filium peruenerint, eorum secundas ad nuptias uel ante uel post accedens usumfructum dumtaxat habeat: ad ceteras uero res omnes, quas praeter paternam hereditatem filius extrinsecus habebat, secũdum uocationem nostram, quam mox indicabimus, & ipsam emendationis alicuius egentem, perueniat. Et haec quidem ijs de rebus dicimus, quae extra donationem ante nuptias posita sunt. nam de illis quae statuta sunt integra seruamus; habitura in eis matre solum usumfructum. Sed in alijs rebus haec sancimus, atque sequutura tradimus, quaecumque scilicet post donationem ante nuptias ad filium a patre, uel alijs ex caussis perueniunt, tam in successionibus ex testamento, quam ab intestato: seruando ex omni parte his etiam in rebus illo, quod aduersus ingratos liberos dictum est. Et ingratitudinem hoc loco non matris dumtaxat ratione; uerumetiam defuncti fratris consideramus.

A [illegible] Legito

Legito & lib. XLV. tit. I. cap. XXXIIII. cuius hæc uerba sunt:

Quomodo & quando filio uel filiæ mater ab intestato succedat. l. 5. C. ad S. C. Tertyl.

Quoties ab intestato mater filio filiæue suæ succedit, si matrimonium secundum post mortem fily non contraxerit; delatum sibi lucrum integrum adquirat. Sin autem secundo nupserit, extrinsecus quidem filio quæsitas res habeat; proprietatem uero fratribus & sororibus fily defuncti reseruet. Hoc enim obtineat & ceteris in rebus, quas secūdo nupta mulier a priori marito lucrata est.

SCHOLION.

Legito & II. nouellam, in qua dicitur de contrahentibus secundas nuptias, & eorum successione in bonis filiorum. Item nouellam XXII. in qua & de legitimo luctus tempore tractatur. Item nouellam XXXIX. cap II. Loquitur enim de ea, quæ undecimo mense peperit. Item nouellam LXIIX. in qua de successione liberorum dicitur. Item nouellam CXXVII cap. III.

DE INGRATIS FRATRIBVS, ET caussis ingratitudinis eorum.

Tit. XIIII. cap. XVII. them. V.

Nouel. 22. cap. 47.

Quum multas inter fratres oriri contentiones sciamus, illum tantum erga fratrem ingratum existentem, huius lucri participem esse non permittimus: qui uel uitæ fratris fuerit insidiatus, uel accusationem in eum criminalem instituerit, uel operam dederit, ut eum bonis suis spoliet. Nam huius portio tam reliquos ad fratres, fratrumue filios, quam ipsam matrem perueniet.

Legito & nouel. CXXVII. in qua de donatione ante nuptias dicitur. De restitutione legito nouel. XXXIX.

DE DOTE, AC DONATIONE ANte nuptias, quod hereditariis restitutionibus non subiaceant. Item quod post nuptias augeri possint. & de non alienandis rebus earum immobilibus. Item de priuilegio dotis, & quod in uiri bonis dos non computetur, quum ei munus imponitur.

Tit. XV. cap. XI. them. VI.

Nouel. 39. cap. 1.

Cetera quidem omnia constitutionis nuper a nobis editæ capita rata manere uolentes, hoc solum innouamus; ut si quis deinceps rerū suarum restitutionem faciat, primum quidem filio portionem legitimam reseruet, non quartam, (id enim correximus, nimia tenuitatis damnatum) sed omnino tertiam, uel dimidiam, pro numero liberorum. Deinde in reliqua bonorum parte, si ad dotem uel ante nuptias donationem honeste constituendam, ut personarum qualitati respondeat, legitima portio non sufficiat: ut tantumdem eximatur de restitutione, quantum parti legitima

Ἀνάγνωθι καὶ βιβλίον με. τίτλον α. κεφάλαιον λδ. ἐν ᾧ φησίν.

Ὁσάκις μήτηρ υἱὸν κληρονομήσει ἴδιον ἢ θυγατέρα ἐξ ἀδιαθέτου, εἰ μὲν μὴ δευτερογαμήσει μετὰ τὴν τοῦ παιδὸς τελευτήν, μενέτω τέλειον ἔχουσα τὸ εἰς αὐτὴν περιελθὸν κέρδος. ἐὰν δὲ δευτερογαμήσῃ· τὰ μὲν ἔξωθεν εἰς τὸν υἱὸν περιελθόντα πράγματα ἐχέτω· τὴν δὲ δεσποτείαν φυλαττέσθω τοῖς ἀδελφοῖς καὶ ταῖς ἀδελφαῖς τοῦ τελευτήσαντος παιδός. τοῦτο γὰρ κρατείτω καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων ἅπερ ἐκέρδανε παρὰ τοῦ πρώτου ἀνδρὸς ἡ δευτερογαμήσασα γυνή.

πῶς καὶ πότε κληρονομεῖ μήτηρ υἱὸν ἢ θυγατέρα ἐξ ἀδιαθέτου.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν β. ἐν ᾗ φησὶ περὶ δευτερογαμούντων καὶ τῆς κληρονομίας τῶν παίδων αὐτῶν. καὶ νεαρὰν κβ. ἐν ᾗ καὶ περὶ τοῦ νομίμου πένθους χρόνου. καὶ νεαρὰν λθ. κεφ. β. ἐν ᾗ φησὶ περὶ τῆς τεκούσης τῷ ια μηνί. καὶ νεαρὰν ξη. ἐν ᾗ φησὶ περὶ διαδοχῆς τῶν παίδων. καὶ νεαρὰν ρκζ. κεφ. γ.

ΠΕΡΙ ἈΧΑΡΙΣΤΩΝ ἈΔΕΛΦΩΝ, καὶ τῶν αἰτιῶν τῆς ἀχαριστίας αὐτῶν.

Τίτλ. ιδ. κεφ. ιζ. θεμ. ε.

Ἐπειδὴ ἴσμεν πολλὰς τοῖς ἀδελφοῖς πρὸς ἀλλήλους γινομένας φιλονεικίας, ἐκεῖνον μόνον ἀχάριστον † τὸν ἀδελφὸν γινόμενον μετέχειν τούτου τοῦ κέρδους οὐ συγχωροῦμεν, ὃς ἂν ἢ θάνατον ἐπιβουλεύσῃ τῷ ἀδελφῷ, ἢ ἐγκληματικὴν ἀπενέγκοιτο κατ' αὐτοῦ γραφήν, ἢ τῆς οὐσίας αὐτοῦ σπεύσειεν ἐπαγαγεῖν ἀφαίρεσιν. τὸ γὰρ ἐκείνου μέρος, εἴς τε τοὺς λοιποὺς ἀδελφοὺς καὶ ἀδελφόπαιδας καὶ τὴν μητέρα ἐρχέσθω.

† περὶ τὸν ἀδελφόν.

ΠΕΡΙ ΠΡΟΙΚΟΣ ΚΑΙ ΠΡΟ ΓΑΜΟΥ ΔΩΡΕΑΣ, ὅτι οὐχ ὑπόκειται κληρονομικαῖς ἀποκαταστάσεσιν. καὶ ὅτι μετὰ τὸν γάμον δύναται ἐπαυξάνεσθαι. καὶ περὶ τοῦ μὴ ἐκποιεῖσθαι τὰ ἀκίνητα αὐτῶν. καὶ περὶ προνομίου προικός. καὶ ὅτι οὐ συλλογίζεται εἰς τὴν τοῦ ἀνδρὸς ὑπόστασιν ἡ προίξ, ἐπιφερομένης αὐτῷ λειτουργίας.

ἀνάγνωθι καὶ νεαρὰν ρκζ. ἐν ᾗ φησὶ περὶ πρὸ γάμου δωρεᾶς. περὶ ἀποκαταστάσεως ἀνάγνωθι καὶ λθ. νεαράν.

Τίτλος ιε. κεφάλαιον ια. θεμ. ς.

Τὰ μὲν ἄλλα πάντα τῆς πρώην παρ' ἡμῶν τεθειμένης διατάξεως κύρια μένειν βουλόμενοι· τοῦτο δὲ καινίζοντες μόνον, ἵνα εἴ τις τὸ λοιπὸν ἀποκατάστασιν ποιοῖτο τῶν ἑαυτοῦ πραγμάτων· πρῶτον μὲν φυλάττοι τῷ παιδὶ τὸ νόμιμον μέρος, οὐ τὸ τέταρτον (τοῦτο γὰρ ἐπανωρθώσαμεν, πενίαν αὐτοῦ πολλὴν καταγνόντες) ἀλλὰ τὸ τρίτον πάντως, ἢ τὸ ἥμισυ κατὰ τὸν τῶν παίδων ἀριθμόν. ἔπειτα καὶ εἰς τὸ λειπόμενον οὐσίας μέρος, ἐν ᾧ μὴ ἀρκοίη τὸ νόμιμον μέρος πρὸς προικὸς ἢ † γαμικῆς δωρεᾶς ἐπίδοσιν, εὐσχημόνως καὶ πρὸς τὴν τῶν προσώπων ποιότητα συμμετρουμένης, † ἐξαιρεῖσθαι καὶ αὐτὸ τῆς ἀποκαταστάσεως, καθ' ὅσον προστιθέμενον τῷ νομίμῳ

† προγαμιαίας.

† ἐξαιρεῖσθαι.

νομίμως ῥέοι, τὴν προῖκα ἢ τὴν πρὸ γάμου ποιεῖ δωρεάν. θεσπίζομεν γὰρ κατὰ τοῦτον τρόπον ἐξῃρῆσθαι παντοίως τῆς ἀποκαταστάσεως τὰ γαμικὰ συμβόλαια, καὶ τὰς ἐπὶ τούτοις ἐκποιήσεις, ἢ ὑποθήκας, καὶ εἰ βεβαρημένον εἴη τὸ πρόσωπον, ἢ τοῦ ἀνδρὸς, ἢ τὸ τῆς γυναικὸς ἀποκαταστάσει τοιαύτῃ: ἐξέστω καὶ οὕτως τὴν καλουμένην προγαμιαίαν ἢ διὰ γάμου δωρεὰν ἐπιδιδόναι, μηδὲν τοίνυν ἐπὶ τοῖς πράγμασιν ἐκείνοις τῆς ἀποκαταστάσεως δρώσης: εἴτε γυνὴ τῇ ἀποκαταστάσει βαρύνοιτο, μὴ ἐμποδὼν γίνεσθαι πρὸς τὴν τῆς προικὸς ἐπίδοσιν. τὰ γὰρ κοινῇ πᾶσι συμφέροντα τῶν ἰδίᾳ τισὶ λυσιτελούντων προτιθέμεν. καὶ ἔξω τοίνυν ταῖς γαμικαῖς ἐπιδόσεσι, καὶ ταῖς ἐντεῦθεν ἀπαιτήσεσι προνόμιον. εἰ γὰρ καὶ οἱ πρὸ ἡμῶν ἐκ τῶν γενικῶν ὑποθηκῶν πολλὰ κατὰ πρόληψιν ἐξεῖλον, καίτοι γε οὐχ οὕτως ἡμῖν ἀναγκαῖα καθεστῶτα, πῶς οὐχ ἡμεῖς ἐκ μείζονός τε καὶ καλλίονος γνώμης τὴν τῶν γαμικῶν κερδῶν ἐξαίρεσιν ποιησόμεθα;

Ἀνάγνωθι καὶ βιβλίον κθ. τίτλον β. οὗ τινος ἐν τῷ γ. κεφαλαίῳ φησί.

Πρῶτον ἐκεῖνο θεσπίζομεν, διὰ τὸ † τίμημα γίνεσθαι περιγραφὴν, εἴπερ ἐπαυξῆσαι βουληθείη τὴν προῖκα ἢ τὴν διὰ τὸν γάμον δωρεάν, μὴ ἐξεῖναι τῷ μὲν τοῦτο ποιεῖν, τῷ δὲ ἐπὶ τῶν προτέρων μένειν: ἀλλ' ἑκάτερον ποιεῖσθαι πάντως τὴν ἐπαύξησιν, καὶ μὴ ἐν αἱρέσει, κατὰ πρότερον, ἀλλ' ἐν ἀνάγκῃ τὸ πρᾶγμα καθεστάναι, * πάντως μὲν τῆς ποσότητος ἴσης, τοῦτο ὅπερ καὶ τοῦ ἡμετέρου λέγει πατρὸς διάταξις. καὶ ἵνα μὴ συμβαίνῃ τὴν ἐπαύξησιν οὐκ αὐταῖς γίνεσθαι ταῖς ἀληθείαις, ἀλλ' ἐσχηματισμένην, καὶ μάλιστα ἐπὶ τοῦ μέρους τῆς γυναικὸς, ἵνα τοὺς τοῦ ἀνδρὸς δανειστὰς περιγράψῃ τῷ προνομίῳ χρωμένη: εἰ μὲν ἔχοιεν ἑκάτεροι ἐν ἀκινήτοις πράγμασι, κάλλιον ἐν τοῖς ἀκινήτοις γίνεσθαι τὴν ἐπίδοσιν, ὅπως ἂν εἴη δῆλόν τι καὶ ἀναμφισβήτητον, τί μὲν τὸ ἐξ ἀρχῆς ἦν, τί δὲ ὕστερον προσγέγονεν. εἰ δὲ οὐχ ἑκατέρωθεν ἀκίνητα πράγματα εἴη: τὴν μὲν γυναῖκα πάντως διὰ ἀκινήτων πραγμάτων ποιεῖσθαι τὴν ἐπαύξησιν, ἵνα καὶ ἡ προὶξ καὶ ἡ ἐπαύξησις ὁμοίως ἔχῃ κατὰ τῶν πρεσβυτέρων δανειστῶν τὸ προνόμιον, πανταχόθεν ἀναμφισβήτητου τῆς προσθήκης οὔσης. ὁ δὲ ἀνὴρ καὶ ἐν κινητοῖς ποιείσθω τὴν ἐπαύξησιν. οὐδὲν γὰρ ἐντεῦθεν ἀναφύεται βλάβης. εἰ δὲ γυνὴ ἀκίνητον οὐκ ἔχουσα περιουσίαν, ἐν κινητοῖς γράψοι τὴν ἐπαύξησιν, ἴστω τὸ προνόμιον οὐχ ἕξουσα, εἰ μὴ ἐπὶ τῆς ἀρχαίας μόνης προικὸς, οὐ μὴν ἐπὶ τῆς ἐσχηματισμένης ἴσως ἐπαυξήσεως. τὸ μὲν γὰρ ἐξ ἀρχῆς γινόμενον ὡς ἐπίπαν ἀνύποπτόν ἐστι. τὸ δὲ ὕστερον προσεπιτεχνώμενον, τὴν κατὰ τῶν δανειστῶν αἰτίᾳ ἐπάγει μελέτην. καὶ βλαπτέσθαι τοὺς ἀνθρώπους † τῷ παρ' ἡμῶν ταῖς προιξὶ

obiter iactum fit per lucrum nuptialium donationum. vel, si alterum pro sic: *et uti quos ex re lucrum fecerunt.

† ut tivi. * saltem.

† in re.

adiectum, dotem uel donationem ante nuptias efficiat. Sancimus enim, ut prorsus ea ratione instrumenta nuptialia, & alienationes super his facta, uel hypotheca, a restitutione eximantur atq; si uiri mulieris ue persona grauata fuerit huiusmodi restitutione, nihilominus liceat eam, quam ante nuptias, uel propter nuptias donationem uocant, constituere; restitutione nihil in rebus ijs efficiente: uel si mulier restitutione grauetur, in dote constituenda nullum impedimentum esto. Nam quæ generatim omnibus prosunt, ijs anteferimus; quæ quibusdam priuatim expediunt. Atque hoc nuptialibus donationibus, & ortis hinc petitionibus priuilegium concessum esto. Nam si de generalibus hypothecis multa quasi præceptione quadam nostri maiores exemerũt, quæ tamen nobis ita necessaria non essent: cur non maiore melioreque nos ratione ducti, lucrorum nuptialium exceptionis auctores simus?

Legito & lib. XXIX. tit. II. cuius III. cap. dicitur:

Primum ne qua circumscriptio fiat, sancimus; ut si quis augere dotem, uel propter nuptias donationem uoluerit: nõ alteri quidem id facere liceat, alteri uero in prioribus persistere: sed utrimque fiat additamẽtum. resque non condicionem, ut antea, sed necessitatem habeat, existente prorsus æquali quantitate, quod etiam parentis nostri constitutio significat. Ne uero non reapse fieri contingat accessionem, sed dicis caussa, præsertim ex parte mulieris, ne priuilegio freta creditores mariti circumscribat: si quidem utrimque res immobiles habeant, præstat additamentum in rebus immobilibus fieri, quo perspicuum sit & indubitatum, quid ab initio fuerit, quid deinde accesserit: si uero res immobiles utrimque non habeant, mulier quidem omnino per res immobiles accessionem faciat, ut tam dos quam accessio pariter aduersus antiquiores creditores priuilegium habeant, accessione penitus extra controuersiam posita: maritus autem per res mobiles augeat. nihil enim hinc damni nascitur. Quod si rem soli nullam mulier habens, in mobilibus additamentum constituat: priuilegium se non habituram sciat, extra quam in sola pristina dote, non dicis caussa forte conficto additamento. quippe quod actum est ab initio, plerumque suspicione caret: quod autem deinceps arte quadam attexitur, consilium defraudandorum creditorum præ se fert. Nec uero damnosum nos hominibus esse, quod dotibus concessum

De aucta post nuptias dote ac donatione ante nuptias, legit. & nouellam XXII. cap. XXX. & nouel XCVII.

Nouel. 97. cap. 2.

est

est a nobis priuilegiū, ullo modo uolumus. Quod si nullum sit aes alienum mariti, nec ullа fraudandorum creditorum suspicio: tunc & in pecunia, quaque ubiuum re fuerit, additamenta fiant; ita tamen ut & utrinque fiat, & aequalis adauctio, quo scilicet aequalitatem tueamur. Nam quae possit esse circumscriptionis suspicio, quum nemini maritus obnoxius est, & eam ob caussam citra negotium accessiones fiunt?

Legito ibid. & tit. VI. cuius IIII. cap. dicitur:

De non alienando fundo dotali. Legito & nouellam LXI. in qua dicitur, non alienandas esse uel obligandas res immobiles dotis aut ante nuptias donationis.

Nec maritus, nec sponsus fundum non aestimatum alienare uel obligare potest.*

Legito† & titulū VII. in quo dicitur, etiāsi consentiant uxores in alienatione, postq. biennium denuo consensus interueniat; non tamen eis hinc nasci praeiudicium, si de ceteris mariti rebus satisfieri nequeat.

Legito & lib. LIIII. tit. I. cap. XV. them. IIII. in quo dicitur:

*Constāte * matrimonio dos in bonis mariti est. Si tamen pro modo patrimonij uiro munus imponatur, in bonis eius dos non computatur.*

* l. 4. D. de fund. dot.
† Nouel. 61.
* l. 2. §. 4. D. ad munic.

BASILICORVM
LIBER XXVIIII.

DE DOTE, DEQVE PRIVILEGIO & iure dotis, pactisque dotalibus; quaenam eorum rata sint, quae rata non sint. de petitione ac uindicatione dotis. de factis in dotem impensis. quaenam impensae dotem minuant, quae non minuant. de primae secundaeque dotis petitione. de promissa, non numerata dote; ubi & de donatione ante nuptias tractatur. Item, quod maritus nec fideiussorem, nec mandatorem ob dotem seruandam praestet.

TIT. I. CAP. III.

l. 6. D. de iur. dot.

Defuncta filia patri dos ab ipso profecta redditur. Etiam maioribus XXV. annis, si in dote danda se circumscripserint, succurritur. Non enim bono & aequo conuenit, lucrari aliquem cum damno alterius, aut damnum sentire per alterius lucrum.

IIII.

Maritus dotis fructus propter onera matrimonij percipit. Ante nuptias tamen percepti, doti cedunt; nisi contrarium conuenerit. Tunc enim quasi donatione facta, non redduntur. Item, dos etiam matrimonio non constante mariti fit.

VII.

Dos aestimata, uiri periculo est. licet anima-

διδομένης προνομίας κατ' οὐδένα τρόπον βουλόμεθα. εἰ δὲ οὐκ εἴη κατὰ τοῦ ἀνδρὸς χρέος οὐδέν, οὐδὲ ὑποψία τῆς κατὰ τῶν δανειστῶν περιγραφῆς· τότε καὶ ἐν χρήμασι καὶ † οἷς βούλονται τὰ τῶν ἐπαυξήσεων γινέσθω παρ' αὐτῶν· ἑκατέρωθεν μέν τοι τῆς ἐπαυξήσεως καὶ οὕτω γινομένης, καὶ τὸ ἴσον ἐχούσης, ἵνα τὴν ἰσότητα φυλάξωμεν. ποία γὰρ ἂν εἴη περιγραφῆς ὑποψία, τοῦ ἀνδρὸς ὑπευθύνου μηδενὶ καθεστῶτος, καὶ διὰ τοῦτο τῶν ἐπαυξήσεων ἀπραγμόνως γινομένων;

† ὧν.

Ἀνάγνωθι καὶ τίτλον ϛ. οὗ τινος ἐν τῷ δ. κεφαλαίῳ φησίν.

Οὔτε ὁ ἀνὴρ, οὔτε ὁ μνηστὴρ δύναται τὸν ἀδιατίμητον ἀγρὸν ἐκποιεῖν ἢ ὑποτίθεσθαι.

Ἀνάγνωθι καὶ τίτλον ζ. ἐν ᾧ φησὶν, ὅτι εἰ καὶ συναινέσουσι γυναῖκες τῇ ἐκποιήσει, καὶ μετὰ δύο ἔτη δευτέραν συναίνεσιν ποιήσουσιν, οὐ προκρίνονται, ἐὰν μὴ ἐκ τῶν λοιπῶν πραγμάτων τοῦ ἀνδρὸς δύναται τὸ ἱκανὸν εὑρεῖν.

Περὶ τοῦ μὴ ἐκποιεῖσθαι ἀγρὸν προικῷον. ... [illegible]

Ἀνάγνωθι καὶ βιβλίον νδ. τίτλον α. κεφάλαιον ιε. θεμ. δ. ἐν ᾧ φησίν.

Συνισταμένου τοῦ γάμου, ἡ προὶξ τοῦ ἀνδρός ἐστιν. ἐὰν δὲ πρὸς τὸ μέτρον τῆς οὐσίας ἐπιφέρηται λειτουργία, οὐ συλλογίζεται εἰς τὴν ὑπόστασιν αὐτοῦ.

ΤΩΝ ΒΑΣΙΛΙ-
ΚΩΝ ΒΙΒΛ. κθ.

ΠΕΡΙ' ΠΡΟΙΚΟ'Σ, ΚΑΙ' ΠΡΟΝΟμίας αὐτῆς, καὶ δικαίου, καὶ τῶν περὶ αὐτὴν πάκτων, ἤτοι συμφώνων. καὶ ποῖα αὐτῶν ἔρρωνται καὶ ποῖα οὐκ ἔρρωνται. καὶ περὶ ἀπαιτήσεως καὶ ἐκδικήσεως αὐτῆς. καὶ περὶ τῶν εἰς αὐτὴν γινομένων δαπανημάτων. καὶ ποῖα τῶν δαπανημάτων μειοῦσιν αὐτὴν, καὶ ποῖα οὐ μειοῦσι. καὶ περὶ ἀπαιτήσεως πρώτης καὶ δευτέρας προικός. καὶ περὶ τῆς ὑποσχεθείσης καὶ μὴ ἐπιδοθείσης· ἔνθα καὶ περὶ τῆς πρὸ γάμου δωρεᾶς φησί. καὶ ὅτι ὁ ἀνὴρ οὔτε ἐγγυητὴν, οὔτε μανδάτωρα ἐπὶ τῷ φυλάξαι τὴν προῖκα δίδωσι.

Τίτλος α. κεφάλ. γ.

Τελευτώσης τῆς θυγατρὸς, ἀποδίδοται τῷ πατρὶ ἡ παρ' αὐτοῦ δοθεῖσα προίξ. καὶ οἱ μείζους τῶν κε. ἐτῶν, ἐὰν ἀλλήλους περιγράψωσιν ἐν τῇ δόσει τῆς προικὸς, βοηθοῦνται. οὐ συνᾴδει γὰρ τῷ ἀγαθῷ καὶ τῷ δικαίῳ τινὰ κερδαίνειν ἐκ τῆς ἑτέρου ζημίας, ἢ ζημιοῦσθαι κερδαίνοντος ἑτέρου.

δ

Ὁ ἀνὴρ τοὺς καρποὺς τῆς προικὸς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου. οἱ μέν τοι πρὸ γάμου ληφθέντες, τῆς προικὸς γίνονται, εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη. τότε γὰρ ὡς δωρεᾶς γινομένης, οὐκ ἀποδίδονται. καὶ ὅτι ἡ προὶξ ἐν οὐ συνεστῶτι γάμῳ τοῦ ἀνδρὸς γίνεται.

ζ.

Ἡ διατετιμημένη προὶξ, τῷ ἀνδρὶ κινδυνεύεται. κἂν ἀποβαίνωσι

θάνωσι τὰ ζῶα, καὶ ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσι. τῶν ἀδιατιμήτων δὲ καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ. καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων. τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων, ὁ ἀνὴρ λαμβάνει. πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγινομένων. ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται. μετὰ γὰρ τὸν γάμον, ἀληθής ἐστι πρᾶσις, πρὸ δὲ τοῦ γάμου, ὑπὸ αἵρεσιν: καὶ ἠρτημένης τῆς αἱρέσεως, ἐὰν συμβῇ τελευτῆσαι, σβέννυται ἡ πρᾶσις. εἰ δὲ συμφωνηθῶσι πράγματα, ἢ τὴν διατίμησιν ἀποδοθῆναι: εἰ μὲν καὶ περὶ τοῦ ὀφείλοντος ἔχειν τὴν ἐπιλογὴν ἐκφωνηθῇ, αὐτὸς ἐχέτω. εἰ δὲ μὴ λεχθῇ, ὁ ἀνὴρ ὃ βούλεται δίδωσιν. ἐπεὶ γὰρ τῶν διαζευκτικῶν, καὶ ὁ ἐναγόμενος ἔχει τὴν ἐπιλογὴν ὃ βούλεται διδόναι. εἰ δὲ μὴ φαίνονται τὰ πράγματα, δίδωσι πάντως τὴν διατίμησιν. δύναται δὲ τὸ πρᾶγμα γινόμενον χεῖρον ἀποδοῦναι.

ιγ.

Ἐπὶ τοῖς προικιμαίοις πράγμασι χρεωστεῖ ὁ ἀνὴρ δόλον καὶ ῥᾳθυμίαν: καὶ ἐπιμέλειαν ἔχειν, οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν.

ιδ.

Τῶν γάμων μὴ γινομένων, οὐ τὴν διατίμησιν τῶν διατετιμημένων, ἀλλὰ τὰ πράγματα ἡ γυνὴ ἀπολαμβάνει.

κβ.

Μετὰ τὸν γάμον οὐ δύναται χείρονα τὴν αἵρεσιν ὁ πατὴρ ποιῆσαι τῆς θυγατρός. ἐπειδὴ οὔτε καταβάλλεται αὐτῷ ἡ προὶξ ἄκουσης τῆς θυγατρός.

μη.

Τὰ ἐκ τῶν προικιμαίων χρημάτων ἀγορασθέντα, προικιμαῖά ἐστιν.

να.

Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ καὶ ἡ προὶξ ὀφείλει εἶναι. παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα, τῷ υἱῷ ἕπονται (ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνὴ) γάμου βάρη.

ξϛ.

[illegible] Ὁ τοκετὸς τῶν προικιμαίων δούλων, τῆς γυναικός ἐστι. καὶ ἀνισχύρως συμφωνοῦσι μερισθῆναι αὐτὸν μεταξὺ τοῦ ἀνδρὸς καὶ αὐτῆς. ἐν τοῖς ἀμφιβόλοις ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα. ἡ παρὰ ἐξωτικοῦ ὁμολογηθεῖσα προὶξ, τῇ γυναικὶ ἐγκινδυνεύεται. εἰ δὲ τόκους ἀναλάβῃ ὁ ἀνήρ, λοιπὸν αὐτῷ κινδυνεύει.

πγ.

Ἐάν τις ὑποδεξάμενος προῖκα περὶ πλειόνων ἔγραψεν ἐν τῷ προικῴῳ συμβολαίῳ ὡς δοθέντων αὐτῷ: εἰ μὲν μὴ κατὰ βούλησιν τοῦ προικίζοντος, οὐδὲν αὐτῷ πρόκριμα ποιεῖ. ἐὰν δὲ βουλομένου αὐτοῦ ἔδοξε συμφωνεῖν γενέσθαι καὶ περὶ τῶν ἄλλων πραγμάτων, ὡς καὶ ταῦτα αὐτῷ δοθῆναι λόγῳ προικός: καὶ ἐπειδὴ

lia mortua fuerint, aut uestes mulier adtriuerit: maritus aestimationem eorum praestat. Inaestimata uero tam accessio, quam deminutio mulierem respicit. Ea seruorum quoque sobolem accipit. sed fructus & fetum pecorũ maritus percipit, sic tamen, ut prius pecora primitiua suppleat, & ex adgnatis in locum mortuorum sum mittat. Quod si ante matrimonium quaedam aestimata deperierint, damnum mulieris est. Nam post nuptias uera uenditio est, ante nuptias autem sub condicione: ac si pendente conditione mors contigerit, extinguitur uenditio. Si uero conuenerit, ut uel ipsa res, uel aestimatio, praestentur: si quidem fuerit expressum, cuius futura sit optio, is eam habeat: aut si nihil adijciatur, maritus utrum malit offerat. Nam in alternatiua etiam reus electionẽ habet praestandi utrum uelit. Quod si res non existent, aestimationem (maritus) omnimodo praestat. Potest etiam rem deteriorem factam reddere.

XIII.

In rebus dotalibus tam dolum, quam culpam maritus praestat; itemque diligentiam adhibebit, qualem suis in rebus praestat.

XIIII.

Nuptijs non sequutis, non pretium rerum aestimatarum, sed res ipsas mulier repetit.

XXII.

Post nuptias pater condicionem filiae deteriorem facere non potest. quia nec redditur ei dos inuita filia.

XLVIII.

Res quae ex dotali pecunia comparatae sunt, dotales sunt.

LI.

Vbi onera matrimonij sunt, ibi & dos esse debet. Statim uero post mortem patris, onera matrimonij filium sequuntur, sicut liberi, sicut uxor.

LXVI.

Partus dotalium ancillarum mulieris est, & frustra (mariti) paciscuntur, ut inter se & uxorem diuidatur. In ambiguis pro dote respondemus. Dos ab extraneo promissa, periculo mulieris est. Si uero maritus usuras acceperit, eius deinde periculum est. De partu dotalis ancillae.

LXXXIII.

Si quis dote suscepta, de pluribus, tamquam sibi traditis, in instrumento dotali scripserit; si quidem non uoluntate dotantis, nullum ei praeiudicium parit. Sin autem eo uolente pactum facere uisum est de alijs quoq. rebus, ut & illa dotis nomine praestarentur: quoniam ex l. 4. C. de dot. prom.

ex nuda promissione petitionem dotes habent, potest eas petere.

LXXXV.

Constitutio iubet, ut ex quauis promissione petitionem dos habeat; etiamsi stipulatio non praecedat.

Si pater simpliciter dixerit se dare dotem uel donationem ante nuptias; omnino eam suis ex bonis praestat, res filij prorsus non attingens. si tamen inops est, omnino totum ex filij rebus praebeto: sin idoneas facultates possidet, totum ex suis praestato. Nam oportebat eum, si uolebat ex ambabus facultatibus constitui dotem uel donationem ante nuptias, ex suis quidem bonis praestare, quae uellet; consentire uero filio uel filiae, dote uel donatione ante nuptias ex pertinentibus ad eos rebus praestanda, quando uoluerint partem, uel totam forte substatiam suam, quam habent, paternae liberalitati pro dote uel ante nuptias donatione aggregare: ut reapse pareat, quid ipse dare uelit, & quid de substantia filiorum proficiscatur.

Quare nouellam in hoc ipso praesenti capite.

LXXXIX.

L.3.C.de iu. dot.

Maritus seruos dotales constante matrimonio manumittere tam mortis tempore, quam per fideicommissum, seu post aliquot annos, atque etiam uiuus, minime prohibetur: sed rata libertas est, etsi maxime dotis exactio socero competat, filia in matrimonio defuncta.

XCI.

Maritus, qui dotem aestimatam accepit, non res, sed pretium consequutus esse creditur. itaq; soluto matrimonio non res ipsas, sed aestimationem earum reddere potest.

XCVIII.

Quod ex dotalibus numis comparatum est, non est in uxoris dominio: sed si partem dotis mulier consequuta fuerit, nec transegerit, de residuo dotis agere poterit. quippe non debet harum ea rerum dominium uindicare.

CI.

Etiam citra scripturam dari dos potest. ideoque si data fuerit interueniente scriptura, & instrumēta perierint; nihilo minus dos petitur, si modo probetur, quod data fuerit.

CXIIII.

Mulier non solum rei uindicationem, sed & hypothecariam habeat: quum potior sit omnibus mariti creditoribus, tā posterioribus, quam anterioribus.

Legito & lib. XVIII. tit. VII. cap. XII. them. II. Item lib. XXVI. tit. V. cap. XXX. them..... & cap. XL. & XLIIII. & LXI. & LXXIX. Item lib. XXVIII. tit. III. cap.

ἀπὸ ψιλῆς ἐπαγγελίας ἀπαίτησιν αἱ προῖκες ἔχουσι, δύναται ταύτας ἀπαιτεῖν.

πε.

Ἡ διάταξις κελεύει, ἀπὸ πάσης ὁμολογίας ἀπαίτησιν ἔχειν τὴν προῖκα, † εἰ μὴ προηγοῖτο ἡ ἐπερώτησις. † ἀκαὶ μὴ.

† Εἴπερ ἁπλούστερον εἴπεν ὁ πατὴρ ὅτι δίδωσι προῖκα, ἢ προγαμιαίαν δωρεὰν, πάντως οἴκοθεν δίδωσι, μὴ ἁπτόμενος παντελῶς τῶν τοῦ παιδὸς πραγμάτων. εἰ μὲν ἄπορός ἐστιν αὐτὸς, παντελῶς τὸ ὅλον ἐκ τῶν τοῦ παιδὸς παρεχέτω. εἰ δὲ ἔχει οὐσίαν ἀρκοῦσαν, τὸ ὅλον ἐκ τῶν ἰδίων διδότω. ἔδει γὰρ, εἰ μὲν ἐβούλετο ἐκ τῶν δύο οὐσιῶν γενέσθαι τὴν τῆς προικὸς ἐπίδοσιν, ἢ τῆς προγαμιαίας δωρεᾶς, αὐτὸν μὲν ἅπερ ἐβούλετο οἴκοθεν ἐπιδιδόναι. συναινέσαι δὲ τῷ υἱῷ ἢ τῇ θυγατρὶ παρεχομένης τῆς προικὸς ἢ τῆς προγαμιαίας δωρεᾶς ἐκ τῶν διαφερόντων αὐτοῖς πραγμάτων, ἡνίκα βουληθῶσι μέρος ἢ τυχὸν πᾶσαν τὴν ἰδίαν οὐσίαν, ἣν ἔχουσι, τῇ πατρῴᾳ φιλοτιμίᾳ ὑπὲρ προικὸς ἢ προγαμιαίας δωρεᾶς συνάψαι, ἵνα τῇ ἀληθείᾳ δειχθῇ τί αὐτὸς βούλεται δοῦναι, καὶ τί ἐκ τῆς † ὑποστάσεως τῶν παίδων ἐξέρχεται. † ἄνευ τοῦ παρόντος κεφαλαίου. † ὑποστάσεως.

πθ.

Οὐ κεκώλυται ὁ ἀνὴρ τοὺς προικιμαίους δούλους ἐλευθεροῦν ἐν συνεστῶτι τῷ γάμῳ: καὶ ἅμα τῷ τελευτῆσαι, καὶ κατὰ ἀποκατάστασιν, ἤγουν μετὰ χρόνους τινὰς, καὶ ἔτι ζῶν. ἀλλ' ἔρρωται ἡ ἐλευθερία καθ' ὃ μάλιστα ἁρμόσῃ τῷ πενθερῷ ἡ ἀπαίτησις τῆς προικὸς τελευτώσης ἐν τῷ γάμῳ τῆς θυγατρός.

ϛα.

Ὁ ἀνὴρ διατετιμημένην προῖκα λαβὼν, τὴν διατίμησιν πιστεύεται ἔχειν ἐν προικὶ, καὶ οὐχὶ τὰ πράγματα. ὅθεν διαλυομένου τοῦ γάμου, δύναται μὴ τὰ πράγματα αὐτὰ, ἀλλὰ τὴν διατίμησιν αὐτῶν ἀποδιδόναι.

ϛη.

Τὸ ἀπὸ προικιμαίων ΝΝ. ἀγοραζόμενον, οὐκ ἔστι τῆς δεσποτείας τῆς γυναικὸς, ἀλλ' ἐὰν μέρος τῆς προικὸς † ἀλλ' λάβῃ ἡ γυνὴ, † ἢ ὡς διαλύσῃ, δύναται περὶ τοῦ ὑπολοίπου μέρους * τῆς προικὸς ἐνάγειν. τὴν γὰρ δεσποτείαν τούτων τῶν πραγμάτων οὐκ ὀφείλει διεκδικῆσαι. † ἀπολάβῃ. † μὴ δ. * ἀ.

ρα.

Καὶ ἀγράφως δυνατὸν ἐπιδοθῆναι προῖκα. καὶ ἐὰν ἐγγράφως ἐπεδόθη, καὶ ἀπόλλωνται τὰ συμβόλαια, οὐδὲν ἧττον ἀπαιτεῖται ἡ προὶξ, ἐὰν ὅλως ἀποδείκνυται ὅτι παρεσχέθη.

ριδ.

Ἐχέτω δὲ ἡ γυνὴ μὴ μόνον τὴν περὶ τῆς δεσποτείας ἀγωγὴν, ἀλλὰ καὶ τὴν ὑποθηκαρίαν, προτιμοτέρα ὑπάρχουσα πάντων τῶν τοῦ ἀνδρὸς δανειστῶν τῶν μεταγενεστέρων καὶ τῶν προγενεστέρων.

Ἀνάγνωθι καὶ βιβλ. ιη. τίτλ. ζ. κεφάλ. ιβ. θεμ. β. καὶ βιβλ. κϛ. τίτλ. ε. κεφ. λ. θεμ. ..... καὶ κεφ. μ. καὶ μδ. καὶ ξα. καὶ οθ. καὶ βιβλ. κη. τίτλ. γ. κεφ. α. καὶ

α. καὶ γ. καὶ βιβλίον λ. τίτλον α. κεφάλαιον ϛ. θεμ. ζ. καὶ βιβλίον η. τίτλον γ. κεφάλαιον μβ. ἐν ᾧ φησί.

Τὸ προικιμαῖον οὐδὲ ἀγνοοῦντι καλῶς παρὰ τοῦ ἀνδρὸς πιπράσκεται. εἰ δὲ κερδαίνῃ ὁ πατὴρ τὴν † ἀντ. προῖκα, βεβαιοῦται ἡ πρᾶσις. ὥσπερ καὶ † εἰς τὸ κλοπιμαῖον ἀγοράσας τίς, κληρονομήσει τοῦ δεσπότου.

Ἀνάγνωθι καὶ βιβλίου τούτου κθ. τίτλ. ε. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

περὶ συμφώνων προικός. Μετὰ σύστασιν τοῦ γάμου, καλῶς συμφωνοῦμεν, εἰ καὶ τὴν ἀρχὴν μηδὲν συνεφωνήθη. πάντες οἱ τὴν ἀπαίτησιν ἔχοντες, καὶ οἱ τῇ δόσει ὑποκείμενοι, συμφωνεῖν ὀφείλουσι περὶ τῆς ἀποδόσεως. ὁ γὰρ μὴ εὑρεθεὶς, οὐκ ὠφελεῖται.

Ἐν δὲ τῷ ια. κεφαλαίῳ.

Ταχύτερον τοῦ ὡρισμένου δυνατὸν συμφωνεῖν ἀποδοθῆναι τὴν προῖκα, οὐ μὴν βραδύτερον: ὥσπερ ὅτι τὸ μηδ᾽ ὅλως ἀποδοθῆναι. πρὸ τῶν γάμων συνεφώνησα ὥστε † τῇ προθεσμίᾳ δίδοται μοι ἡ προὶξ, τῇ αὐτῇ κἀμὲ ἀποδοῦναι. εἰ μὲν ταχύτερον τοῦ νομίμου χρόνου δοθῇ μοι ἡ προὶξ, τυχὸν ἡ διατετιμημένη ἔσω δύο μηνῶν, ἔρρωται τὸ σύμφωνον καὶ μετὰ λύσιν τοῦ γάμου, ἔσω δύο μηνῶν ἀποδίδωμι. εἰ δὲ † βραχύτερον τοῦ νομίμου χρόνου δοθῇ μοι, οὐκ ἔρρωται τὸ σύμφωνον: ὅτι τοσοῦτον χρόνον ἔχω πρὸς τὴν ἀπόδοσιν. κρείττων γὰρ ἡ αἵρεσις τῆς γυναικὸς, οὐ μὴν χείρων διὰ τῶν τοιούτων γίνεσθαι συμφώνων δύναται. τοῦτο ἐν συνεστῶτι τῷ γάμῳ. μετὰ γὰρ διαζύγιον ἐξ εὐλόγου αἰτίας, καλῶς συμφωνεῖ βραδύτερον ἀποδοῦναι.

† ἢ.

† βραδύτερον.

ιθ.

Ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας κερδαίνειν τὸν ἄνδρα τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετὰ ἐνιαυσίου παιδίου. δοκεῖ † πρὸ τελευτῆς τῆς μητρὸς ὁ παῖς, καὶ κερδαίνει ὁ ἀνήρ.

† προτεθνάναι.

κα.

Ἐὰν συμφωνηθῇ τὴν προῖκα ἐξ ἀπαιδίας ἀποδοῦναι τὸν ἄνδρα, δοκεῖ συμφωνεῖν παίδων ὑπόντων αὐτὴν παρακρατηθῆναι. ἕλκεται δὲ τὸ σύμφωνον καὶ εἰς τὴν ἐπαύξησιν, εἰ μὴ ἕτερον συνέδοξεν.

κγ.

Γυνὴ συνεφώνησεν ἐξ ἀπαιδίας δοθῆναι τὴν προῖκα τῇ ἰδίᾳ μητρί. ἀπὸ μὲν τοῦ συμφώνου ἡ μήτηρ ἀγωγὴν οὐκ ἔχει. ἐὰν δὲ οἱ κληρονόμοι τῆς θυγατρὸς καταβάλωσιν αὐτῇ τὴν προῖκα, † παραγράφονται τὸν ἄνδρα περὶ τῆς προικὸς ἐνάγοντα.

† παραγράφονται.

κϛ.

Καὶ συνεστῶτος τοῦ γάμου δυνατὸν συμφωνεῖν τὴν διατετιμημένην προῖκα γενέσθαι ἀδιατίμητον, καὶ τῇ γυναικὶ κινδυνεύειν. εἰ δὲ βλάψει τοὺς ἀγροὺς ὁ ἀνὴρ, ἐνέχεται τῇ ἀγωγῇ περὶ προικός.

I.& III. Itē lib. XXX. tit. I. cap. VI. them. VII. & lib. VIII. tit. III. cap. XLII. In quo dicitur:

Res dotalis ne quidem ignoranti recte a marito uenditur. Si uero dotem pater lucretur, confirmatur uenditio: quemadmodum si quis emta re furtina, domino heres existat.

Legito & lib. huius XXIX. tit. V. cuius I. cap. dicitur:

Post contractas nuptias recte paciscimur, quamuis ab initio nihil conuenerit. Omnes qui repetitionem [dotis] habent, & qui ad reddendum eam obligati sunt, de dote reddenda pacisci debent. Nam is qui non interfuerit, non iuuatur.

De pacto dotali. l. 1. D. de pact. dotal.

Et cap. XI.

Vt citius dos reddatur, quam praestitutum fuerit, pacisci licet; non ut tardius. sicuti nec [conuenire potest], ne omnino reddatur. Ante nuptias pactus sum, ut intra quod tempus dos mihi daretur, eodem & ego redderem. Iam si propiore tempore, quam legibus constitutum est, dos mihi data fuerit, puta quae data sit aestimata intra duos menses; pactum conuentum ualet, ac post diuortium, intra duos mēses eam reddo. Sin tardius, quam legitimum tempus poscat, data mihi fuerit: pactum non ualet, nec ad reddendum eam tantumdem temporis habeo. quippe melior conditio mulieris, non deterior per huiusmodi pacta fieri potest. Atque haec constante matrimonio. nam post diuortium ex iusta caussa recte quis paciscitur, ut serius reddat.

XIX.

Si conuenerit, ut nullis superstitibus liberis dotem maritus lucretur; & mulier naufragio cum anniculo filio perierit: quia uidetur infans ante matrem perisse, uir dotem lucratur.

XXI.

Si conuenerit, ut nullis superstitibus liberis dotem maritus restituat: id actum uidetur, ut liberis superstitibus dos retineatur. Trahitur autem pactum etiam ad dotis additamentum, nisi aliud conuenerit.

XXIII.

Mulier quaedam pacta est, ut nullis ex se liberis superstitibus, matri suae dos solueretur. Ex hoc quidem pacto mater actionem non habet, uerum si heredes filiae dotem matri soluerint; uirum dotem petentem exceptione summouebūt.

XXVI.

Etiam constante matrimonio pactum fieri potest, ut aestimata dos inaestimata fiat, & mulieris periculo sit. Si tamen praedia deteriora maritus fecerit, dotis actione tenetur.

B XXX.

XXX.

L. 1. C. de pact. conuen.

Pacta, quæ de restituenda dote fiunt, ualent. quippe non nudum hoc pactum est, quod de rerum iam datarum restitutione fit.

XXXII.

Si quis cum socero suo pactus est, ut si contingat eum in matrimonio superstitibus liberis decedere, dimidiam duntaxat dotem restituat; id pactum inutile est.

XXXV.

Si maritus cum uxore pactus fuerit, ut eius defunctæ heres esset: id pactum inutile est. Non enim pacto de hereditate nostra disponere possumus, qui extraneus sine testamento nequeat alterius heres esse.

XLI.

L. 1. C. de dot. caut. non num.

Dotem numeratio, non scriptura dotalis instrumenti facit. ideoq. non ignoras ita te ad petitionem dotis admitti, si dotem a te reuera datam probaueris, hoc est, si non in charta tantum, sed reapse dos data fuerit.

Legito & lib. XI. tit. I. cap. XXXII. in quo dicitur:

L. 40. §. pater. D. de pact.

Quum dotem pro filia promitterem, pactus sum ut post mortem meam illa sine liberis defuncta portio dotis apud heredem meum fratrem maneret. Qui deinceps nati fuerint ex me liberi, & heredes testamēto scripti, doli exceptionem habebunt. simpliciter enim heredibus meis consului.

Et cap. LVIIII.

L. 10. C. eod.

Quum mulier alumnam haberet, ac dotem pro ea daret: pacta est, ut soluto matrimonio dos sibi redderetur. Accidit ut hæc alumna in matrimonio moreretur, uenitque mulier, quæ eam dotauerat, uolens dotem ex pacto repetere. Maritus autem nihil se debere dicebat, affirmans hoc pactum esse nudum. Ex nudo autem pacto nemini actionem nasci. Eam ob caussam mulier adito principe rem exposuit, eique princeps in hunc modum rescripsit:

Pactum quod expressisti, quum dotem pro alumna dares, seruari oportet: nec obesse tibi potest, quod dici solet; ex nudo pacto actionem nō nasci. tūc enim hoc iure utimur, quum pactum nudum est. alioquin quum pecunia datur, & aliquid de ea reddenda conuenit; utilis est repetitionis ratio.

Et cap. LXIIII.

Pactum, quod instrumento dotali comprehēsum est, ut si pater uita fungeretur, ex æqua portione filia cū fratre heres patri suo esset: nullam obligationē contrariā facere, nec libertatē testamenti faciendi puellæ patri potest auferre.

Quære nouel. XIX. Dn. Leonis, huic capiti contrariam, quæ magis obtinet.

λ.

Τὰ ἐπὶ τῇ προικὶ γινόμενα σύμφωνα περὶ τῆς ἀναδόσεως ἰσχύουσιν. οὐδὲ γάρ ἐστι ψιλὸν πάκτον τὸ τοιοῦτον, ὅτι περὶ ἀναδόσεως τῶν ἐπιδεδομένων γίνεται πραγμάτων.

λβ.

Ἐάν τις συμφωνήσῃ πρὸς τὸν πενθερὸν, ἵνα ἐὰν συμβῇ αὐτὸν ἐν τῷ γάμῳ τελευτῆσαι παίδων ὑπόντων, τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ: ἄχρηστόν ἐστι τὸ σύμφωνον.

λε.

Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτώσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον τοῦτο ἄχρηστόν ἐστιν. οὐδὲ γὰρ δυνατὸν διὰ συμφώνου τυποῦσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας. ἐξωτικὸς γὰρ ἄνθρωπος διαθήκης χωρὶς, ἑτέρου οὐ δύναται κληρονομῆσαι.

μα.

Τὴν προῖκα ἡ ἀρίθμησις, οὐχ ἡ † προγραφὴ τοῦ προικῴου συμβολαίου ποιεῖ. καὶ διὰ τοῦτο οὐκ ἀγνοεῖς οὕτω σε πρὸς τὴν ἀπαίτησιν τῆς προικὸς δύνασθαι † δεχθῆναι, ἐὰν τὴν προῖκα δοθεῖσαν ἐν αὐτῇ τῇ ἀληθείᾳ ἀποδεικνύῃς: τουτέστι μὴ ἐν χάρτῃ μόνῳ, ἀλλ᾽ ἵνα καὶ ἐν τῷ αὐτῷ πράγματι ἡ προῖξ ἐπιδοθῇ.

† ὑπογραφὴ, ἢ εἰσγραφή.

† δειχθῆναι.

Ἀνάγνωθι καὶ βιβ. ια. τιτ. α. κεφ. λβ. ἐν ᾧ φησίν.

Ὁμολογῶν ὑπὲρ θυγατρὸς προῖκα, συνεφώνησα ἵνα μετὰ θάνατόν μου τελευτώσης αὐτῆς ἀπαίδος, τὸ μέρος τῆς προικὸς μένῃ παρὰ τῷ ἀδελφῷ μου τῷ κληρονόμῳ μου. οἱ μετὰ ταῦτα τεχθέντες ἐξ ἐμοῦ παῖδες καὶ γραφεῖς τις κληρονόμοι, τὴν τοῦ δόλου παραγραφὴν ἕξουσιν ἁπλῶς γὰρ τῶν κληρονόμων μου προενόησα.

Καὶ κεφ. νθ.

Ἀναθρεπτὴν ἔχουσα γυνὴ καὶ προῖκα ὑπὲρ αὐτῆς ἀποδιδοῦσα, συνεφώνησε διαλυομένου † ἑαυτῇ ἀποδοθῆναι τὴν προῖκα. συνέβη τοίνυν τὴν ἀναθρεπτὴν ἐν τῷ γάμῳ τελευτῆσαι, καὶ ἦλθεν ἡ προικίσασα αὐτὴν, βουλομένη τὴν προῖκα λαβεῖν κατὰ τὸ σύμφωνον. ὁ δὲ ἀνὴρ ἔλεγε μηδὲν χρεωστεῖν, διισχυριζόμενος γυμνὸν εἶναι τοῦτο τὸ σύμφωνον. ἀπὸ γυμνοῦ δὲ συμφώνου μηδενὶ τίκτεσθαι ἀγωγήν. προσῆλθεν οὖν ἡ γυνὴ βασιλεῖ ταῦτα διδάσκουσα, καὶ ἀντέγραψε πρὸς αὐτὴν ὁ βασιλεὺς οὕτως.

† γάμου, λυθέντος.

Τὸ σύμφωνον ὅπερ ἐξεφώνησας ὅτε τὴν προῖκα ὑπὲρ τῆς ἀναθρεπτῆς ἐδίδους, φυλαχθῆναι αἰτεῖ, καὶ οὐδὲ ἀντικεῖσθαί σοι δύναται, ὅπερ εἴωθε λέγεσθαι, ἀπὸ ψιλοῦ συμφώνου ἀγωγὴν μὴ γίνεσθαι. τότε γὰρ τούτῳ τῷ νομίμῳ κεχρήμεθα, ὅτε τὸ σύμφωνον γυμνόν ἐστιν. ἐπεὶ, ὅτε πράγματα δίδοται, καὶ τί ποτε περὶ ἀναδόσεως αὐτῶν συμφωνεῖται, χρήσιμός ἐστιν ὁ τῆς ἀπαιτήσεως λόγος.

Καὶ κεφάλαιον ξδ.

Τὸ σύμφωνον τοῦτο ὅπερ τῷ προικῴῳ δικαιώματι προσελήφθη, ὡς ἐὰν ὁ πατὴρ τὸν βίον ὑπεξέλθῃ, ἐξ ἴσης μοίρας αὐτοῦ τὴν θυγατέρα σὺν τῷ ἀδελφῷ κληρονόμον τοῦ ἰδίου πατρὸς εἶναι: οὐδεμίαν ἐνοχὴν ὑπεναντίαν ποιεῖ, οὐδὲ τὴν ἐλευθερίαν τῆς διαθήκης τοῦ πατρὸς τῆς κόρης δύναται ἀφαιρεῖσθαι.

ζήτει νεαρ. ιθ. τοῦ κυροῦ Λέοντος ἐναντίαν τούτῳ κεφαλαίῳ, ἥτις καὶ μᾶλλον κρατεῖ.

Ἀνάγνωθι

Ἀνάγνωθι καὶ βιβλίον κη. τίτλον η. οὗ τινος ἐν τῷ ιβ. κεφαλαίῳ φησίν.

περὶ ἀπαιτήσεως προικός.

Μέχρις εὐπορίας ὁ ἀνήρ, οὐ μὴν καὶ ὁ κληρονόμος αὐτοῦ, καταδικάζεται. τὸ γὰρ προνόμιον προσωπικόν ἐστιν: ἔχει δὲ αὐτὸ καὶ ὁ ἐκδικητὴς ἤτοι ὁ προκουράτωρ τοῦ ἀνδρός.

ις.

Καὶ ὁ πατὴρ τοῦ ἀνδρὸς μέχρις εὐπορίας τῇ νύμφῃ καταδικάζεται. τάξιν γὰρ πατρὸς, ὁ πενθερὸς ἐπέχει.

ιζ.

Ἐὰν τοῦ δικαστοῦ τὸν νόμον ἀγνοήσαντος, εἰς ὁλόκληρον ὁ ἀνὴρ ἐν τῇ προικὶ καταδικασθῇ, ἔχει δόλου παραγραφήν.

ιη.

Καὶ οἱ παῖδες τῆς γαμετῆς, κληρονομοῦντες τοῦ πατρὸς, μέχρις εὐπορίας καταδικάζονται.

κ.

Ἡ προὶξ τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου, καλῶς καταβάλλεται ἐπὶ τὸ καταβάλλειν δανεισταῖς αὐτῆς, ἢ ἀγροὺς εὐπορωτέρους ἀγοράσαι, ἢ ἐπὶ τῷ προνοήσασθαι παίδων ἐξ ἑτέρου γάμου, ἢ ἀδελφῶν ἢ γονέων πενομένων, ἢ ἐπὶ τῷ ἀναρρύσασθαι τούτους ἀπὸ αἰχμαλωσίας. τὸ αὐτὸ καὶ περὶ ὑπεξουσίας. εἰ δὲ καὶ συγγενεῖς τῆς γυναικὸς ἀναρρύσεται, ἢ παράσχῃ τῇ γυναικὶ ἐπὶ τῷ δεσμῶν ἢ λῃστῶν ἀπολῦσαι συγγενῆ, καταλογίζεται, εἴτε πᾶσαν τὴν προῖκα, εἴτε μέρος ἔδωκε. καὶ πλέον ὁ πενθερὸς ἐνάγων, λογίζεται τὰ εἰς αὐτὸν δαπανηθέντα παρὰ τοῦ ἀνδρὸς ἢ τῆς θυγατρὸς τοῦ ἀνδρὸς δεδωκότος: ὥσπερ εἰ καὶ μετὰ θάνατον τοῦ πατρὸς ἡ θυγάτηρ ἐνάγει. ἡ γὰρ τοῦ δόλου παραγραφὴ ἔνεστι τῇ ἀγωγῇ τῆς προικὸς, ὡς καὶ τοῖς λοιποῖς καλῇ πίστει δικαστηρίοις.

κγ.

Καὶ συνεστῶτος τοῦ γάμου, κινεῖ περὶ τῆς προικὸς ἡ γυνή, ἀφ' οὗ ἄρξεται μὴ ἀρκεῖν πρὸς τὸ ποσὸν αὐτῆς ἡ οὐσία τοῦ ἀνδρός.

Ἀνάγνωθι καὶ βιβλίου τούτου κθ. τίτλον α. κεφάλαιον ξη. ἐν ᾧ φησίν.

Τῇ μὴ ἀπολλυούσῃ γαμετῇ, δύναται ἡ προὶξ ἐκ τούτων καταβάλλεσθαι τῶν αἰτιῶν, οἷον ἵνα ἑαυτὴν καὶ τοὺς ἰδίους θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα τὸν ἐξορισθέντα πατέρα θρέψῃ, ἢ τὸν ἄνδρα, ἢ τοὺς ἀδελφοὺς πενομένους.

Καὶ κεφάλαιον οη.

Ἐν συνεστῶτι γάμῳ, καλῶς ὁ προικιμαῖος ἀγρὸς καταβάλλεται τῇ γυναικὶ, ἐφ' ᾧ πραθῆναι καὶ δοθῆναι τὸ τίμημα τοῖς δανεισταῖς τοῦ πατρὸς τῆς γυναικός: καὶ ἄλλον εὐπορώτερον παρ' αὐτῆς κληρονομούσης τοῦ πατρὸς ἀντισταχθῆναι τῇ γυναικί.

ριγ.

Γυνὴ καὶ συνισταμένων ἔτι τῶν γάμων ἐὰν ἄπορον ὁρᾷ τὸν ἄνδρα, δύναται ὑπὲρ προικὸς καὶ προγαμιαίας δωρεᾶς καὶ ἐξωπροίκων διακρατῆσαι

Legito & lib. XXVIII. tit. VIII. cuius XII. cap. dicitur:

In id quod facere potest, maritus condemnatur; non tamen & heres. quia tale priuilegium personale est. quamuis & mariti defensor siue procurator id habet. De petitione dotis. l. 12. D. sol. matr.

XV.

Pater quoque mariti nurui condemnatur in id, quod facere potest. quia parentis locum socer obtinet.

XVII.

Si iudex ignorantia iuris lapsus, maritum in iudicio dotis in solidum condemnauerit: doli exceptionem habet.

XVIII.

Etiam filij mulieris, qui patri heredes existunt, in id quod facere possunt, condemnantur.

XX.

Mulieri dos etiam constante matrimonio recte soluitur, ut creditoribus suis soluat, uel prædia fertiliora emat, uel ut consulat liberis ex alio matrimonio, uel fratribus, uel parentibus egentibus, uel ut eos ex captiuitate redimat. idem & in filia familias. Quod si [maritus] propinquos uxoris redimat, uel uxori præstet, ut e uinculis uel a latronibus cognatum uindicet; id ipsum ei reputatur, siue totam dotem, siue partem dederit. & multo magis socer agens eorum rationem habet, quæ in eum impensa sunt a marito [filiæ], uel filia, cui maritus dedit: quemadmodum & si filia post mortem patris agat. quippe doli exceptio inest actioni de dote, sicut & ceteris bonæ fidei iudicijs.

XXIII.

Etiam constante matrimonio mulier agit de dote, ex quo mariti facultates ad dotis quantitatem non sufficere ceperint.

Legito & lib. huius XXIX. tit. I. cap. LXVIII. cuius hæc uerba sunt:

Vxori non perdenti dos ob hasce caussas solui potest. puta, ut sese suosque alat, ut fundum idoneum emat, ut patri relegato alimenta præstet, uel marito, uel fratribus egentibus. l. 73. D. de iu. dot.

Et cap. LXXXVIII.

Constante matrimonio recte fundus dotalis mulieri redditur, ut distrahatur, & pretium creditoribus patris mulieris detur, atque alius uberior ei, quæ & patris heres est, illius loco reddatur. l. ult. eod.

CXIII.

Mulier etiam constante adhuc matrimonio, si maritum inopem uideat, pro dote ac donatione ante nuptias, & extradotalibus, res ipsius l. 29. C. eod.

tamquam ex hypotheca tenere potest: ac siue conueniatur, exceptionem habet; siue agat, uincit. nec enim obstat ei, quod necdum solutum sit matrimonium; sed interim sic res accipit, quasi si matrimonium solutum foret, atque ipsi dotis petitio competiisset. Ceterum creditores si quas actiones habere se putant, iis experiri debent aduersus uirum, uel res ipsius, quas postea forte adquisiuit. Mulier autem nihil alienare potest interea, dum maritus uiuit: sed exspectamus, donec soluto matrimonio maritus & uxor inter se de dote contendant. quippe nullam aliam ob caussam res eas mulier consequitur, quam ut fructus earũ percipiat, & se cum marito, communibusq́ liberis alat.

CXIIII.

Mulier soluto matrimonio res ab se datas in dotem, quæ adhuc extant, agendo uindicare potest; uti quæ adhuc earum esse domina credatur. nam eadem res ab initio ipsius erant, & licet legum subtilitas iam ad maritum eas transtulerit; tamen adhuc eius esse uidentur. Habeat uero mulier non tantum actionem de proprietate, sed & hypothecariã: potior existens omnibus uiri creditoribus anterioribus. Omnis autem temporalis exceptio, quæ mulieri obstat, siue per usucapionem inducta, siue per decem, uel uiginti, uel triginta, uel quadraginta annos; ex eo tempore computetur ei, ex quo agere potuit: hoc est, si maritus opulentus sit, post solutum matrimonium; sin parum idoneus, ab inopiæ tempore. Potuit enim mulier etiam constante matrimonio nomine dotis contra maritum experiri.

CXVII.

l. un. §. quum autem. C. de rei ux. act.

Quum actio dotem exigens, ilico dotem petat totã; actio uero de restitutione dotis ea, quæ pondere, numero, mensura constant, per tres annos petat; ac ne quidem in solidum hactenus mouerit consueuerit, sed in quantum maritus facere potest: etiam illa dotem exigens actio in tantum hodie moueatur, in quantum facere maritus potest; isque mulieri cautionem exponat, futurum ut si quid adquisiuerit, ei satisfaciat. Fiat autem exactio non per tres annos, ut in restitutione dotis, nec ilico: sed annuo quidem die soluantur ea, quæ mensura constant; cetera uero statim. Quod si maritus ilico, uel post anni decursum restituere supersederit ea, quæ restitui debent: etiam rerum mobilium usuras, & immobilium fructus, a soluti matrimonij tempore, cum pensionibus, nauium uecturis, & fructibus ceteris, præstat.

τὴν † αὐτὴν οὐσίαν ὡς ἀπὸ ὑποθήκης. καὶ εἴτε ἐνάγεται, ἔχει παραγραφήν· εἴτε ἐνάγει, νικᾷ. οὐδὲ γὰρ ἀντίκειται αὐτῇ τὸ μηδέπω διαλυθῆναι τὸν γάμον. ἀλλὰ τέως μὲν λαμβάνει τὰ πράγματα οὕτως, ὥσπερ εἰ διελύθη ὁ γάμος, καὶ ἥρμοσεν αὐτῇ ἡ τῆς προικὸς ἀπαίτησις. λοιπὸν δὲ οἱ δανεισταὶ εἴ τινας νομίζουσι ἔχειν ἀγωγὰς, ταύτας ὀφείλουσι κινῆσαι κατὰ τοῦ ἀνδρὸς, ἤτοι τῶν αὐτοῦ πραγμάτων † ὅσα ἐὰν ἐπικτήσηται. ἡ δὲ γυνὴ οὐδὲν δύναται ἐκποιεῖν ἐν τῷ μεταξὺ ζῶντος τοῦ ἀνδρός· ἀλλ᾽ ἀναμένομεν ἵνα λυομένου τοῦ γάμου ἀγωνίσωνται πρὸς ἀλλήλους ὅτε ἀνὴρ καὶ ἡ γυνὴ περὶ τῆς προικός. δι᾽ οὐδὲν γὰρ ἕτερον λαμβάνει τὰ πράγματα ἡ γυνὴ, εἰ μὴ μόνον ἵνα καρπῶται καὶ ἀποτρέφῃ αὐτὴν καὶ τὸν ἄνδρα, καὶ τοὺς κοινοὺς αὐτῶν παῖδας. † αὐτῆ, † ἵνα αὐ.

ριδ.

Ἡ γυνὴ διαλυομένου τοῦ γάμου, δύναται ἐκδικεῖν τὰ εἰς προῖκα ἐπιδοθέντα παρ᾽ αὐτῆς πράγματα, καὶ ἔτι σωζόμενα, διὰ τῆς ἀγωγῆς, ὡς ἔτι δέσποινα αὐτῶν εἶναι νομιζομένη. καὶ γὰρ καὶ αὐτῆς ὑπῆρχον ἐξ ἀρχῆς τὰ πράγματα, καὶ νῦν ἡ τοῦ νόμου ἀκρίβεια μετήγαγεν αὐτὰ πρὸς τὸν ἄνδρα, ἐπεὶ τοίγε ἔτι αὐτῆς δοκοῦσιν εἶναι. ἐχέτω δὲ ἡ γυνὴ † μόνον τὴν περὶ τῆς δεσποτείας ἀγωγὴν, ἀλλὰ καὶ τὴν ὑποθηκαρίαν: προτιμοτέρα ὑπάρχουσα πάντων τῶν τοῦ ἀνδρὸς δανειστῶν τῶν † μεταγενεστέρων. πᾶσα δὲ χρόνου παραγραφὴ ἀντικειμένη τῇ γυναικὶ, εἴτε ὡς ἀπὸ τῆς διὰ τοῦ χρόνου δεσποτείας, εἴτε ὡς ἀπὸ δέκα, ἢ εἴκοσι ἢ τριάκοντα, ἢ τεσσαράκοντα ἐνιαυτῶν, ἐξ ἐκείνου τοῦ καιροῦ ψηφιζέσθω αὐτῇ, ἐξ οὗ ἠδύνατο κινῆσαι: τουτέστιν εἰ μὲν εὔπορός ἐστιν ὁ ἀνὴρ, ἐκ τοῦ τοῦ γάμου διαλύσεως: εἰ δὲ ἄπορός ἐστιν, ἐκ τοῦ καιροῦ τῆς ἀπορίας. ἐπειδὴ ἠδύνατο ἡ γυνὴ καὶ συνισταμένων ἔτι τῶν γάμων, κινῆσαι κατὰ τοῦ ἀνδρὸς περὶ τῆς προικός. † ὁ μόνον. † προγινομένων.

ριζ.

Ἐπειδὴ ἡ μὲν τὴν προῖκα ἀπαιτοῦσα ἀγωγὴ παραχρῆμα ἀπαιτεῖ πᾶσαν τὴν προῖκα: ἡ δὲ περὶ τῆς ἀναλήψεως τῆς προικὸς ἀγωγὴ τὰ σταθμώμενα, ἀριθμούμενα, μετρούμενα, διὰ τριῶν ἐνιαυτῶν ἀπαιτεῖ: καὶ οὐδὲ εἰς ὁλόκληρον ἐκινεῖτο, ἀλλ᾽ εἰς ὅσον εὐπορεῖ: καὶ ἡ τὴν προῖκα ἀπαιτοῦσα ἀγωγὴ σήμερον εἰς τοσοῦτον κινείσθω, εἰς ὅσον ὁ ἀνὴρ εὐπορεῖ: ἐκτιθέσθω δὲ ἀσφάλειαν τῇ γυναικὶ, ὡς ἐὰν ἐπικτήσηται, καταβάλλῃ αὐτῇ. ἡ δὲ ἀπαίτησις μήτε διὰ τριῶν ἐνιαυτῶν γινέσθω, ὡς ἐπὶ τῆς ἀναλήψεως τῆς προικὸς, μήτε παραχρῆμα: ἀλλὰ διὰ ἐνιαυτοῦ καταβαλλέσθω τὰ σταθμώμενα, τὰ μέντοιγε λοιπὰ πράγματα, παραχρῆμα. εἰ δὲ ἀναβάλληται ὁ ἀνὴρ καταβαλεῖν παραχρῆμα ἢ μετὰ ἐνιαυτοῦ παραδρομὴν τὰ ὀφείλοντα καταβληθῆναι: καὶ ὑπὲρ τῶν κινητῶν τόκους ἀπαιτεῖται, καὶ τοὺς καρποὺς τῶν ἀκινήτων ἀπὸ τοῦ καιροῦ τῆς λύσεως τοῦ γάμου, καὶ τὰ ἐνοίκια, καὶ τὰ ναῦλα, καὶ πάντα ἕτερον καρπόν.

Καὶ

Ἐὰν ἐξωτικὸς προικίσῃ, καὶ μὴ ἐπερωτήσῃ, καὶ συμφωνήσῃ ἐπαναλαβεῖν τὴν προῖκα· ἡ γυνὴ ἔχει τὴν ἀπαίτησιν τῆς προικός. ἐκείνου γὰρ μὴ ἐπερωτῶντος ἢ συμφωνοῦντος, ἡ γυνὴ δοκεῖ ἐπερωτᾶν. οὐδὲ γὰρ δοκεῖ ἐξωτικὸς σιωπηρῶς ἐπερωτᾶν. ἐξωτικὸν δὲ νόει μοι, πᾶν πρόσωπον χωρὶς τῶν ἐξ ἀρρενογονίας ἀνιόντων, καὶ ἐχόντων ὑπεξουσίαν τὴν προικιζομένην. οὗτοι γὰρ σιωπηρῶς δοκοῦσιν ἐπερωτᾶν. ἐπειδὴ καὶ τὸ παλαιὸν σιωπηρῶς εἶχον τὴν ἀνάληψιν τῆς προικός. πάλιν ἐὰν ζώσης τῆς γυναικὸς ὁ γάμος διαλυθῇ, αὐτὴ ἔχει τὴν περὶ τῆς ἀπαιτήσεως τῆς προικὸς ἀγωγήν. [Τίνες λέγονται ἐξωτικοί.]

Ἀνάγνωθι καὶ τίτλον ια. κεφάλαιον κη. τοῦ κη. βιβλίου, ἐν ᾧ φησίν.

Οὐκ ὀφείλει προσκυροῦσθαι τῇ γυναικὶ ἡ τοῦ ἀνδρὸς οὐσία ἀντὶ τῆς προικός, ἐὰν ἐπὶ κληρονόμοις ἐτελεύτησεν. εἰ δὲ ἀκληρονόμητος ἐτελεύτησε, τότε κατὰ τοὺς νόμους γινέσθω τὸ ἀζήμιον τῇ γυναικὶ πρὸς τὸ ἐγχωροῦν.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον ε. κεφάλαιον ξε. ἐν ᾧ φησίν.

[Ζήτει καὶ ἐν τοῖς νεαροῖς τοῦ κυρίου Λέοντος νόμον ...]

Ἡ γυνὴ τῇ κατοικήσει τοῦ ἀνδρὸς ἕπεται, κἀκεῖ αὐτὸν ἀπαιτεῖ τὴν προῖκα, οὐ μὴν ἔνθα συνετάγη τὸ συμβόλαιον. οὐ γάρ ἐστι συνάλλαγμα.

Ἀνάγνωθι καὶ βιβλίον θ. τίτλον ζ. κεφάλαιον ιη. ἐν ᾧ φησίν. [Καὶ τίτλον θ. κεφ. η.]

Τὸ προνόμιον ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικός, εἰς * κληρονόμους αὐτῶν οὐ διαβαίνει. [* πλὴν εἰς παῖδας.]

ΣΧΟΛΙΟΝ.

Περὶ τοῦ προνομίου ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικός, ὅτι οὐ διαβαίνει εἰς κληρονόμους αὐτῶν, πλὴν εἰς παῖδας, φησὶ τὸ α κεφ. τοῦ ιγ. τίτλου τοῦ κη. βιβλίου, ἐν ᾧ διαλαμβάνεται καὶ περὶ ἀπαιτήσεως α. καὶ β. προικός.

Ἀνάγνωθι καὶ βιβλίον ιε. τίτλον α. κεφάλαιον πθ. ἐν ᾧ φησίν.

Τὰ ἐν προικὶ ἐπιδοθέντα, οὐ δύναται ἡ γυνὴ διεκδικεῖν, ἐπειδὴ τοῦ ἀνδρός ἐστιν, ὃς τούτων δεσπότης.

Ἀνάγνωθι καὶ βιβλίον κη. τίτλου ιγ. οὗτινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Γενόμενός τις προτέρας γαμετῆς ἀνήρ, καὶ ταύτην ἀποβαλών, εἶτα δευτέρᾳ συνοικήσας, προῖκά τι ὑποδεξάμενος παρ' ἑκατέρας, καὶ παῖδας ἐκ τῆς πρώτης καταλιπών, ἀπῆλθε τῆς δευτέρας ἔτι περιούσης. ἐβούλετο τοίνυν ἡ δευτέρα γαμετὴ τὴν προῖκα τὴν παρ' αὐτῆς δεδομένην ἀπαιτεῖν, τῷ προνομίῳ χρωμένη τῷ παρ' ἡμῶν δεδομένῳ. ἀντέλεγον δὲ οἱ ἐκ τῶν πρώτων γάμων παῖδες, καὶ αὐτοὶ μητρῴαν προτεινόμενοι προῖκα, καὶ ἀμφισβητήσιμον ἦν, εἰ καὶ μὴ περιούσης τῆς προτέρας γαμετῆς, δεῖ δέξασθαι τοὺς ἐκείνης παῖδας κατὰ τῆς δευτέρας προικὸς ἀγωνιζομένους. οὐ γὰρ ἑτέροις δεδώκαμέν τι [Ν. εργ. τα.]

Si extraneus dotem dederit, nulla stipulatione uel pacto de restitutione dotis interposito: mulier exactionem dotis habet. nam ipso non stipulante uel paciscente, mulier stipulari uidetur. quippe non uidetur extraneus tacite stipulari. Extraneum uero accipies omnem personam, extra uirilis sexus adscendẽtes, & eos, qui personam, quæ dotatur, in potestate habent. Nam hi tacite stipulari uidentur, quum & olim tacite de restitutione dotis actionem habuerint. Rursus si muliere superstite solutum fuerit matrimonium, ipsa nomine dotis exigendæ actionem habet. [Qui dicantur extranei.]

Legito & lib. XXVIII. tit. XI. cap. XXVIII. cuius hæc uerba sunt:

Mulieri bona mariti pro dote, si relictis heredibus decesserit, addici non debẽt. Si uero nullo relicto successore decesserit; tunc secundum ius indemnitati mulieris, quantum eius fieri potest, consulatur. [l. un. C. ne pro dot. mu.]

Legito & lib. VII. tit. V. cap. LXV. cuius hæc uerba sunt: [Quærito & alibi in ..., ubi Dn. Leonis nouellæ.]

Mulier domicilium mariti sequitur, & ibi dotem exigit ab eo; non ubi instrumentum conscriptum est. nec enim hoc contractus est. [l. 65. D. de iudic.]

Legito & lib. IX. tit. VII. cap. XIIX. ubi dicitur: [Item tit. VIIII. cap. VIII.]

*Priuilegium quod mulieres in exactione dotis habent, ad * heredes earum non transit.* [l. 18. D. de reb. auct. iud. *extra quam ad liberos.]

SCHOLION.

De priuilegio, quod habent mulieres in exactione dotis, non transire scilicet illud ad earum heredes, præterquam filios, dicitur cap. I. tit. XIII. lib. XXVIII. ubi tractatur & de primæ secundæq; dotis exactione.

Legito & lib. XV. tit. I. cap. LXXXIX. cuius hæc uerba sunt:

Quæ in dotem data sunt, uxor uindicare non potest: quum mariti sint, qui eorum est dominus. [l. 9. C. de rei uind.]

Legito & lib. XXVIII. tit. XIII. cuius I. cap. dicitur:

Quum quis uxorem in matrimonio primam habuisset, ea que amissa sibi adiũxisset alteram; ab utraque dote accepta, deque priore liberis relictis, secunda superstite decessit. Itaque uxor altera dotem ab se datam exigere uolebat, freta priuilegio per nos concesso. Et de prioribus nuptijs suscepti liberi contradicebant, maternam & ipsi dotem prætendentes. adeoque controuertebatur, an uxore priore non amplius superstite, admittendi essent eius liberi, contra secundam dotem agentes. nec enim alijs hoc priuilegium uel heredibus uel creditoribus [Nouel. 91.]

aut iã dedimus, aut adhuc damus, extraquam solis liberis. Hac in re plurimæ contentiones exstiterunt, quum uxor secunda diceret, expendisse maritũ dotem primæ uxoris etiam prius, quam sibi matrimonio iungeretur; nec æquum esse, quando tantum reliquisse maritus inuenitur, quantum ad alteram dumtaxat dotem [restituendam] sufficiat, suam se quidem amittere dotem: at illos dotem iam expensam recipere. Liberi uero ius hypothecarum præferebãt, si quid exstet omnino rerum defuncti, potiores esse tempore defunctæ uxoris hypothecas, quam secundæ. His igitur in controuersiam deductis, illud sane iam in confesso, nostrisque legibus statutum est, si quid ex rebus primæ uel secũdæ dotis exstet, id oportere uel priores liberos, uel secũdam consequi, aut si & illa defuncta sit, eius liberos; quemlibet id, quod ad se pertinere probauerit. Nã hoc casu & in rem actio, siue de proprietate, pure competit; & quemlibet oportet habere quod suum est, nullius egentem priuilegij. Sin uero nihil ex utriusque dotis rebus exstet, aut quædam exstent, quædam desiderentur: siue superstites sint mulieres, puta matrimonio priori per diuortium soluto, & exactione dotis mulieri competente; siue defunctæ sint, uel ambæ liberis superstitibus, uel earum alterutra: potiorem in ijs, quæ desiderant exigendis priorem esse coniugem, & liberos ex ea susceptos, qui dotem antiquiorem prætendunt. Atque idem & de nepotibus, ac pronepotibus, ac reliquis ordine successoribus, cuiuscumque sexus sint, accipiendum. Quemadmodum enim si duo sint fiscalia debita, necesse est debitum antiquius potius esse posteriori. sic & hoc casu necesse est priuilegia dotis primæ tribui prius, atque ita deinceps secundæ; nec dotem doti, nec hypothecam hypothecæ præiudicare; sed id manere, quod antiquius & tempore potius est, suumque robur ac priuilegium obtinere. Nam hypothecarum tempora mutare uel abolere nullo modo decreuimus.

De dote promissa, nec numerata, nouel. 2. cap. 6.

Illud quoque superioribus temporibus obscure sancitum, & raro in iudicijs examinatum, perspicua lege comprehendendum, & in usum reuocandum, inque iudicia deducendum putauimus, uti quod communi commodo cessurum sit. Nam si qui coniungantur inter se, dotalibus & ante nuptias donationis instrumentis interuenientibus; deinde maritus quidem ante nuptias donationem præbeat, uxor uero dotem inferat, quam uel ipsa det, uel pater, uel aliquis extraneus; ac postea paruerit, toto matrimonij tempore dotem marito datam non esse, qui tamen onera matrimonij

† ἢ διαιρεταῖς, ἀλλὰ μόνοις παισί. πολλαὶ μὲν οὖν ἀμφισβητήσεις γεγόνασιν ἐν τῷ πράγματι, λεγούσης τῆς δευτέρας γαμετῆς, ὡς ἐξαναλώσας ἔφθη καὶ πρὶν ἐπὶ τὸν πρὸς αὐτὴν ἔλθῃ γάμον ὁ ἀνήρ, τὴν τῆς προτέρας γαμετῆς προῖκα: καὶ οὐ δίκαιόν ἐστι, τὴν μὲν αὐτῆς προῖκα, διότι τοσοῦτον εὑρέθη καταλιπὼν ὁ ἀνήρ, ὅσον ἀρκεῖ μόνον τῇ δευτέρᾳ προικί, αὐτὴν † ἀπολέσθαι: τοὺς δὲ τὴν ἐξαναλωθεῖσαν ἤδη προῖκα λαβεῖν. ἀλλ' οἱ παῖδες τὰς ὑποθήκας † προΐσχοντο, ὅτι περ ὅλως πραγμάτων ὄντων τῷ τελευτήσαντι, αἱ τῆς τελευτησάσης ὑποθῆκαι πρεσβύτεραι τῆς δευτέρας εἰσί. τούτων τοίνυν ἀμφισβητουμένων, ἐκεῖνο τῶν ὡμολογημένων τε ἤδη καὶ νενομοθετημένων παρ' ἡμῶν ἐστιν, ὡς εἰ μέν τι φαίνοιτο ἐκ τῶν πραγμάτων τῆς προτέρας ἢ τῆς δευτέρας: τοῦτο ἀνάγκη ἢ τοὺς παῖδας τῆς προτέρας, ἢ τὴν δευτέραν ἔχειν: ἢ εἰ τελευτήσει κἀκείνη, τοὺς παῖδας αὐτῆς, ἕκαστον πρὸς ὅπερ ἂν οἰκείως ἔχειν ἑαυτὸν ἐπιδείξειεν. ἐνταῦθα γὰρ καὶ ἡ ἐπὶ τῷ πράγματι ἀγωγὴ † ἡ περὶ δεσποτείας ἁρμόζει καθαρῶς, καὶ ἕκαστον δεῖ τὸ οἰκεῖον ἔχειν, μηδὲν προνομίου δεόμενον. εἰ δὲ οὐ φαίνοιτο τῶν ἑκατέρας πραγμάτων οὐδέν, ἢ τινὰ μὲν φαίνοιτο, τινὰ δὲ ἐλλείποι: εἴτε περίεισιν αἱ γυναῖκες, διαζυγίῳ τυχὸν τοῦ προτέρου γάμου διαλυθέντος, καὶ ἁρμοσάσης τῇ γυναικὶ τῆς προικός, † ἢ τελευτήκασιν, ἢ ἐπὶ παισὶν ἄμφω, ἢ καὶ μία τούτων ἐπὶ τοῖς ἐλλείπουσι κυριωτέραν εἶναι τὴν προτέραν, καὶ τοὺς ἐξ αὐτῆς παῖδας πρεσβυτέραν προῖκα προτεινομένους. ταυτὸν δέ ἐστιν εἰπεῖν, καὶ ἐκγόνους, καὶ ἀπογόνους, καὶ τὴν ἐφεξῆς διαδοχήν, ὁποιασδήποτε φύσεως εἶεν. ὥσπερ γὰρ εἰ δύο δημόσια ὀφλήματα εἶεν, ἀνάγκη τὸ πρεσβύτερον κυριώτερον τοῦ μεταγενεστέρου καθεστάναι: οὕτω κἀνταῦθα τὰ προνόμια ἀνάγκη τῇ πρώτῃ προικὶ δοθῆναι πρότερον, οὕτω τε τῇ δευτέρᾳ, καὶ προῖκα μὴ προκρίνειν προικί, μηδὲ ὑποθήκην ὑποθήκῃ, † τὴν οἰκείαν ἔχον ἰσχύν τε καὶ προνομίαν. τοὺς γὰρ χρόνους τῶν ὑποθηκῶν ἀμεῖψαι ἢ ἀνελεῖν, κατ' οὐδένα τρόπον αἱρούμεθα. * κἀκεῖνό γε μὴν ἐν τοῖς ἔμπροσθεν ἀμυδρῶς μὲν νομοθετηθέν, σπανίως δὲ ἐν δικαστηρίοις ἐξητασμένον, ᾠήθημεν χρῆναι νόμῳ σαφεῖ περιλαβεῖν, καὶ παραδοῦναι τῇ χρήσει, καὶ καταγαγεῖν εἰς τὰ δικαστήρια, πρὸς κοινὴν † ἀποβησόμενον βοήθειαν. εἰ γὰρ συναφθεῖεν τινὲς ἀλλήλοις ἐπὶ προικὸς καὶ προγαμιαίας δωρεᾶς συμβολαίοις, εἶτα ὁ μὲν ἀνὴρ προγαμιαίαν δοίη δωρεάν, ἡ δὲ γυνὴ * ἀπενέγκοιτο προῖκα, ἢ αὐτὴ παρεχομένη ταύτην ἢ δόντος πατρός, ἢ τινος ἔξωθεν: εἶτα φανείη παρὰ ὅλον τὸν τοῦ γάμου † βαρῶν, καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη:

† ὅλως καὶ δι. λοιπὸν τοῦτο τὸ προνόμιον, ἢ κληρονόμοις.
† ἀπολέσθαι.
† προΐσχοντο.
† ἡ περί.
† ἀποτετελευτήκασιν.
† ἀλλὰ τὸ πρεσβύτερον καὶ χρόνῳ πρῶτον μένειν, τὴν οἰκείαν.
* περὶ ὑποσχεθείσης προικός, καὶ μὴ ἀποδοθείσης. νεαρὰ β. κεφ. ϛ.
† ἀποβησόμενον.
* ἐξητασμένον.
† καιρὸν ὁ προῖξ μὴ ἀποδοθεῖσα τῷ συνοικήσαντι, ἀλλ' ἀνασχόμενος ἐκεῖνος ὑπὲρ τῶν τοῦ γάμου βαρῶν, καὶ ὁ,

λυθείη: οὐκ ἂν εἴη δικαία παντελῶς ἡ γυνὴ προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι, τὴν προγαμιαίαν λαβεῖν δωρεάν. εἰ δὲ καὶ μὴ εἰς ὁλόκληρον δοίη, καὶ αὐτὴ κατὰ τοσοῦτον ἀπαιτείτω τὴν δωρεάν, καθ' ὅσον ἐπιδοίη τὴν προῖκα. ἰσότητος γὰρ ἐσμὲν καὶ δικαιοσύνης ἐρασταί, καὶ ταύτην ἐν ἅπασί τε τοῖς ἄλλοις, καὶ πρός γε ἐν τοῖς συνοικεσίοις βουλόμεθα κρατεῖν. ὥστε ἡ μηδ' ὁτιοῦν ἐπιδοῦσα, μηδ' ὁτιοῦν λαμβανέτω. ἡ δὲ ἔλαττον, ἤπερ ὡμολόγησε, δοῦσα, τοσοῦτον ἀπολαμβανέτω μόνον, ὅσον ἐπέδωκε. καὶ ἔστω καὶ αὕτη καλὴ τῷ παρόντι νόμῳ προσαύξησις. εἰ μέντοι ἐποφείλει προῖκα γυνή, καὶ ἡ μὲν δοῦναι βουληθείη, ἢ ὁ ὑπὲρ αὐτῆς παρεχόμενος αὐτήν, ὅστις ποτ' ἂν εἴη, ὁ δὲ ἀνὴρ ἢ τούτου πατὴρ τυχόν, ἢ ὁ πάππος ὑποδέξασθαι ταύτην μὴ βουληθείη, τὸ δὲ τῆς γυναικὸς ἐκμαρτυρεῖται μέρος, καὶ ἑτοίμως ἔχοι ταύτην καταβαλεῖν, ἢ καί τι μεῖζον πράξειε, καὶ προσαγάγοι τυχόν, καὶ εἴγε κινητὴ καθεστήκοι, καὶ σφραγῖδας ἐπιθείη, καὶ κατὰ τὸν νόμον ἀποθοῖτο, ἢ ὁ κατὰ μίαν μοῖραν εἰσβαλὼν εἰς δικαστήριον ἀξιοῖ ταῦτα γενέσθαι, καὶ διαβάντες ἐκ τοῦ δικαστηρίου τινὲς ἀπαγγείλαιεν ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος, ἐπιμένοι δὲ καὶ οὕτως ἀναβαλλόμενος: μὴ δύνασθαι διαλυθέντος τοῦ γάμου, τὴν τῆς προγαμιαίας δωρεᾶς ἔκτισιν ἐκκλίνειν, ὡς δὴ προικὸς οὐκ ἐπιδοθείσης. ὁ γὰρ δοῦναι βουληθείς, ἐν ᾧ τὴν λῆψιν ὁ λαμβάνειν ἠξιωμένος παραιτεῖται, παραπλήσιός ἐστι τῷ δεδωκότι. καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐπὶ τῆς προικὸς κρατείτω. ὥσπερ γὰρ εἰ μὴ δοίη καθ' ὑπέρθεσιν τὴν προῖκα, ἄρνησιν αὐτῇ τῆς προγαμιαίας † ἐπάγομεν, οὕτω καὶ εἰ βουληθείη δοῦναι, καὶ ὁ λαμβάνων ἐξεπίτηδες παραιτεῖται τὴν λῆψιν, δίδομεν αὐτῇ τὴν τῆς προγαμιαίας δωρεᾶς τοῦ συνοικεσίου λυθέντος ἀπαίτησιν, καὶ τὴν προῖκα διὰ τὴν τοῦ ἀνδρὸς αἰτίαν οὐκ εἰσενεγκούσῃ.

ρήματα.

† δωρεᾶς λεγειαν.

Ἀνάγνωθι καὶ βιβλίον κη. τίτλον ζ. κεφάλαιον πζ. ἐν ᾧ φησίν.

Γενικῶς θεσπίζομεν, ἵνα εἴ τις τῶν κε. ἐτῶν εἴτε ἄρρην εἴτε θήλεια, προῖκα ἢ ἐπηγγείλατο ἢ δέδωκεν ὑπὲρ οἱασδήποτε γυναικός, ἔνθα γάμος νόμιμός ἐστι, παντὶ τρόπῳ ἀναγκάζηται τὴν ἰδίαν ὁμολογίαν πληρῶσαι. οὔτε γὰρ φορητόν ἐστιν, ὡσανεὶ τυχηρᾶς περιστάσεως ὑπούσης, τὴν γυναῖκα γίνεσθαι ἄπροικον, καὶ οὕτως ἐκ τοῦ ἀνδρὸς ἐκβάλλεσθαι καὶ διαλύεσθαι τὸν γάμον. ὁπότε γὰρ ἴσμεν τῇ φειδοῖ τῶν προικῶν καὶ τοὺς ἀρχαίους νομοθέτας τὴν ἀκρίβειαν τοῦ νόμου καταπραΰνειν πολλάκις: ἀξίως καὶ ἡμεῖς πρὸς τὴν τοιαύτην ἐρχόμεθα διάταξιν. εἰ γὰρ ἐὰν † ἀκουσίᾳ βουλήσει ἐξ ἀρχῆς τὴν ἰδίαν φιλοτιμίαν ἐπιδείξειεν, ἀνάγκη ἐστὶ τοῦτον ἢ ταύτην ταῖς οἰκείαις

† ἑκουσία.

sustinuerit, atque ita coniugium morte uiri solutum fuerit: non satis omnino iuris mulier, quæ dotem marito non soluit, ad donationem ante nuptias percipiendam habet. Quod si non in solidum dederit, & ipsa donationem eatenus exigat, quatenus tradita dos fuerit. Aequalitatis enim iustitiæque studiosi sumus, eamque tam in alijs rebus omnibus, quam in matrimonijs ualere uolumus: adeo quidem, ut quæ nihil omnino dedit, nihil omnino capiat; quæ minus dedit, quam promiserat, tantum recipiat, quantum dedit. & esto præclarum hoc quoque legis huius additamentum. Quod si dotem mulier debeat, ac ipsa quidem eam dare uoluerit, uel is qui præstat eam ipsius nomine, quicumque sit; uerum maritus, aut forte pater eius, aut auus, eam suscipere noluerit, uxoris parte contestante, dotemque soluere parata, & amplius etiam quid faciente, puta dotem offerente, ac si mobilis sit, impressis sigillis eam secundum ius deponente, uel eo qui ab una parte ad iudicium accessit, hoc fieri petente, posteaque nonnullis e iudicio digressis hoc ipsum parti mariti renuntiantibus, nihilo minus is in cunctatione sua perstiterit: facto diuortio donationis ante nuptias solutionem declinare nequit, quasi dos numerata non fuerit. Nam qui dare uoluit, simulatque recusat acceptionem is, qui rogatur ut accipiat; adsimilatur ei, qui dedit. Atq. hoc in dote cum ceteris ualeat. Quemadmodum enim si mora interposita dotem non soluat, denegationem ei donationis ante nuptias intulimus: ita quoque si dare uoluerit, & qui eam capere debebat, data opera recuset acceptionem, donationis ante nuptias exactionem ei soluto matrimonio concedimus, etiamsi dotem culpa mariti non intulerit.

Nouel. XCI.

Item legito lib. XXVIII. tit. VII. cap. LXXXVII. cuius hæc uerba sunt:

Generaliter sancimus, ut si quis annorum XXV. siue masculus siue femina, dotem pollicitus sit uel dederit pro qualibet muliere, cum qua matrimonium licitum est: omni modo compellatur suam promissionem implere. Nec enim ferendum est, quasi casu fortuito interueniente, mulierem indotatam fieri, & sic a uiro repelli, ac matrimonium distrahi. Quum enim sciamus, fauore dotium & antiquos iuris conditores seueritatem legis sæpius mollire: merito & nos ad huiusmodi sanctionem uenimus. Nam si spontanea uoluntate ab initio liberalitatem suam ostēdit, necesse est eum uel eam suis

L. vlt. C. ad S.C. Vellean.

*promissionibus satisfacere: ut quod ab initio sponte scriptum, aut in policitationem deductum est, hoc etiam ab inuitis postea compleatur; omni auctoritate Velleiani * senatusconsulti hoc casu cessante.*

* quod mulieri. succurrit.

Legito & lib. XXVIII. tit. IX. cuius II. cap. dicitur:

Quod maritus nec fideiussorē, nec mandatorem dotis exhibeat.

Maritus fideiussorem dotis seruandæ ne præstet, etiamsi maxime lex aut consuetudine id fieri permiserit.

l. 1. C. ne fid. uel mand.

Iubet constitutio, ne pro dote fideiussor, neue mandator a marito, siue parte mariti detur.

Legito & tit. X. cuius I. cap. dicitur:

l. 1. D. de imp. in res dot.

Impensarum quædam ob necessitatem fiunt, quædam ob lucrum, quædam ob uoluptatem. Ex necessitate sunt, quæ necessario fiunt, & tūc demum dotem minuunt, quum in eam factæ sunt. nam quæ in aliud quiddam impensæ sunt, in dotem non reputātur. Necessarium est, quod nisi maritus fecisset, tanti condemnaretur uxori, quanti eius interesset, eas impensas esse factas. ac factarum quidem habetur ratio, licet insula postquam fulta fuerit, exusta sit: in non factis autem tunc maritus condemnatur, quum propter non factam impensam damnum accidit. Etenim si quum ipse non fulsisset, exusta fuerit insula; nihil præstat.

III.

Quod dicitur, necessarias impensas ipso iure minuere dotem, sic est accipiendum; non ut ipsæ res corporales deminuantur. puta fundus, uel alia res. Detentat autem maritus eas, donec impensas receperit. Quod si pecunia fuit in dote, deminuitur. Sin & æstimatæ res in dotem datæ sint, ipso iure fit deminutio per impensas necessarias. Et muliere satisfaciente, dos crescit.

IIII.

Ob lucrum impensæ sunt, quæ dotem meliorem faciunt. ueluti si nouelleta facta sint, aut pistrinum, aut taberna: uel si serui artes edocti fuerint. atque hæ dotem quidem non minuunt, uerum tamen exiguntur.

VI.

Tunc deducuntur utiles, quum uoluntate mulieris factæ fuerint. Est enim iniquum, mulierem quæ non possit aliunde soluere, compelli rem uendere, in quam factæ sint impensæ.

VII.

Optionem mulier habet, utrum reddat uoluptarias impensas, an patiatur id tollere mari-

ἐπαγγελίαις τὸ ἱκανὸν ποιεῖν· ἵνα ὅπερ ἐξ ἀρχῆς ἑκουσίως ἐγράφη, ἢ εἰς ἐπαγγελίαν κατηνέχθη, τοῦτο καὶ παρὰ μὴ βουλομένων μετὰ ταῦτα πληρωθῇ, πάσης αὐθεντίας τοῦ * Βελληανείου δόγματος, ἐν τούτῳ τῷ θέματι ἀργούσης.

* τοῦ βοηθοῦντος ταῖς γυναιξί.

Ἀνάγνωθι καὶ βιβλίον κη. τίτλον θ. οὗτινος ἐν τῷ β. κεφαλαίῳ.

† Παρεχέτω ὁ ἀνὴρ ἐγγυητὴν ἐπὶ τῷ φυλάξαι τὴν προῖκα, κἂν τὰ μάλιστα νόμος ἢ συνήθεια ἐπιτρέπῃ γίνεσθαι.

† μὴ παρεχέτω.

Ἡ διάταξις κελεύει, μήτε ἐγγυητὴν, μήτε μανδάτωρα δίδοσθαι παρὰ τοῦ ἀνδρὸς ἢ τοῦ μέρους τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικός.

ὅτι ὁ ἀνὴρ ἐγγυητὴν ἐπὶ τῇ προικὶ οὐ δίδωσιν, οὐδὲ μανδάτωρα.

Ἀνάγνωθι καὶ τίτλον ι. οὗτινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

περὶ δαπανημάτων.

Τῶν δαπανημάτων, τὰ μὲν δι' ἀνάγκην γίνονται, τὰ δὲ διὰ κέρδος, τὰ δὲ διὰ τέρψιν. δι' ἀνάγκην ἐστὶ τὰ ἀναγκαίως γινόμενα· καὶ τότε μειοῦσι τὴν προῖκα, ὅτε περὶ αὐτὴν γίνωνται. αἱ γὰρ εἰς ἄλλο τι γινόμεναι, οὐ λογίζονται τῇ προικί. ἀναγκαῖον ἐστὶν ὅπερ εἰ μὴ ἐποίησεν ὁ ἀνὴρ, κατεδικάζετο τῇ γαμετῇ εἰς ὅσον αὐτῇ διέφερε γενέσθαι τὴν δαπάνην. καὶ τὰ μὲν γινόμενα λογίζονται, κἂν ὁ οἶκος μετὰ τὸ ἀνορθωθῆναι καυθῇ. ἐπὶ δὲ τοῖς μὴ γινομένοις τότε καταδικάζεται ὁ ἀνὴρ, ὅτε διὰ τὸ μὴ γενέσθαι τὴν δαπάνην, ζημία συνέβη. ἐὰν γὰρ αὐτοῦ μὴ ἀνορθώσαντος ὁ οἶκος καυθῇ, οὐδὲν δίδωσιν.

γ.

Τὸ λεγόμενον ὅτι τὰ ἀναγκαῖα δαπανήματα ἰδίῳ δικαίῳ μειοῦσι τὴν προῖκα, οὕτω δεῖ νοεῖν, ὥστε μὴ αὐτὰ τὰ σωματικὰ μειοῦσθαι, τουτέστιν ἢ ἀγρὸν ἢ ἕτερον πρᾶγμα. κατέχει δὲ αὐτὰ ὁ ἀνὴρ, ἕως οὗ λάβῃ τὰς δαπάνας. εἰ δὲ χρήματα ἦσαν ἐν τῇ προικί, μειοῦνται. εἰ δὲ καὶ πράγματα διατετιμημένα ἦν ἐν τῇ προικί, ἰδίῳ δικαίῳ γίνεται ἡ μείωσις διὰ τῶν ἀναγκαίων δαπανῶν. καὶ τῆς γυναικὸς ποιούσης τὸ ἱκανὸν, ἡ προῖξ αὔξει.

δ.

Διὰ κέρδος εἰσὶ, βελτίονα ποιοῦντα τὴν προῖκα· οἷον τὰ νεόφυτα ποιῆσαι, ἢ ἀρτοκοπεῖον, ἢ ἐργαστήριον, ἢ τέχνας διδάξαι τοὺς δούλους. καὶ οὐ μειοῦσι μὲν τὴν προῖκα, ἀπαιτοῦνται δέ.

ϛ.

Τότε ὑπεξαιροῦνται τὰ ἐπωφελῆ, ὅτε κατὰ γνώμην γίνωνται τῆς γυναικός. ἄδικον γάρ ἐστι μὴ ἔχουσαν ἑτέρωθεν δοῦναι, καταναγκασθῆναι πωλῆσαι τὸ πρᾶγμα, περὶ ὃ γέγονεν ἡ δαπάνη.

ζ.

Ἐπιλογὴν ἔχει ἡ γυνὴ, ἢ δοῦναι τὴν διὰ τέρψιν γινομένην δαπάνην, ἢ συγχωρῆσαι τῷ ἀνδρὶ περιαιρεῖν

γυναικὶ τὸ γεγονὸς, εἴ γε δύναται περιαιρεθῆναι, καὶ μέλλει ἔχειν αὐτὰ. ἐπεὶ οὐ περιαιρεῖ αὐτό.

θ.

Καὶ γνώμῃ τῆς γυναικὸς γεγέναισι τὰ πρὸς τέρψιν δαπανήματα, οὐκ ἀπαιτοῦνται. καὶ ἡ τῆς δαπάνης δωρεὰ μεταξὺ τῶν συνοικούντων κεκώλυται.

ι.

Τὰ γινόμενα μέτρια ἀναγκαῖα δαπανήματα περὶ οἰκοδομὴν, ἢ φυτείαν, ἢ ὑγείαν τῶν δούλων, οὐκ ἀπαιτεῖται.

ιβ.

Αναγκαῖα δαπανήματά ἐστιν, ὧν μὴ γινομένων, ἡ προὶξ μειοῦται. οἷον παραχώματα ποιῆσαι, ποταμοὺς ἀποστρέψαι, οἶκον ὑπορθῶσαι καὶ ἀνανεῶσαι, ἀντὶ τῶν ἀποθανόντων δένδρων. ὑποβαλεῖν ἕτερα....... τὸ εἰσαγαγεῖν θρέμματα πρὸς τὸ κοπρίσαι τὸν ἀγρόν. πρὸς τέρψιν δέ ἐστι, τὸ ποιῆσαι βαλανεῖον.

ιγ.

Τότε τὰ ἀναγκαῖα μειοῦσι τὴν προῖκα, ὅτι ἔξωθεν τῆς ἀναγκαίας φυλακῆς τῆς προικὸς, εἰς αὐτὴν δαπανηθῇ. φυλάττειν γὰρ ὁ ἀνὴρ ὀφείλει τὴν προῖκα δαπανήμασιν ἰδίοις, ὥσπερ τρέφειν τοὺς προικιμαίους δούλους, καὶ μέτρια δαπανᾶν εἰς ἀνανέωσιν....... καὶ ἐπιμέλειαν τῶν ἀγρῶν, οὐχ ὥστε μέν τοι περὶ ταῦτα δαπανῆσαι πᾶσαν τὴν πρόσοδον. ἐκ τῆς ποιότητος οὖν καὶ τῆς ποσότητος ἑκάστη δαπάνη σκοπεῖται, καὶ ὀφείλει τῆς προικὸς ὑπεξαιρεθῆναι.

Ανάγνωθι καὶ βιβλ. λ. τιτλ. α. κεφ. η. θεμ. γ.

ΠΕΡΙ ΕΞΩΠΡΟΙΚΩΝ.

Τοῦ αὐτοῦ τίτλου κεφάλαιον ϛ. θεμ. γ.

Τὰ ἐξώπροικα, οὐ γίνονται τοῦ ἀνδρὸς, εἰ μὴ ἐπὶ τούτῳ δοθῶσιν αὐτῷ: καὶ λυομένου τοῦ γάμου, κατὰ νόμους ἀπαιτοῦνται, καὶ οὐ διὰ τῆς ἐπὶ τῇ προικὶ ἀγωγῆς. εἰ δὲ περὶ αὐτῶν ἀσφαλίζεται, δηλῶν αὐτὰ εἰσαχθῆναι εἰς τὸν † ἄνδρα αὐτοῦ, καὶ ἀδιάφορόν ἐστι, τὸ θέλοντος αὐτοῦ † ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ τὸ παραδοθῆναι αὐτῷ: ὅμως οὐ γίνονται αὐτοῦ. διὰ γὰρ τὸ μὴ ἀρνήσασθαι αὐτὸν ἀσφαλίζεται: καὶ ὡς ἐπίπαν μὲν ὁμολογεῖ τὴν φυλακὴν αὐτῶν, εἰ μὴ ἡ γυνὴ κατέχοι αὐτά: καὶ μὴ ἀποδιδοὺς, ἐνάγεται τῇ περὶ παραθήκης ἀγωγῇ, καὶ τῇ περὶ ἐντολῆς. εἰ δὲ μὴ ἀνεδέξατο τὴν φυλακὴν, εἰ μὲν ἐπὶ τῷ ἀποκλέψαι παρεκράτησε, χώρα τῇ ἀγωγῇ τῇ περὶ † ἀπαιτήσεως πραγμάτων: εἰ δὲ μὴ διὰ τὸ κλέψαι παρεκράτησεν, ἡ περὶ ἀποκρυβέντων πραγμάτων ἀγωγὴ κινεῖται. λέγεται δὲ παρὰ τοῖς γάλλοις, † τὰ παράφερνα πεκούλιον.

† οἴκου. † ἀναχθῆναι ὑπό. † ἀφαιρέσεως. † τὰ παράφερνα.

Αναγνωθι καὶ βιβ. λ. τιτ. α. κεφ. οα. ἐν ᾧ φησίν.

Εαν τὰ ἐξώπροικα τῆς γυναικὸς ὁ ἀνὴρ δαπανήσῃ, εἰ μὲν δωρησαμένης ἐκείνης, οὐκ ἐνάγεται ὁ κληρονόμος αὐτοῦ, εἰ μὴ μόνον εἰς ὃ

tum, quod factum est; si quidem tolli potest, & mariti futurum est. nam ceteroqui non tollet.

VIIII.

Nec si uoluntate mulieris impensæ uoluptariæ factæ sint, exiguntur. Et donatio impensarum inter coniuges est prohibita.

X.

Impensæ necessariæ modicæ, quæ in ædificandis ædibus, uel conserendis uineis, uel mancipiorum ualetudine factæ sunt, non exiguntur.

XII.

Impensæ necessariæ sunt, quibus non factis dos imminuitur. uelut aggeres facere, flumina auertere, domum fulcire ac reficere, pro mortuis arboribus alias reponere....... pecora immittere ad stercorandum prædium. Voluptariæ sunt, balineum exstruere.

XIII.

Tunc necessariæ dotem deminuunt, quum extra necessariam tutelam dotis, in eam factæ sunt. Nam tueri dotem uir suis sumtibus debet. ueluti cibaria dare dotalibus mancipijs, & modica impendere in refectionem....... & agrorum culturam: non tamen, ut in hæc omnis reditus impendatur. Igitur ex qualitate & quantitate qualibet impensæ æstimantur, & ex dote deduci debent.

Legito & lib. XXX. tit. I. cap. XX. them. III.

DE EXTRADOTALIBVS.

Eiusd. tit. cap. VI. them. III.

Res extra dotem constitutæ, mariti non fiunt, nisi in hoc ei datæ fuerint: & distracto matrimonio, secundum leges exiguntur, non actione de dote. Quod si maritus earum nomine cauet uxori, significans eas in domum suam illatas; quamuis nihil intersit, eo uolente in domum eius inferantur, an ei tradatur: tamen eius non fiunt. cauet enim propterea, ne postea neget: & plerumque custodiam earum repromittit, nisi mulier ea retineat: & si non reddat, actione depositi & mandati tenetur. Quod si custodiam non suscepit, si quidem eas amouendi animo retinuit, actioni rerum amotarum locus est: sin animo amouendi non retinuit, ad exhibēdum agitur. Ceterum apud Gallos hæc parapherna peculium uocantur.

Legito & lib. XXX. tit. I. cap. LXXI. in quo dicitur:

Si res mulieris extra dotem constitutas maritus consumserit, si quidem ea donante; heres mariti non tenetur, nisi in quantum factus est

L. 17. C. de donat. int. uir. & ux.

est locupletior: sin præter eius uoluntatem, integras ei res extradotales restituere cogitur.

DE NVPTIALIBVS LVCRIS ET nuptialibus donationibus.

Eiusd. tit. cap. . . . . .

Nouel. CXIX. cap. 1. Legito & nouellam XCVIII. in qua de seruanda proprietate nuptialis donationis dicitur.

Donationem propter nuptias contractũ specialem & esse, & existimari debere, nec alijs donationibus adnumerãdam, præsenti lege sancimus: quandoquidem pro ea tantumdem dotis offertur.

SCHOLION.

Non est (inquit) donatio, sed quasi quædã compensatio. Nam pro ea dos datur. Itaque siue scriptura interueniente fiat, siue nihil omnino de ea cõuenerit, ui tacita dotis petitur, etiamsi pactum nõ intercesserit. Dicit enim regula: Ante nuptias donatio tacite dotem sequitur.

*Siue igitur apud gesta * monumentorum fuerit insinuata,*

*SCHOLION.

Id hodie non obseruatur, sed est inutile. Nam per tabellionem donationes hæ fiunt, quo quidem uniuersi contenti sunt; cessantibus etiam reliquis omnibus, quæ apud magistrum census fiebant. Prius enim apud gesta insinuabãtur, sicut ex hoc ipso loco patet in donationibus ante nuptias.

siue non; iubemus ut per omnia suum robur habeat, quantum ad mulierem,

SCHOLION.

Superstite scilicet muliere. nam si ante maritum ea decesserit, ante nuptias donatio non repetitur & innuit heic, ut arbitror, eam donationem, quam mulieris ὑπόβολον uocant, hoc est incrementum dotis, uel quod ei mortuo marito supra dotem redditur.

siue ab ipso marito, siue ab alio quopiam mulieri detur, aut conscribatur, uel in personam mariti donatio fiat ea lege, ut easdem res in nuptialem donationem conscribat.

Legito & lib. XXVIII. tit. XII. cap. II. in quo dicitur:

De inope muliere legito & nouel. XIII. cap. V. nam ea quoq; tradit, hanc quadrantem bonorum mariti, uel unius ex filijs portionem accipere. Nouel. 117. cap. 5.

Indotata & inops mulier quartam partem facultatum uiri capit, quæ tamen centum auri librarum summam non excedat.

SCHOLION.

Nota, si mulier indotata legitimam largitionem ex morte uiri consequatur, debet hanc etiam post uiri mortem, si liberos habet, rebus suis seruare.

Quod si tres liberos idem uir habeat, uel ex ipsa, uel ex alio matrimonio; quartam bonorum illius partem accipiat. Sin plures extiterint liberi, quãtum uni liberorum competit: ita tamẽ, ut usumfructum mulier in huiusmodi rebus dũtaxat habeat; proprietas uero liberis illis

γέγονε πλουσιώτερος· εἰ δὲ παρὰ γνώμην αὐτῆς, πάλιν ἅπαντα τὰ ἐξώπροικα ἀναγκάζεται ἀποκαταστῆσαι.

ΠΕΡΙ ΓΑΜΙΚΩΝ ΚΕΡΔΩΝ, καὶ γαμικῶν δωρεῶν.

Τοῦ αὐτοῦ τίτλου κεφάλ. . . . . .

νεαρὰ ρκθ. κεφ. α. ἀνάγνωθι νεαρὰν ϞΗ ἐν ᾗ φησὶ περὶ τοῦ φυλάττειν τὴν ἰδιοκτησίαν τῆς γαμικῆς δωρεᾶς.

Τὴν διὰ τοὺς γάμους δωρεὰν συνάλλαγμα ἰδικὸν εἶναί τι καὶ κρίνεσθαι, καὶ μὴ ταῖς ἄλλαις δωρεαῖς αὐτὴν συναριθμεῖσθαι, διὰ τοῦ παρόντος νόμου θεσπίζομεν· ἐπειδὴ ἀντ᾽ αὐτῆς ἰσότης προικὸς ἐπιδίδοται.

ΣΧΟΛΙΟΝ.

Οὐκ ἔστι, φησὶ, δωρεὰ, ἀλλ᾽ ἴσον ἀντιφώνησις. καὶ γὰρ ἀντ᾽ αὐτῆς ἡ προὶξ ἐπιδίδοται. εἴτε ἐγγράφως γίνεται, εἴτε καὶ μηδὲν ὅλως περὶ ταύτης συμφωνηθῇ, ἀκολουθεῖ κατὰ τὸ ἴσον τῇ προικὶ σιωπηρῶς, κἂν μὴ συμφωνηθῇ. φησὶ γὰρ ὁ κανών· τῇ προικὶ σιωπηρῶς ἡ πρὸ γάμου δωρεὰ ἕπεται.

Εἴτε τοίνυν γένηται ἐπὶ πράξεως * ὑπομνημάτων ἐμφανὴς,

*ΣΧΟΛΙΟΝ.

Σήμερον τοῦτο οὐ φυλάττεται, ἀλλ᾽ ἄχρηστόν ἐστι. διὰ γὰρ ταβελλίωνος γίνονται αἱ δωρεαὶ, καὶ ἀρκοῦνται τούτῳ ἅπαντες· ἀργούντων καὶ τῶν λοιπῶν ἁπάντων ἅπερ ἐπὶ τοῦ μαγίστρου τῶν κήνσων συνεγίνοντο. πρότερον γὰρ ἐπὶ ὑπομνημάτων ἐνεφανίζοντο, ὡς ἐντεῦθεν δῆλον ἐπὶ τῶν πρὸ γάμου δωρεῶν.

εἴτε καὶ μὴ, κελεύομεν αὐτὴν διὰ πάντων τὴν ἰδίαν ἔχειν ἰσχὺν, ὅσον πρὸς τὴν γυναῖκα,

ΣΧΟΛΙΟΝ.

Περιούσης δηλονότι τῆς γυναικός. εἰ γὰρ προτελευτήσει τοῦ ἀνδρὸς, οὐκ ἀπαιτεῖται ἡ πρὸ γάμου δωρεά, τὸ γυναικὸς ὑπόβολον καὶ οἶμαι αἰνίττεται.

εἴτε παρ᾽ αὐτοῦ τοῦ ἀνδρὸς, εἴτε παρ᾽ ἑτέρου τινὸς τῇ γυναικὶ ἐπιδίδοται, εἴτε καταγράφεται, ἤγουν εἰς τὸ τοῦ ἀνδρὸς πρόσωπον ἡ δωρεὰ γίνεται, ἐφ᾽ ᾧ τὰ αὐτὰ πράγματα εἰς γαμικὴν καταγράψαι δωρεάν.

Ἀνάγνωθι καὶ βιβλίον κη. τίτλον ιβ. κεφάλαιον β. ἐν ᾧ φησίν.

περὶ ἀπόρου γυναικὸς ἀνάγνωθι καὶ νεαρὰν ιγ κεφ. ε. φησὶ γὰρ καὶ αὐτὴ, ἵνα λαμβάνῃ τὸ δ. τῆς οὐσίας ... ὁρίζεται ὁ τῶν παίδων μοῖραν.

Ὅτι ἡ ἄπροικος καὶ ἄπορος γυνὴ, τὴν τετάρτην μοῖραν τῆς τοῦ ἀνδρὸς περιουσίας λαμβάνει· ὥστε μέντοι γε μὴ ὑπερβαίνειν τὴν τῶν ἑκατὸν τοῦ χρυσίου λιτρῶν ποσότητα.

ΣΧΟΛΙΟΝ.

Ὅτι ἡ ἄπροικος γυνὴ ἐὰν λάβῃ φιλοτιμίαν νόμιμον ἀπὸ τελευτῆς τοῦ ἀνδρὸς, ὀφείλει ταύτην καὶ μετὰ θάνατον τοῦ ἀνδρὸς, ἐὰν ἔχῃ παῖδας, φυλάττειν τοῖς πράγμασιν αὐτοῦ.

Ἀλλ᾽ εἰ μὲν ἄχρι τριῶν ἔχοι παίδων ὁ αὐτὸς ἀνὴρ, εἴτε ἐξ αὐτῆς, εἴτε καὶ ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας λαμβάνειν. εἰ δὲ πλείονες εἶεν οἱ παῖδες, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει· ὥστε χρῆσιν μόνην ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν· τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ

φυλατ-

φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ ἔχοι. εἰ δὲ παῖδας ἐξ αὐτοῦ μὴ ἔσχεν, ἔχειν αὐτὴν τὰ πράγματα καὶ δεσποτείας δικαίῳ. εἰ μέντοι πρεσβεῖόν τι καταλείποι αὐτῇ ὁ ἀνήρ, ἔλαττον τῆς διορισθείσης μοίρας, ἀναπληροῦσθαι τοῦτο. εἰ δέ τινα ἴδια γυνὴ πράγματα κατὰ τὴν οἰκίαν τοῦ ἀνδρός, ἢ ἀλλαχοῦ ἀποκείμενα ἔχοι, τούτων τὴν εἴσπραξιν καὶ παρακατάσχεσιν ἐχέτω πᾶσι τρόποις ἀμείωτον. ταῦτα δὲ φαμέν, εἴπερ ἡ γυνὴ προῖκα μὴ ποιησαμένη, ἄπορός ἐστιν, ὥστε τὸν μὲν ἄνδρα τελευτῶντα εὔπορον εἶναι, τὴν δὲ † πενίᾳ συνέχεσθαι. ἐπεὶ τοίγε ἴσως ἀλλαχόθεν εἰ εὐποροίη, † τὴν εἰσενεγκοῦσαν προῖκα οὐκ ἂν εἴη δίκαιον βαρύνειν τοὺς παῖδας τῇ διαδοχῇ τοῦ συνοικήσαντος: διότι νόμος ἄλλος ἐστί, τὴν προῖκα μὴ εἰσενεγκαμένην, μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι διὰ τῆς προγαμιαίας δωρεᾶς. ὅπερ καὶ ταῦτα βουλόμεθα κρατεῖν. τὸν δὲ ἄνδρα ἄπορον ὄντα, καὶ μὴ ἐπιδόντα τὴν διὰ γάμου δωρεάν, λαμβάνειν τι ἐκ τῆς οὐσίας τῆς γυναικὸς πᾶσι τρόποις κωλύομεν: εἰ μὴ ἄρα καὶ αὐτῷ ἡ συνοικοῦσα δωρήσασθαί τι ἢ καταλεῖψαι βουληθείη.

[Margin: † [illegible] † τὴν μὴ ἀν[illegible] [illegible]]

servetur, quos ex eo susceptos habet. Si uero nullos ex eo liberos habuit, res illas etiam proprietatis iure teneat. Quod si legatum ei maritus reliquerit, definita iam portione minus; idipsum suppleatur. Si quas autem res suas mulier habet in uiri domo, uel alibi repositas: earum exactionem ac retentionem modis omnibus integram habeat. Hac autem dicimus, si mulier nulla dote constituta, inops est; ita ut maritus quidem defunctus locuples sit, ipsa uero superstes egeat. Enimuero si aliunde satis habeat, non aequum fuerit eam, quae dotem nullam attulerit, successione mariti liberos grauare: quandoquidem alia lege cautum est, ne quae dotem nullam attulit, bona mariti per donationem ante nuptias sibi uindicare possit. quod quidem & heic ualere uolumus. Maritum uero inopem, qui donationem propter nuptias nullam obtulerit, ex facultatibus uxoris aliquid accipere modis omnibus uetamus: nisi forte quid ei coniux donare uel relinquere uoluerit.

Lege quidem hoc ei non datur. mulier tamen donare uel legare non prohibetur.

ΠΕΡΙ ΓΑΜΟΥ ΛΥΣΕΩΣ, ΚΑΙ τῶν τῆς λύσεως αἰτιῶν.

Τίτλος β. κεφ. α.

Τὰς τοίνυν αἰτίας, ἐξ ὧν ὁ ἀνὴρ διαζύγιον ἀκινδύνως στέλλειν δύναται, καὶ τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν, φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισίν: ἢ παίδων οὐκ ὄντων, ἀπολαύειν αὐτὸν καὶ τῆς δεσποτείας, ταύτας εἶναι διατυποῦμεν.

Εἰ κατὰ τῆς βασιλείας βουλευομένοις τισὶ σύνοιδεν ἡ γυνή, καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερώσει. εἰ δὲ ὁ ἀνὴρ παρὰ τῆς γυναικὸς τοῦτο ἀπαγγελθὲν σιωπήσει, ἐξέστω τῇ γυναικὶ δι' οἱουδήποτε προσώπου, τοῦτο προσαγγέλλειν τῇ βασιλείᾳ, ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς αἰτίας διαζυγίου εὑρεῖν πρόφασιν.

Εἰ περὶ μοιχείας ὁ ἀνὴρ δυνηθῇ διελέγξαι τὴν γυναῖκα.

Ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα, τῷ ἀνδρὶ μὴ φανερώσει.

Ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ, ἢ συλλούηται.

Ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μένῃ, εἰ μή τί γε τύχοι παρὰ τοῖς ἰδίοις γονεῦσι.

Ἐὰν ἱππικοῖς ἢ θεάτροις, ἢ * κυνηγίοις παραγένηται ἐπὶ τῷ θεωρῆσαι, ἀγνοοῦντος ἢ καὶ κωλύοντος τοῦ ἀνδρός.

Εἰ μέντοι γε συμβῇ τινὰ δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ οἰκείου οἴκου ἐξωθήσασθαι, ὥστε ἐκείνην μὴ ἐχούσης

[Margin: [illegible]]

DE SOLVTIONE MATRIMONII, deque caussis solutionis.

Tit. II. cap. I.

Caussas igitur, ex quibus impune maritus repudium mittere potest, & uxoris dotem lucrari, proprietate tamen eius susceptis ex eodem matrimonio liberis salua, uel liberis nullis existentibus, ipsa quoque proprietate frui; has esse statuimus.

Legito & nouel. CXXVII. capite III. & nouella n. CXXIIII & nouellam CIIII. Nouel. 117. cap. 8.

Si quibus aduersus maiestatem principis ineuntibus consilia mulier conscia sit, idque marito suo non patefecerit. Quod si maritus ab uxore denuntiatum tacuerit, facultas esto mulieri per quamcumque personam ad principi renuntiare, nullam ut ex hac caussa diuortij maritus occasionem reperire possit.

Si maritus adulterij possit uxorem conuincere.

Si quocumque modo uitae mariti mulier insidiata fuerit, uel quum alijs id molientibus esset conscia, marito non patefecerit.

Si contra mariti uoluntatem cum uiris extraneis compotet, aut lauet.

Si comedat uel bibat cum extraneis, hoc est, cognatione nulla sibi iunctis.

Si contra mariti uoluntatem extra domum maneat, nisi forte apud suos parentes.

Si ad circenses, uel spectacula, uel * harenam accedat spectandi caussa, ignorante uel prohibente marito.

* harenam uocat locum, in quo cum bestijs olim pugnabant.

Quod si contingat, ut aliquis citra caussam ullam ex ijs, quae praedicta sunt, uxorem suam domo sua expellat; ita ut illa parentes nullos habens,

habens, apud quos manere possit, necessario noctem foris exigat: iubemus, ut nulla uiro licentia sit, ob hanc caussam uxori repudium mittendi, quandoquidem ipse huius rei auctor existit.

Caussas autem, propter quas iuste potest ab uxore marito repudium mitti, & ex quibus mulier tam dotem accipere, quam propter nuptias donationem exigere potest, liberis consimiliter in donatione reseruãdo dominio, uel liberis non exstantibus, etiam dominium eius habere: solas has esse statuimus.

Nota, mulierem lucrari donationem ante nuptias etiã liberis non extentibus.

Si aduersus maiestatem principis uel quid ipse molitus fuerit, uel aliquibus molientibus ipse conscius, id principi non patefecerit uel per se, uel per quamcumq; personam.

Vel si quocumque modo maritus uxoris uitæ insidiatus fuerit, uel quum alijs id molientibus conscius esset, mulieri non patefecerit, ac secundum leges uindicare studuerit.

Si maritus uxoris pudicitiæ insidias struens, alijs eam stuprandam tradere conatus fuerit.

Vel si maritus uxorem adulterij conuincendam inscripserit, & adulterium non probauerit; liberum esto mulieri, si uelit, hac quoque de caussa marito repudium mittere, dotemque suam repetere, ac donationem propter nuptias adipisci: proque huiusmodi calumnia, si nullos ex eo matrimonio liberos habeat, iure dominij tantum ex reliquis mariti facultatibus consequi, quanti est tertia pars propter nuptias donationis. quippe si liberos habeat, uniuersas uiri facultates liberis seruari iubemus, firmis manentibus ijs, quæ de donatione ante nuptias legibus alijs continentur: ita quidem, ut etiam propter illatum adulterij crimen, nec probatum, uir ijs pœnis subijciatur, quas mulier perpessura fuerat, si crimen eiusmodi probatum fuisset.

Item si maritus in domo sua, in qua cum uxore sua cohabitat, ea contemta, cum alia manere deprahendatur in eadem domo; uel in eadem urbe degens, in alia domo cum alia muliere frequenter morari conuincatur, & semel iterumue suis a parentibus, uel a parentibus uxoris, uel ab alijs quibusdam idoneis personis reprahensus, ab huiusmodi stupro sese non abstinuerit: liberum esto mulieri, hac quoque de caussa diuortium facere, datamque dotem repetere, cum donatione ante nuptias, proque huiusmodi iniuria tertiam partem pretij, quod ante nuptias donatio conficit, ex bonis eius ceteris capere: sic tamen, ut si liberos habeat, tantum mulier usu rerum, quas ex donatione

Nota, capere mulierẽ & tertiam partem hypoboli siue incrementi dotis ob iniuriã sibi factam.

γονεῖς, πρὸς οὓς δύναται μεῖναι, ἐξ ἀνάγκης ἔχει τὴν νύκτα διάγειν· κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν, διὰ ταύτην αἰτίαν διαζύγιον πέμπειν τῇ γυναικί, διότι περ αὐτὸς τούτου αἴτιος γίνεται.

Τὰς δὲ αἰτίας, ὑπὲρ ὧν εὐλόγως δύναται τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς πέμπεσθαι διαζύγιον, καὶ ἐξ ὧν δύναται τήν τε προῖκα λαμβάνειν, καὶ τὴν διὰ τοὺς γάμους ἀπαιτεῖν δωρεάν, ὁμοίως τοῖς παισὶ φυλαχθησομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων μὴ ὑπόντων, ἔχειν αὐτὴν καὶ τὴν ταύτης δεσποτείαν, ταύτας εἶναι μόνας διατυποῦμεν.

σημείωσαι, ὅτι κερδαίνει ἡ γυνὴ τὸ ὑπόβολον καὶ παίδων μὴ ὑπόντων.

Ἐὰν κατὰ τῆς βασιλείας ἢ αὐτὸς βουλεύσηταί τι, ἢ τοῦτο ποιεῖν βουλομένοις συνειδώς, μὴ φανερώσῃ τῇ βασιλείᾳ, ἢ δι' ἑαυτοῦ, ἢ δι' οἱουδήποτε προσώπου.

Ἢ ἐὰν οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικός, ἢ ἄλλων τοῦτο βουλομένων εἰδὼς μὴ φανερώσῃ τῇ γυναικί, καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι.

Ἐὰν ὁ ἀνὴρ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων, ἄλλοις ταύτην εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι.

Ἢ ἐὰν ὁ ἀνὴρ περὶ μοιχείας ἐγγράψηται τὴν γυναῖκα ἀπελέγξαι, καὶ τὴν μοιχείαν μὴ ἀποδείξῃ, ἐξεῖναι τῇ γυναικὶ βουλομένῃ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας διαζύγιον πέμπειν τῷ ἀνδρί, καὶ ἀπολαμβάνειν μὲν τὴν ἰδίαν προῖκα, κομίζεσθαι δὲ καὶ τὴν προγαμιαίαν δωρεάν, καὶ ὑπὲρ τοιαύτης συκοφαντίας, εἰ παῖδας μὴ ἔχει ἐκ τοῦ αὐτοῦ συνοικεσίου, τοσοῦτον κατὰ δεσποτείαν λαμβάνειν τὴν γυναῖκα ἐκ τῆς ἄλλης τοῦ ἀνδρὸς περιουσίας, ὅσον τῆς προγαμιαίας δωρεᾶς τὸ τρίτον μέρος ἐστίν. εἰ γὰρ παῖδας ἔχει, κελεύομεν πᾶσαν τὴν τοῦ ἀνδρὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, βεβαίων μενόντων τῶν † τῆς προγαμιαίας δωρεᾶς τοῖς ἄλλοις περιεχομένων νόμοις· οὕτως μέντοι γε, ὥστε καὶ διὰ τὴν ἐπαχθεῖσαν τῆς μοιχείας κατηγορίαν, καὶ μὴ ἀποδειχθεῖσαν, κἀκείναις τὸν ἄνδρα ταῖς τιμωρίαις ὑποβληθῆναι, ἃς ἔμελλεν ὑπομένειν ἡ γυνή, εἴπερ αὕτη ἡ τοιαύτη ἀπεδείχθη κατηγορία.

† περιλ.

Καὶ ἐὰν ὁ ἀνὴρ ἐν τῷ αὐτοῦ οἴκῳ καθ' ὃν μετὰ τῆς αὐτοῦ γυναικὸς συνοικεῖ, περιφρονῶν αὐτῆς, μεθ' ἑτέρας εὑρίσκηται, ἐν τῷ αὐτῷ οἴκῳ μένων, ἢ κατὰ τὴν αὐτὴν πόλιν διάγων ἐν ἑτέρῳ οἴκῳ μετὰ ἄλλης γυναικὸς συνεχῶς μένων ἐλέγχηται, καὶ ἅπαξ καὶ δὶς ἐγκληθεὶς ἢ διὰ τῶν ἑαυτοῦ γονέων, ἢ διὰ τῶν τῆς γυναικός, ἢ δι' ἑτέρων τινῶν ἀξιοπίστων προσώπων τῆς τοιαύτης ἀσελγείας μὴ ἀπόσχηται, ἐξεῖναι τῇ γυναικὶ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας διαλύειν τὸν γάμον, καὶ ἀναλαμβάνειν τὴν δεδομένην προῖκα, καὶ τὴν προγαμιαίαν δωρεάν, καὶ ὑπὲρ τῆς τοιαύτης ὕβρεως, τρίτον μέρος τῆς διατιμήσεως, ἣν ἡ προγαμιαία † δωρεά, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν· οὕτω μέντοι γε, ὥστε εἰ παῖδας ἔχοι, τῆς χρήσεως μόνης ἀπολαύειν τὴν γυναῖκα τῶν πραγμάτων, ἅπερ

σημείωσαι, ὅτι λαμβάνει ἡ γυνὴ καὶ τὸ τρίτον τοῦ ὑποβόλου ἀπὸ ὕβρεως ἰδίας.

† ποιεῖ δωρεά.

ἐκ τῆς

ἐκ τῆς προγαμιαίας δωρεᾶς, καὶ τῆς ποινῆς τοῦ τρίτου μέρους, τοῦ τοῦ ἀνδρὸς περιουσίας λάβοι: τῆς δεσποτείας τοῖς κοινοῖς παισὶ φυλαττομένης. εἰ γὰρ παῖδας μὴ ἔχοι ἐκ τῆς αὐτοῦ συνοικεσίου, ἔχειν αὐτὴν τῶν τοιούτων πραγμάτων καὶ τὴν δεσποτείαν κελεύομεν. ἐκεῖνο δὲ παραφυλακτέον, ὡς εἴπερ εὐλόγως ὁ ἀνὴρ τὸ διαζύγιον πέμψειε, καὶ ὑπεύθυνος ἡ γυνὴ ἐκ τῶν ἔμπροσθεν εἰρημένων ἡμῖν ἔσται ποινῶν, καὶ εἰς πενταετίαν ὅλην πρὸς δεύτερον ἐλθεῖν κωλυθήσεται συνοικέσιον, καὶ πρὸ τῆς πενταετίας ὁ γάμος οὐκ ἔσται ἀνεύθυνος, οὐδὲ νόμιμος γάμος * κληθήσεται, ἀλλὰ πᾶς ὁ βουλόμενος προσίτω, καὶ κατηγορείτω τοῦ γινομένου, ὡς παρὰ τὸν νόμον τολμηθέντος.

* ὥστε εἰ ἐκ τοῦ αὐτοῦ γάμου τεχθῶσι παῖδες, ὡς μὴ ὄντα νόμιμα, οὐ κληρονομοῦσι.

ante nuptias, & tertiæ partis pœna, de mariti bonis acceperit, fruatur; proprietate communibus liberis reseruãda. quippe si liberos ex eodem matrimonio nullos habeat, etiam bonorum eiusmodi proprietatem eam obtinere iubemus. Illud autem obseruandum est, ut siquidem iuste uir repudium miserit, ac mulier pœnis obnoxia fuerit ex ijs, quæ antea sunt a nobis indicata; toto quinquennio secundum ad matrimonium accedere prohibeatur, nec ante quinquennium contractæ nuptiæ uitio careant, neque legitimum matrimonium * appelletur: sed quiuis sane, qui uolet, accedat; & factum accuset, ueluti contra legem attentatum.

* adeo scilicet, ut ex eodem matrimonio nati liberi, uelut non legitimi, non succedant.

ΣΧΟΛΙΟΝ.

Σημείωσαι, ὅτι ἡ κατηγορηθεῖσα γυνὴ εἰ μὲν ἐπὶ μοιχείᾳ καταδικασθῇ, ἐμβάλλεται ἐν μοναστηρίῳ· εἰ δὲ ἐπὶ τ' ἄλλαις αἰτίαις καταδικασθῇ, χωρὶς ταύτης τῆς αἰτίας, οὐκ ἀποκείρεται: ἀλλὰ λύεται μὲν ὁ γάμος, ἐντὸς δὲ τῶν ε. ἐνιαυτῶν ἡ γυνὴ πρὸς β. γάμον ἐλθεῖν ἀγωνισαμένη, ὑπὸ τῶν παρ' αὐτῆς σημειωθέντων, κατὰ τοῦ ἀνδρὸς τὰ νικητήρια φέρει.

SCHOLION.

Nota, mulierem accusatam, si ex adulterij caussa damnata fuerit, in monasterium mitti: sin ex alijs extra hanc caussis cõdemnata fuerit, non tondetur; sed matrimonium quidem soluitur, intra quinquennium uero mulier secundas ad nuptias accedere connisa; per ea, quæ ab ipsa nota sunt, uictoriam contra maritum reportare debet.

Εἰ δὲ καὶ εὐλόγως ἡ γυνὴ τὸ διαζύγιον στείλειε, καὶ κρατήσει τῶν ἀγώνων: κερδαινέτω μὲν τὰ κέρδη τὰ ἔμπροσθεν εἰρημένα, ἐρυθριάτω δὲ πρὶν ἐνιαυτὸν ἐξήκειν, εἰς δεύτερον φοιτᾶν γάμον. ὅπερ οὐ παραφυλακτέον ἡμῖν ἐπ' ἀνδρός. τῷ γὰρ εὐλόγως κεκρατηκότι τῶν τοιούτων * κερδῶν, καὶ παραχρῆμα λαβεῖν ἔξεστιν. ἐπεὶ μηδεμία περὶ τὴν τῆς γονῆς σύγχυσιν εὔλογός ἐστιν ὑπόνοια, ὅπερ ἐπὶ τῶν γυναικῶν τὴν πρὸ τοῦ ἐνιαυτοῦ συνάφειαν εἰκότως ἀπείργει.

* ὅ φησι τὸ α. κεφάλαιον τὰ κέρδη ταῦτα, ἃ λυομένου τῷ ἀνδρὶ ἐπιμένει τοῦ γάμου.

Quod si iuste mulier quoque repudium miserit, & uictrix in litibus extiterit: lucra quidem prius indicata consequatur, sed erubescat ante, quam exierit annus, secundas ad nuptias conuolare; quod in uiro nobis non est obseruandum. Nam ei qui iuste obtinuit * eiusmodi lucra, statim ea capere licet; quandoquidem heic nulla circa confusionem subolis suspicio probabilis est, quod in feminis haud abs re coniugium ante anni exitum prohibet.

* Caput primum indicat hæc lucra, quę soluto matrimonio ad uirũ perueniũt.

ΣΧΟΛΙΟΝ.

Σημείωσαι, ὅτι καὶ μονάσαντος τοῦ ἀνδρὸς, μετὰ τὸ λυθῆναι τὸν γάμον, ὀφείλει φυλάττειν ἡ γυνὴ τὸν ἔννομον χρόνον.

SCHOLION.

Nota, quod etiam uiro solitariam uitam sequuto, post matrimonij solutionẽ mulier legitimum tempus luctus seruare debeat.

Καὶ τοσοῦτόν ἐστι τὸ τῆς † κολάσεως ἐνταῦθα, ὅτι κἂν ἐπ' ἀγαθῇ χάριτι διαλυθῆναι συμβαίη τὸν γάμον, ἀλλὰ καὶ οὕτως εἰς ἐνιαυτὸν ἡ κώλυσις τῶν δευτέρων γάμων ταῖς γυναιξὶν ἐπιτέτακται. ἀλλὰ καὶ τῶν ἐν ταξιδίοις ὄντων τὰς γαμετὰς παρακελεύεται ἡ διάταξις, ὥστε εἴ τις ἀκούσοι τὸν ἴδιον ἄνδρα τετελευτηκέναι, μὴ ἄλλως ἔρχεσθαι πρὸς δεύτερον γάμον, εἰ μὴ πρότερον ἢ δι' ἑαυτῆς, ἢ δι' ἄλλου οἱουδήποτε προσώπου, τοὺς † πρίορας τοῦ ἀριθμοῦ καὶ τοὺς χαρτουλαρίους, ἤτοι τὸν τριβοῦνον (εἴγε πάρεστιν) ἐν ᾧ ὁ ταύτης ἀνὴρ ἐστρατεύετο, ἐρωτήσοι. ὥστε ἐκείνους τῶν ἁγίων εὐαγγελίων προκειμένων, ἐπὶ πράξεως ὑπομνημάτων καταθέσθαι, εἰ ταῖς ἀληθείαις ὁ ταύτης ἀνὴρ τετελεύτηκεν. καὶ μεθ' ὃ λάβῃ ταῦτα τὰ ὑπομνήματα ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας, μένειν αὐτὴν ἑνὸς ἐνιαυτοῦ διάστημα, ὥστε μετὰ τὴν αὐτοῦ καταδρομὴν,

† κολάσεως.

ὑφ' ὧν ἐν παρατάξει ὄντων.

† τοὺς πρωτεύοντας, τοὺς ὑπερέχοντας ἐξηγοῦνται.

Atque hæc in parte prohibitionis tanta uis est, ut tametsi bona gratia solui matrimonium contigerit; nihilo minus ita quoque secundarum nuptiarum prohibitio mulieribus iniuncta sit. Quin & illorum uxoribus, qui sunt in expeditionibus, constitutio præcipit, ut si quæ maritum suum defunctum audierit, non aliter ad secundas nuptias accedat, nisi prius uel per se, uel per aliam quamcumque personam * priores, & chartularios, siue tribunum (si præsto est) eius numeri, in quo maritus ipsius militabat, interrogauerit: ita ut illi propositis sacrosanctis euangelijs apud gesta monumentorum deponant, an reapse maritus eius decesserit; ac postquam hæc monumenta pro testimonio suo mulier acceperit, unius anni spatium exspectet, quo decurso liceat

De ijs, qui sunt in expeditionibus.

* hoc est, primates, & eos, qui officijs excellunt.

*ceat ei legitimum matrimonium contrahere. Quod si aduersus hanc obseruationem mulier ad alias conuolare nuptias ausa fuerit: tam ipsa, quam qui eam duxerit uxorem, uelut adulteri puniuntor. Sin autem illi, qui apud gesta monumentorum cum iureiurando deposuerunt, postea deprahensi fuerint falso deposuisse: ipsi quidem militia spoliati decem auri librarum pœnam persoluere cogentur ob eum, quem mortuum fuisse mentiti sunt, ipse uero licentiam habeat, si uolet, uxorem suam recipiendi. Ceterum prædictis caussis has quoque nominatim adyciendas censuimus, ex quibus matrimonia citra * pœnam dissoluere liceat.*

Nouel. XXII. cap. IIII. De his qui solitariæ uitæ degendæ caussa diuortiũ faciũt, legito integrũ titulum, & reliqua materiæ præsentis inuenies.

* SCHOLION.

Citra pœnam, sola scilicet dote mulieri restituta, donatione uero ante nuptias apud uirum manente.

*Soluitur matrimonium ex occasione reprehensionis experte, quum altera pars exercitio sacro se dedit, ad uitam meliorem transiens, & uitam in puritate degendam eligens. Tunc enim tam uirum quam mulierem ad præclariora se conferentem, * soluendi matrimony ac diuortendi potestatem habere iubemus, exiguo quodam desertæ parti solatio relicto. Quidquid enim contrahentes pacti sunt, ut a morte lucro alterius cederet; id habere oportet ab altero desertum, siue uir siue mulier sit, quando & ipse, quantum quidem attinet coniugem, mori uidetur; alterum iter uitæ cum altero commutans.*

* Id nunc in usu non est.

SCHOLION.

De ante nuptias donatione dicitur, quod maritus eligens uitam solitariam, relinquat uxori præter dotem id quoque, quod ex pacto capere potest, ὑπόβολον appellatum. quod sane longa consuetudo aboleuit, ut non præstetur. Et nota, quod liber IIII Basilicorum, & nouella III tradant, uirum amplexum uitam monasticam ὑπόβολον nullum debere dare.

Itidem ex caussa necessaria & probabili matrimonium soluitur, quum quis coire cum coniuge, ac a natura uiris concessa perficere toto triennio post tempus nuptiarum nequit. Licet enim mulieri, uel parentibus eius, matrimonium dirimere, quamuis id coniux fieri nolit. atque heic dos, siquidem aliqua dos omnino data est, mulierem sequetur, eamque maritus restituet, si quidem eam forte percepit. Propter nuptias uero, siue ante nuptias donatio uiro remanet, qui nihil de suo damni facit. Sed & captiuitas eiusmodi quiddam est, atque si bona gratia matrimonium solueretur.

De captiuis.

ἐξεῖναι ταύτην νόμιμον συναλλάττειν γάμον. εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυνὴ τολμήσοι εἰς ἕτερον ἐλθεῖν γάμον· καὶ αὐτή, καὶ ὁ ἀγόμενος αὐτὴν πρὸς γάμον, ὡς μοιχοὶ τιμωρείσθωσαν. εἰ δὲ ἐπὶ πράξεως ὑπομνημάτων μεθ' ὅρκων καταθέμενοι, μετὰ ταῦτα εὑρεθεῖεν πλαστῶς καταθέμενοι: αὐτοὶ μὲν τῆς στρατείας γυμνούμενοι, δέκα χρυσίου λιτρῶν ποινὴν συνελαθήσονται καταβαλεῖν ἐπ' ἐκείνου ὃν ἐψεύσαντο τετελευτηκέναι, αὐτὸς δὲ ἄδειαν ἐχέτω εἰ βουληθείη τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν. ταῖς δὲ εἰρημέναις αἰτίαις συνείδομεν καὶ ταύτας ὀνομαστὶ προσθεῖναι, ἐξ ὧν τοὺς γάμους δίχα * ποινῆς ἔξεστι διαλύειν.

νεαρὰ κβ. κεφ. δ. περὶ τῶν ἐπὶ τῷ μονάσαι τὸν γάμον λυόντων, αἰτία γνῶναι τὸν ὅλον τίτλον, καὶ εὑρήσεις τὰ λοιπὰ τῆς προκειμένης ὑποθέσεως.

* ΣΧΟΛΙΟΝ.

Δίχα ποινῆς, μόνης δὲ προικὸς τῇ γυναικὶ ἀναλαμβανομένης, τῆς δὲ πρὸ γάμου δωρεᾶς παρὰ τῷ ἀνδρὶ μενούσης.

Διαλύεται γάμος κατὰ πρόφασιν ἄμεμπτον, ὅταν ἄσκησιν θάτερον ἕληται τῶν μερῶν, πρὸς τὴν ἐπὶ τὸ κρεῖττον μεταβαῖνον ὁδόν, καὶ τὸν ἐν ἁγνείᾳ βίον αἱρούμενον. τηνικαῦτα γὰρ κελεύομεν παρρησίαν εἶναι καὶ ἀνδρὶ καὶ γυναικὶ πρὸς τὰ κάλλιω μεθισταμένῳ, * διαλύειν τὸ συνοικέσιον, καὶ ἀναχωρεῖν μετά τινος βραχείας ὑπολελειμμένης τῷ καταλελειμμένῳ παραμυθίας. ὅπερ γὰρ ἂν συμφωνήσειαν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γενέσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου, εἴτε ἀνήρ, εἴτε γυνὴ καθεστήκοι, διότι καὶ οὗτος (τό γε ἐπὶ τῷ συνοικήσαντι) δοκεῖ τελευτᾶν, ἑτέραν ἀνθ' ἑτέρας βίου πορείαν ἑλόμενος.

* ὅτι οὐ πράττεται νῦν τὸ τοιοῦτο.

ΣΧΟΛΙΟΝ.

Περὶ τῆς πρὸ γάμου δωρεᾶς φασίν, ὅτι βουλομένου τοῦ ἀνδρὸς τὸν μοναχικὸν βίον, καταλιμπάνειν τῇ γυναικὶ πρὸς τῇ προικὶ καὶ ὅπερ ἂν ἀπὸ συμφώνου εἶχε λαβεῖν, ὑπόβολον· ὅπερ ἡ μακρὰ συνήθεια ἐξέβαλε μὴ δίδοσθαι. καὶ σημείωσαι, ὅτι τὸ δ βιβλίον τῶν Βασιλικῶν καὶ νεαρὰ γ ἀναλαμβάνουσιν, ὡς οὐκ ὀφείλει ὁ ἀνὴρ μονάζων διδόναι ὑπόβολον.

Καὶ κατὰ πρόφασιν δὲ ἀναγκαίαν τε καὶ οὐκ ἄλογον διαλύεται γάμος, ὅταν τις οὐχ οἷός τε εἴη συνιέναι τῇ γυναικί, καὶ τὰ παρὰ τῆς φύσεως ἀνδράσι δεδομένα πράττειν, ἄχρι τριῶν τελείων ἐνιαυτῶν, ἐκ τοῦ τῶν γάμων καιροῦ. πάρεστι γὰρ τῇ γυναικί, ἢ τοῖς γε αὐτῆς πατράσι, διαζευγνῦναι τὸ συνοικέσιον, εἰ καὶ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προίξ (εἴ τις ἐστὶν ὅλως ἐπιδεδομένη προίξ) ἀκολουθήσει τῇ γυναικί, καὶ ἀποδώσει ταύτην ὁ ἀνήρ, εἴγε τύχοι λαβών. ἡ δὲ διὰ τὸν γάμον, ἤτοι πρὸ τῶν γάμων δωρεά, μένει παρὰ τῷ ἀνδρί, οὐδὲν οἴκοθεν ζημιουμένῳ. ἀλλὰ καὶ τὸ τῆς αἰχμαλωσίας τοιοῦτόν ἐστιν, ὁποῖον ἀγαθῇ χάριτι διαλύειν τὸν γάμον.

περὶ τοῦ μὴ δυναμένου συνουσιάσαι μετὰ δὲ ἑαυτοῦ γαμετῆς.

περὶ αἰχμαλώτων.

ΣΧΟΛΙΟΝ.

Σημείωσαι, ὅτι ἐὰν ἐστὶν ἐν αἰχμαλωσίᾳ ἀνὴρ ἢ γυνή, διαλύεται μὲν ὁ γάμος, πλὴν ἐν ὅσῳ ζῆν ἀκούεται τὸ αἰχμαλωτισθὲν, οὐ καλῶς τὸ ἕτερον μέρος συναλλάττεται. εἰ δὲ μή: ὁ μὲν ἀνὴρ δίδωσιν ἀντίφερναν, ὁ δὲ γυνὴ ἐκπίπτει τῆς προικός.

Εἴτε γὰρ ἀνδρὶ συμβαίη τοιοῦτόν τι ἀτύχημα, τῆς γυναικὸς ἐν τῇ πολιτείᾳ μενούσης, εἴτε αὖθις γυνὴ μὲν εἰς αἰχμαλωσίαν ἀπίοι, μένοι δὲ ὁ ἀνὴρ ἐν τῇ πολιτείᾳ: ὁ μὲν ἀκριβής τι καὶ λεπτὸς λόγος, διαλύει τὸν γάμον. δουλείας γὰρ ἅπαξ γινομένης θατέρῳ, ἡ τῆς τύχης ἀνισότης τὴν ἐκ τῶν γάμων ἰσότητα μένειν οὐ συγχωρεῖ. πλὴν ἀλλὰ φιλανθρωπότερον τὰ τοιαῦτα θεωροῦντες, ἕως μέν ἐστι φανερὸν περιεῖναι ἢ τὸν ἄνδρα ἢ τὴν γαμετὴν, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν: καὶ οὐκ ἐλεύσονται πρὸς δευτέρους γάμους, οὔτε γυναῖκες, οὔτε ἄνδρες, εἰ μὴ βούλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι, καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῇ τῆς πρὸ γάμου δωρεᾶς φαμὲν ἐκτίσει, ἡ δὲ τῇ τῆς προικός. εἰ δὲ ἄδηλον καθεστήκοι, πότερον περίεστιν, ἢ μὴ, τὸ εἰς πολεμίους ἀφικόμενον πρόσωπον, τηνικαῦτα πενταετίαν μενετέον, εἴτε τῇ γυναικὶ, εἴτε τῷ ἀνδρί. μεθ' ἣν εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς, εἴτε ἄδηλα μένοι, γαμεῖν ἔξεστιν ἀκινδύνως. καὶ τοῦτο γὰρ δὴ ταῖς καλουμέναις καλῇ χάριτι διαλύσεσι παρὰ τῶν πρὸ ἡμῶν συνηρίθμηται. καὶ ἡμεῖς δὲ εἰς τοῦτο σύμφαμεν, ὥστε ἐνταῦθα οὐδὲ ῥεπουδίῳ γίνεται καιρὸς, οὕτω τῶν προσώπων διεστώτων ἀλλήλων, καὶ οὐδεὶς ἐντεῦθεν κερδανεῖ, οὔτε ὁ ἀνὴρ τὴν προῖκα, οὔτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεὰν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μένει. μηδενὶ δὲ τρόπῳ παρὰ ταύτας τὰς εἰρημένας αἰτίας διαζύγιον γίνεσθαι, ἢ κατὰ συναίνεσιν τοὺς γάμους διαλύειν καὶ συγχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα.

μετὰ τὸ ἄδηλον γενέσθαι τὸ εἰς αἰχμαλωσίαν ἀπελθὸν πρόσωπον ἡ πενταετία παρέλθῃ καὶ ἐπιγάμου τὸ ἀσφαλῶς προ... μετ. διαζύγιον χώραν ἔχει.

ΣΧΟΛΙΟΝ.

Περὶ τῶν κατὰ συναίνεσιν λυόντων τὸν γάμον, ἀνάγνωθι καὶ τὴν ρμ΄ νεαράν, ὅτι ταῦτα ἐκίνησε. φησὶ γάρ: θεσπίζομεν ἐξεῖναι κατὰ τὸ παλαιὸν τὰς ἐκ συναινέσεως διαλύσεις ἐπὶ τῶν γάμων ποιεῖσθαι, κρατεῖν δὲ μηκέτι τὰς τεταγμένας ποινὰς διὰ τοῦ ἡμετέρου πατρὸς ἐπὶ τῶν κατὰ συναίνεσιν τοὺς γάμους διαλυόντων. εἰ γὰρ ἀμοιβαία διάθεσις τοὺς γάμους ποιεῖ, εἰκότως ἐναντία γνώμη † τῇ κατὰ συναίνεσιν διαλύσει, τῶν ταύτῃ δηλονότι πεμπομένων † διαζεύγνυσι. ἰστέον δὲ ὅτι ἐν τοῖς βασιλικοῖς τοῦτο τὸ κεφάλαιον οὐ κεῖται, οὐδὲ γὰρ πράττεται νῦν, ἀλλὰ ἀνῄρηται τὸ κατὰ συναίνεσιν λύειν τοὺς γάμους.

† τούτο. † διαζευγνύειν.

Εἰ δέ τις τολμήσει τὸ τοιοῦτον, εἰ μὲν παῖδας ἔχοι, τὴν οὐσίαν αὐτοῦ ἐκείνοις δίδοσθαι κατὰ τὴν τῶν νόμων τάξιν: καὶ τόν τε ἄνδρα, τήν τε γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι,

SCHOLION.

Nota, si uir aut mulier est in captiuitate, matrimonium quidem soluitur, uerum quamdiu uiuere personam captiuam auditur, non recte pars altera cõtrahit. sin illa uiuere non audiatur, uir quidem propter nuptias donationem præstat, mulier autem dote cadit.

Nam siue uiro talis casus acciderit, muliere ius ciuitatis retinente, siue mulier in captiuitatem uenerit, uiro in ciuitate manente: stricta quidem subtilisque ratio matrimonium distrahit, (quippe quum semel alteri personæ seruitus accidit, condicionis inæqualitas matrimonij æqualitatem consistere non patitur) sed tamen æquius melius hæc æstimantes, donec uel maritum uel uxorem superesse certum est, indiremta hæc matrimonia manere permittimus; & ad secundas nuptias neque uiri neque mulieres accedent, nisi contumaciter id egisse uideri uelint, & in pœnas incidere, maritus quidem in donationis ante nuptias, uxor autem in dotis exactionem. Si uero incertum sit, an persona quæ in hostium potestatem uenit, superstes sit: tunc quinquennium erit exspectandum tam uiro, quam mulieri; quo exacto siue constiterit de morte alterius, siue res incerta manserit, impune nuptias contrahere licebit. Nam hoc quoque solutionibus ijs, quæ bona gratia fieri dicuntur, a maioribus nostris est adnumeratum. quod quidem nos etiam comprobamus, ita ut hoc casu ne repudio quidem locus sit, personis hoc modo separatis; nec quisquam hinc lucretur, non dotem maritus, non ante nuptias donationem mulier: sed pro se suum quisque retineat. Nullo autem modo præter has indicatas caussas diuortium fiat, uel ex consensu matrimonia soluantur, nec mutuo sibi alter alteri delicta condonent. Nouel.134. cap.11.

SCHOLION.

De iis, qui ex consensu matrimonium soluunt, legito & CXL. nouellam, quæ ista mouit. sunt enim hęc illius uerba: Sancimus ut liceat more prisco matrimonia consensu dissoluere, nec ut amplius in eos, qui diuortia faciunt, a parente nostro statutæ pœnæ ratę sint. Nam si ultro citroque nuptias adfectio mutua facit, non abs re contraria uoluntas, missis scilicet eo nomine repudijs, easdem consensu dissoluit. Sciendum est autem, caput hoc in Basilica non esse relatum. Nec enim modo in usu est, sed consensu matrimonia distrahendi mos obsoleuit.

Si uero quis tale quiddã fuerit ausus, si quidem habeat descendentes, facultates eius illis ipsis ex legum præscripto tribuantur, atque tam uir, quam mulier in monasterium mittantur,

*& ex aquo de cuiusque bonis unciæ quatuor monasterijs, quibus includuntur, adsignentur: uiro scilicet ne usum fructum quidem partis eius, quæ liberis datur, habente. Si uero nulli descendentes existant, sed adscendentes inueniantur; tertiam bonorum partem ij consequantur, si matrimonij solutionis impietati non consenserunt: reliquis duabus partibus monasterijs adsignandis. Quod si nec adscendentes nec descendentes sint, uel adscendentes facto præbuerint adsensum: iubemus omnia bona monasterijs, in quæ conclusi fuerint, attribui. Quinetiam subseruientes huiusmodi matrimoniorum solutionibus, uel hæc instrumenta nefaria conficientes, subijci pœnis corporalibus, & in exsilium mitti præcipimus. Sin autem ij, qui diuortium facere conati fuerunt, rursus matrimonio coniungi uoluerint ante, quam in monasteria missi sunt: prædictæ pœnæ illis remittantur, & facultates suas retineant. At una matrimonium reuocare uolente, si altera persona non consenserit: aduersus eam pœnæ ratæ sint, quæ renuit. Quod * si quis uxorem suam flagellis aut fustibus ceciderit, absque aliqua earum caussarum, quas contra mulieres ad matrimonij solutionem sufficere iussimus: diuortium quidem ob id fieri nolumus, at maritus, qui citra eiusmodi caussam flagellis aut fustibus uxorem uerberasse probabitur, tantum talis iniuriæ nomine de ceteris facultatibus suis etiam constante matrimonio mulieri præstabit, quantum pars tertia donationis ante nuptias efficit.*

Sciendũ præsides qui negligentes in his seruandis fuerint, relegatione & proscriptione puniri: sicut in reliqua nouellæ huius parte dicitur.

* Nouel. 117. cap. 14.

Legito & lib. XXVIII. tit. VII. cuius I. cap. dicitur:

l. 1. D. de diuort.

Dirimitur matrimonium diuortio, uel morte, uel captiuitate, uel alia contingente seruitute alterutri coniugum, puta quum libertus a patrono in seruitutem reuocatur, non tamen deportatione.

II.

Repudium uerbis hisce fit, TVAS IPSA RES TIBI AGITO: *uel his,* TVAS IPSE RES TIBI AGITO. *In sponsalium quoque diremtione remittere nuntium oportet, idque hoc modo componitur .... Nihil interest, siue ipsi præsenti renuntietur, siue absenti per eum, qui in potestate eius sit, cuiusue is in potestate sit.*

III.

Diuortium non est, nisi uerum sit, & perpetuæ dissensionis caussa. quamobrem quæ per calorem repudium misit, & breui reuersa est; nec diuortisse uidetur.

καὶ ἐκ τῆς ἑκάστου περιουσίας ἀνὰ δ. γο τοῖς μοναστηρίοις, ἐν οἷς ἐμβάλλονται, ἀφορίζεσθαι: τοῦ ἀνδρὸς δηλονότι μηδὲ χρῆσιν ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. εἰ δὲ κατιόντας μὴ ἔχοιεν, ἀλλ' ἀνιόντες εὑρίσκονται, τὸ τρίτον μέρος τῆς οὐσίας λαμβάνειν αὐτοὺς, εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου συνῄνεσαν: τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις ἀφορίζεσθαι. εἰ δὲ μήτε ἀνιόντες, μήτε κατιόντες † συνῄνεσαν τῷ γεγονότι, κελεύομεν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις, ἐν οἷς ἐνεβλήθησαν, δίδοσθαι. ἀλλὰ καὶ τοὺς ὑπουργοῦντας ταῖς τοιαύταις λύσεσι τοῦ γάμου, ἢ τὰ τοιαῦτα ἀθέμιτα συμβόλαια συντιθέντας ταῖς εἰς σῶμα ποιναῖς ὑποβάλλεσθαι κελεύομεν, καὶ εἰς ἐξορίαν πέμπεσθαι. εἰ δὲ οἱ τὸν γάμον λύειν ἐπιχειρήσαντες βουληθῶσι πάλιν ἑαυτοὺς συζευγνῦναι, πρὶν ἐμβληθῶσι μοναστηρίοις, συγχωρεῖσθαι αὐτοῖς τὰς προειρημένας ποινὰς, καὶ τὰς ἰδίας περιουσίας ἔχειν. τοῦ ἑνὸς δὲ βουλομένου τὸν γάμον ἀνακαλέσασθαι, εἰ μὴ συναινέσει τὸ ἕτερον πρόσωπον, κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. εἰ δέ τις τὴν ἰδίαν γαμετὴν μάστιξιν ἢ ξύλοις τυπτήσει χωρὶς τινὸς τῶν αἰτιῶν, ἃς κατὰ τῶν γυναικῶν πρὸς τὴν τοῦ γάμου διάλυσιν ἀρκεῖν παρεκελευσάμεθα: γάμου μὲν διάλυσιν ἐκ τούτου γίνεσθαι οὐ βουλόμεθα, τὸν δὲ ἄνδρα τὸν δεικνύμενον χωρὶς τοιαύτης αἰτίας μάστιξιν ἢ ξύλοις τυπτῆσαι τὴν ἑαυτοῦ γαμετὴν, τοσοῦτον ὑπὲρ τῆς τοιαύτης ὕβρεως ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας δίδοναι τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου, ὅσον τὸ τρίτον τῆς πρὸ γάμου ποιεῖ δωρεᾶς.

† ἤτοι, ὁ καὶ οἱ ἀνιόντες συνῄνεσαν.

ἰστέον δὲ ὅτι καὶ οἱ ἀμελοῦντες ἄρχοντες περὶ τὸ μὴ παραφυλάττεσθαι ταῦτα, ἐξορίᾳ καὶ δημεύσει ὑπόκεινται: ὡς τὸ λοιπὸν τῆς παρούσης νεαρᾶς δηλοῖ.

Ἀνάγνωθι καὶ βιβλίον κη. τίτλον ζ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησί.

Διαλύεται τὸ συνοικέσιον † διαζυγίῳ, ἢ θανάτῳ, ἢ αἰχμαλωσίας, ἢ ἄλλης δουλείας συμβαινούσης ἑνὶ τῶν συνοικούντων, ὡς ὅταν ἀναδουλωθῇ ἀπελεύθερος παρὰ τοῦ πάτρωνος, οὐ μὴν ἀπὸ τοῦ περιορισμοῦ.

† διὰ διαζυγίου.

β.

Τὸ διαζύγιον οὕτω συντίθεται, ΤΑ ΣΕΑΥΤΗΣ ΠΡΑΤΤΕ: ἢ οὕτω, ΤΑ ΣΕΑΥΤΟΥ ΠΡΑΤΤΕ. καὶ ἐπὶ τῇ διαλύσει τῆς μνηστείας δεῖ στέλλεσθαι διαζύγιον, καὶ οὕτω συντίθεται .... ἀδιάφορον, εἴτε αὐτῷ παρόντι ἀπαγορευθῇ, εἴτε ἀπόντι διὰ τοῦ ὑπεξουσίου αὐτοῦ, ἢ τοῦ ἔχοντος αὐτὸν ὑπεξούσιον.

γ.

Διαζύγιον οὐκ ἔστι τὸ μὴ ὂν ἀληθὲς, καὶ ἐπὶ διηνεκεῖ διαιρέσει. ὅθεν ἡ διὰ θερμότητα πέμψασα διαζύγιον, καὶ συντόμως στρέψασα, οὔτε διαζευγνῦναι δοκεῖ.

δ. Μα-

δ.

Μαινομένης ὁ γάμος μένει ἐῤῥωμένος, καὶ καλῶς αὐτῇ στέλλεται διαζύγιον. ἔοικε γὰρ ἀγνοοῦντι. αὐτὴ δὲ οὐ στέλλει, οὔτε ὁ κουράτωρ αὐτῆς. ὁ δὲ πατὴρ δύναται.

ΕΡΜΗΝΕΙΑ.

Ἐνταῦθα μαινομένην νόει τὴν πρὸ τοῦ γάμου, καὶ διὰ τοῦτο ἀγνοεῖν τὸν ἄνδρα τὸ γενόμενον. ἐζητήθη, εἰ δύναται γυνὴ μαινομένη πέμπειν ῥεπούδιον τῷ ἀνδρί, ἢ ὁ ἀνὴρ κατὰ μαινομένης κεχρῆσθαι πρὸς αὐτὴν ῥεπουδίῳ. καὶ ἔγραψεν Ἰουλιανός, αὐτῇ μὲν καλῶς πέμπεσθαι ῥεπούδιον. οὐ δ᾽ ἂν ἐπραγματεύσατο Ἰουλιανὸς περὶ ῥεπουδίου, εἰ μὴ ᾔδει καὶ μετὰ τὴν μανίαν τῆς γυναικὸς συνίστασθαι τὸν μετ᾽ αὐτῆς τοῦ ἀνδρὸς γάμον.

η.

ὁ γὰρ μοιχὸς ἀνθ᾽ ὅλων τὸ διαζύγιον. Ὁ γαμετὴν ἀλλοτρίαν ἐκ τῆς ὁδοῦ εἰς τὸν ἴδιον οἶκον λαβών, κἀκεῖθεν στείλας διαζύγιον τῷ ἀνδρὶ αὐτῆς, ἐπὶ τριετίαν ἐξορίζεται.

Οὐκ ἔῤῥωται διαζύγιον, εἰ μὴ προσληφθῶσιν ζ. μάρτυρες ῥωμαῖοι ἔφηβοι, ἐν οἷς οὐκ ἔστιν ἀπελεύθερος τοῦ ποιοῦντος τὸ διαζύγιον. ὁ δὲ ἀπελεύθερος ἢ τοῦ πατρός ἐστιν, ἢ τοῦ πάππου, ἢ τῶν ἄλλων ἀνιόντων ἢ κατιόντων ἀπελεύθερος.

Οὐ δύναται ἡ μήτηρ διαζύγιον πέμπειν τῷ ἀνδρὶ τῆς θυγατρός.

Ὁ πατὴρ ἅπαξ συναινέσας τῷ γάμῳ, οὐ δύναται μὴ συναινεσάσης αὐτῷ τῆς θυγατρός, διαλύειν αὐτόν, εἰ μὴ ἄρα ἀπὸ μεγάλης καὶ εὐλόγου αἰτίας. οἷον ὅτι τῶν κεκωλυμένων ἐστὶν ὁ γάμος. εἰ δὲ καὶ συναινούσης αὐτῆς διαλυθῇ ὁ γάμος, οὐ δύναται ἀναγκάζειν αὐτὴν ὑποστρέψαι πρὸς τὸν ἄνδρα. ἐὰν αὐτεξουσία ἐστὶν ἡ θυγάτηρ, οὐδενὶ λόγῳ δύναται ὁ πατὴρ διαλύειν αὐτῆς τὸν γάμον.

Τοῦ ἀναδουλουμένου ἀπελευθέρου ὁ γάμος διαλύεται. ἡ γὰρ ὕστερον ἐπιφανεῖσα δουλεία, διαζεύγνυσιν αὐτοὺς ἀπ᾽ ἀλλήλων, ὡσπερεὶ τελευτῆς ἀκολουθησάσης. ὥστε ἐντεῦθεν τὸ μὲν οἰκεῖον ἕκαστος ἀπολαμβανέτω, τὸ δὲ ἀπὸ τελευτῆς μόνον τοῖς ἐλευθέροις περιγινέσθω σύμφωνον, τοῦ λοιποῦ πρὸς τὸν καταδουλώσαντα χωροῦντος. εἰ δὲ ἀγνοίᾳ τις δούλῳ συναφθείη προσώπῳ, οὐ φήσομεν διαλύεσθαι τὸν γάμον, ἀλλὰ μηδὲ τὴν ἀρχὴν συνίστασθαι τὸν γάμον: εἴγε τύχης ἀδηλία τὸ πρᾶγμα συνδιοικήσειε, καὶ μὴ συναίνεσις τοῦ δεσπότου, ἢ κακουργία τις αὐτοῦ. ὅθεν ἐπὶ τῶν τοιούτων οὐδὲ κέρδος ἐκ γάμου θεωρητέον, οὐδέ τι τοιοῦτον, ἀλλὰ ψιλὴν τῶν προσηκόντων διὰ τῶν προσφορῶν ἀγωγῶν ἀνάδοσιν.

Ἀνάγνωθι καὶ βιβλίον δ. τίτλον α. κεφάλ. η. ἐν ᾧ φησίν.

περὶ τῶν διὰ τὸ μονάσαι διαλυόντων τὸν γάμον. νεαρὰ ρκγ. κεφάλ. Εἰ δὲ γυνὴ ἢ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξηται βίον, καὶ εἰσέλθῃ εἰς τὸ μοναστήριον, παίδων οὐχ ὑπόντων, τῷ μοναστηρίῳ, ἐν ᾧ εἰσῆλθε, τὰ πράγματα αὐτοῦ διαφέρειν κελεύομεν. εἰ δὲ τὸ τοιοῦτο

IIII.

Cum furiosa matrimonium ratum manet, ac recte repudium ei mittitur. nam ignorantis loco habetur. Verum nec ipsa, nec curator eius repudium mittit. Pater tamen eius remittere nuntium potest.

DECLARATIO.

Furiosam heic ante nuptias intelligito, ac propterea uirum quid fiat ignorare. Quæsitum est, an possit mulier furiosa mittere repudium uiro, uel furiosæ uir repudio aduersus ipsam uti. Iulianus scripsit, recte quidem ei repudium mitti. Neque uero tractasset de repudio Iulianus, nisi sciuisset, etiam post furorem mulieris matrimonium uiri cum ea constare.

VIII.

Qui alienã uxorem ex itinere domum suam duxit, & inde marito eius repudium misit; in triennium relegetur. Nam adulter repudium mittere uidetur.

Diuortium ratum non est, nisi septem ciues Romani puberes adhibiti fuerint, præter libertum eius, qui diuortium facit. Libertus autem hic uel patris est, uel aui, uel aliorum adscendentium aut descendentium libertus.

Mater filiæ uiro repudium mittere nõ potest. l. 4. C de repud.

Pater qui semel consensit matrimonio, non potest, si ei filia non consenserit, id ipsum dirimere: nisi magna & iusta de caussa. ueluti quum matrimonium interdictum est. Si uero ea consentiente solutum fuerit matrimonium, non potest eam cogere, ut ad maritũ reuertatur. Quod si emancipata est filia, nullo modo pater eius matrimonium dirimere potest.

Reuocati in seruitutẽ liberti matrimonium distrahitur. Nam quæ postea emersit seruitus, eos a se inuicem disiungit, tamquam morte sequuta. quapropter hinc suum quisque recipiat, & pactum ex morte liberis dumtaxat hominibus saluum esto, reliquo ad illum perueniente, qui eum in seruitutem retraxit. Quod si quis per ignorationem personæ seruili iunctus fuerit, nõ matrimonium solui dicemus, sed ne quidem ab initio nuptias esse contractas: si quidem incertitudo natalium rem commoderata sit, nõ domini consensus, aut quadam ipsius malitia. Quamobrem in huiusmodi casibus ne lucrum quidem ex nuptijs spectandũ est, nec aliud quid tale: sed nuda rerum ad eos pertinentium per actiones competentes repetitio. Nouel. 22. cap. 9.

Legito & lib. IIII. tit. I. cap. VIII. in quo dicitur:

Si uero mulier aut uir solitariã uitam elegerit, & monasterium ingressus fuerit: nullis exstantibus liberis ad id monasteriũ, quod ingressus est, res ipsius pertinere iubemus. Quod si hæc De ijs, qui solitariæ uitæ degendæ caussa diuortium faciunt Nouel. CXXIII. cap. XXXIX.

persona liberos habet, nec prius, quam monasterium ingressa fuit, suis de rebus dispositionem aliquam fecerit, partemq́ legitimam filiis adsignauerit: etiam ita liceat ei post ingressum monasterii facultates suas liberis suis distribuere; sic tamen, ut nulli filiorum suorum aliquid de portione legitima detrahat. qua uero pars filiis data non erit, ad monasterium pertineto. Quod si facultates suas uniuersas inter filios suos diuidere uoluerit, sua ipsius persona liberis connumerata, portionem unam sibi modis omnibus retineto, quæ ad ius monasterii pertinere debet. Sin autem in monasterio degens prius decesserit, quã inter liberos suos res suas partitus fuerit: legitimam liberi portionem sumunt, reliqua bona monasterii sunto.

Adde cap. x. & xi. in quibus dicitur:

Si uero constante adhuc matrimonio uir solus, aut sola mulier monasterium ingrediatur; matrimonium etiam absque repudio dirimitor, sed ex quo persona, quæ monasterium ingreditur, habitum sumserit. ac si quidem maritus solitariam uitam elegerit, restituat mulieri dotem, & si quid aliud ab ea consequutus est, & præter hæc ex donatione nuptiali tam magnam partem, quanta mulieri ex mariti morte competebat iuxta pactum conuentum, dotalibus instrumentis comprahensum. Sin mulier monasterium ingressa fuerit, consimili modo uir nuptialem donationem sibi retineat, una cum casu dotis, de quo ex morte mulieris conuenerat; reliquum dotis, & si quid aliud ex rebus mulieris apud ipsum repertum fuerit, eum mulieri restituere iubemus. Vtrisque uero uitam monasticam amplexis, iubemus ut cessantibus pactis dotalibus uir nuptialem donationem retineat, & uxor dotem suam recipiat, ac si quid aliud eam uiro dedisse probatum fuerit; ut quisque sine detrimento rebus suis perfruatur: nisi (ceu fieri potest) sponsus sponsæ, uel sponsa sponso, uel maritus uxori, uel uxor marito quid donare, uel remittere uoluerit.

SCHOLION.

Legito & lib. XXXI. tit. VI. cap. XIIII. in quo traditur, ali debere liberos ex bonis paternis; id quod inuenies in titulo de parentibus.

πρόσωπον παῖδας ἔχοι, καὶ μὴ πρὶν εἰσέλθῃ εἰς τὸ μοναστήριον, περὶ τῶν οἰκείων πραγμάτων ποιήσοι διατύπωσιν, καὶ τὸ νόμιμον μέρος τοῖς παισὶν ἀφορίσει: καὶ οὕτως ἐξέστω αὐτῷ καὶ μετὰ τὸ εἰσελθεῖν εἰς τὸ μοναστήριον, τὴν ἰδίαν οὐσίαν εἰς τοὺς ἰδίους διελεῖν παῖδας. οὕτω μέν τοιγε, ὥστε μηδὲ ἐπὶ ἑνὶ τῶν ἑαυτοῦ παίδων ἐλαττῶσαι τὸ νόμιμον μέρος. τὸ δὲ μὴ διδόμενον τοῖς παισὶ μέρος, τῷ μοναστηρίῳ διαφερέτω. εἰ δὲ πᾶσαν τὴν ἰδίαν οὐσίαν μεταξὺ τῶν παίδων διελεῖν βουληθείη, τοῦ οἰκείου αὐτοῦ προσώπου τοῖς παισὶ συναριθμουμένου, ἐν ἑαυτῷ μέρος πᾶσι τρόποις κρατείτω, ὀφεῖλον τῷ δικαίῳ τοῦ μοναστηρίου διαφέρειν. εἰ δὲ ἐν τῷ μοναστηρίῳ διάγων τελευτήσοι, πρὶν μεταξὺ τῶν οἰκείων παίδων τὰ ἴδια διανεῖμαι πράγματα, τὸ νόμιμον μέρος οἱ παῖδες λήψονται, τὸ δὲ λοιπὸν τῆς οὐσίας τῷ μοναστηρίῳ διαφερέτω.

Καὶ κεφάλ. ι. καὶ ια. ἐν οἷς φησί.

Εἰ δὲ συνεστῶτος ἔτι τοῦ γάμου ὁ ἀνὴρ μόνος, ἢ ἡ γυνὴ μόνη εἰς μοναστήριον εἰσέλθῃ: διαλυέσθω ὁ γάμος καὶ δίχα διαζυγίου, μεθ᾽ ὃ μέν τοι τὸ πρόσωπον τὸ εἰσερχόμενον εἰς μοναστήριον τὸ σχῆμα λάβῃ. καὶ εἰ μὲν ὁ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξηται βίον, ἀποκαθιστάτω τῇ γυναικὶ καὶ τὴν προῖκα, καὶ εἴ τι ἄλλο ἀπ᾽ αὐτῆς ἔλαβε. καὶ πρὸς τούτοις ἐκ τῆς γαμικῆς δωρεᾶς τοσοῦτον μέρος, ὅσον ἐκ τῆς τελευτῆς τοῦ ἀνδρὸς ἥρμοζε τῇ γυναικὶ, κατὰ σύμφωνον τὸ τοῖς προικῴοις συμβολαίοις ἐμπεριεχόμενον. εἰ δὲ γυνὴ † εἰς τὸ μοναστήριον εἰσελθοῦσα, τὸν ὅμοιον τρόπον παρακρατείτω ὁ ἀνὴρ τὴν γαμικὴν δωρεὰν καὶ τὸν κάσον τῆς προικὸς τὸν ἀπὸ τελευτῆς τῆς γυναικὸς συμφωνηθέντα, καὶ τὸ λοιπὸν τῆς προικὸς τῇ γυναικὶ ἀποκαθιστᾶν παρακελευόμεθα, καὶ εἴ τι ἄλλο ἐκ τῶν πραγμάτων τῆς γυναικὸς παρ᾽ αὐτῷ εὑρεθείη. ἀμφοτέρων δὲ τὸν μοναχικὸν βίον ἐπανῃρημένων, κελεύομεν ἀργούντων τῶν προικιμαίων συμφώνων, τὸν ἄνδρα παρακρατεῖν τὴν γαμικὴν δωρεὰν, καὶ τὴν γυναῖκα τὴν ἰδίαν λαμβάνειν προῖκα: καὶ εἴ τι ἄλλο τῷ ἀνδρὶ δεδωκέναι δειχθῇ, ἵνα εἷς ἕκαστος δίχα ζημίας τῶν ἰδίων ἀπολαύσῃ πραγμάτων: εἰ μὴ (ὡς εἰκὸς) ὁ μνηστὴρ τῇ μνηστῇ, ἢ ἡ μνηστὴ τῷ μνηστῆρι, ἢ ὁ ἀνὴρ τῇ γυναικὶ, ἢ ἡ γυνὴ τῷ ἀνδρὶ δωρήσασθαί τι ἢ συγχωρῆσαι βουληθείη.

† ἄνευ.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ βιβλίον λα. τίτλον ϛ. κεφ. ιδ. ἐν ᾧ φησίν, δεῖ τρέφεσθαι τοὺς παῖδας ἐκ τῆς πατρῴας οὐσίας, ὅπερ εὑρήσεις ἐν τῷ περὶ γονέων.

BASILICORVM.

LIBER XXX.

DE DONATIONIBVS INTER VIROS & uxores, & adfines, & in potestate constitutos.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. λ.

ΠΕΡΙ ΔΩΡΕΩΝ ΜΕΤΑΞΥ ἀνδρῶν καὶ γυναικῶν κηδεστῶν, καὶ ὑπεξουσίων.

Τίτλος

Τίτλος α. κεφάλ. α.

Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς, οὐκ ἔρρωται δωρεὰ, διὰ τὸν ἔρωτα, καὶ τοῦ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν, ἐκ τοῦ μὴ δωρεῖσθαι: καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον, καὶ τὸν ἄπορον εὔπορον.

β.

Οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων, ἀνίσχυροί εἰσι αἱ δωρεαί. ἔνθα τυχὸν συγκλητικοῦ θυγάτηρ ἀπελευθέρῳ γαμηθῆ, ἢ ἐπαρχιῶτις γυνὴ, τῷ διοικοῦντι τὴν ἐπαρχίαν. παλλακῇ δὲ δωρεῖσθαι οὐ κεκώλυται. καὶ οἱ συνυπεξούσιοι τῶν γεγαμημένων, ἐλεύθεροί τε καὶ δοῦλοι, κωλύονται δωρεῖσθαι, καὶ ὑπεξούσιοι τοῖς ὑπεξουσίοις. ὅθεν ἡ γυνή μου τῷ ὑπεξουσίῳ μου υἱῷ, οὐκ ἐρρωμένως δωρεῖται, εἰ μὴ ἐπὶ στρατόπεδα ἀπιόντι. στρατιωτικὸν γὰρ αὐτῷ γίνεται. καὶ ὁ ὑπεξούσιός μου υἱὸς ἐκ τοῦ στρατιωτικοῦ πεκουλίου καλῶς δωρεῖται τῇ γυναικί μου. ὁ οὖν ἔχων υἱὸν ὑπεξούσιον, καὶ τῇ ἰδίᾳ γαμετῇ καὶ τῇ νύμφῃ δωρεῖσθαι κεκώλυται. οὔτε ἡ γυνὴ δωρεῖται τῷ ἀνδρὶ, οὔτε ὁ πενθερὸς τῷ γαμβρῷ, οὔτε τοῖς ὑπεξουσίοις αὐτῶν, ἢ τοῖς ἔχουσιν αὐτοὺς ὑπεξουσίους, εἰ δὲ μή ἐστιν ὁ πενθερὸς συνυπεξούσιος τῷ ἀνδρὶ, ἢ μὴ ἔχει αὐτὸν ὑπεξούσιον, οὐ κωλύεται δωρεῖσθαι τῷ πενθερῷ καὶ τοῖς ὑπεξουσίοις αὐτοῦ, καὶ τῷ ὑπεξούσιον αὐτὸν ἔχοντι. ἡ πενθερὰ τῇ νύμφῃ, καὶ ἡ νύμφη τῇ πενθερᾷ δωρεῖται. οὐ γὰρ ὕπεστι λόγος ὑπεξουσιότητος.

ϛ.

Ἐὰν ἡ γυνὴ τὰ δωρηθέντα αὐτῇ παρὰ τοῦ ἀνδρὸς δαπανήσῃ περὶ συνηθείας προκοπῆς συγγενοῦς αὐτῆς, ἔρρωται ἡ δωρεά. πλουσιωτέρα γὰρ οὐ γέγονεν, εἰ καὶ ἤμελλε δανείζεσθαι.

η.

Καλῶς ἀλλήλοις θανάτου αἰτίᾳ δωροῦνται. εἰς καιρὸν γὰρ ἀναφέρεται, ἐν ᾧ ὁ γάμος παύεται, καὶ τῷ θανάτῳ τοῦ δωρησαμένου γίνεται τοῦ λαβόντος. ἐν δὲ τῷ μεταξὺ τοῦ δωρησαμένου ἐστί. πᾶσα δὲ δωρεὰ θανάτου αἰτίᾳ μεταξὺ τῶν συνοικούντων ἔρρωται, κἂν μὴ τοιαύτῃ διαθέσει γένηται. ὥστε μετὰ τὸ τελευτῆσαι τὸν δωρησάμενον, γίνεσθαι τὸ πρᾶγμα τοῦ ἄλλου.

ιθ.

Εἴτε θανάτου αἰτίᾳ, εἴτε ἁπλῶς δωρήσομαι τῇ γαμετῇ μου ἀλλότριον πρᾶγμα, διὰ χρήσεως κυριεύει αὐτοῦ. τότε γὰρ ἡ δωρεὰ ἐμποδίζεται, ὅτε καὶ ὁ λαμβάνων κερδαίνει, καὶ ὁ δωρησάμενος οἴκοθεν ζημιοῦται. αἱ μεταξὺ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐρρωμέναι δωρεαὶ, τυχὸν αἱ θανάτου καὶ διαζυγίου αἰτίᾳ, προβαίνουσι καὶ μεταξὺ πενθεροῦ καὶ νύμφης.

κ.

Αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν.

TIT. I. CAP. I.

Inter uirum & uxorem donatio non ualet, propter amorem, & ne diuortij occasionem habeant, si nihil donetur; tum ne diues pauper, pauper diues fiat. D. hoc tit.

II.

Non solum in matrimonijs quæ consistunt, uerumetiam in prohibitis donationes non ualent. puta, ubi senatoris filia libertino nupserit, uel prouincialis mulier ei, qui prouinciam administrat. concubinæ uero donare, non est prohibitum. Et qui simul sunt in potestate cum coniugibus, tam liberi, quam serui, donare prohibentur: itemque in potestate constituti alijs, qui & ipsi in potestate sunt. Ideoque uxor mea filio, qui est in potestate mea, nullo cum momento donat, nisi in castra eunti. tunc enim fit eius castrense peculium. Itidem filius meus, qui adhuc est in potestate, de castrensi peculio recte donat uxori meæ. Igitur qui habet in potestate filium, & uxori & nurui donare prohibetur. Nec uxor uiro donat, nec socer genero, nec eorum potestati subiectis, uel ijs, qui eos in potestate habent. Si uero socer cum uiro non est in eiusdem potestate, uel potestati suæ subiectum non habet: socero donare non prohibetur, nec in eius potestate constitutis, nec ei qui eum in potestate habet. Socrus nurui, nurus socrui donat. non enim heic potestatis ratio subest.

VI.

Si mulier a marito sibi donata in sportulas pro cognato suo erogauerit, ualet donatio. quippe locupletior facta non est, quamuis mutuam pecuniam esset acceptura.

VIII.

Recte sibi mortis caussa donant. Nam hoc in id tempus refertur, quo matrimonium desinit: & morte donantis fiunt res accipientis. medio uero tempore sunt eius, qui donauit. Omnis mortis caussa donatio ualet inter coniuges, etiamsi non eo fiat animo, ut sequuta morte donatoris, res alterius fiat.

XIX.

Siue mortis caussa, siue simpliciter uxori meæ rem alienam donauero, eam usucapit. quippe tunc impeditur donatio, quum locupletior fit qui accipit, & suis in rebus fit pauperior qui donauit. Donationes quæ inter uirum & uxorem ratæ sunt, puta quæ mortis aut diuortij caussa fiunt; etiam inter socerum & nurum procedũt.

XX.

Ante nuptias donationes ratæ sunt, etiamsi eodem die nuptiæ fuerint consequutæ.

XXX.

Quæ marito ab uxore donata sunt apiscendæ dignitatis gratia, rata sunt ad concessam usque summam.*

* quæ scilicet ad exitum dignitatis expenditur. quod autem ulterius erogatur, ratum non est.

XLIIII.

Non recte socer nurui uel genero mortis caussa donat. quia licet mortuus fuerit socer, nuptiæ tamen manent. nec interest, an filium uel filiam exheredauerit. Diuortij uero caussa recte donat.

LI.

Vitricus & priuignus recte inuicem sibi donant.

LVI.

l.1.C.eod. *Si quum maritus donasset, usque ad finem uitæ donationi adquieuerit; rata sit donatio. Quapropter si fiscus marito successerit, tamquam nullos heredes habēti: donationes factas rescindere nequit.*

LVIIII.

Nec qui uirum & uxorem suæ potestati subiectos habent, nec qui sunt in uxoris aut uiri potestate, sibi donare possunt. hoc est, nec socer consoceri, nec filius uiri, seruo mulieris donare possunt.

LXXIII.

Si mulier cōstante matrimonio filiæ suæ quid donauerit, ualet donatio.

LXXV.

Maritus seruum mulieri donare potest, ut acceptum manumittat.

LXXVI.

Socrus genero recte donare potest.

Legito & lib. LI. tit. IIII. cap. X. Legito & titulum de nuptialibus donationibus, qui supra positus est. De donationibus sponsalicijs in titulo de sponsalibus inuenies.

Legito & lib. XXII. tit. I. cap. VIII. cuius hæc uerba sunt:

Si uir uxori donare uolens, eiusmodi uiam inuenerit, ut rem emat, & scriptura fiat, quasi mulier emerit: scripturæ non credimus, sed ueritati. ac potest maritus tamquam ex nullius momenti donatione, prædium ab uxore uindicare.

Legito & lib. XXV. tit. V. cap. XLII. in quo dicitur:

Si constantibus nuptijs maritus tamquam uxori donans, doti quædam adiecerit, & usque ad finem uitæ donationi adquieuerit: heredes conueniuntur, & præstare coguntur, quæ uir donauit. Nam uiri morte donatio rata est.

λ.

Τὰ τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς δωρούμενα διὰ τὸ τυχεῖν αὐτὸν ἀξίας, ἔρρωται μέχρι τοῦ προχωροῦντος ποσοῦ*.

* τοῦ καταβαλλομένου δηλαδὴ εἰς ἔξοδον τοῦ ἀξιώματος· τὸ γὰρ περιττόν, ἄκυρον.

μδ.

Οὐ καλῶς ὁ πενθερὸς δωρεῖται τῇ νύμφῃ ἢ τῷ γαμβρῷ, θανάτου αἰτίᾳ. καὶ γὰρ ὁ πενθερὸς ἀποθάνῃ, μένει τὸ συνοικέσιον, καὶ ἀδιάφορόν ἐστι τὸν υἱόν, εἴτε τὴν θυγατέρα ἀποκλήρον ἐποίησε. διαζυγίου δὲ χάριν καλῶς δωρεῖται.

να.

Ὁ πατρωὸς καὶ ὁ πρόγονος, καλῶς ἀλλήλους δωροῦνται.

νς.

Ἐὰν ὁ ἀνὴρ δωρησάμενος τελευτήσῃ ἐφησυχάσας τῇ δωρεᾷ, βεβαιοῦται ἡ δωρεά. ὅθεν εἰ ὁ δημόσιος ὡς ἀκληρονόμητον διαδέξεται τὸν ἄνδρα, οὐ δύναται τὰς δωρεὰς ἀνατρέπειν.

νθ.

Οὐδὲ οἱ ἔχοντες ὑπεξουσίους τὸν ἄνδρα καὶ τὴν γυναῖκα, οὐδὲ οἱ ὑπεξούσιοι τοῦ ἀνδρὸς ἢ τῆς γυναικός, οὐ δύνανται ἀλλήλοις δωρήσασθαι. τουτέστιν οὐδὲ ὁ πενθερὸς τῷ συμπενθέρῳ, οὐδὲ ὁ υἱὸς τοῦ ἀνδρός, δούλῳ τῆς γυναικὸς δωρήσασθαι δύναται.

ογ.

Ἐὰν γυνὴ συνισταμένου τοῦ γάμου δωρήσῃ τῇ ἰδίᾳ θυγατρί, ἔρρωται ἡ δωρεά.

οε.

Δύναται ὁ ἀνὴρ δωρήσασθαι τῇ γυναικὶ δοῦλον, ἵνα λαβοῦσα αὐτὸν ἐλευθερώσῃ.

ος.

Ἡ πενθερὰ καλῶς δύναται δωρήσασθαι τῷ γαμβρῷ.

Ἀνάγνωθι καὶ βιβλίον να. τίτλον δ. κεφάλαιον ι. ἀνάγνωθι καὶ τὸν περὶ γαμικῶν δωρεῶν τίτλον, ὅστις προείρηται. περὶ δωρεῶν μνηστειας εὑρήσεις ἐν τῷ περὶ μνηστείας.

Ἀνάγνωθι καὶ βιβλ. κβ. τίτλ. α. κεφ. η. ἐν ᾧ φησιν.

Ἐὰν ὁ ἀνὴρ βουλόμενος δωρήσασθαι τῇ γυναικί, τοιαύτην εὕρῃ μέθοδον, ἵνα ἀγοράσῃ πρᾶγμα, καὶ γένηται τὸ ἔγγραφον ὡς δῆθεν τῆς γυναικὸς ἀγορασάσης, οὐ πιστεύομεν τῷ ἐγγράφῳ, ἀλλὰ τῇ ἀληθείᾳ. καὶ δύναται ὁ ἀνὴρ ὡς ἀπὸ δωρεᾶς ἀνυποστάτου τὸν ἀγρὸν ἐκδικῆσαι παρὰ τῆς γυναικός.

Ἀνάγνωθι καὶ βιβλ. κε. τίτλ. ε. κεφάλ. μβ. ἐν ᾧ φησίν.

Ἐὰν ἐν συνισταμένοις τοῖς γάμοις ὁ ἀνὴρ ὡς δωρούμενος τῇ γυναικί τινα προσέθηκε τῇ προικί, καὶ ἐτελεύτησεν ἐφησυχάσας τῇ δωρεᾷ, ἐνάγονται οἱ κληρονόμοι ἀναγκαζόμενοι παρασχεῖν ἅπερ ὁ ἀνὴρ ἐδωρήσατο. ἰσχύει γὰρ τῷ θανάτῳ τοῦ ἀνδρὸς ἡ δωρεά.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. λα.

ΠΕΡΙ ΔΕΣΠΟΤΩΝ ΕΠΑΧΘΩΣ καὶ οὐ προσηκόντως κεχρημένων τοῖς ἑαυτῶν δούλοις.

Τίτλος α. κεφάλ. α.

Εν πᾶσι μὲν τοῖς ἔθνεσιν οἱ δεσπόται τῆς ζωῆς καὶ τοῦ θανάτου τῶν δούλων κατεξουσιάζουσι: καὶ ὅσα κτήσονται, τοῖς δεσπόταις προσπορίζουσι. ῥωμαίοις δὲ χαλεπαίνειν τοῖς ἑαυτῶν δούλοις ὑπὲρ μέτρον ἢ ἄνευ αἰτίας τοῖς νόμοις ἐγνωσμένης, οὐκ ἔξεστι. καὶ ὁ ἀλόγως φονεύων ἴδιον δοῦλον, ὡς ἀλλότριον φονεύων, τιμωρεῖται.

β.

Εἰ δὲ καὶ σφοδρῶς αὐτοῖς χαλεπαίνει, ἢ ἀδίκως λιμῷ αὐτοὺς δαπανᾷ, ἢ πρὸς αἰσχρότητα συνωθεῖ, προσφεύγουσι βασιλικαῖς στήλαις, καὶ πιπράσκειν αὐτοὺς ἀναγκάζεται καλῇ αἱρέσει, ἐφ᾽ ᾧ μηδέποτε πρὸς αὐτὸν ὑποστρέψαι. τινες δὲ ἐξ ἐλαφρᾶς αἰτίας πικρῶς τοὺς δούλους αὐτῶν τιμωρησάμενοι, ἐπὶ πενταετίαν ἐξωρίσθησαν.

Ανάγνωθι καὶ βιβλίον ξ. τίτλον νθ. οὗ τινος ἐν τῷ α. καὶ β. κεφαλαίῳ φησίν.

Εαν ὁ δεσπότης λώροις ἢ ῥάβδοις τυπτήσῃ τὸν ἴδιον οἰκέτην, ἢ ἕνεκεν τοῦ φυλάξαι αὐτὸν δέσμα περιβάλῃ αὐτῷ, κἀκεῖνος ὁπηδήποτε ἀποθάνῃ, οὐδὲν ἐντεῦθεν κινδυνεύει ὁ δεσπότης. εἰ μέν τοιγε τὴν δεσποτικὴν ἐξελθὼν συμμετρίαν βασάνους αὐτῷ ἐπαγάγῃ, ἢ πῦρ αὐτῷ προσάψει, ἢ λίθοις, ἢ ξίφει, ἢ ξύλοις αὐτὸν φονεύσει θανατηφόρον αὐτῷ πληγὴν ἐπαγαγὼν, ἢ προσέταξεν αὐτὸν ἀγχόνῃ χρήσασθαι, ἢ κρημνίσαι αὐτὸν, ἢ φάρμακον αὐτῷ θανάσιμον μετὰ βίας ἐπενεγκεῖν, ἢ οὕτως αὐτὸν πικρῶς ἐβασάνισεν, ὥστε καὶ ἐν ταῖς βασάνοις ἀποθανεῖν, τὸ τηνικαῦτα φόνου δίκας ὑφέξει.

ΠΕΡΙ ΥΠΕΞΟΥΣΙΩΝ, ΚΑΙ ΛΥΣΕΩΣ ὑπεξουσιότητος. καὶ ὅτι ἐὰν ἀχάριστοι φανῶσιν οἱ λυθέντες τῆς ὑπεξουσιότητος, γίνονται αὖθις ὑπεξούσιοι.

Ανάγνωθι καὶ νεαρὰν πη.

Τοῦ αὐτοῦ τίτλου κεφάλ. δ.

Καὶ οἱ ἐξ ἀρρένων ἔκγονοι ἡμῶν, καὶ οἱ ἐφεξῆς, ὑπεξούσιοι ἡμῶν εἰσίν.

ΣΧΟΛΙΟΝ.

Οἱ γὰρ ἀπὸ θυγατέρων ἔκγονοι, εἰ καὶ ὑπὸ τὴν ἡμῶν ἐξουσίαν αἱ τούτων μητέρες εἰσὶν, ἀλλ᾽ οὐ γίνονται ἡμῶν ὑπεξούσιοι, ἀλλὰ μᾶλλον τῶν ἰδίων πατέρων.

ε.

Εαν ὁ υἱός μου τὴν πολιτείαν ἀπολέσῃ, ἢ ὑπεύθυνος γένηται ποινῆς, ὁ ἐξ αὐτοῦ ἔκγονος εἰς τό-

BASILICORVM LIBER XXXI.

DE DOMINIS QVI DVRITER, nec uti conueniebat, seruos suos tractarunt.

TIT. I. CAP. I.

Apud omnes gentes dominis uita necisque potestas in seruos est, & quacumque adquisierint, dominis adquirunt. Romanis autem in seruos suos supra modum uel sine caussa legibus cognita, sæuire nō licet: & qui sine caussa seruum suum occidit, æque punitur, ac si alienum seruum occideret. L. 1. D. de his qui sui uel al.

II.

Si uero uehementer in eos sæuierit, aut iniuste eos fame uexauerit, aut ad turpitudinem compulerit; ad statuas principis confugiant, & distrahere cogitur eos bona condicione, ut in potestatem eius numquam reuertantur. Quidam quum ex leui caussa seruos suos atrociter puniuissent, in quinquennium relegati sunt.

Legito & lib. LX. tit. LIX. cuius I. & II. cap. dicitur:

Si dominus loris aut uirgis seruum suum ceciderit, aut custodiæ caussa uinculis eum constrinxerit, & ille quandocumque decesserit; domino res ea periculo non erit. At si domini moderationem egressus, tormentis eum subiecerit, uel ignem admouerit, aut lapidibus, aut gladio, aut fustibus eum occiderit, letali uulnere illato, aut iusserit eum laqueo suspendi, aut præcipitari, aut exitiale uenenum ui adhibita infuderit, aut tam atrociter torserit, ut in tormentis moreretur; tunc homicidij pœnas luet. l. un. C. de emend. ser.

DE HIS QVI SVNT IN POTEstate, deque emancipatione. Item, si paruerit ingratos esse, qui emancipati sunt, rursus eos in potestatem redire.

Legito & nouel. LXXXVIII

Tit. eiusd. cap. IIII.

Et nepotes ex maribus nostri, & ceteri deinceps, in potestate nostra sunt. D. de his qui sui uel alien.

SCHOLION.

Nam ex filiabus nati nepotes, quamuis eorum matres in potestate nostra sint, tamen nostræ potestati non subijciuntur, sed suorum potius parentum. §. ult. Instit. de pat. pot.

V.

Si filius meus ciuitatem amiserit, uel seruus pœnæ fuerit effectus; natus ex eo nepos in locum

cum eius succedit. Qui furiosus est, liberos nihilo minus in potestate habet, tam ante furorem, quam post eum genitos aut conceptos.

Tit. III. cap. VII. dicitur:

l. un. C. de ingr. lib.

Si quis umquam liberorum erga bene de se meritum parentem ingratus exstiterit, & uel cõuicium ei fecerit, uel alio quo modo iniuriam intulerit; libertate cadat, & rursus potestati subiectus esto.

Tit. IIII. cap. III. dicitur:

§. quum autem. Instit. quibus mod. ius pot.

Patriam potestatem patris quoque deportatio soluit, ac sicut ipsius morte, sic & deportatione filius in eius esse potestate desinit. Sed si ex indulgentia principis reuocatus ciuitatem receperit, in pristinum ei statum omnia restituuntur. Quod si filius, qui est in potestate, uel præses factus fuerit, uel dux, uel episcopus; statim patris potestate liberatur. Si patrem contigerit in hostium potestatem uenire, siquidem e captiuitate liberatus fuerit, filius in eius potestate manet. Neq. tantum in sequenti tempore, uerum etiam ipso tempore captiuitatis existimatur esse in potestate. Quod si pater apud hostes decesserit, ab ipso captiuitatis tempore filius sui iuris factus intelligitur. Ideoque si contigerit aliquem, qui duos filios habeat, & in bonis bis mille solidos, ab hostibus capi, alterumque filiorum, hominem industrium, mille solidos sumere, ac negotiando mille alios lucrari, quum alter ignauus interim nihil adquirat: defuncto apud hostes patre, primos quidem bis mille solidos ex æquo filij, tamquam hereditatem paternam, compartiuntur; alteros uero mille solidos solus ille filius accipit, qui eos negotiando lucratus est: ut qui ex eo tempore factus fuerit sui iuris, ex quo communis pater in hostium potestatem uenit. Soluitur etiam patria potestas, quum parentes iudicem competentem uel præsidem adeunt, & filios suos, aut filias, aut nepotes, & eos qui deinceps sunt, potestate sua liberant, his uerbis utentes: HVNC VEL HOS EMANCIPO, ET MANV MEA DIMITTO. *Possunt etiam parentes filium quidem emancipare, nepotes uero in potestate retinere, ac uice uersa.*

Tit. V. cap. I. dicitur:

Nouel. 81.

Sancimus, ut ordinarij consules, si quidem potestati subiecti fuerint, una cum ipso uerbo, quod eis hunc ordinem largitur, sui iuris efficiantur: nec non ut ijs, qui ab imperatoria maiestate codicillis consularibus cohonestantur, si quidẽ sub patria potestate sint, codicillus emancipationis occasio fiat.

τὴν αὐτοῦ ὑπεισέρχεται. ὁ μαινόμενος, ἔχει τοὺς παῖδας ὑπεξουσίους, καὶ τοὺς πρὸ τῆς μανίας, καὶ τοὺς μετ᾽ αὐτὴν τεχθέντας ἢ συλληφθέντας.

ΤΙΤΛΟΥ γ. ἐν τῷ ζ. κεφαλαίῳ φησίν.

Εἴ τις δήποτε τῶν παίδων ἀχάριστος ὀφθῇ περὶ τὸν εὐεργετήσαντα γονέα, καὶ εἴτε ἐγκλαγώγιον αὐτῷ πεποιηκώς, εἴτε ἄλλως πῶς ὑβριστικῶς διαγενόμενος· ἐκπιπτέτω τῆς ἐλευθερίας, καὶ ὑπεξούσιος πάλιν ἔστω.

ΤΙΤΛΟΥ δ. ἐν τῷ γ. κεφαλαίῳ φησίν.

Διαλύει τὴν τοῦ παιδὸς ὑπεξουσιότητα καὶ ὁ περιορισμὸς τοῦ πατρός. καὶ ὥσπερ τῇ αὐτοῦ τελευτῇ, οὕτω καὶ τῷ περιορισμῷ αὐτοῦ παύεται ὁ παῖς αὐτοῦ εἶναι ὑπεξούσιος. εἰ μέντοι ἐκ βασιλέως φιλανθρωπίας ἀνακληθεὶς, ἀπολάβῃ τὴν πολιτείαν, ἅπαντα αὐτῷ εἰς τὴν ἀρχαίαν ἀποκαθίσταται τάξιν. ἀλλὰ καὶ εἰ γένηται ὁ ὑπεξούσιος ἢ ἔπαρχος ἢ στρατηγὸς ἢ ἐπίσκοπος, παρευθὺ τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάττεται. καὶ εἰ συμβῇ δὲ τὸν πατέρα αἰχμαλωτισθῆναι, εἰ μὲν τῆς αἰχμαλωσίας ἀναρρυσθῇ, μένει ὁ υἱὸς αὐτοῦ ὑπεξούσιος. οὐ μόνον πρὸς τὸν μετέπειτα χρόνον, ἀλλὰ τὸν τῆς αἰχμαλωσίας καιρὸν νομίζεται ὑπεξούσιος. εἰ δὲ παρὰ τοῖς πολεμίοις τελευτήσει ὁ πατὴρ, ἐκ τοῦ καιροῦ τῆς ἁλώσεως δοκεῖ γίνεσθαι ὁ παῖς αὐτεξούσιος. ὅθεν καὶ εἰ συμβῇ τινα δύο παῖδας ἔχοντα, καὶ δισχιλίων νομισμάτων περιουσίαν, ληφθῆναι ὑπὸ τῶν πολεμίων· καὶ τὸν μὲν τῶν παίδων σπουδαῖον ὄντα λαβεῖν τὰ χίλια ΝΝ. καὶ δι᾽ ἐμπορείας κερδᾶναι ἕτερα χίλια, τὸν δὲ ἕτερον ῥᾴθυμον μηδὲν προσκτήσασθαι, καὶ τελευτήσει παρὰ τοῖς πολεμίοις ὁ πατὴρ· τὰ μὲν ἀρχαῖα δισχίλια ΝΝ. συμμερίζονται οἱ παῖδες ἐξ ἴσου, ὡς ὄντα πατρῷον κλῆρον, τὰ δὲ ἕτερα χίλια ΝΝ. μόνος ὁ ἐμπορευσάμενος καὶ κερδάνας υἱὸς λαμβάνει, ὡς ἐξ ἐκείνου γενόμενος αὐτεξούσιος, ἐξ οὗ ὁ κοινὸς ᾐχμαλωτίσθη πατήρ. διαλύει τῆς ὑπεξουσιότητος, καὶ τὸ προσελθεῖν τοὺς γονεῖς τῷ ἁρμοδίῳ δικαστῇ ἢ ἄρχοντι, καὶ τοὺς οἰκείους υἱοὺς ἢ θυγατέρας ἢ ἐκγόνους καὶ τοὺς ἐφεξῆς, τῆς οἰκείας ἐλευθεροῦν ὑπεξουσιότητος· λέγοντας ὅτι ΤΟΝ ΔΕ Η ΤΟΥΣ ΔΕ ΠΟΙΩ ΑΥΤΕΞΟΥΣΙΟΥΣ, ΚΑΙ ΤΗΣ ΕΜΗΣ ΑΦΙΗΜΙ ΧΕΙΡΟΣ. δύνανται δὲ οἱ γονεῖς τὸν υἱὸν ποιεῖν αὐτεξούσιον, τοὺς δὲ ἐκγόνους κρατεῖν ὑπεξουσίους, καὶ τὸ ἀνάπαλιν.

ΤΙΤΛΟΥ ε. ἐν τῷ α. κεφαλαίῳ φησίν.

Θεσπίζομεν τοὺς τῇ ἐμβάθμους ὑπάτους, εἴπερ ἐν ὑπεξουσίοις τελοῖεν, ἅμα τῷ ῥήματι τῷ ταύτην αὐτοῖς χαριζομένῳ τὴν τάξιν, εἰς αὐτεξουσιότητα φέρεσθαι. καὶ πρός γε τοῖς τιμωμένοις παρὰ τῆς βασιλείας ὑπατικοῖς συμβόλοις, εἴπερ ὑπὸ τὴν τῶν πατέρων τελοῖεν χεῖρα γίνεσθαι τὸ σύμβολον αὐτεξουσιότητος πρόφασιν.

Ἀνάγνωθι

Ἀνάγνωθι καὶ βιβλίον νζ. τίτλον β. ἐν ᾧ φησὶ περὶ πεκουλίου. οὗ τινος ἐν τῷ κγ. κεφαλαίῳ φησίν.

† ἐκδιοικεῖν. Ὁ ὑπεξούσιος † δύναται πωλεῖν ἢ κινεῖν παρὰ γνώμην πατρὸς, εἰ μὴ μόνον τὸ στρατιωτικὸν πεκούλιον.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον α. κεφ. ι. θεμ. β. ἐν ᾧ φησίν.

Ὅτι εἰ συμβῇ τὸν χειροτονούμενον ἐπίσκοπον ὑπὸ τὴν τοῦ ἰδίου γονέως ἐξουσίαν εἶναι, ἐξ αὐτῆς τῆς χειροτονίας αὐτεξούσιος ἔστω.

ΠΕΡΙ ΕΓΚΥΜΟΝΟΥΣΗΣ ΚΑΙ ἐγκυμονουμένων, καὶ περὶ φυλακῆς αὐτῶν. καὶ πότε καὶ ὅπως εἰς νομὴν πέμπονται. καὶ περὶ τῆς εἰς νομὴν πεμφθείσης, καὶ ταύτην δόλῳ πρὸς ἄλλον μεταγούσης. καὶ περὶ τῆς κατὰ συκοφαντίαν εἰς τὴν νομὴν πεμφθείσης, ὡς τῇ ἀληθείᾳ μὲν μὴ ἐγκυμονούσης, λεγούσης δὲ ἐγκυμονεῖν.

Τίτλος ϛ. κεφάλαιον α.

Τὸ περὶ παίδων δόγμα, δύο αἰτίας ἔχει. μίαν μὲν περὶ τοῦ ἐπιγνῶναι: ἄλλην δὲ, περὶ τῶν ὑποβολιμαίους τικτόντων. ἐπιτέτραπται τοίνυν τῇ γυναικὶ νομιζούσῃ ἔγκυον αὐτὴν, καὶ τῷ ἔχοντι αὐτὴν † ἐξουσίᾳ, καὶ τῷ παρ' αὐτῶν ἐνταλθέντι, παραγγέλλειν ἔσω λ. ἡμερῶν, ἀριθμουμένων ἀπὸ τοῦ διαζυγίου, αὐτῷ τῷ ἀνδρὶ, ἢ τῷ ἔχοντι αὐτὸν ὑπεξούσιον, ἢ τῷ οἴκῳ, ἐκ τοῦ μὴ σχεῖν τινὸς αὐτῶν εὐπορίαν. οἶκον λέγομεν τὸν ἐν πόλει. εἰ γὰρ ἐν κώμῃ, ἢ πολίχνῃ οἰκεῖ, ἐκεῖ παραγγέλλειν ὅπου γέγονεν ὁ γάμος. οὐδὲν ἕτερον ἡ γυνὴ παραγγέλλει, ἢ ὅτι ἔγκυός ἐστιν ἐξ αὐτοῦ· λοιπὸν ἐν αὐτῷ ἐστιν, ἢ πέμψαι φύλακας, ἢ ἀντιπαραγγεῖλαι, ὡς οὐκ ἔστιν ἐξ αὐτοῦ ἔγκυος. τοῦτο δὲ καὶ ἄλλος ὀνόματι αὐτοῦ δύναται ποιεῖν. ταῦτα δὲ μὴ ποιῶν, ἀναγκάζεται τὸ τεχθὲν ἐπιγινώσκειν: καὶ μὴ ἐπιγινώσκων, ἐξτραορδίνως σωφρονίζεται. συνεχεῖς τὰς λ. ἡμέρας μετὰ τὸ διαζύγιον ψηφίζομεν. εἰ δὲ μὴ παραγγείλασα, τέκῃ ἐντὸς τῶν λ. ἡμερῶν οὐχ ὑπόκειται. πρόκριμα δὲ τῷ τοκετῷ οὐ γίνεται. ὥσπερ οὔτε τῷ πατρὶ πέμψαντι φύλακας. εἴτε γὰρ ἀρνεῖται γαμετὴν αὐτὴν εἶναι, εἴτε λέγει αὐτὴν μὴ ἐγκυμονεῖν, εἴτε πέμψει φύλακας, εἴτε μὴ, ἀκωλύτως γίνεται ἡ περὶ τοῦ τοκετοῦ ζήτησις. εἰς πρόκριμα δὲ βλάπτει τὸ παραλιπεῖν † τῶν νομίμων. εἰ μὲν γὰρ παραγγειλάσης τῆς γυναικὸς, ὁ ἀνὴρ μὴ πέμψει φύλακας, μήτε διαμαρτύρηται μὴ ἐγκυμονεῖν ἐξ αὐτοῦ, ἀναγκάζεται ἐπιγνῶναι τὸ τικτόμενον, καὶ τρέφειν αὐτό. οὐ μὴν ἐκ τούτου καὶ ὑπεξούσιος γίνεται.

† ὑπεξουσίαν. † τι τῶν.

Legito & lib. LVI. tit. II. in quo de peculio tractatur. Eius cap. XXIII. dicitur:

Filiusfamilias nec uendere, nec alienare sine uoluntate patris potest, extra solum castrense peculium. L.2.C.de cast. pecul. milit.

Legito & lib. LX. tit. I. cap. X. them. II. cuius hæc uerba sunt:

Si contigerit electum episcopum esse in potestate sui patris, ipsa electione sui iuris esto. d. nouel. 81. cap. 3.

DE PRAEGNATE DEQVE VENtre, ac horum custodia; tum quando & quomodo in possessionem mittantur. & de muliere in possessionem missa, quæ dolo malo eam in alium transfert. Item de missa in possessionem calumniæ caussa, uti quæ reapse non erat prægnas, licet prægnatem se diceret.

Tit. VI. cap. I.

Senatusconsultum de liberis, duas caussas continet. Vnam de agnoscendo, alteram de ijs, qui falsum partum subijciunt. Permissum est ergo mulieri, quæ se prægnatem putat, eius qui eam in potestate habet, & ei cui mandatum ab eis est, denuntiare intra dies triginta post diuortium connumerandos, ipsi marito, uel ei cuius in potestate est, uel ad domum, si nullius eorum copiam habeat. Domum dicimus, quæ in ciuitate est. nam si habitat in uilla uel municipio, denuntiandum istic est, ubi matrimonium celebratum fuit. Aliud autem nihil denuntiat mulier, quam ex eo se prægnatem esse. iam mariti est, uel mittere custodes, uel renuntiare, quod non sit ex se prægnas. hoc autem & alius nomine eius facere potest. Quod si hæc non faciat, partum agnoscere cogitur: & non agnoscens, extra ordinem castigatur. Dies triginta continuos post diuortium computamus. Si uero nulla denuntiatione facta, intra dies triginta partum ediderit; in senatusconsultum non incidit. Nullum autem partui præiudicium nascitur, quemadmodum nec patri, qui custodes misit. Nam siue negat eam uxorem esse, siue dicit [ex se] prægnatem non esse, siue custodes miserit, siue non; citra impedimentum de partu habetur quæstio. In præiudicium uero nocet, aliquid ex ijs, quæ senatusconsulto continentur, omittere. Nam si mulier denuntiauerit, & uir custodes non miserit, neque contestatus fuerit, eam ex se prægnatem non esse; & agnoscere partum, & alere cogitur: neque tamen propterea suus quoque fit, D. de agn. & al. lib.

qui

qui ex alio conceptus est, sed præsumtio pro filio est. Habetur autem quæstio. Nam quid si, quum longo abfuisset tempore, prægnantẽ uxorem inuenit? Quod si mulier omiserit aliquid eorum, quæ senatusconsulto traduntur; pater alere partum non cogitur, nisi filius eius esse probetur: & partui nullum præiudicium nascitur, nec in iure suo, nec in alimentis. Si uero iudex cognoscẽs, an ex eo prægnas sit, prægnatem ex eo pronuntiauerit; fit suus in omnibus caussis.

Legito & cap. III. & IIII. in quibus ait:

Senatusconsultum hoc legitimum ea, quæ dicta sunt, de ijs partibus retulit, qui post diuortium eduntur. Si uero partus constante matrimonio fuerit editus, aut post mortem quidem patris, auo tamen superstite, qui eum in potestate sua sit habiturus, si quidem ex filio susceptus fuerit; uel si etiam hoc ipsum in quæstionem ueniat, utrum in matrimonio, an postea sit editus, & an uxor fuerit, quæ edidit: ex alijs senatusconsultis præiudicio locus est.

Tit. VII. cap. I. dicitur:

D. de inspic. uent. *Si post diuortium maritus uxorem prægnatem dicat, ipsa neget: eligit prætor tres obstetrices probatæ & artis & fidei, quæ eam inspiciũt. & si quidem uel tres, uel duæ prægnatem dixerint, perinde custodem admittit, atque si ipsa hoc desiderasset. Si autem tres uel duæ non esse prægnatem dixerint, custodem non admittit. ac maritus ad iniuriam mulieris & infamiã hoc fecisse uidetur.*

II.

Si mulier mortuo marito se prægnatem esse dicet, his ad quos ea res pertinet, eorumue procuratoribus bis in mense denuntiare debet; ut mittãt, si uelint, quæ uentrem inspiciant. Mittuntur autem mulieres liberæ quinque, hæque simul omnes inspiciunt, nec qua earum inuita muliere uentrem eius tangit. Parit autem in domo honestæ feminæ, quam prætor eligit. Ante dies triginta, quam parituram se putat, mulier denuntiatum mittat. Cubiculum, in quo paritura est, multos aditus ne habeat, sed unũ; reliqui ex utraque parte tabulis præfigantur: & ante cubiculũ liberi tres, & tres liberæ, cum binis militibus custodiant.

Tit. VIII. ait:

D. si uentr. nom. *Si uentris nomine mulier in possessionẽ missa, in alium possessionem hanc dolo malo transtulerit: tam ipsa, quam it, qui eam in potestate habet, si dolo ipsius factum sit, conuenitur in tantum, quanti eius interest, qui experitur. Et qui per dolum in possessionem uenit, ab ea per*

ὁ ἐξ ἄλλου συλληφθείς· ἀλλ' ἡ πρόληψις ὑπὲρ τοῦ υἱοῦ ἐστι. γίνεται δὲ ἡ ζήτησις. τί γὰρ ὅτι πολλῷ ἀποδημήσας χρόνον εὗρεν ἔγκυον τὴν γαμετήν; εἰ δὲ καὶ ἡ γυνὴ παραλίπῃ τι τῶν εἰρημένων τῷ νόμῳ, οὐκ ἀναγκάζεται ὁ πατὴρ τρέφειν τὸ τικτόμενον, εἰ μὴ δειχθῇ υἱὸς αὐτοῦ, καὶ τῷ τικτομένῳ πρόκριμα οὐ γίνεται, οὔτε περὶ τὰ δίκαια τοῦ υἱοῦ, οὔτε περὶ τὴν ἀποτροφήν. εἰ δὲ διαγινώσκων ὁ δικαστὴς περὶ τοῦ εἰ ἐξ αὐτοῦ ἐγκυμονεῖ, ἀποφήνεται ἐξ αὐτοῦ ἐγκυμονεῖν, γίνεται γνήσιος ἤτοι ὑπεξούσιος ἐν πάσαις ταῖς αἰτίαις.

Ανάγνωθι καὶ κεφάλαιον γ. καὶ δ. ἐν οἷς φησίν.

Τὸ νόμιμον δόγμα περὶ τῶν μετὰ διαζύγιον τικτομένων εἰσηγήσατο τὰ εἰρημένα. εἰ δὲ τεχθῇ ἐν τῷ γάμῳ, ἢ μετὰ θάνατον μὲν τοῦ πατρὸς, περιόντος δὲ τοῦ πάππου τοῦ μέλλοντος αὐτὸν ἔχειν ὑπεξούσιον, εἰ ἐκ τοῦ υἱοῦ ἐτέχθη, ἢ καὶ ἀμφιβάλλεται πότερον ἐν τῷ γάμῳ ἢ μετὰ ταῦτα ἐτέχθη, ἢ καὶ εἰ γέγονεν ἡ τεκοῦσα γαμετή· ἐξ ἑτέρων δογμάτων κινεῖται πρόκριμα.

ΤΙΤΛΟΥ ζ. ἐν τῷ α. κεφαλαίῳ φησίν.

D. de inspic. uent. Ἐὰν μετὰ διαζύγιον ὁ ἀνὴρ λέγῃ τὴν γαμετὴν ἐγκυμονεῖν, αὐτὴ δὲ διαρνῆται· ἐπιλέγεται ὁ ἄρχων τρεῖς μαίας δοκίμους τὴν τέχνην καὶ τὴν πίστιν, καὶ θεωροῦσι. καὶ ἐὰν αἱ τρεῖς εἴτε καὶ αἱ δύο εἴπωσιν αὐτὴν ἐγκυμονεῖν, δέχεται φύλακα, ὡσανεὶ αὐτὴ τοῦτο ᾔτησεν. εἰ δὲ αἱ τρεῖς εἴτε αἱ δύο εἴπωσιν αὐτὴν μὴ ἐγκυμονεῖν, οὐ δέχεται φύλακα. καὶ ὁ ἀνὴρ εἰς ὕβριν αὐτῆς καὶ ἀτιμίαν δοκεῖ τοῦτο πεποιηκέναι.

β.

Ἐὰν τοῦ ἀνδρὸς τελευτήσαντος ἡ γυνὴ † ἐγκυμονεῖν, ὀφείλει δεύτερον τοῦ μηνὸς παραγγέλλειν οἷς διαφέρει, ἢ προκουράτωρσιν αὐτῶν· ἵνα, εἰ βούλονται, πέμψωσι τὰς ὀφειλούσας ἐπιδεῖν τὴν γαστέρα. πέμπονται δὲ πέντε γυναῖκες ἐλεύθεραι, καὶ ἅμα πᾶσαι ἐφορῶσι, καὶ οὔτε μία τούτων ἀκούσης τῆς γυναικὸς, ἅπτεται τῆς γαστρὸς αὐτῆς. τίκτει δὲ ἐν οἴκῳ σεμνῆς γυναικὸς ἐπιλεγομένῳ παρὰ τοῦ ἄρχοντος. πρὸ λ. τοῦ νομίζειν τίκτειν, στελλέτω τὴν παραγγελίαν ἡ γυνή. μὴ ἐχέτω δὲ τὸ κουβούκλειον, ἐν ᾧ τίκτει, πολλὰς εἰσόδους, ἀλλὰ μίαν· τὰς δὲ λοιπὰς σανίσιν ἑκάτερον ἀποφράττειν μέρος· καὶ πρὸ τοῦ κουβουκλείου τρεῖς ἐλεύθεροι καὶ τρεῖς ἐλεύθεραι, καὶ δύο στρατιῶται φυλάττουσιν. † λέγει ἐγκυμονεῖν.

ΤΙΤΛΟΣ η. φησίν.

D. si uentr. nom. Ἐὰν γαστρὸς ὀνόματι γυνὴ πεμφθεῖσα, μετάγῃ τὴν † νομικὴν κατὰ δόλον εἰς ἕτερον· ἐνάγεται, καὶ ὁ ἔχων αὐτὴν ὑπεξουσίαν, ἐὰν κατὰ δόλον αὐτοῦ γέγονεν, εἰς τὸ διαφέρον τῷ ἐνάγοντι. καὶ ὁ κατὰ δόλον εἰς τὴν νομὴν ἐλθὼν, ἀναγκάζεται δια- † νομήν.

ται διὰ τὸ νόμου ἀναχωρεῖν αὐτοῦ. καὶ μετὰ ἐνιαυτὸν ἡ ἀγωγὴ δίδοται. πράγματος γὰρ ἔχει ἀπαίτησιν.

ΤΙΤΛΟΥ θ. ἐν τῷ α. κεφαλαίῳ, θεμ. β. φησίν.

Ἡ κατὰ συκοφαντίαν πεμφθεῖσα ἐνέχεται. συκοφαντεῖ δὲ, ἡ ἐν εἰδήσει τοῦ μὴ ἐγκυμονεῖν εἰς νομὴν ἐλθοῦσα. ἡ ἀγωγὴ ποιναλία οὖσα, εἴσω ἐνιαυτοῦ δίδοται εἰς τὸ διαφέρον. καὶ ὁ πατὴρ τῆς γυναικὸς ἐνάγεται. ἐὰν δι' αὐτοῦ γέγονε κατὰ συκοφαντίαν δοθῆναι τὴν νομήν.

Ἀνάγνωθι καὶ βιβλίον μ. τίτλον δ. οὗ τινος ἐν τῷ δ. κεφαλαίῳ φησίν.

† Ἡ κατὰ δ[ι]αδίκησιν. Ἡ γαστρὸς ὀνόματι νομὴ, ἐν τάξει † τῆς καταδίκης τῆς διαθήκης ἐναντιώσεως δίδοται. δεῖ δὲ τὴν γυναῖκα ταῖς ἀληθείαις ἔγκυον εἶναι, καὶ καθ' ὃν ἐτελεύτα καιρὸν ὁ ἀνὴρ αὐτῆς καὶ καθ' ὃν εἰς νομὴν πέμπεται. ἐπεὶ οὐκ ἔρρωται ἡ δόσις τῆς διακατοχῆς. τότε δὲ πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς, ὅτε ἤδη ἂν ἐτέχθη τὸ ἐγκυμονούμενον, ἔμελλεν εἶναι ὑπεξούσιον. εἰ δὲ καὶ ἄδηλόν ἐστι τοῦτο, κατὰ δέ τινα θεματισμὸν ἠδύνατο ..... ὑπεξούσιον, πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς. κάλλιον γάρ ἐστιν ἀκαίρως ὡς εἰκὸς γίνεσθαι δαπάνην, ἢ ἀπαρνήσασθαι τροφὰς τῷ ἐσθ' ὅτε γινομένῳ κυρίῳ τῶν πραγμάτων. ἐὰν τὴν αἰτοῦσαν εἰς νομὴν πεμφθῆναι ἀρνῆταί τις γαμετὴν ἢ νύμφην γενέσθαι τοῦ τελευτήσαντος, ἢ ἐγκυμονεῖν, ἢ ζήτησιν αὐτῇ περὶ τύχης ἐπάγῃ, ἀκροθιγῶς ὁ πραίτωρ σκοπεῖ. καὶ εἰ μὲν ἀποδειχθῇ φανερῶς ἡ γυνὴ συκοφαντοῦσα, οὐ πέμπεται. εἰ δὲ ἀμφιβάλλεται τοῦτο, πέμπεται. γενικῶς γὰρ ἐξ ὧν αἰτιῶν δίδοται τοῖς νηπίοις ἡ βοήθεια, ἐκ τῶν αὐτῶν καὶ ἡ γαστὴρ βοηθεῖται. πλέον δὲ τοῖς ἐγκυμονουμένοις ἤπερ τοῖς ἐν φύσει ὁ πραίτωρ βοηθεῖ. ἐὰν δὲ διαζευχθεὶς τῆς πρώτης γαμετῆς δευτέραν ἀγάγωμαι, καὶ καταλίπω τὰς δύο ἐγκύους, αἱ δύο εἰς νομὴν πέμπονται. ἐκεῖνα δὲ δαπανᾷ ἡ πεμφθεῖσα γυνὴ, ὧν ἐκτὸς τὸ ἐγκυμονούμενον οὐ δύναται σωθῆναι. καὶ χορηγεῖ ὁ κουράτωρ τὰ εἰς τροφὴν, καὶ πόμα, καὶ ἔνδυσιν, καὶ στέγος μία πρὸς τὴν οὐσίαν καὶ τὴν ἀξίαν τοῦ τελευτήσαντος καὶ τῆς γυναικός.

Ἐν δὲ τῷ ια. κεφαλαίῳ.

Γαστρὸς εἰς νομὴν πεμπομένης, ὑπερτίθεται τὸ κατ' αὐτῆς περὶ μοιχείας ἔγκλημα, διὰ τὸ μὴ γενέσθαι τῷ παιδὶ πρόκριμα.

Ἀνάγνωθι καὶ τίτλ. ε. κεφάλαιον ι. καὶ κεφάλαιον ιγ. καὶ ις. ἐν ᾧ φησίν.

Ὁσάκις τις τελευτήσει γυναῖκα ἐγκυμονοῦσαν καταλείψας, χρὴ αὐτὴν τὴν γυναῖκα εἰπεῖν ὅτι ἐγκυμονεῖ, καὶ τοὺς συγγενεῖς τοῦ τελευτήσαντος φυλάξαι αὐτὴν, ἕως τοῦ τοκετοῦ, ἵνα μὴ ἀμφιβάλληται υἱὸς εἶναι τοῦ τελευτήσαντος. καὶ τότε, ἐπειδὰν τοῦτο ὁμολογῆται, ζήτησις δὲ περὶ τύχης ἐστὶ, λεγόντων τινῶν τὴν μητέρα αὐτοῦ δούλην εἶναι, δίδοται μέχρι τῆς ἥβης διακατοχή: ὥστε

edictum decedere cogitur. daturq; post annum hæc actio, quia rei persequutionem habet.

Tit. IX. cap. I. them. II. dicitur:

Calumniæ caussa in possessionē missa mulier, edicto tenetur. Vtitur autem calūnia, quæ sciēs prudensque se prægnatem non esse, in possessionem uenit. Hæc actio, quum pœnalis sit, intra annum datur in id, quod interest. Pater quoque mulieris tenetur, si per eum factum est, ut per calumniam possessio daretur. D si mul. ire. cau. cau. esse dic.

Legito & lib. XL. tit. IIII. cuius cap. IIII. dicitur:

Ventris nomine possessio datur uice possessionis bonorum contra tabulas. Oportet autem mulierem reapse prægnatem esse, tam mortis mariti tempore, quam quo in possessionem mittitur. absque quo sit, datio bonorum possessionis rata non est. Tunc autem mittitur in possessionē uenter, quum id quod in utero est, si natum fuerit, inter suos heredes est futurum. Sed & si hoc incertum sit, aliquo tamen casu possit .....suum; in possessionē uenter mittitur. Aequius enim est uel frustra impendia fieri, ceu uidetur, quā denegari alimenta ei, qui dominus bonorū aliquando futurus sit. Si quis eam, quæ in possessionem se mitti petit, uxorem aut nurum defuncti, uel prægnatem esse neget, aut status ei quæstionem moueat: summatim prætor cognoscit, & si mulier manifesta calumniatrix probata fuerit, in possessionem nō mittitur. sin hoc in ambiguo est, mittitur. Nā generaliter ex quibus caussis prætor pueris subuenit, ex hisdem uentri quoq; succurrit. Et quidem magis his, qui sunt in utero, quam qui sunt in rerū natura prætor subuenit. Si diuortio cum prima uxore facto, aliam duxero, & utramq; prægnatem reliquero: in possessionem ambæ mittūtur. Mulier autem in possessionē missa, ea sola impendit, sine quibus fetus saluus esse non potest: eique curator cibum, potum, uestitum, tectum, pro facultatibus & dignitate defuncti, atque ipsius mulieris præstat. l. 1. D. de uent. in poss.

XI. cap.

Quum uenter in possessionem mittitur, accusatio adulterij aduersus mulierem differtur, ne quod nato præiudicium fiat.

Legito ibid. & tit. V. cap. X. & cap. XIII. & XVI. in quo dicitur:

Quoties quis moritur, relicta uxore prægnate; & ipsa mulier se prægnatem esse denuntiare debet, & cognati defuncti eam ad partum usque custodire: ne dubitetur, an defuncti filius sit. quod ubi fuerit in confesso, sed quæstio status sit, dicentibus quibusdam, matrem eius ancillam esse: ad pubertatem usq; possessio datur, ut

interim bona possideat, & post pubertatem conueniatur. Itaq; fieri potest, ut post pubertatē conuentus uincatur, & inde probetur, eum bonis alienis usum fuisse. Reliqua huius tituli exposita sunt in titulo de bonorum possessionibus.

Legito & lib. XL. tit. I. cap. XVI.

DE PARENTIBVS, ET OBSEQVIIS liberorum eis debitis in educatione. tum quod liberi, qui aduersus parentes delinquunt, puniantur.

Eiusd. VI. tit. cap. V.

l. 5. D. de agn. & al. lib. — *Iudex cognoscit, liberos a parentibus, & parentes a liberis propter inopiam & imbecillitatem ali debere.* * *............. liberi, siue in potestate sint. Etiam uulgo quaesitus matrem alit, & mater ipsum. Auus quoque maternus alit.*

* deest, siue sint emancipati.

SCHOLION.

l. 4. D. de stat. ho. — Non etiam paternus. quippe nec is alitur ab ea. Nam regulae uerba sunt: Ex scortatione natus cōditionem matris sequitur.

Et filiam legitimam pater. *Inopem filium, nec operis sufficientem, pater alere cogitur. imo cetera quoque* * *onera prabet ei, uestem & habitationem.*

* hoc est, quae ad uestitum & lectulos pertinent.

SCHOLION.

l. 43. & 44. D. de uerb. sign. — Alimentis etiam uestis, & domicilium, & ad uiuendum necessaria, quaeque tuendo curandoque corpori sunt, continentur.

Impubes filius emancipatus patrem inopem alere cogitur. Etenim absurdum est, egere patrem, & a necessariis destitui, quum filius sit in facultatibus. Mater qua necessario, & cum modo filiam aluit, recte alimenta hac a patre repetit: non tamen, si adfectu materno erogauit, etiamsi a patre suo educatur.

SCHOLION.

Si mater alimenta, quae fecit in filium, a marito suo repetat: cum modo audiēda est. Sic enim Diuus Marcus rescripsit: Quantum tibi nomine alimentorum, siue impensarum, quibus pro ratione necessitatis filiā tuam aluisti, a patre eius praestari oporteat, iudices caussa cognita statuent. nec impetrare debes, ut ea repetas, quaecumque cogente materno adfectu erogasti, etiamsi a patre suo educeretur. quasi nullum scilicet ex diuortio detrimentum ad mulierem rediret.

Filius non etiam aes alienum patris exsoluere cogitur. Idem in patre. Heres quoque filii non cogitur alere patrem, nisi ad summam egestatem deductus est: sicut & patroni atque liberti se inuicem alunt.

VIII.

Onera nepotum masculi sexus sustinemus, nō etiam eorum, qui ex filiabus nascūtur. Nam hae non nostrae, sed maritorum suorum potestati subiectos filios pariūt. Si tamen aut non superstites sint eorū patres, aut egētes: nobis oneri sunt.

ἐκεῖνον πῶς κατασχεῖν τὰ πράγματα, καὶ μετὰ τὴν ἥβην ἐναχθῆναι. εἰκὸς οὖν μετὰ τὴν ἥβην ἐναγόμενον αὐτὸν ἡττηθῆναι, ὥστε ἐκ τούτου δειχθῆναι, ὅτι ἀλλοτρίοις πράγμασιν ἐχρήσατο. τὰ δὲ λοιπὰ τοῦ τίτλου εἴρηται ἐν τῷ περὶ διακατοχῶν.

ΠΕΡΙ' ΓΟΝΕ'ΩΝ, ΚΑΙ' ΤΗ͂Σ ΕΙ'Σ αὐτοὺς ὑποταγῆς παρὰ τῶν τέκνων ἐπὶ τῇ ἀναγωγῇ αὐτῶν ὀφειλομένης. καὶ ὅτι ἁμαρτάνοντες εἰς τοὺς γονεῖς οἱ παῖδες κολάζονται.

ἀνάγνωθι καὶ βιβλίον μ. τίτλον α. κεφάλαιον ις.

Τοῦ αὐτοῦ τίτλου κεφ. ε.

Ὁ δικαστὴς γινώσκει τοὺς παῖδας ἐκ τῶν γονέων, καὶ τοὺς γονεῖς ἐκ τῶν παίδων διὰ ἀπορίαν καὶ ἀσθένειαν τρέφεσθαι .... οἱ παῖδες, εἴτε ὑπεξούσιοι. καὶ ὁ πορνογενὴς τρέφει τὴν μητέρα, καὶ ἡ μήτηρ αὐτόν. καὶ ὁ κατὰ μητέρα πάππος ἀνατρέφει.

ΣΧΟΛΙΟΝ.

Οὐ μὴν ὁ κατὰ τὸν πατέρα. οὐδὲ γὰρ αὐτὸς τρέφεται παρ' αὐτῆς. φησὶ γὰρ ὁ κανών, ὁ πορνογενὴς τῇ τύχῃ τῆς μητρὸς ἕπεται.

Καὶ ὁ πατὴρ τὴν νόμιμον θυγατέρα. τὸν πενόμενον παῖδα, καὶ μὴ δυνάμενον κάμνειν, τρέφειν ὁ πατὴρ ἀναγκάζεται. ἀλλὰ καὶ τὰ λοιπὰ * βάρη χορηγεῖν αὐτῷ, ἐσθῆτα καὶ οἴκησιν.

* τουτέστι, τὰ τοῦ ἱματισμοῦ, τὰ τῶν στρωματίων.

ΣΧΟΛΙΟΝ.

Ταῖς διατροφαῖς καὶ ἡ ἐσθὴς καὶ ἡ οἴκησις, καὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα καὶ πρὸς φυλακὴν καὶ φροντίδα τοῦ σώματος ἐπιτήδεια περιέχεται.

Καὶ ὁ αὐτεξούσιος ἄνηβος, πενόμενον τὸν πατέρα ἀναγκάζεται τρέφειν. ἄτοπον γάρ ἐστιν, ἐν εὐπορίᾳ ὄντος τοῦ παιδός, πενέσθαι τὸν πατέρα, καὶ δεῖσθαι τῶν ἀναγκαίων. ἡ μήτηρ ἀναγκαίως ἀποθρέψασα τὴν θυγατέρα καὶ συμμέτρως, καλῶς ἀπαιτεῖ τὸν πατέρα: οὐ μὴν ἐὰν σχέσει μητρικῇ ἐδαπάνησε, κἂν † παρὰ τῷ πατρὶ ἀνετρέφετο.

† παρὰ τοῦ πατρός.

ΣΧΟΛΙΟΝ.

Ἐὰν μήτηρ ἀναθρέψασα τὸν ἑαυτῆς υἱόν, ἀπαιτῇ τὸν ἴδιον ἄνδρα ἅπερ ἀνήλωσε, χρὴ συμμέτρως αὐτῆς ἀκούεσθαι. οὕτω γὰρ ὁ θεῖος Μάρκος ἀντέγραψεν· ὅσον ὀνόματι τῶν ἀλιμέντων, ἤτοι τῶν χορηγιῶν ὡς κατὰ τὸ ἀναγκαῖον τὴν σὴν θυγατέρα ἀνέθρεψας, χρὴ † παραδεχθῆναι σοί, παρὰ τοῦ πατρὸς αὐτῆς, οἱ δικασταὶ διαγνώσονται. καὶ οὐκ ὀφείλεις ἐπιτυχεῖν εἰς τὸ ἀπαιτεῖν ἐκεῖνα, ὅσα τῇ μητρικῇ διαθέσει ἀναγκασθεῖσα ἀνήλωσας· εἰ καὶ παρὰ τοῦ πατρὸς αὐτῆς ἀνετρέφετο, ὅτι μηδεμίας βλάβης ἐπιούσης αὐτῇ ἀπὸ τοῦ διαζυγίου.

† παρασχεθῆναι.

Οὐ μὴν καὶ χρέος ὑπὲρ τοῦ πατρὸς ὁ υἱὸς ἀναγκάζεται διδόναι. ὡσαύτως καὶ ἐπὶ πατρός. καὶ ὁ κληρονόμος τοῦ υἱοῦ οὐκ ἀναγκάζεται τὸν πατέρα τρέφειν, εἰ μὴ ἄκρως πένεται. ὡς καὶ οἱ πάτρωνες, καὶ οἱ ἀπελεύθεροι τρέφουσιν ἀλλήλους.

η.

Τὰ βάρη τῶν ἐξ ἀρρενογονίας ὑπέχομεν ἐκγόνων, οὐ μὴν καὶ τῶν ἀπὸ θυγατέρων. αὗται γὰρ οὐχ ἡμῖν, ἀλλὰ τοῖς ἰδίοις ἀνδράσιν ὑπεξουσίους τίκτουσιν. εἰ δὲ μὴ περίεισιν οἱ πατέρες αὐτῶν, ἢ πένονται: τὰ βάρη αὐτῶν ὑπέχομεν.

ι.

Ταῖς χρείαις τῶν πατέρων, βοηθεῖν τοὺς παῖδας δίκαιόν ἐστιν.

ΣΧΟΛΙΟΝ.

ΘΕΟΔΩΡΟΣ. Ἐν ταῖς ἀνάγκαις χρὴ τοὺς παῖδας συνδοῦν τοῖς γονεῦσιν.

Ὁ ἁρμόδιος δὲ δικαστὴς κελεύσει τὸν πατέρα τρέφεσθαι παρὰ τοῦ παιδὸς, ἐὰν ἔχῃ ἱκανὴν οὐσίαν εἰς τὸ ἀποθρέψαι τὸν πατέρα.

ιγ.

Κἀκεῖνο δὲ διατυπῶσαι συνείδομεν, ἵνα εἴπερ τὸν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γάμον λυθῆναι συμβαίη, οἱ ἐκ τοῦ γάμου γεννηθέντες παῖδες μηδενὶ τρόπῳ βλαβῶσιν ἐκ τῆς διαζεύξεως τοῦ γάμου, ἀλλὰ πρὸς τὴν τῶν γονέων κληρονομίαν καλείσθωσαν, ἐκ τῆς τοῦ πατρὸς οὐσίας ἀναμφισβητήτως ἀποτρεφόμενοι.

ιζ.

Ὅπερ δὲ περὶ τοῦ τρέφεσθαι τὸν πατέρα καὶ τοὺς παῖδας διωρίσαμεν πενομένους, τοῦτο δὴ καὶ ἐπὶ πάντων τῶν ἀνιόντων καὶ κατιόντων προσώπων ἑκατέρας φύσεως κρατεῖν κελεύομεν.

Ἀνάγνωθι καὶ .... τίτλον β. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Καὶ ὁ στρατιώτης υἱὸς, τὴν εὐσέβειαν χρεωστεῖ τῷ πατρί: καὶ ἁμαρτάνων εἰς αὐτὸν, κολάζεται πρὸς τὸ μέτρον τοῦ ἁμαρτήματος. καὶ οἱ συνελευθερωθέντες τῇ μητρὶ, τιμᾶν αὐτὴν ὀφείλουσιν. ὁ πατέρα ἢ μητέρα τύπτων, οὓς προσκυνεῖν ὀφείλει, κατὰ τὸ μέτρον τοῦ ἁμαρτήματος τιμωρεῖται. πρὸς γὰρ τὴν δημοσίαν † ἀσέβειαν ἀναφέρεται τοῦτο. καὶ ὁ πατέρα ἢ μητέρα, ὑφ' ὧν † ἀνεστράφη, γόητας εἰπὼν, ἀνάξιός ἐστι στρατείας.

[margin: † εὐσέβειαν. † ἀνετράφη.]

Ἐν δὲ τῷ β. κεφαλαίῳ.

Οἱ γονεῖς καὶ οἱ πάτρωνες εἰ καὶ διὰ ἐντολέων ἀγωνίζονται, ὅμως οὐκ ἐνάγονται τῇ περὶ δόλου, ἢ τῇ περὶ ὕβρεως ἀγωγῇ: εἰ καὶ τὰ μάλιστα οὐκ ἀτιμοῦνται διὰ ἐντολέως ἀγωνιζόμενοι. ὅτι † τῷ πατρικίῳ ἐνάγονται.

[margin: † τῷ περὶ βίας.]

ΣΧΟΛΙΟΝ.

Μηδὲ μετὰ ἐντολέως κατὰ πατρὸς ἢ πάτρωνος κινείτω τὴν ἀτιμωτικὴν ἀγωγὴν, εἰ καὶ μὴ ἀτιμοῖ αὐτούς: μήτε τὸ † ἐν δίκῃ ἰντερδίκτον.

[margin: † ἰδὶ βιά.]

* Ἀνάγνωθι καὶ βιβλίον μθ. τίτλον ..... κεφάλαιον ζ. ἐν ᾧ φησίν.

Καὶ ὁ πατὴρ τῷ υἱῷ, καὶ ὁ πάτρων τῷ ἀπελευθέρῳ, τίμιος εἰκότως νομίζεται. καὶ ὅτι, τιμὴν ὁ υἱὸς χρεωστεῖ τῷ πατρὶ, οὐ μὴν ἐργασίας.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. λβ.

ΠΕΡΙ † ΚΛΗΡΟΝΟΜΙΑΣ ΠΑΙΔΩΝ γνησίων τε καὶ νόθων. καὶ ἐκ νόθων γενομένων γνησίων. καὶ * ἐκ παλλακῶν γνησίων γενομένων τῇ τῶν προικώων συμβολαίων ποιήσει.

[margin: † περὶ κληρονομίας ὀρφανῶν καὶ εἰς τὸ περὶ ἰκανῶν συμμαχίας. * περὶ παλλακῶν καὶ παίδων αὐτῶν τῇ φυσικῇ παίδων.]

X.

Parentum necessitatibus succurrere liberos iustum est.

SCHOLION.

THEODORVS. In necessitatibus liberos subuenire parentibus oportet. [margin: l.1.& 2.C.de al.lib.]

Iudex autem competens a filio patrem ali iubebit, si facultates ad alẽdum patrem sufficientes habet.

XIII.

Illud quoq; nobis disponere libuit, ut si quando matrimonium inter uirum & uxorem dirimi contigerit, nati ex eo liberi nullo modo damnum ex diuortio capiant: sed ad successionem parentum uocentur, haud dubie de bonis paternis alendi. [margin: Nouel.117. cap.7.]

XVII.

Quod autem de alendis tam patre, quam liberis egentibus definiuimus, id in omnibus personis utriusq; sexus, tam adscendentibus, quam descendentibus, obtinere iubemus.

Legito & .... tit. II. cuius I. cap. dicitur:

Etiam filius miles pietatem patri debet, & in patrem aliqua committens, pro modo delicti punitur. Itidem filij, qui matris colliberti sunt, eam colere debent. Qui patri aut matri, quos uenerari oportet, manus infert; pro modo delicti punitur. Id enim ad publicam pietatẽ pertinet. Et qui patrem aut matrem, a quibus educatus est, maleficos appellauerit; militia indignus est. [margin: l.1.D.de obseq. parẽ.]

II. cap.

Parentes & patroni, quamuis per procuratorem litigant, tamen nec actione de dolo, nec iniuriarum conueniuntur: licet per procuratorem litigantes non fiant infames. Nec interdicto unde ui locus in eos est.

SCHOLION.

Ne quidem cum procuratore quis aduersus patrem uel patronũ actione famosa experiatur, licet eos infamia nulla notet: nec itẽ interdicto de ui.

* Legito & lib. XLVIIII. tit. ..... cap. VII. in quo dicitur:

Tam patris filio, quam liberto patroni persona non abs re honesta & sancta uideri debet. Item, filius honorem patri, non operas debet. [margin: l.9.D.eod.]

BASILICORVM LIBER XXXII.

DE SVCCESSIONE LEGITIMOrum liberorum & naturaliũ. & de his qui ex naturalibus legitimi fiunt: deque concubinis, quæ & ipsæ per instrumenta dotalia fiunt legitimæ.

TIT. I. CAP. II.

Nouel. 18. cap. ult. *Sancimus, ut si quis uxorem legitimam non habens, erga suam ancillam meliore quodam animo sit adfectus, & ex ea in seruitute constituta liberos susceperit, postea uero libertate ancillam donauerit, nuptias confirmauerit, instrumenta nuptialia conscripserit: siue liberi deinceps exstiterint, siue non exstiterint, (ut casus utriusque constitutionis nostræ complectamur) & uxor esto legitima, & ipsius in potestate filij, & sui, & ab intestato patris heredes: (de illis autem loquimur, qui ante instrumenta dotalia suscepti sunt) his ipsis ijs, per quas ad ingenuitatem modo prædicto peruenerũt, & subsequuta deinceps dotalium instrumẽtorum confectione, filiorũ eis legitimorũ ius indulgẽtibus.*

TIT. II. cap. IIII.

Nouel. 89. cap. 12. §. si uero filios. *Si quis legitimos liberos habet, non potest filijs naturalibus, nec e concubina susceptis, eorumque matri ultra unam unciam relinquere uel donare. Quod si concubina sola sit, ei semunciam relinquat aut largiatur. Ceterum si legitimos liberos nullos habeat, nec aliquem adscendentium, quibus ex necessitate legis relinquere bonorum suorum partem testatores conuenit: licitum esto, ut etiam ad uncias usq. XII. liberi naturales heredes scribantur. Sin aliquos adscendentium habeant, legitimam eis portionem relinquant; reliquũ ad naturales liberos transmittendi facultatem habeant. Quod si moriantur intestati, qui liberos naturales habent; duas tantum uncias cum matre liberi partiẽdas consequantur: ita ut mater quoque unius filij portionem accipiat. Hæc autem dicimus, si uni quis concubinæ cohabitãs, liberos ex ea susceptos habeat. Nam si profusa libidine fuerit, & alias alijs meretrices induxerit: eæ procul ab hac lege prorsus arceantur. Si denique legitimis exstantibus, spurios quoq. reliquerit; ab intestato quidem nihil illi consequantur, sed a legitimis pro ratione decori, & modo facultatum, dumtaxat alantur. In quibus autem casibus liberi naturales uocantur, in ijsdem & ipsi pari modo parentibus uicem rependant.*

BASILICORVM

LIBER XXXIII.

DE ADOPTANTIBVS ET ADOPTATIS, & quinam adoptare uel adoptari possint, qui non possint.

TIT. I. CAP. XVII.

L. 17. D. de adopt. *Nemo * pupillum adoptare potest, nisi cognatus eius sit, uel eum adfectione sancta complectatur.*

* cuius scilicet ipse tutor est, non autem pupillum patris potestati subiectum.

ΤΙΤΛΟΥ α. κεφάλ. β.

Θεσπίζομεν ὥστε γαμετὴν οὐκ ἔχων γνησίαν, πρὸς θεράπαιναν οἰκείαν σχοίη κατά τινα βελτίονα γνώμην, καὶ δὴ καὶ παιδοποιήσειεν ἐξ αὐτῆς ἐν δουλείᾳ καθεστώσης: ὕστερον δὲ ἐλευθερίᾳ τιμήσειε τὴν θεράπαιναν, καὶ τὸν γάμον βεβαιώσειεν: ἔπειτα τὰ γαμικὰ συμβόλαια συγγράψειε: εἰ καὶ γένοιντο παῖδες μετὰ ταῦτα, ἢ καὶ μὴ γένοιντο: (ἵνα τὰ ἑκατέρας ἡμῶν διατάξεως συλλαβοίμεν θέματα) ἔστω καὶ ἡ γυνὴ γνησία, καὶ οἱ παῖδες ὑπεξούσιοι, καὶ γνήσιοι, καὶ ἐξ ἀδιαθέτου κληρονόμοι τῷ † γεννήσαντι, (φαμὲν δὲ τοὺς πρὸ τῶν προικώων τεχθέντας) τῶν ὁδῶν, δι' ὧν εἰς εὐγένειαν κατὰ τὸ προειρημένον ἀφίκοντο, καὶ τῆς μετὰ ταῦτα τῶν προικώων ποιήσεως, τὸ γνήσιον αὐτοῖς χαριζομένων

† γεγεννηκότι.

ΤΙΤΛΟΥ β. ἐν τῷ δ. κεφαλαίῳ.

Ὅτι εἰ παῖδας ἔχοι τις νομίμους, μὴ δύνασθαι αὐτὸν τοῖς φυσικοῖς παισί, μήτε † δὲ ἐκ παλλακῆς παραγεγόνοσι, μιᾶς οὐγκίας, καὶ τῇ μητρὶ αὐτῶν καταλιμπάνειν ἢ δωρεῖσθαι. εἰ δὲ παλλακὴ μόνη εἴη, ταύτῃ τὸ ἡμιούγκιον καταλιμπάνεσθαι ἢ δωρεῖσθαι. εἰ μέν τοι παῖδας οὐκ ἔχει γνησίους, ἤ τινα τῶν ἀνιόντων, οἷς ἀνάγκῃ νόμου καταλιμπάνειν μέρος τῆς οἰκείας περιουσίας προσήκει τοὺς διατιθεμένους: ἄδεια ἔστω καὶ εἰς τὰς ιβ. γράφειν τοὺς φυσικοὺς παῖδας κληρονόμους. εἰ δὲ ἔχοιεν τινὰς τῶν ἀνιόντων, τὴν νόμιμον αὐτοῖς καταλιμπανέτωσαν μοῖραν. τὸ δὲ λοιπὸν, εἰς τοὺς φυσικοὺς παῖδας παραπέμπειν ἄδειαν ἐχέτωσαν. ἀδιαθέτων δὲ τελευτώντων τοὺς φυσικοὺς παῖδας ἐχόντων, δύο μόνας γο ἔχειν τοὺς παῖδας ἅμα τῇ μητρὶ μεριζομένας: ὥστε ἑνὸς παιδὸς μερίδα καὶ τὴν μητέρα λαμβάνειν. ταῦτα δὲ φαμὲν, εἰ μιᾷ παλλακῇ συνοικῶν, παῖδας ἐξ αὐτῆς ἔχοι. εἰ γὰρ ἐκκεχυμένα τὰ τῆς ἐπιθυμίας αὐτῷ γένηται, καὶ ἄλλας ἐπ' ἄλλαις ἐπεισάγει πορνευομένας, πόρρω τοῦ νόμου καθάπαξ αὐτὰς ἀπελαύνεσθαι. εἰ δὲ γνησίων ὑπόντων, καταλίποι καὶ νόθους, ἐξ ἀδιαθέτου μὲν οὐδὲν αὐτοῖς ὑπάρχειν: ἀποτρέφεσθαι δὲ μόνον παρὰ τῶν γνησίων, κατὰ τὸ πρέπον καὶ πρὸς τὸ τῆς οὐσίας μέτρον. ἐφ' ὧν δὲ θεμάτων οἱ φυσικοὶ παῖδες καλοῦνται, ἐπὶ τούτων καὶ αὐτοὶ τῷ ἴσῳ τρόπῳ τοὺς γονεῖς † ἀμειβέσθωσαν.

† τελεία.

† ἀμειβέσθωσαν.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. λγ.

ΠΕΡΙ ΥΙΟΘΕΤΟΥΝΤΩΝ ΚΑΙ υἱοθετουμένων. καὶ τίνες δύνανται υἱοθετεῖν, ἢ υἱοθετεῖσθαι, καὶ τίνες οὐ δύνανται.

ΤΙΤΛΟΥ α. κεφάλ. ιζ.

Οὐδεὶς υἱοθετεῖσθαι τὸν * ἀνήβον δύναται, εἰ μὴ συγγενὴς αὐτοῦ, ἢ χρηστὴν ἔχων πρὸς αὐτὸν διάθεσιν:

* τὸν ἐπιτροπευόμενον. οὐ μὴν μὴν τὸν ὑπὸ πατέρα ὄντα.

θεσιν: ἵνα μὴ ἔχωσιν ἄδειαν οἱ ἐπίτροποι λύειν τὰς ἐπιτροπὰς καὶ τὰς παρὰ τῶν γονέων γινομένας ὑποκαταστάσεις, υἱοθετοῦντες τοὺς ὑπ' αὐτῶν ἐπιτροπευομένους.

ΣΧΟΛΙΟΝ.

Εἰ γὰρ μηδέν, φησίν, ἐστὶ τοιοῦτον, ἡ θέσις κωλύεται, ἵνα μὴ ἐξῇ τοῖς ἐπιτροπεύουσι τὸν ἀφῆλικα, εἰς θέσιν αὐτὸν διδόναι καὶ κατ' αὐτοῦ λύειν τὴν ἐπιτροπικὴν φροντίδα, καὶ τὴν ἐπ' αὐτοῖς γενομένην ... ἤτοι κατὰ ἀφῆλικα ὑποκατάστασιν ἐκ τοῦ πατρὸς γεγενημένην ἀφανίζειν. ὁ γὰρ δοθεὶς εἰς θέσιν ὁ ἄνηβος ἐν ὑπεξουσιότητι τελευτήσας: οὐκέτι καλεῖται ὁ ὑποκαταστάτος εἰς κλῆρον, ὑπεξούσιος γὰρ κληρονόμον οὐκ ἔχει.

Ζητείσθω δὲ τὰ περὶ τῆς οὐσίας τοῦ ἀνήβου καὶ τοῦ θέλοντος αὐτὸν υἱοθετήσασθαι, μήποτε οὐ συμφέρῃ, καὶ τὰ περὶ τῶν τρόπων τοῦ υἱοθετουμένου καὶ τῆς ἡλικίας, μήποτε ὀφείλει μᾶλλον παιδοποιῆσαι, ἢ καὶ εἰ ἔχει παῖδας: ἵνα μὴ μειωθῇ ἡ ἐλπὶς αὐτῶν τῆς διαδοχῆς, ἢ ὁ ἄνηβος εὑρεθῇ λαμβάνων ἧττον ἤπερ ἐστὶν ἄξιον.

ΣΧΟΛΙΟΝ.

Ἵνα ἐκ τῆς αὐτῶν οὐσίας διακριθῇ περὶ θέσεως, εἰ συμφέρουσα, ἤτοι σύμφερος ἐστὶ τῷ ἀφήλικι ἡ θέσις: καὶ ἵνα μὴ σκηνικὸς ἢ ἄσωτος ᾖ.

Ἐν τῷ μς. κεφαλαίῳ.

Ἡ γυνὴ οὐ δύναται υἱοποιεῖσθαι, ὅτι οὐδὲ ὑπεξουσίους ἔχει τοὺς παῖδας. ἀλλ' ἐπειδὴ εἰς παραμυθίαν τῶν ἀπωλομένων παίδων βούλεται λαβεῖν, δίδομεν αὐτῇ τοῦτο ποιεῖν, ὡσανεὶ ἐξ αὐτῆς τεχθέντα αὐτόν.

ΣΧΟΛΙΟΝ.

Μὴ ἐναντιωθῇ σοι ἡ η. διάταξις τοῦ λγ. τίτλου τοῦ ζ. βιβλίου τοῦ κώδικος, ἀδιαστίκτως λέγουσα, μὴ δύνασθαι υἱοθετεῖν τὰς γυναῖκας: ἀλλὰ νόει αὐτὴν κατὰ τὸ εἰρημένον ἐνταῦθα.

μζ.

Ἡ υἱοθεσία τῶν αὐτεξουσίων οὐκ ἄλλως γίνεται, ἢ ἐνταῦθα, ἢ ἐν ἐπαρχίᾳ, εἰ μὴ κατὰ βασιλικὴν ἀντιγραφὴν γένηται ἡ θέσις.

να.

Δεῖ τὸν λαμβάνοντα εἰς υἱοθεσίαν, εἶναι μείζονα τοῦ λαμβανομένου. ἐπειδὴ πρὸς μίμησιν τῆς φύσεως ἐπινενόηται. ἡ δὲ φύσις πρεσβύτερον † εἶναι τοῦ υἱοῦ τὸν πατέρα. (*marg.:* † ἀλ.) νομίζεται γὰρ τέρας εἶναι καὶ τῆς φύσεως ἀλλότριον, τὸ λέγειν μείζονα εἶναι τὸν παῖδα τοῦ πατρός. ταῦτα δὲ † καὶ ὑπεξουσίων καὶ αὐτεξουσίων προβαίνει. (*marg.:* † καὶ ἐπί.) δεῖ δὲ καὶ προηγεῖσθαι τὸν πατέρα ὀκτωκαίδεκα ἐνιαυτούς. ἡ γὰρ τοιαύτη ἡλικία ἐφηβότης λέγεται τελεία, ὅτε καὶ οἱ βραδέως ἡβῶντες ἡβῶσι, τοῦ σχήματος πάντως συντρέχοντος.

νβ.

Ὁ μὲν κασράτος ἢ ὁ θλιβίας οὐ λαμβάνουσιν εἰς θέσιν, οὔτε αὐτεξούσιον παρὰ βασιλέως, οὐδὲ ὑπεξούσιον παρὰ ἄρχοντος. οἷς γὰρ ἡ φύσις

etatur: ne sit in potestate tutorum, tutelæ suæ commissos adoptãdo, tam tutelas, quam factas a parentibus substitutiones extinguere.

SCHOLION.

Nam si nihil eiusmodi sit, inquit, (hoc est, si nulla sit cognatio, uel adfectio) adoptio prohibetur: ne liceat pupillorum tutoribus, eos adoptandos dare, ac in eorum damnum & tutelam finire, & factam in eis a patre pupillarẽ substitutionem extinguere. Quippe si datus in adoptionẽ impubes, alienæ potestati subiectus decesserit: nõ amplius is, qui ei substitutus est, ad successionẽ uocatur. Nam qui alienæ potestatis est, heredẽ non habet.

Habetur autem quæstio de facultatibus pupilli, & eius, qui eum adoptare uult, an forte parum id fieri expediat: itemque de moribus adoptantis, & ætate, num potius procreare liberos debeat, & an liberos habeat: ne horum spes in successione deminuatur, aut minus percipere pupillum deprahẽdatur, quam dignum sit eum consequi.

SCHOLION.

Vt ex eorũ facultatibus æstimatio de adoptione fiat, an adoptio salubris, hoc est, utilis sit pupillo: & ne scenicus sit aut prodigus, qui adoptat.

XLVI. cap.

Mulier adrogare non potest, quum nec liberos in potestate habeat. Verum quoniã in solatium amissorum filiorum, in adrogationem accipere quem cupit: eius faciundi potestatem ipsi concedimus, ut quasi ex se progenitum habeat. l. 5. C. eod.

SCHOLION.

Ne obstet tibi VIII. constitutio tituli XXXIII. lib. VII. codicis, quæ indistincte dicit, feminam adoptare non posse: sed eam intellige secundum id, quod heic dictum est.

XLVII.

Adrogatio eorum, qui sui iuris sunt, non aliter uel heic, uel in prouincia fit, quam ex rescripto principali.

LI.

Debet is, qui sibi filiũ adoptat, esse natu maior adoptato. Nam ad imitationem naturæ adoptio excogitata est. Natura uero patrem filio seniorem agnoscit. Quippe monstrum, & a natura quid alienum esse putatur, dicere filium patre natu maiorem esse. Atque hæc tam in filiysfamilias, quam in patribusfamilias, locũ habent. Et quidem oportet annis decem & octo patrem præcedere. Nam istac ætas plena pubertas dicitur, quando pubescunt & y, qui tarde pubescunt, habitu prorsus concurrente. Theophilus §. minorem. Instit. eod.

LII.

Castratus & thlibias nec patremfamilias apud principem, nec filiumfamilias apud magistratum adoptare possunt. Nam quibus natura §. sed & illud. Instit. eod. Theophilus.

procreãdorum liberorum facultatem negauit, ijs hoc nec ius ciuile concessit, quod naturæ uestigijs insistit. quippe ne sperare quidem possunt, se liberos progenituros. At spado, quoniam spes est eum fortasse uitio liberatum posse liberos gignere, tam filiumfamilias, quam patremfamilias in adoptionem accipiet. Sed idem spado filiumfamilias adoptãs, eum in potestate non est habiturus. Eunuchus generale nomen est, ac in tres species diuiditur. Nam quidam eorum sunt spadones, quidam castrati, quidam thlibiæ. Ac spadones quidem sunt, qui propter aliquem morbum, uel frigiditatem, genitalibus membris noxiam, quo minus liberos procreent, impediuntur. Thlibiæ uero, quibus a nutrice uel matre forte sunt extriti testes. Castrati denique, quibus exsecta sunt membra genitalia.

LIII.

Theophilus §. femina, etc.

Est & aliud quiddam commune tam adrogationi, quam adoptioni; quod femina constituit. Nam femina nec per oblatas principis preces, ne apud magistratum quemquam adoptare potest. quoniam adoptio patriam nobis in liberos potestatem tribuit. At mulier nec naturales liberos in potestate habet. Ius autem ciuile naturam sequitur. Igitur haud abs re neminem adoptabit, nisi si ex indulgentia principis, in solatium defunctorum eius liberum, aliquem in adoptionem accipere cupiat. Quamobrem mulier, quæ liberos omnino nullos habet, ne quidem ex rescripto principis aliquem adoptabit. Præter differẽtias indicatas, & hæc est........

Legito & lib. X. tit. IIII. cap. IIII. them. IIII.

SCHOLION.

l.3.§.6.D.de minor.

Sunt enim hęc eius uerba: Minor aduersus adrogationem restituitur. Nam ipse fortassis locuples est, at is qui eum in adoptioné accepit, inops.

DE INFANTIBVS EXPOSITIS uel abiectis, tam liberis, quam seruis.

Tit. II. cap. II.

l.2.C.de inf. exp.

Vnusquisque subolem suam nutriat. quod si eam exposuerit, animaduersioni meritæ subiacebit. Nec amplius uel dominus, uel patronus repetere potest, quod exposuit.

IIII.

debet esse l.4.& ult.C.de inf.exp.

Sancimus, ut quoscumque uel in ecclesijs, uel in uicis, uel alijs locis abiectos constiterit, ijs modis omnibus liberi sint: etiamsi certam quamdam probationem petitor habeat, qua ostendat, eiusmodi personam ad suum pertinere dominium. Nam si legibus nostris statutum est,

ἠρνήσατο τὸ παιδοποιεῖν, τούτοις καὶ ὁ νόμος, κατὰ πόδα βαδίζων τῆς φύσεως. ἀνέλπιστοι γὰρ αὐτοῖς τὰ τῆς παιδοποιίας. ὁ δὲ σπάδων (ἐπειδὴ τοῦτον ἐλπὶς εἰκὸς τοῦ πάθους † ἐπαλλαγέντα δυνάσθαι * ποιεῖν) εἰς θέσιν λήψεται καὶ ὑπεξούσιον καὶ αὐτεξούσιον. ἀλλ' ὁ σπάδων λαμβάνων ὑπεξούσιον εἰς θέσιν, οὐχ ἕξει τοῦτον ὑπεξούσιον. εὐνοῦχος ὄνομα ἐστὶ γενικὸν, τέμνεται δὲ εἰς γ. τῶν γὰρ εὐνούχων οἱ μὲν εἰσὶ σπάδωνες, οἱ δὲ καστράτοι, οἱ δὲ θλιβίαι. καὶ σπάδωνες μέν εἰσιν, οἱ τινες διά τι πάθος ἢ ψύξιν ἐνοχλήσασαν τοῖς γονίμοις μορίοις, παιδοποιεῖν κωλύονται. θλιβίαι δὲ, οἱ τινες ὑπὸ τῆς τροφοῦ ἢ τῆς μητρὸς τυχὸν, ἔκθλιψιν τῶν διδύμων ὑπέστησαν. καστράτοι δὲ, ἐφ' ὧν γέγονεν ἐκτομὴ τῶν γεννητικῶν μορίων.

† ἀπαλλαγέντα.

* παιδοποιεῖν.

νγ.

Ἔστι καὶ ἑτέρα κοινωνία υἱοθεσίας, ἣν ἀποπληροῖ ἡ γυνή. γυνὴ γὰρ οὐδὲ κατὰ βασιλικὴν αἴτησιν, οὐδὲ κατὰ ἀρχοντικὴν, δύναται λαμβάνειν εἰς θέσιν τινα. ἡ γὰρ θέσις δίδωσιν ἡμῖν τὴν κατὰ τοῦ παιδὸς ὑπεξουσιότητα. αὐτὴ δὲ τοὺς φυσικοὺς παῖδας ὑπεξουσίους οὐκ ἔχει. ὁ δὲ νόμος ἀκολουθεῖ τῇ φύσει. εἰκότως οὐ λήψεται εἰς θέσιν τινὰ, εἰ μὴ ἄρα ἐκ φιλοτιμίας βασιλέως πρὸς παραμυθίαν τῶν τελευτησάντων αὐτῆς παίδων βουληθῇ λαβεῖν. ὥστε οὖν ἡ μὴ ἔχουσα παῖδας γυνὴ, οὐδὲ διὰ βασιλέως ἀντιγραφῆς εἰς θέσιν λήψεται τινά. πρὸς τὰς εἰρημένας διαφορὰς ἐστὶ καὶ αὕτη........

Ἀνάγνωθι καὶ βιβλίον ι. τίτλον δ. κεφάλαιον δ. θεμ. δ.

ΣΧΟΛΙΟΝ.

Φησὶ γὰρ, ὁ ἀφῆλιξ κατὰ ἀρρογατίωνα ἀποκαθίσταται. τυχὸν γὰρ αὐτὸς μέν ἐστι πλούσιος, ὁ δὲ λαβὼν αὐτὸν πένης.

ΠΕΡῚ ΝΗΠΊΩΝ ἘΚΤΙΘΕΜΈνων ἤτοι ῥιπτομένων.

Τίτλου β. κεφάλαιον β.

Εἷς ἕκαστος τὴν ἰδίαν γονὴν τρεφέτω. εἰ δὲ ἐκθῆται αὐτὴν, ἀξίως τιμωρηθήσεται. οὐκέτι δὲ ἢ δεσπότης ἢ πάτρων ἐκδικῆσαι δύναται, ὅπερ ἂν ἐκθῆται.

δ.

Θεσπίζομεν, ὅσοι ἐν ἐκκλησίαις, ἢ ἐν ῥύμαις, ἢ ἄλλοις τόποις ἀπορριφέντες δειχθῶσι, * τούτοις πᾶσι τρόποις † ἐλευθέροις εἶναι: καὶ εἰ ἀκριβής τις ἀπόδειξις ὑπάρχει † τῷ ἐνάγοντι, εἰς τὸ δεῖξαι τὸ τοιοῦτον πρόσωπον τῇ αὐτοῦ διαφέρειν δεσποτείᾳ. εἰ γὰρ τοῖς ἡμετέροις προστέτακται νόμοις,

* οὗτοι.

† ἐλευθέρα.

† τῷ.

μοις, ὥστε τοὺς νοσοῦντας οἰκέτας παρὰ τῶν δεσποτῶν καταφρονηθέντας, ὡς τῆς αὐτῶν ὑγείας ἀπελπισθείσης ἐκ τῶν κεκτημένων ἐπιμελείας μὴ ἀξιουμένους, πάντως εἰς ἐλευθερίαν ἁρπάζεσθαι, πῶς ἄρα γε τοὺς ἐν αὐτῇ τῇ τῆς ζωῆς ἀρχῇ τῇ τῶν ἄλλων ἀνθρώπων καταλειφθέντας εὐσεβείᾳ, καὶ παρ' αὐτῶν ἀνατραφέντας, ἀνεξόμεθα εἰς ἄδικον δουλείαν καθέλκεσθαι; ἀλλὰ τούτους ἐλευθεροῦσθαι θεσπίζομεν, μήτε τὰς ἐκ τῶν ἡμετέρων νόμων τῶν ταῦτα πραττόντων διαφευγόντων ποινάς: οἷα πάσης ἀπανθρωπίας καὶ ὠμότητος πληρωμένων, καὶ τοσοῦτον πάσης μιαιφονίας † χείρονας ὅσον ταύτην τοῖς ἀθλιωτέροις ἐπάγουσι. † χείρονες.

ut serui ægrotantes a dominis neglecti, & qui uelut desperata eorum ualetudine, possessorum curatione digni non censentur, omnino in libertatem abripiantur: quonam pacto in ipsis uitæ primordijs aliorum hominum pietati relictos, & ab eis educatos, in seruitutem iniquam pertrahi patiamur? Enimuero liberos esse sancimus, ne illis quidem, qui hæc faciunt, irrogandas ex legibus nostris pœnas effugientibus; uelut omni refertis inhumanitate & crudelitate, quæ tanto quouis homicidio peior est, quanto miserioribus eam inferunt. l.un.§.3.C.de lat.lib.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. λδ.

ΠΕΡΙ ΑΙΧΜΑΛΩΤΩΝ, ΔΟΥΛΩΝ τε καὶ ἐλευθέρων. καὶ περὶ ὑποστροφῆς αὐτῶν, καὶ περὶ παίδων αὐτῶν, καὶ δικαίου.

Τίτλου α. κεφ. δ.

Ἡ κατὰ συναίνεσιν γινομένη διαίρεσις, ἐὰν καὶ παράδοσις παρακολουθήσῃ, δεσπότην ἕκαστον ποιεῖ τῶν ἐπιλαχόντων αὐτοῦ πραγμάτων. ἐὰν δὲ μὴ γένηται παράδοσις, ἀνάγκη κινηθῆναι τὸ διαιροῦν τὸν κλῆρον δικαστήριον: ἵνα ἐκεῖ διαιρεθῇ τὰ ἀπὸ τῆς κληρονομίας ἐπίκοινα πράγματα.

οβ.

Ἐὰν ὁ πατὴρ τῶν ἰδίων πραγμάτων διεῖλε τινὰ μεταξὺ τῶν παίδων, τινὰ δὲ μὴ διελὼν, ἐτελεύτησεν ἀδιάθετος, ἢ καὶ διαθέμενος: ὁ δικαστὴς τὰ μὲν διαιρεθέντα ὡς ἐμέρισεν ὁ πατὴρ, τὰ δὲ ἀδιαίρετα † ἀναλογίαν τῶν νομίμων μερῶν ὀφείλει διαιρεῖν. † κατ' ἀναλογίαν.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν ιη΄. ἐν ᾗ φησὶ καὶ περὶ συνεισφορᾶς. καὶ νεαρὰν ριε΄. κεφ. γ΄. ἐν ᾗ φησί, τοὺς μὴ ἐξεῖναι τοῖς γονεῦσιν ἀποκληροῦν τοὺς παῖδας, εἰ μὴ ἀχάριστοι ἀποδειχθῶσι: μήτε τοὺς παῖδας τοὺς ἰδίους γονεῖς. καὶ νεαρὰν ριζ΄. κεφ. α΄.

ΠΕΡῚ ΔΙΑΘΉΚΗΣ ῬΗΓΝΥΜΈΝΗΣ ἀπὸ ἀμνημονεύτων παίδων.

Τοῦ αὐτοῦ τίτλου η΄. κεφ. ζ΄.

Ἐὰν υἱὸς ἀμνημόνευτος ἐαθῇ, οὐκ ἔρρωται ἡ διαθήκη, κἂν πρὸ τοῦ πατρὸς ἀποθάνῃ, οὔτε ῥήγνυται ἡ προγινομένη.

ια.

Ὁ τικτόμενος ὑπεξούσιος, εἰ καὶ ἀτελὴς ᾖ, ἀναπνέων μόνον, καὶ ὁ ἐξ ἀνατομῆς, ῥήσσει τὴν διαθήκην.

κβ. καὶ λ.

Τοὺς ὑπεξουσίους δεῖ γράφειν κληρονόμους, ἢ ἀποκλήρους. ἐπεὶ ἀμνημόνευτοι γινόμενοι ῥήσσουσι τὴν διαθήκην, εἰ μὴ ἐν αἰχμαλωσίᾳ ὦσιν.

λϛ.

Ἐὰν ὑπεξούσιος κυοφορούμενος ἀμνημόνευτος

ἐαθεὶς

τεχθεὶς ἐν διαθήκῃ, τεχθῇ μὲν, φωνὴν δὲ μὴ ἀφήσει· ἢ ὅλως τέλειος γεννηθῇ ζῶν, καὶ ἅμα τῷ πεσεῖν ἐν τῷ ἐδάφει ἐτελεύτησεν, ἢ ἐν ταῖς χερσὶ τῆς ἰατρίνης, ῥήγνυσι τὴν διαθήκην.

ΠΕΡΙ ΑΧΑΡΙΣΤΩΝ ΠΑΙΔΩΝ τε καὶ γονέων, καὶ τῶν τῆς ἀχαριστίας αἰτιῶν, δι' ἃς δύνανται ἑκάτεροι ἀποκλήρους ποιεῖν.

Τοῦ αὐτοῦ τίτλου κεφ. λη.

Αἰτίας δικαίας τῆς ἀχαριστίας, ταύτας εἶναι ψηφιζόμεθα.

Εἴ τις τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλοι.

† Ἢ βαρεῖαν καὶ ἀπρεπῆ ὕβριν αὐτοῖς ἐπαγάγοι. (*Marg.:* † ἀκεραίαν. *usque semper deinceps.*)

Ἢ ἐπὶ ἐγκληματικαῖς αἰτίαις αὐτῶν κατηγορήσοι ταῖς † μενούσαις ἢ κατὰ βασιλέως, ἢ πολιτείας. (*Marg.:* † μὴ οὔσαις.)

Ἢ μετὰ φαρμακῶν ὡς φαρμακὸς ἀναστρέφεται.

Ἢ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας, ἢ ἄλλου τρόπου ἐπιβουλεῦσαι πειραθείη.

Ἢ τῇ ἰδίᾳ μητρυιᾷ, ἢ τῇ τοῦ πατρὸς παλλακῇ ἑαυτὸν μίξει.

Ἢ συκοφάντης ὁ υἱὸς κατὰ τῶν γονέων γένηται, καὶ διὰ τῆς ἰδίας καταμηνύσεως, βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσει.

Εἰ συμβῇ τινὰ τῶν ἰδίων γονέων ἐγκεκλεῖσθαι, οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαθέτου εἰς τὴν τούτου διαδοχὴν ἐλθεῖν, αἰτηθέντες παρ' αὐτοῦ, ἤγουν ὁ εἷς ἐξ αὐτῶν, μὴ βουληθεῖεν ἐπὶ τὴν ἑαυτῶν ἐγγύην τοῦτον ἀναδέξασθαι, ἢ ὑπὲρ προσώπου ἢ τοῦ χρέους, εἰς ὅσον ἐπιτήδειος εἶναι ὁ αἰτούμενος ἀποδείκνυται. τοῦτο μέντοιγε, ὅπερ ἐπὶ τῆς ἐγγύης ἐθεσπίσαμεν, εἰς τοὺς ἄρρενας καὶ μόνον ἀνήκειν παῖδας βουλόμεθα.

Εἰ ἐλεγχθείη τις τῶν παίδων, ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς ποιήσασθαι διαθήκην· ὥστε εἰ μὲν μετὰ ταῦτα διαθήκην ποιήσασθαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἀποκληρονόμον ποιεῖν. εἰ δὲ καὶ ἐν αὐτῇ τῇ κωλύσει δίχα διαθήκης τῶν γονέων τις τελευτήσοι, καὶ ἄλλοι εἴτε ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν ἢ μετὰ τοῦ παιδὸς τοῦ τὴν διαθήκην γενέσθαι κωλύσαντος, ἢ μετ' αὐτὸν καλούμενοι, εἴτε † οὓς κληρονόμους, ἢ ληγαταρίους ἔχειν ἠβούλετο, εἴτε οἱ βλάβην τινὰ ἐκ τῆς κωλύσεως τῆς διαθήκης ὑπομείναντες, τοῦτο αὐτὸ ἀποδείξαιεν· κατὰ τοὺς ἄλλους νόμους τοὺς περὶ τούτου κειμένους, τὰ τοιαῦτα πράγματα * περαινέσθω. (*Marg.:* † ὅσον. * ἀτιμωθέντος τοῦ κωλύσαντος.)

Εἰ παρὰ γνώμην τῶν γονέων μεταξὺ κυνηγῶν, ἢ μίμων ἑαυτὸν ὁ υἱὸς ἐγκαταλέξει, καὶ ἐν τούτῳ ἐπιτηδεύματι διαμένοι, εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τοιαύτης ἐπιτηδεύσεως γεγόνασιν.

† Ἢ τινὶ ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ τῇ ἰδίᾳ θυγατρὶ ἢ ἐκγόνῃ ἄνδρα δοῦναι, καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας ὑπὲρ αὐτῆς παρασχεῖν, (*Marg.:* † ἄ τινι.)

præteritus, editus quidem fuerit, sed uocem non emittat; aut omnino perfectus, uiuusque natus fuerit: licet ilico lapsus in terram, uel in manibus obstetricis decesserit, testamentum rumpit.

DE INGRATIS TAM LIBERIS, quam parentibus; deq; caussis ingratitudinis, ob quas utrique possunt exheredare.

Eiusd. tit. cap. XXXVIII.

Iustas caussas ingratitudinis has esse decernimus. (*Marg.:* Nouel. 115. cap. 3.)

Si quis parentibus suis manus iniecerit.

Si atrocem et fœdam iniuriam eis intulerit.

Si eos in caussis criminalibus accusauerit, quæ non sunt uel aduersus principem, uel aduersus rempublicam.

Si cum ueneficis, ut ueneficus, uersetur.

Si parẽtum suorum uita per ueneficium, uel alio modo, insidiatus esse deprehensus fuerit.

Si cum nouerca sua, uel patris cõcubina rem habuerit.

Si filius calumniator aduersus parentes extiterit, & per delationẽ suam effecerit, ut grauia parentes dispendia sustineant.

Si alterutrum ex parentibus inclusum esse contigerit, & liberi, qui ab intestato ad eius successionem uenire possunt, rogati ab eo, uel saltem unus ex eis, eum fideiussione sua recipere, uel pro persona proue debito cauere noluerint, in quantum illum, qui rogatur, idoneum esse paret. Atque hoc sane, quod de fideiussione sanciimus, ad liberos mares dumtaxat pertinere uolumus.

*Si quis liberorum conuictus fuerit, quod parentes suos testamentum facere prohibuerit; si quidem postea testamentum facere potuerint, licitum eis esto, propter eiusmodi caussam filium exheredare. Sin autem in ipsa prohibitione sine testamento parentum alteruter decesserit, & alij, qui uel ab intestato ad hereditatem defuncti siue cum filio, qui testamentum fieri prohibuit, siue post eum uocantur, uel y quos quasi heredes aut legatarios esse uoluit, uel qui damnum aliquod ex prohibitione testamenti factionis senserunt, hoc ipsum probauerint: secundum alias de hoc latas leges eiusmodi negotia * terminentur.* (*Marg.:* * ut infamis scilicet is fiat, qui prohibuit)

Si contra uoluntatem parentum in harenariorum, uel mimorum societatem sese filius conferat, & in hac professione perseueret: nisi forte parentes etiam professionis eiusdem fuerint.

Si parentum indicatorum alterutri uolenti filiam neptemue suam alicui nuptum collocare, dotemque pro sui patrimonij modo præstare,

illa

Nota, post annum XXV. posse filiam cótra patris etiam uoluntatem sese nuptum locare.

illa non consenserit, sed turpem uitam elegerit. Si uero filia XXV. annorum aetatem attigerit, & parentes eam marito iungere differant, eoque forte usuueniat, ut in corpus ipsa suum delinquat, uel sine consensu parentum marito sese, libero tamen, copulet: hoc ad ingratitudinem imputari filiae nolumus, quandoquidem non sua, sed parentum culpa id eam commisisse patet.

Si quis indicatorum parentum in furorem inciderit, eiusque liberi, uel ex liberis aliqui, uel si liberi non exstent, cognati ceteri, qui ab intestato ad eius hereditatem uocantur, ministerium curamque debitam ei non praestiterint; si quidem a tali morbo liberetur, facultatem habebit, si uolet, filium filios, aut cognatos, qui neglexerint, ingratum ingratosue, suo testamento scribendi. Sin extraneus aliquis eum furore detentum, a suis liberis, uel cognatis, uel alijs ab eo scriptis heredibus negligi uideat, & ex commiseratione curam eius gerere uelit: facimus ei potestatem, ad eos, qui ab intestato, uel ex testamento iam facto ad hereditatem furiosi uocantur, denuntiationem scripto comprehensam mittendi, ut eius diligentem curam gerere properent. Quod si post eiusmodi detestationem nihilo minus eum neglexerint, & extraneus in domum suam furiosum receperit, impensisque suis ad mortem usque curam eius gesserit: sancimus, ut is qui hoc ministerium atque diligentiam furioso exhibuit, licet extraneus sit, ad eius successionem perueniat, institutione illorum abolita, tamquam indignorum, qui furiosi (ceu diximus) curam gerere neglexerint; ita tamen, ut reliqua testamenti capita in uigore suo maneant.

Si de parentibus indicatis alterutrum in captiuitate detineri contigerit, eiusque liberi uel omnes, uel unus, non festinauerint eum redimere: si de calamitate captiuitatis euadere potuerit, utrum hanc ingratitudinis caussam testamento suo uelit inscribere, nec ne, situm in arbitrio ipsius erit. Quod si negligentia liberorum, uel contemtu, liberatus non fuerit, sed in captiuitate decesserit: nequaquam patimur eos ad successionem uenire, qui opera parum in eius redemtione procuranda impenderunt; sed quum omnes liberi hac in parte se gessere negligentius, uniuersae facultates ab eo relicta ciuitatis illius ecclesiae, de qua fuit oriundus, adducuntor: inuentario scilicet sub attestatione publica conficiendo, ne quid ex bonis eius depereat, & ita quidem, ut quidquid hinc ad ecclesiam peruenerit, ad captiuorum redemtio-

ἐκείνη μὴ συναινέσῃ, ἀλλ' αἰσχρὸν βίον ἐπιλέξηται. εἰ δὲ μέχρι εἴκοσι πέντε ἐνιαυτῶν ἡλικίας ἡ θυγάτηρ γένηται, καὶ οἱ γονεῖς ὑπερθῶνται ταύτην ἀνδρὶ συνάψαι, καὶ ἴσως ἐκ τούτου συμβῇ εἰς τὸ ἑαυτῆς σῶμα ταύτην ἁμαρτῆσαι, †: τοῦτο εἰς ἀχαριστίαν τῇ θυγατρὶ λογίζεσθαι οὐ βουλόμεθα: ἐπειδὴ οὐ τῇ ἑαυτῆς, ἀλλὰ τῇ τῶν γονέων αἰτίᾳ τοῦτο γινώσκεται πλημμελήσασα.

Χωρίσασα, ὅτι μετὰ κε. ἔτη ἐδύνατο θυγάτηρ καὶ παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς πρὸς γάμον ἐκδίδοσθαι.

† ἢ δίχα συναινέσεως γονέων ἀνδρὶ ἑαυτὴν, ἐλευθέρῳ μέν τοιγε, συζεύξασα.

Εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανῇ, καὶ οἱ παῖδες αὐτοῦ ἢ τινὲς ἐξ αὐτῶν, ἢ παίδων αὐτῷ μὴ ὑπόντων, οἱ ἄλλοι αὐτοῦ συγγενεῖς οἱ ἐξ ἀδιαθέτου εἰς τὸν αὐτῶν κλῆρον καλούμενοι, ὑπηρεσίαν καὶ φροντίδα προσήκουσαν αὐτῷ μὴ παράσχοιεν: εἰ μὲν τοιαύτης ἀπαλλαγείη νόσου, ἔσται αὐτῷ ἄδεια, πότερον βούλεται τὸν παῖδα, ἢ τοὺς παῖδας, ἢ συγγενεῖς τοὺς ἠμεληκότας, ἀχάριστον, ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ γράψαι διαθήκῃ. εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτὸν κατεχόμενον, ἐξωτικός τις ἴδοι ἀπὸ τῶν ἰδίων ἀμελούμενον παίδων, ἢ συγγενῶν, ἢ ἄλλων ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων, καὶ † δίδομεν αὐτῷ ἄδειαν διαμαρτυρίαν τοῖς ἐξ ἀδιαθέτου, ἢ ἀπὸ διαθήκης ἤδη γενομένης εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις ἐγγράφως στέλλειν, ὥστε σπουδάζειν αὐτοὺς τούτου φροντίζειν. εἰ δ' ἔτι καὶ μετὰ τὴν τοιαύτην διαμαρτυρίαν ἀμελήσειαν, καὶ ἐξωτικὸς ἐν τῷ αὐτοῦ οἴκῳ τὸν μεμηνότα ὑποδεξάμενος, δαπανήμασιν οἰκείοις ἄχρι τῆς τελευτῆς αὐτοῦ φροντίσας διεχθείη: τὸν τὴν ὑπηρεσίαν καὶ τὴν ἐπιμέλειαν τῷ μεμηνότι παρασχόμενον, κἂν τὰ μάλιστα ἐξωτικὸς εἴη, εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι † πιστεύομεν, ἀνατρεπομένης τῆς αὐτῶν ἐνστάσεως, ἅτε δὴ ἀναξίων ὄντων καὶ τῷ μεμηνότι (καθάπερ εἰρήκαμεν) φροντίδα παρασχεῖν ἀμελησάντων: οὕτω μέντοι, ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια, ἐν τῇ ἰδίᾳ μένειν ἰσχύϊ.

† ἢ διὰ συμπαθείας βούλοιτο αὐτοῦ φροντίσαι, δίδομεν.

† θεσπίζομεν.

Εἰ ἕνα τῶν προλεχθέντων γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίη, καὶ οἱ τούτου παῖδες, εἴτε πάντες, εἴτε εἷς, μὴ σπουδάσαιεν τοῦτον ἀναρρύσασθαι, ὥστε εἰ μὲν δυνηθείη τὴν τῆς αἰχμαλωσίας συμφορὰν ἐκφυγεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ, πότερον ταύτην ἀχαριστίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ. εἰ δὲ διὰ τῆς παίδων ἀμελείας ἢ καταφρονήσεως μὴ ἐλευθερωθείη, ἀλλ' ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσει: ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, οἵτινες οὐκ ἐσπούδασαν τῆς ἀναρρύσεως αὐτοῦ φροντίσαι: ἀλλὰ πάντων τῶν παίδων ἐπὶ τούτῳ ἀμελησάντων, πάντα τὰ πράγματα τὰ παρ' αὐτοῦ καταλιμπανόμενα, τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἐξ ἧς ὥρμηται, προσκυροῦσθαι: ἀπογραφῆς ἐπὶ δημοσίου δηλαδὴ ἐκμαρτυρίου γινομένης, ὥστε μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας παραπολέσθαι, ἐφ' ᾧ πᾶν, ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν προέλθοι, εἰς † αἰχμαλώτων ἀνάρρυσιν

† αἰχμαλώτων.

ρυσιν

ρυσιν προσελθεῖν. ἀλλὰ ταῦτα μὲν, ὅσον ἐπὶ τοῖς προσώποις εἴρηται, ἅπερ ἀποκληρονόμους ποιεῖν οὐκ ἔξεστιν, εἰ μὴ τὰς τῆς ἀχαριστίας αἰτίας γραφῆναι καὶ ἀποδειχθῆναι συμβαίη. πρόφασιν δὲ ἡμῖν πρὸς τὸ γενικὸν ποιήσασθαι νόμον, ἡ παροῦσα ὑπόθεσις δέδωκεν. διὰ τοῦτο γενικῶς κελεύομεν, ὥστε εἴπερ ἐκεῖνος ἐν αἰχμαλωσίᾳ † βληθῇ, καὶ παῖδας μὴ ἔχοι, καὶ τῶν ἄλλων τῶν εἰς τὴν τούτου κληρονομίαν ἐξ ἀδιαθέτου καλουμένων ἀναρύσασθαι αὐτὸν μὴ σπουδαζόντων, ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσει, μηδένα ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν ἔρχεσθαι, εἰ καὶ πρὸ τῆς αἰχμαλωσίας διαθήκη τυχὸν παρ' αὐτοῦ ἐγεγόνει, ἐν ᾗ τὰ μνημονευθέντα πρόσωπα ἔγραψε κληρονόμους. ἀλλὰ καὶ ἐνταῦθα τῆς ἐνστάσεως τῶν κληρονόμων ἀκυρουμένης καὶ τῶν λοιπῶν τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύϊ, αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τῶν πόλεων, ἐξ ὧν ὥρμηνται, προσκυρούσθωσαν, καὶ μὴ ἐν ἄλλαις οἵαις οὖν αἰτίαις, ἀλλ' ἐν ταῖς τῶν αἰχμαλώτων ἀναρρύσεσι δαπανάσθωσαν, ὥστε ὅθεν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνερρύσθησαν, τὰς ἄλλων ἀναρρύσεις φροντίζεσθαι, καὶ τὰς ἐκείνων ψυχὰς ἐκ ταύτης τῆς εὐσεβοῦς πράξεως ἐπικουφίζεσθαι. αὐτοῦ τούτου παραφυλαττομένου, κἂν εἰ ἄλλο ἐξωτικὸν πρόσωπον πρὸ τῆς αἰχμαλωσίας γράψῃ κληρονόμον, κἀκεῖνος εἰδὼς ἑαυτὸν ὑπ' ἐκείνου γεγράφθαι κληρονόμον, ἀναρρύσασθαι τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσει. ταύτην δὲ τὴν ποινὴν κατ' ἐκείνων κρατεῖν θεσπίζομεν, οἵ τινες τὸν ὀκτωκαιδέκατον τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν. ἐν δὲ ταῖς τοιαύταις αἰτίαις, ἡνίκα ὑπὲρ ἀναρρύσεως αἰχμαλώτων ἀναγκαῖον εἴη χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχοι χρήματα: ἄδειαν ἐχέτω, εἴπερ τῆς εἰρημένης ὑπάρχει ἡλικίας, δανείζεσθαι χρήματα, καὶ πράγματα κινητὰ ἢ ἀκίνητα ὑποτίθεσθαι, εἴτε ἴδια ἔχει, εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου. ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναρρύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἀναλίσκεσθαι δεικνυμένοις, τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τελείας ἡλικίας ὄντος γινόμενα, βέβαια εἶναι παρακελευόμεθα, μηδενὸς μετὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις (καθάπερ εἴρηται) συναλλάττουσι προκρίματος γινομένου: ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ ἐκ τῆς αἰχμαλωσίας ἐπανερχομένου τὰ τοιαῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι, καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι.

Εἴ τις ἐκ τῶν εἰρημένων γονέων ὀρθόδοξος ὑπάρχων, αἴσθηται τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως, μηδὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν, ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοτάτην πίστιν κηρύσσουσιν.

† περιπέσῃ.

ὅτι ἐν ταῖς ἀναγκαίαις χρείαις τὰ συναλλάγματα τῶν ἀφηλίκων.

περὶ ἀφήλικος δανεισαμένου, καὶ ὑποθεμένου, καὶ μὴ ἔχοντος ἀποκατάστασιν.

nem impendatur. Et hæc quidem de personis dicta sunto, quas exheredare non licet, nisi caussas ingratitudinis perscribi demonstrarique contigerit. Occasionem uero ferendæ legis huiusce generalis, hæc ipsa nobis caussa præbuit. Ideoque generaliter præcipimus, ut si quidem ille relictus in captiuitate fuerit, liberosque nullos habeat, & ceteris, qui ad hereditatem eius ab intestato uocantur, non in hoc incumbentibus, ut eum redimerent, in captiuitate decesserit; nullus illorum, a quibus neglectus fuit, ad hereditatem ipsius perueniat: quamuis ante captiuitatem forte testamentum ab eo factum sit, in quo personas, quarum mentionem fecimus, heredes scripserit. Nimirum heic etiam institutione heredum abrogata, ceterisque testamenti capitibus in uigore suo manentibus, facultates eiusmodi personarum consimili modo ciuitatum ecclesijs, ex quibus originem duxerunt, addicuntor; nec in alias quascumque caussas, extraquam in captiuorum redemtiones, impendantur: ut per quæ illi bona redemti non fuerunt a suis, per ea redemtiones aliorum procurentur, & ipsorum animæ tam pio facto subleuentur. eodem scilicet obseruando, etiam si aliam quamdam extraneam personam heredem scripserit, isque cognito, se ab ipso scriptum heredem, hominem e captiuitate redimere neglexerit. Hanc autem pœnam aduersus eos ualere sancimus, qui decimum & octauum ætatis annum impleuerunt. Ceterum in huiusmodi caussis, quum pro redemtione captiuorum pecunias dari necesse fuerit, si quis pecunias proprias non habeat, licitum illi esto, si dictam ætatem attigit, mutuari; & res mobiles ac immobiles obligare, tam suas, quam illius, qui carcere detinetur. quandoquidem in omnibus indicatis, quæ pro redemtione captiuorum dari uel expendi constat, perinde contractus huiusmodi firmos atque ratos esse iubemus, atque si a persona reapse sui iuris & ætatis perfectæ celebrarentur, nullo his præiudicio generando, qui cum huiusmodi personis, ceu diximus, in caussis commemoratis contraxerint: hoc etiam illi necessario incumbente, qui de captiuitate postliminio reuertitur, ut eiusmodi contractus ratos habeat, & hisce debitis tamquam suis obstrictus sit.

Si quis ex memoratis parentibus, quum ipse sit orthodoxus, sentiat filium filiosue suos non esse catholicæ fidei, nec in sanctissima ecclesia communicare, in qua omnes beatissimi patriarchæ una quasi conspiratione concordiaque rectissimam fidem prædicant.

Quando contractus minorum non rescindantur.

De minore sui mente mutuū, & obligato, nec tamen restitutionem in integrum habente.

Itaque

Itaque siue dictas ingratitudinis caussas omnes, siue certas ex eis, siue unam quamcumque parentes suo testamento inscripserint, & heredes scripti nominatam nominatasue caussas, uel unam saltem earum, ueram esse probauerint: testamentum suum obtinere robur iubemus. Quod si hæc obseruata non fuerint, nullum præiudicium liberis, qui exheredes scripti sunt, fiat; sed quod heredum institutionem attinet, ad irritum recidente testamento, liberi suorum ad parentum hereditatem ab intestato portionibus æquis perueniant: ne falsis ex accusationibus liberi condamnentur, uel in parentum facultatibus aliquam circumscriptionem patiantur.

SCHOLION.

Qui a quocumque adscendentium sunt exheredati, uel præteriti, rumpunt institutiones, & æquis portionibus heredes fiũt: si modo scripti heredes, sui quoq; fuerint. Nam si fuerint extranei, testamentũ prorsus rumpitur, omniaque capiunt heredes sui, qui præteriti sunt: uel compertiuntur suis heredibus scriptis una cum extraneis, quemadmodum lib. XXX. tit. I. cap. XII. dicitur.

Et hæc quidem de parentum testamentis constituta sunto. Recte uero facturos nos existimauimus, si e contrario de liberorum quoque testamentis eadem, cum distinctione quadam, statueremus. Itaque caussas ingratitudinis parentum erga liberos, has (inquit) esse iubemus. Ingratitudinis parẽtũ caussæ.

Si parentes liberos suos ad internecionem tradiderint, citra caussam tamen, quæ crimen perduellionis spectet.

Si ueneficijs, aut maleficijs, aut alio modo parentes uitæ liberorum insidiari, probatum fuerit.

Si pater cum nuru sua, uel concubina filij sui rem habuerit.

Si parentes liberos suos testamenta condere prohibuerint de rebus ijs, in quibus testandi potestatem habent: omnibus scilicet in huiusmodi testamentorum prohibitione seruandis, quæ in parentum persona distincte notauimus.

Si maritum uxori suæ, uel uxorem marito necis inferendæ, uel alienandæ mentis caussa ueneuum dare, uel alterutrum uitæ alterius alio quo modo insidias struere contigerit: eiusmodi crimen, uti quod publicum sit, secundum leges examinari, legitimamque uindictam mereri sancimus. Liberis autem licentia sit, in testamentis suis nihil ex suis facultatibus illi personæ relinquendi, quam scelus eiusmodi commisisse constat.

Εἴτε τοίνυν πάσας τὰς εἰρημένας τῆς ἀχαριστίας αἰτίας, εἴτε φανερὰς ἐξ αὐτῶν, εἴτε μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψωσι διαθήκῃ: καὶ οἱ γραφόμενοι κληρονόμοι τὴν ὀνομασθεῖσαν ἢ ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν ἀληθῆ εἶναι δείξωσι, τὴν διαθήκην τὴν ἰδίαν ἔχειν ἰσχὺν παρακελευόμεθα. εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη, μηδὲν γίνεσθαι πρόκριμα τοῖς ἀποκληρονόμοις γραφεῖσι παισὶν, ἀλλ' ὅσον εἰς τὴν ἐνστασιν τῶν κληρονόμων ἀνήκει, τῆς διαθήκης ἀκυρουμένης, εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι, ὥστε μὴ τοὺς παῖδας πεπλασμέναις κατηγορίαις κατακρίνεσθαι, ἢ τινὰ περιγραφὴν ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν.

ΣΧΟΛΙΟΝ.

Οἱ παρ' οἱουδήποτε ἀνιόντος ἀπόκληροι γενόμενοι ἢ ἀποσιωπηθέντες, ῥηγνύουσι τὰς ἐνστάσεις, καὶ ἐξ ἴσου κληρονομοῦσιν, εἴπερ καὶ οἱ γεγραμμένοι κληρονόμοι τῶν οἰκείων ὦσιν. εἰ γὰρ ἐξωτικοὶ ὦσι, τέλειον ἡ διαθήκη ῥήγνυται, καὶ τὸ πᾶν οἱ οἰκεῖοι λαμβάνουσιν οἱ παρελθέντες ἀμνημονευθέντες: ἢ συμμερίζονται μετὰ ἐξωτικῶν γραφέντων οἰκείων, ὡς βιβλίῳ λ. τίτλῳ α. κεφαλαίῳ ιβ.

Καὶ ταῦτα μὲν περὶ τῶν διαθηκῶν τῶν γονέων διετυπώσαμεν. δίκαιον δὲ εἶναι συνείδομεν καὶ ἐκ τοῦ ἐναντίου περὶ τῶν διαθηκῶν τῶν παίδων τὰ αὐτὰ μετά τινος διαστίξεως διατυπῶσαι. τὰς δὲ αἰτίας τῆς ἀχαριστίας τῶν γονέων πρὸς τοὺς παῖδας ταύτας εἶναι (φησὶν) κελεύομεν. αἰτίαι ἀχαριστίας γονέων.

Εἰ οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας * παραδοῖεν, δίχα μέντοιγε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης. * ἐγκλήματος τῆς καθοσιώσεως ἐγκειμένης.

Εἰ φαρμακείαις, ἢ γοητείαις, ἢ ἄλλῳ τρόπῳ οἱ γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύοντες ἀποδειχθεῖεν.

† Ἢ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ, ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγείη. † ἡ. & sic deinceps.

Ἢ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιῆσαι κωλύσειαν † διατίθεσθαι, πάντων δηλαδὴ τῶν ἐπὶ τῇ κωλύσει τῶν τοιούτων διαθηκῶν φυλαττομένων, ἅπερ ἐπὶ τῷ τῶν γονέων προσώπῳ διεστίξαμεν. † ἐν τοῖς πράγμασιν, ὧν εἶχον ἐξουσίαν [illegible].

Εἰ συμβαίη † τῷ ἀνδρὶ τὴν ἑαυτοῦ γαμετὴν εἰς ἀναίρεσιν ἢ ἔκστασιν τῆς διανοίας δοῦναι φάρμακον, ἢ τὴν γαμετὴν τῷ ἀνδρὶ, ἢ ἄλλῳ τρόπῳ τὸν ἕτερον τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι: τὸ μὲν τοιοῦτον ἔγκλημα † δημόσιον ὑπάρχον, κατὰ τοὺς νόμους ἐξετάζεσθαι, καὶ νομίμης ἐκδικήσεως ἀξιοῦσθαι θεσπίζομεν. τοῖς δὲ παισὶν ἄδειαν εἶναι ἐν ταῖς ἰδίαις διαθήκαις, μηδὲν ἐκ τῶν ἰδίων περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειν τῷ τοιοῦτον μύσος πεπραχέναι γινωσκομένῳ. † τὸν ἄνδρα. † οἷα δημόσιον.

ΣΧΟ-

ΣΧΟΛΙΟΝ.

Τὸ αὐτὸ καὶ περὶ τοὺς παῖδας τοῦτο. οὐ γὰρ κατὰ τῶν παίδων [illegible], ἀλλὰ καὶ ὁ κατὰ τοῦ πατρὸς [illegible] παρὰ τῆς μητρὸς, καὶ ὁ κατὰ τῆς μητρὸς παρὰ τοῦ πατρὸς, [illegible] φιλοστοργότερον τι καὶ [illegible]. καὶ ἄρα [illegible] τῶν παίδων, καὶ [illegible] παῖδας πρὸς τὴν τῶν [illegible] γονέων αἰδῶ καὶ τιμήν.

Εἰ τῶν παίδων, ἢ ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος, οἱ γονεῖς φροντίσαι αὐτῶν ἀμελήσωσιν, πάντα κἀντεῦθεν παραφυλάττεσθαι προστάττομεν, ἅπερ περὶ τῶν μαινομένων γονέων, ἀνωτέρω ἐθεσπίσαμεν.

Τούτοις τοῖς θέμασι, καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ τοὺς παῖδας κρατεῖσθαι, καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἢ ἀμελείας μὴ ἀναρρυσθέντας, τελευτῆσαι συμβαίη: μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἔρχεσθαι τῶν παίδων, ἐφ' αἷς διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι, ἅπερ καὶ περὶ γονέων καὶ συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τούτων δίκαια καλουμένων, ἢ περὶ τῶν ἐξωτικῶν καλουμένων κληρονόμων ἀνωτέρω διετυπώσαμεν.

Εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων, αἰσθηταὶ τὸν ἴδιον γονέα, ἢ γονεῖς μὴ εἶναι καθολικοὺς, ταῦτα καὶ ἐπὶ τῶν τοιούτων προσώπων κρατεῖν, ἅπερ ἀνωτέρω περὶ τῶν γονέων διετυπώσαμεν.

ΠΕΡΙ ΑΔΕΛΦΟΠΟΙΙΑΣ.

ΤΙΤΛΟΥ ιγ. κεφάλ. ιε.

Μηδὲ παρὰ * ξένοις, τοῖς ἔξω ῥώμης οἰκοῦσι, διὰ θέσεως ἀδελφότης συνιστάσθω.

ἡ θέσις μιμεῖται τὴν φύσιν. οὐδεὶς δὲ ἑαυτοῦ γεννᾷ ἀδελφόν.

ΣΧΟΛΙΟΝ.

* Τοῖς μὴ συγγενέσιν οὖσι [illegible] ὡς ὅτι παρὰ τοῖς συγγενέσι [illegible] ὁ κατὰ θέσιν ἀδελφότης. εἰ γάρ τις ξένον τινὰ [illegible] θέσιν ἀδελφὸν ὄντα, γράψῃ κληρονόμον, ἀδελφὸν [illegible] ὁ κατὰ κληρονόμον [illegible] τὸ ἀδελφὸν αὐτὸν ὀνομάσαι, [illegible] τοῦ νόμου [illegible] τὴν κατὰ θέσιν ἀδελφότητα.

Κἂν τις ὡς ἀδελφὸς † προσληφθεὶς κληρονόμος γραφῇ, ἐκπιπτέτω τῆς κληρονομίας.

† προσλήψεως(?) [illegible]

ΣΧΟΛΙΟΝ.

[illegible] τὸν βασιλέα, ὅτι ὁ πατὴρ αὐτοῦ ἔλαβεν εἰς θέσιν ἑαυτοῦ ἀδελφὸν, καὶ τελευτῶν ὡς ἀδελφὸν [illegible] κληρονόμον αὐτόν. καὶ λέγει ἡ διάταξις: οὐκ ἔξεστί τινι λαβεῖν εἰς θέσιν ἑαυτοῦ ἀδελφὸν. καὶ [illegible] τὸ μέρος τοῦ κληρονόμου. δύναμαι καὶ γράφειν κληρονόμον τὸν, πρὸς ὃν ἔχω σχέσιν ἀδελφικὴν, μετὰ τῆς κυρίας προσηγορίας ἀδελφὸν αὐτὸν ὀνομάζων. εἰ δὲ μὴ ἀπὸ τοιαύτης σχέσεως, ἀλλὰ κατὰ πλάνην ὡς ἀδελφὸν αὐτὸν ἔγραψα ....

ΠΕΡΙ ἈΠΟΓΡΑΦΗΣ ΤΩΝ ΠΡΑΓΜΑΤΩΝ ΤΟΥ ΤΕΛΕΥΤΗΣΑΝΤΟΣ.

Τίτλου ιδ. κεφάλαιον ϛ.

Ὅτι κληρονομία πρός τινα, ἤτι ἐκ δια-

SCHOLION.

Nimirum heic etiam liberorū aliquid intereſt. Non enim liberis dumtaxat inſidiæ ſtructæ, uerumetiam matris aduerſus patrem, uel patris aduerſus matrem inſidiæ iuſtam indignationem in filio patris & matris amante concitant. Præterea ſunt ex ijs hæc, quæ a malis abducunt, & ad innocentium parentum reuerētiam ac uenerationem liberos impellunt.

Si liberis furore correptis, uel uno ſaltem ex eis, parentes eorum curam gerere neglexerint: hac etiam in parte ſeruari præcipimus omnia, quæ de parentibus furioſis ſupra ſancimus.

His caſibus etiam captiuitatis calamitatem adiungimus, in qua ſi liberos detineri, & parentum contemtu uel negligentia non redemtos, decedere contigerit: nequaquam parentes bona liberorum, de quibus illi teſtari potuerūt, conſequantur: ſed in hoc etiam capite ſeruentur omnia, quæ de parentibus & cognatis, qui ab inteſtato ad illorum iura uocantur, ſupra conſtituimus.

Si quis de memoratis liberis, quum ſit orthodoxus, parētem parentes ue ſuos non eſſe catholicos ſentiat: in his quoque perſonis obtineant, quæ de parentibus ſupra ſtatuimus.

DE FRATERNITATE PER ADOPTIONEM FACTA.

Adoptio naturam imitatur, at nemo ſibi fratrē gignit.

Tit. XIII. cap. XV.

*Nec apud * peregrinos, qui extra Romam habitant, per adoptionem fraternitas conſtituitor.*

L. 7. C. de her. inſtit.

SCHOLION.

* qui ſcilicet cognati non ſunt. nam inter cognatos fraternitas per adoptionem facta nō prohibetur. quippe ſi quis peregrinum quēdam, qui per adoptionē frater ſit, heredem inſtituerit, ſub nomine fratris: heredem eum propterea non facit, quod fratrem appellauerit: quum lex hæc factam per adoptionem fraternitatem prohibeat.

Et ſi quis adrogatus quaſi frater, heres inſtitutus fuerit; hereditate cadat.

SCHOLION.

Quidam per preces imperatori oſtēdit, patrem ſuum adoptaſſe ſibi fratrem, & morientem quaſi fratrem illum heredem inſtituiſſe. Ad hoc conſtitutio dicit: Non licere cuiquam fratrem ſibi per adoptionem facere, ac portionem heredis illi auferri poſſe. Poſſum & heredem inſtituere, quem fraterna caritate diligo, cum nomine proprio fratrem eū appellans. Quod ſi nō ex huiuſmodi caritate, ſed per errorē quaſi fratrē ſcripſi.......... L. 57. D. eod.

DE INVENTARIO RERVM defuncti.

Tit. XIIII. cap. XC.

Quum hereditas ad quemdam ſine ex teſtamento,

L. vlt. C. de iu. delib.

mento, siue ab intestato delata fuerit, siue ex asse, siue ex parte: si quidem recta uia adire noluerit hereditatem, & spe certissima hoc fecerit, & sese immiscuerit, ut eam postea non repudiet: inuentario nullo indiget, quum omnibus creditoribus ac legatarijs obligatus sit, utpote hereditate ei ex sua uoluntate infixa. Similique modo si titubante animo respuendam uel abstinendam esse sibi crediderit hereditatem, aperte intra trium mensium spatium, ex quo ei cognitum fuerit, scriptum se esse uel uocatum heredem, ei renunciet; nullo nec inuentario faciendo, nec alio circuitu spectando; & sit alienus ab huiusmodi hereditate, siue onerosa, siue lucrosa sit. Sin autem dubius est, utrum admittenda sit, nec ne, defuncti hereditas; non putet esse sibi necessariam deliberationem, sed adeat hereditatem, uel sese immisceat: omni tamen modo inuentarium ab ipso conficiatur, ut intra triginta dies post apertas tabulas numerandos, uel postquam ei nota fuerit apertio tabularum, uel postquam delatam sibi ab intestato hereditatem cognouerit, exordium capiat inuentarium super his rebus, quas defunctus mortis tempore habebat. & hoc inuentarium intra dies alios sexaginta modis omnibus impleatur, sub praesentia tabulariorum & ceterorum, qui ad huiusmodi confectionem necessarij sunt. Subscriptionem tamen supponere heredem necesse est, significantem & quantitatem rerum, & quod nulla malignitate circa eas ab eo facta uel facienda, res apud eum remaneant: uel si sit ignarus litterarum, uel scribere praepediatur, speciali tabulario ad hoc solum adhibendo, ut pro eo subscribat, uenerabili signo antea manu heredis praeposito: testibus uidelicet adsumendis, qui heredem cognoscant, & eo iubente tabularium pro se subscribere, interfuerint.

Inuentarium rerum defuncti intra dies LX. fieri debere.

Legito & lib. XXXVII. tit. VII. cap. V. in quo de tutore dicitur:

De tutore. l. 7. D. de adm. & per. tut.

Si absque iusta caussa tutor inuentarium siue descriptionem non fecerit, uelut dolo committens, iureiurando in litē tenetur in id, quod interest. Itaque nihil gerere debet ante factum inuentarium, nisi ea quae dilationem nec modicam ferre possunt.

Legito & tit. XII. cuius I. cap. [illegible] dicitur:

De matre tutrice. Nouel. 94.

Facultas matribus esto gerendi tutelam liberorum. Accurate uero & ipsae faciant inuentarium scriba quoque praesente, cui talium cura commissa est.

θήκης, εἴτε ἐξ ἀδιαθέτου κατενεχθῇ, εἴτε ἐξ ὁλοκλήρου, εἴτε ἐκ μέρους, εἰ μὲν ὀρθῇ ὁδῷ καταδέξασθαι βούλεται τὴν κληρονομίαν, καὶ ἐλπίδι φανερωτάτῃ τοῦτο ποιήσει καὶ ἑαυτὸν ἐμμίξει ἵνα μὴ ὕστερον ταύτην ἀποπέμψηται, οὐδεμιᾶς χρήζει ἀπογραφῆς: ἐπειδὴ πᾶσι τοῖς δανεισταῖς καὶ λεγαταρίοις κατέχεται ὡς τῆς κληρονομίας αὐτῷ ἐξ οἰκείας βουλήσεως ἐμπαγείσης. καὶ τὸν αὐτὸν τρόπον εἰ μὲν † σκιάζουσῃ διανοίᾳ ἀποπτυστέον ἤτοι παραιτητέον αὐτῷ τὴν κληρονομίαν εἶναι πιστεύσει, φανερῶς ἔσω τριῶν μηνῶν διαστήματος, ἐξ οὗ αὐτῷ γνωσθῇ γεγραμμένον αὐτὸν εἶναι ἢ κληθέντα κληρονόμον, ἀπαγορευέτω: οὐδεμιᾶς ἀπογραφῆς γινομένης, οὐδὲ ἄλλης περιόδου σκοπουμένης: καὶ εἴη ἀλλότριος τῆς τοιαύτης κληρονομίας, εἴτε ἐπιβαρὴς ἐστιν, εἴτε ἐπικερδὴς εἴη. εἰ δὲ ἀμφίβολός ἐστι, πότερον προσδεκτέα ἐστὶν ἢ οὐκ ἔστιν ἡ τοῦ τελευτήσαντος κληρονομία: μὴ νομιζέτω ἑαυτῷ εἶναι χρειώδη τὴν διάσκεψιν, ἀλλὰ † καταδέξασθαι τὴν κληρονομίαν, ἢ ἑαυτὸν ἐμμιξάτω. παντὶ μέντοι τρόπῳ ἀπογραφὴ παρ᾽ αὐτοῦ γινέσθω, ἵνα ἔσω λ. ἡμερῶν μετὰ τὸ ἀνοιγῆναι τὴν διαθήκην, ἢ μεθ᾽ ὃ γνωσθῇ αὐτῷ ἡ ἄνοιξις τῆς διαθήκης, ἢ μεθ᾽ ὃ γνῷ κατενεχθεῖσαν αὐτῷ ἐξ ἀδιαθέτου κληρονομίαν ἀριθμουμένων, προοίμιον δέξηται ἡ ἀπογραφὴ περὶ τούτων τῶν πραγμάτων, ἅπερ ὁ τελευτήσας ἐν καιρῷ τῆς τελευτῆς εἶχε. καὶ αὕτη ἡ ἀπογραφὴ ἔσω ἄλλων ξ. ἡμερῶν πᾶσι τρόποις πληρούσθω, ὑπὸ παρουσίᾳ ταβουλλαρίων καὶ τῶν λοιπῶν, οἵ τινες εἰς τὴν τοιαύτην ποίησιν χρειώδεις εἰσίν. ὑπογραφὴν μέντοι τὸν κληρονόμον ὑποτάσσειν ἀναγκαῖόν ἐστι, σημαίνουσαν καὶ τὴν ποσότητα τῶν πραγμάτων, καὶ ὅτι οὐδεμιᾶς κακοηθείας περὶ αὐτὰ ἐξ αὐτοῦ γινομένης, ἢ γενησομένης, τὰ πράγματα παρ᾽ αὐτῷ μένουσιν. ἢ ἐὰν ἄπειρός ἐστι γραμμάτων, ἢ γράψαι ἐμποδίζηται, ἰδικοῦ ταβουλλαρίου εἰς τοῦτο μόνον προσλαμβανομένου, ἵνα ὑπὲρ αὐτοῦ ὑπογράφῃ, τοῦ προσκυνουμένου σημείου πρότερον χειρὶ τοῦ κληρονόμου προταγέντος: μαρτύρων δηλαδὴ προσλαμβανομένων, οἵ τινες τὸν κληρονόμον ἐπιγινώσκουσιν, καὶ κελεύοντος αὐτοῦ τὸν ταβουλλάριον ὑπὲρ αὐτοῦ ὑπογράψαι † συνίστανται.

† σκάζουσῃ.

† καταδέξασθαι.

ἵνα ἡ ἀπογραφὴ τῶν τοιούτων πραγμάτων ἐντὸς ξ. ἡμερῶν ἐκτελεσθῇ.

† σύνεισιν.

Ἀνάγνωθι καὶ βιβλίον λζ. τίτλ. ζ. κεφάλαιον ε. ἐν ᾧ φησὶ περὶ ἐπιτρόπου:

Ὅτι ἐὰν χωρὶς εὐλόγου αἰτίας ὁ ἐπίτροπος μὴ ποιήσει ἰνβεντάριον, ἤτοι καταγραφὴν, ὡς δόλον ἁμαρτάνων ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ εἰς τὸ διαφέρον. πρὸ τῆς ποιήσεως οὖν αὐτοῦ, διοικεῖν οὐδὲν ὀφείλει, εἰ μὴ τὰ μηδὲ μετρίας ὑπερθέσεως ἀνεχόμενα.

περὶ ἐπιτρόπου.

Ἀνάγνωθι καὶ τίτλ. ιβ. κεφάλ. α. ἐν ᾧ φησίν.

Ὅτι ἄδεια ἔστω ταῖς μητράσιν ἐπιτροπεύειν τῶν παιδίων. σὺν ἀκριβείᾳ δὲ καὶ αὐτὰς ποιεῖν ἀπογραφὴν παρόντος καὶ τοῦ σκρίβα, ᾧ ἡ περὶ τῶν τοιούτων φροντὶς ἐπιτέτραπται.

περὶ μητρὸς ἐπιτροπευούσης.

ΣΧΟ-

ΣΧΟΛΙΟΝ.

[illegible] γράφω [illegible], κινδυνεύουσι καὶ εἰς τὰ μὴ φαινόμενα τῆς προικὸς πράγματα, μὴ δυνάμεναι ταῦτα [illegible].

Ἀνάγνωθι καὶ βιβλίον λη. τίτλον γ. κεφάλαιον λϛ. ἐν ᾧ φησίν.

Μὴ ἀπτέσθω δὲ τῶν πραγμάτων ὁ ἐπίτροπος, εἰ μὴ πρότερον ἀπογραφὴ γένηται. εἰ μή τινες ἄρα οἱ τὴν οὐσίαν παραπέμψαντες εἰς τοὺς ἀνήβους, αὐτοὶ τὴν ἀπογραφὴν ἐκώλυσαν γενέσθαι. ὁ δὲ μὴ ποιήσας ἀπογραφὴν, καὶ ὡς ὕποπτον ἀποκινείσθω, καὶ ἀτιμούσθω: μηδὲ ἀπὸ βασιλικῆς ἀντιγραφῆς συγγνωσθῆναι δυνάμενος.

Ἀνάγνωθι καὶ τίτλον ιε. κεφάλαιον δ. ἐν ᾧ φησίν

† ἀπογραφὴν. Ὁ ἐπίτροπος μὴ ποιήσας † ἀπογραφὴν, ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ.

Ἀνάγνωθι καὶ βιβλίον μα. τίτλον δ. κεφάλαιον γ. καὶ κεφάλαιον . . . . . . ἐν οἷς φησίν.

Ὅτι ἂν μὴ ποιήσῃ καταγραφὴν ὁ κληρονόμος, οὐ παρακατέξει φαλκίδιον: ἀλλὰ πληρώσει τοὺς λεγαταρίους, κἂν εἰ τὸ τῆς καθαρᾶς οὐσίας τοῦ τελευτήσαντος ὑπερβαίνῃ μέτρον, ἡ τῶν λεγάτων δόσις.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ [illegible] ἀνάγνωθι καὶ [illegible] φησίν, ὅτι ἀναγκαίως ἔχουσιν οἱ κληρονόμοι ἅπερ ὁ διαθέμενος διατάξηται πληροῦν, καὶ τὸ ποιεῖν ἰνβενετάριον, ἤτοι ἀπογραφὴν, εἰ μὴ μέλλει [illegible] λεγαταρίους.

ΠΕΡΙ ΤΩΝ ΔΙΑΘΗΚΗΝ ΑΝΟΙΓΟΝΤΩΝ, Ἢ ΜΕΤΑΓΡΑΦΟΝΤΩΝ, Ἢ ἀναγινωσκόντων παρανόμως, ἢ ἀπαλειφόντων, ἢ κρυψάντων, ἢ κλεψάντων, ἢ γραψάντων ἐν αὐτῇ λεγάτον εἴτε ἑαυτοῖς, εἴτε ἑτέροις: ἢ ἄλλο τι περὶ αὐτὴν ἁμαρτησάντων.

Τίτλου ιϛ. κεφάλαιον ιγ.

Ἡ παράνομος τῆς διαθήκης ἄνοιξις καὶ ἡ ἐξέτασις, πενταετίᾳ περικλείζεται, ὅτι ἐξωτικὸς λέγεται φονεῦσαι. εἰ γάρ τις τῶν κατιόντων, διηνεκής ἐστιν ἡ κατηγορία.

κζ.

Ἐὰν πολλῶν ὄντων κληρονόμων, ἀκόντων ἢ ἀγνοούντων τινῶν ἀνοιγῇ διαθήκη, τῶν ἰδίων μερῶν οὐκ ἐκπίπτουσιν.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον μα. κεφάλαιον β. ἐν ᾧ φησίν.

Ὁ κλέψας διαθήκην, ἢ κρύψας, ἢ ἁρπάσας, ἢ ἀπαλείψας, ἢ ὑποβαλὼν, ἢ ἀποσφραγίσας, ἢ πλαστεύσας, ἢ κατὰ δόλον ἀναγινώσκων, ἢ δολερῶς παρασκευάσας ταῦτα γενέσθαι, τῷ τῆς πλαστογραφίας ἐγκλήματι ὑπόκειται.

ΣΧΟΛΙΟΝ.

Ἡ δὲ ποινὴ τῆς πλαστ. [illegible] μέγιστόν τι ἐκ τούτου ἁμαρτάνηται [illegible]: εἰ δὲ μὴ, [illegible]. βιβλίῳ ξ. τίτλῳ μα. κεφ. νϛ. [illegible] τέλει.

SCHOLION.

Sciendum est, ni matres ad diem constitutũ faciant inuentarium, periclitari eas & de rebus dotis non exstantibus, quas petere non poterunt.

Legito & lib. XXXVIII. tit. III. cap. XXXVI. in quo dicitur:

Res ipsas tutor non attingat, nisi prius inuentarium factum fuerit: nisi forte qui substãtiam ad pupillos transmiserunt, ipsimet inuẽtarium conscribi uetuerint. Qui uero non fecerit inuentarium, & quasi suspectus ab officio remouetor, & infamia notator; nec ex imperiali rescripto absolutione huius notæ fruiturus. l. ult. §. 1. C. arb. tut.

Legito & tit. XV. cap. IIII. in quo dicitur:

Tutor qui non fecerit inuentarium, iureiurando in litem tenetur. l. 4. C. de in lit. iur.

Legito & lib. XLI. tit. IIII. cap. III. & cap. . . . . . in quibus dicitur:

Nisi fecerit heres inuentarium, Falcidiam non retinebit: sed legatarijs satisfaciet, quamuis puræ substantiæ defuncti modum datio legatorum excesserit. Nouel. 1. cap. 2.

SCHOLION.

Legito & nouellam CXV. Item nouellam I. in qua dicitur, heredibus implenda necessario, quæ testator ordinarit; & faciendum inuentarium siue repertorium: nisi creditores & legatarios ueriti fuerint.

DE HIS QVI ADVERSVS SENATUSCONSULTUM TESTAMENTUM APERIUNT, UEL describunt, uel recitant, uel delent, quiue cælauerunt, uel amouerunt, uel adscripserunt in eo legatum, aut sibimet ipsis, aut alijs: uel quid aliud in eo commiserunt.

Tit. XVI. cap. XIII.

Cognitio aperti aduersus senatusconsultum testamenti, & quæstio, quinquennio concluditur, quum extraneus occidisse dicitur: nam si quis descendentium, perpetua est accusatio. l. 13. D. de S. C. Silan.

XXVII.

Si de pluribus heredibus quibusdam inuitis aut ignorantibus apertum erit testamentum, portiones illi suas non amittunt.

Legito & lib. LX. tit. XLI. cap. II. quo dicitur:

Qui testamentum amouerit, aut celauerit, aut eripuerit, aut deleuerit, aut subiecerit, aut resignauerit; quiue testamentum falsum scripserit, aut dolo malo recitauerit, cuiusue dolo malo hæc facta fuerint; falsi crimine tenetur. l. 2. D. de l. Corn. de fals.

SCHOLION.

Pœna uero criminis falsi, si ex eo maximũ quid cõmittatur, capitis est suppliciũ: sin minus, in insulã deportatio. lib. LX. tit. XLI. cap. LVI. circa finẽ. Item

Item cap. XXVI.

Si filius patris sui testamentum aboleuerit, & quasi ab intestato se pro herede gesserit, licet ita diem suum obierit; tota hereditas paterna heredibus eius eripitur.

Legito & cap. XLIX. & LX. in quibus dicitur:

l. 3. C. de his qui sibi ascr. *Nemo scribere testamentum potest, & sibi legatum adscribere. qui uero legis ignorantiam fatetur, & sibi relictum se non accepturum pollicetur; in pœnam legis de falso non incurrit.*

Et cap. LXI. & LXII.

Similes in testamento commilitonis sibi legatum adscripserit, pro non scripto quidem habetur, sed lex de falso cessat. Si quis dictante testatore libertatem sibi adscripserit, inutilis quidem libertas est, pœna tamen falsi remittitur.

DE BONORVM POSSESSIONE contra tabulas, & de bonorum possessionibus.

Tit. XVII. cap. II.

l. 1. D. de bon. pos. sec. tab. *Prima est possessio, quæ cõtra tabulas dicitur. Et quum finitum fuerit eius tempus, aut ante liberi decesserint, uel repudiauerint, uel ius petẽdi amiserint: secundũ tabulas auxiliũ datur.*

III.

Quisquis moriente testatore in utero fuerit, si natus sit, bonorum possessionem petit.

Legito & tit. XIX. cuius cap. I. dicitur:

Si contendant inter se institutus & substitutus, medio tempore institutus esse in possessione debet.

Legito & tit. XXI. cap. XII. them. III. in quo dicitur:

Possessio ultra præfinitum tempus ne quidem in successione militis petitur.

Καὶ κεφάλαιον κϛ.

Ἐὰν υἱὸς ἀπαλείψῃ τὴν πατρῴαν διαθήκην, καὶ ὡς ἐξ ἀδιαθέτου κληρονομήσῃ, καὶ τελευτήσῃ: ἀφαιρεῖται † τῆς κληρονομίας αὐτοῦ, πᾶσα ἡ τοῦ πατρὸς κληρονομία. † τοῖς κληρονόμοις

Ἀνάγνωθι καὶ κεφάλαιον μθ. καὶ κεφάλαιον ξ. ἐν οἷς φησίν.

Οὐδεὶς δύναται γράψαι διαθήκην, καὶ ἑαυτῷ προσγράψαι λεγάτον. ὁ δὲ ἀνθομολογῶν ἀγνοεῖν τὸν νόμον, καὶ ἐπαγγελλόμενος μὴ λαμβάνειν τὸ καταλελειμμένον ἑαυτῷ, οὐχ ὑποπίπτει τῇ ἀπὸ τοῦ περὶ πλαστογραφίας νόμου τιμωρίᾳ.

Καὶ κεφάλαιον ξα. καὶ ξβ.

Καὶ στρατιώτης ἐν διαθήκῃ συστρατιώτου γράψῃ ἑαυτῷ λεγάτον, ἰσχυρὸν μὲν οὐκ ἔστι † τῷ γράψαι, πλὴν ἀργεῖ ὁ νόμος ὁ περὶ πλαστογραφίας. ἐάν τις ὑπαγορεύοντος τοῦ διατιθεμένου, ἐλευθερίαν ἑαυτῷ προσγράψῃ, ἄχρηστος μὲν ἡ ἐλευθερία, πλὴν ἡ τοῦ πλαστοῦ τιμωρία συγκεχώρηται. † τῷ γράψαντι

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΔΙΑΘΗΚΗΣ ἐναντιώσεως, καὶ περὶ διακατοχῶν.

ΤΙΤΛΟΣ ιζ. κεφαλ. β.

Πρώτη ἐστὶ διακατοχὴ, ἡ κατὰ τῆς διαθήκης ἐναντίωσις. καὶ ὅτι πληρωθῇ ὁ χρόνος αὐτῆς, ἢ προτελευτήσωσιν οἱ παῖδες ἢ ἀπείπωσιν, ἢ ἀπολέσωσι τὸ δίκαιον τῆς αἰτήσεως: δίδοται ἡ ἐκ τῆς διαθήκης βοήθεια.

γ.

Ἕκαστος ἐγκυμονούμενος ἐν τῇ τελευτῇ τοῦ διατιθεμένου, αἰτεῖ διακατοχὴν τικτόμενος.

Ἀνάγνωθι καὶ τίτλον ιθ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ἐὰν διαμάχωνται πρὸς ἀλλήλους ἐνστατὸς καὶ ὑποκατάστατος, πῶς ὁ ἐνστατὸς ὀφείλει εἶναι ἐν τῇ νομῇ.

Ἀνάγνωθι ἐν τιτ. κα. κεφ. ιβ. θεμ. γ. ἐν ᾧ φησίν.

Ἡ διακατοχὴ περαιτέρω τοῦ ὡρισμένου χρόνου, οὐδὲ ἐπὶ στρατιωτικῆς διαδοχῆς αἰτεῖται.

BASILICORVM LIBER XXXVI.

DE CODICILLIS.

TIT. I. CAP. I.

D. de iu. cod. *Codicilli sunt imperfectæ in testamento uoluntatis testatoris impletio.*

III.

Etiam testamento non facto, potest quis ab intestato facere codicillos. Et si post codicillos factos natus fuerit heres, in eis relicta præstat. Non enim rumpũtur adgnatione filijfamilias. Ante testamentum codicilli facti non ualent, nisi fuerint in eo confirmati, uel codicillis posterioribus, aut alias ostensum fuerit, uoluisse testatorem eos ualere. Possunt autem codicilli per

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. λϛ.

ΠΕΡΙ ΚΟΔΙΚΕΛΛΟΥ.

Τίτλος α. κεφάλ. α.

Κωδίκελλός ἐστιν ἐλλιποῦς † διαθήκης γνώμης τοῦ διατιθεμένου ἀναπλήρωσις. † ἐν διαθήκῃ

γ.

Καὶ διαθήκης μὴ οὔσης, δύναταί τις πρὸς αὐτοὺς ἐξ ἀδιαθέτου ποιῆσαι κωδίκελλον. καὶ ἐὰν μετὰ τὴν ποίησιν αὐτοῦ τεχθῇ ὁ κληρονόμος, δίδωσι τὰ ἐν αὐτῷ. οὐ γὰρ ῥήγνυνται ἐπιγεννήσει ὑπεξουσίου. οἱ πρὸ τῆς διαθήκης κωδίκελλοι, οὐκ ἰσχύουσιν, εἰ μὴ βεβαιωθῶσιν ἐν αὐτῇ ἢ μεταγενεστέρῳ κωδικέλλῳ, ἢ ἄλλως ἀναδειχθῇ ὁ διατιθέμενος, βουληθεὶς αὐτοὺς ἐρρῶσθαι. δύνανται δὲ οἱ κωδίκελλοι διαμετα-

μεταγενεστέρας ἀνατρέπεσθαι βουλήσεως. πολλοὺς κωδικέλλους δυνατὸν ποιεῖν. καὶ μήτε ἀνάγκη σφραγίζεσθαι αὐτοὺς, μήτε ὑπογράφεσθαι. κἂν ἐν τῷ βεβαιοῦν αὐτοὺς ἐν τῇ διαθήκῃ * εἴπῃ, μὴ ἄλλως αὐτοὺς ἐρρῶσθαι, εἰ μὴ σφραγισθῶσι καὶ ὑπογραφῶσι. τὰ γὰρ πρῶτα διὰ τῶν μεταγενεστέρων ἀναιρεῖται.

* περὶ τῶν κωδικέλλων γενομένων δηλονότι.

η.

Ὁ βεβαιῶν ἐν διαθήκῃ κωδικέλλους, ἐὰν δοὺς ἑαυτὸν εἰς θέσιν τοῦτο ποιήσῃ, καὶ ὕστερον αὐτεξούσιος γεγονὼς ἀποθάνῃ, ἔρρωται. καὶ ἡ διαθήκη γὰρ ἔρρωται. κυοφορουμένου ἐπικτωμένου καὶ τελευτῶντος, ἡ διαθήκη ῥήγνυται, οὐ μὴν οἱ κωδίκελλοι.

ι.

Ἐν κωδικέλλοις οὐ δίδωται κληρονομία, οὔτε ἐν αὐτοῖς διαθήκη βεβαιοῦται. ἐάν τις ἀγνοῶν ἐγκυμονεῖν τὴν αὐτοῦ γαμετὴν, κωδικέλλους πρὸς τὸν ἤδη τεχθέντα ποιούμενος, ἐλευθερώσῃ τινὰς, καὶ τεχθῇ ὁ κυοφορούμενος, μόνος ὁ πρῶτος χρεωστεῖ τὰς ἐλευθερίας, ἀγοράζων τὰ μέρη παρὰ τοῦ τεχθέντος. οὗτος γὰρ οὐδὲν χρεωστεῖ.

ιε.

Οὐδεὶς δύναται ἐν κωδικέλλοις γράφειν τινὰ ἐξωτικὸν κληρονόμον, ἢ † ὑποκατάστασιν.

† ὑποκατάστασιν.

Ἀνάγνωθι τὸ βιβ. λε. τίτ. ϛ. κεφ. ιγ. ἐν ᾧ φησίν.

Ὁ κωδίκελλος, καὶ αἱ λοιπαὶ γραφαὶ, αἱ ὁπωσδήποτε γινόμεναι, κατὰ τὴν παρατήρησιν ἐμφανιζέσθωσαν τῆς διαθήκης.

Ἀνάγνωθι καὶ τίτ. λ. θ. κεφάλ. ξβ. ἐν ᾧ φησίν.

Εἰ καὶ ἐν κωδικέλλοις κληρονομία οὐ δίδοται, ὅμως ἐν αὐτοῖς δυνατὸν τὸ ὄνομα τοῦ κληρονόμου σαφηνίζειν, ὅταν ἐν διαθήκῃ εἴπω, ΚΛΗΡΟΝΟΜΟΣ ἘΣΤΩ ὋΝ ἘᾺΝ ἘΝ ΤΟΙ͂Σ ΚΩΔΙΚΈΛΛΟΙΣ ΠΟΙΉΣΩ ΚΛΗΡΟΝΌΜΟΝ. καὶ ὁ τοιοῦτος τὸ λεῖπον τῆς ἐν τῇ διαθήκῃ διανεμηθείσης ιβ. οὐγκίαις λαμβάνει.

Ἀνάγνωθι καὶ τίτ. λ. ια. κεφαλ. οα. ἐν ᾧ φησίν.

Ἐν κωδικέλλοις γινομένη ὀρφανικὴ ὑποκατάστασις. εἰ καὶ ἄκυρός ἐστι, διὰ τὸ μὴ δύνασθαι κληρονομίαν ἐν κωδικέλλοις δίδοσθαι ἢ ἀφαιρεῖσθαι, ὅμως ὡς ἀποκατάστασις ἰσχύει. εἰ δὲ δύο ὄντες οἱ ὑποκατάστατοι, ἀμοιβαδὸν ἀλλήλοις ὑποκατεστάθησαν, κρατεῖ καὶ ἐν τῇ ἀποκαταστάσει ὑποκατάστασις: καὶ τοῦ ἑνὸς τελευτήσαντος ὁ ἕτερος ἀπαιτεῖ τὸ φιδεικόμισσον.

Καὶ κεφάλαιον ογ.

Ἀδιάθετος τὶς τελευτῶν, ἐποίησε κωδικέλλους, ἐν οἷς οὕτως εἶπεν: ἈΝΉΚΟΥΣΙΝ ΟὟΤΟΙ ΟἹ ΚΩΔΊΚΕΛΛΟΙ ΠΡῸΣ ΤῊΝ ΓΑΜΕΤῊΝ ΜΟΥ ΚΑῚ ΤῊΝ ΘΥΓΑΤΈΡΑ ΜΟΥ. ΚΑῚ ΠΑΡΑΚΑΛΩ͂, ΕἼ ΤΙ ΚΑΤΑΛΕΊΨΩ ὙΜΙ͂Ν, Ἢ ὙΜΕΙ͂Σ ΣΧΟΊΗΤΕ, ΚΟΙΝῸΝ ὙΜΩ͂Ν ΕἾΝΑΙ. κληρονομοῦσα τοῦ πατρὸς ἐξ ἀδιαθέτου ἡ θυγάτηρ, τὸ ἥμισυ τοῦ κλήρου χρεωστεῖ ὡς ἐξ

posteriorem uoluntatem rescindi. Codicillos plures quis facere potest, & neque signari eos, neque subscribi necesse est. Licet eos confirmans testamēto * dixerit, nō aliter ualituros, nisi signati subscriptique fuerint. Nam per ea, quae postea geruntur, priora rescinduntur.

* scilicet de codicillis factis.

VIII.

Qui testamento codicillos confirmat, si quum adrogandum se praebuisset, id fecerit, ac postea emancipatus decesserit: quod actum est, ualet. nam & testamentū ualet. Postumo nato & mortuo, testamentū rumpitur, non tamen codicilli.

X.

Codicillis non datur hereditas, nec per eos testamentum confirmatur. Si quis ignorans uxorem praegnatē, codicillis ad filium iam natum scriptis libertates aliquibus dederit, & natus fuerit postumus: primus duntaxat libertates debet, redemtis ab edito postumo partibus. Nam is nihil debet.

XV.

Nemo codicillis extraneum heredem instituere uel substituere potest.

Legito & lib. XXXV. tit. VI. cap. XIII. in quo dicitur:

Codicilli & scripturae cetera, quolibet modo formatae, secundum obseruationem, qua testamenta panduntur, in publicum proferuntur.

L. ult. C. quem. test. ap.

Legito ibid. tit. VIIII. cap. LXII. cuius haec uerba sunt:

Licet hereditas codicillis non datur, tamen in eis nomen heredis declarari potest, quum in testamēto dixero, HERES ESTO, QVEM HEREDEM CODICILLIS FECERO. atque is quod residuum manet ex distributis in testamento XII. uncijs, accipit.

L. 77. D. de her. instit.

Legito & tit. XI. cap. LXXI. cuius uerba sunt:

Codicillis facta pupillaris substitutio licet inutilis sit propterea, quod codicillis hereditas nec dari nec adimi possit; tamen ut fideicommissum ualet. Quod si duo fuerint, inuicem substituti, & in fideicommisso substitutio ualet: unoque eorum mortuo, totum alter fideicommissum accipit.

L. 76. D. ad S.C. Treb.

Et cap. LXXIII.

Quidam intestato moriens, codicillos fecit, quibus haec uerba inseruit: PERTINENT HI CODICILLI AD VXOREM ET FILIAM MEAM. ET ROGO, QVIDQVID EGO RELIQVERO VOBIS, AVT VOS HABEATIS, COMMVNE VOBIS SIT. filia patri ab intestato succedēs, dimidiam partem hereditatis matri uelut ex

fideicommisso debet; si etiam mater parata sit in commune bona sua conferre. Quidam quum ex disparibus portionibus filios suos heredes instituisset, rogauit unum, ut si intra XX. annū sine liberis moreretur, ceteris partem suam restitueret. Pro portionibus reliquorum heredita rijs, fideicommissa eis restituuntur.

ἀποκαταστάσεως τῇ μητρί· ἐὰν καὶ ἡ μήτηρ ἑτοίμως ἐστὶ κοινοποιῆσαι τὴν οὐσίαν αὐτῆς. αἰτίσας τις τοὺς υἱοὺς αὐτοῦ γράψας κληρονόμους, ἠξίωσε τὸν ἕνα τελευτῶντα πρὸ τοῦ κε. ἐνιαυτοῦ ἄπαιδα, τοῖς λοιποῖς ἀποκαταστῆσαι τὸ μέρος αὐτοῦ. πρὸς τὰ μέρη τῆς κληρονομίας τῶν λοιπῶν, γίνονται αὐτοῖς αἱ † ἀποκαταστάσεις. † ἀποκαταστάσεις.

Legito & tit. XVI. cap. XXXI.

Ἀνάγνωθι καὶ τίτλον ις. κεφάλαιον λα.

DE CAEDIBVS EX QVACVMQVE caussa factis, tam uoluntarijs, quam non uoluntarijs; & de ijs, qui ob quæstionem de his habendam torquentur. tum qui percussores puniantur, quibus ignoscatur.

ΠΕΡΙ ΦΟΝΩΝ ΤΩΝ ΕΞ ΟΙΑΣΟΥΝ προφάσεως γενομένων, ἑκουσίων τε καὶ ἀκουσίων, καὶ περὶ τῶν βασανιζομένων ἐν τῇ περὶ τούτων ἐξετάσει. καὶ τίνες τῶν φονέων τιμωροῦνται, καὶ τίνες συγγινώσκονται.

Tit. .... cap. I.

ΤΙΤΛΟΣ ..... κεφ. α.

l. 1. D. de S. C. Silan. *Occiso eius filio, qui captus est ab hostibus, quæstio de seruis habetur. Item, occiso patre, de seruis in castrensi peculio filij quæstio habetur, licet non sit in potestate filius. Item, marito uel uxore necata, in utriusque seruos, atque etiam soceri, uindicatur. Item, iugulatus dicitur, qui per uim aut cædem est interfectus, aut strangulatus, aut præcipitatus, aut fustibus, uel saxis, uel alio quo telo percussus. Si uero ueneno, uel quo alio, quod clam necare possit, interemtus sit: quæstio de seruis non habetur, nisi per uim uenenum infusum sit. Nam qui uenenum dederunt, uel sceleris conscij fuerunt, supplicio adficiuntur. Eius qui ueneno necatus est, & testamētum ante quæstionem habitam aperitur, & hereditas aditur. Item, qui sub eodem * tecto fuerunt, omnimodo puniuntur.* * hoc est, qui eadem in domo est. *Eodem autem tecto intelligimus eos, qui necati uocem exaudire potuerunt. Qui uocem interemti exaudire non potuit, non punitur; nisi conscius sit. Sed & ancilla, licet corpore auxilium ferre nequeat, proclamare tamen debet; ut reliqui in domo, aut uicini audiant. Quod si non fecerit, ultimo supplicio adficitur; licet metu mortis nō proclamauerit. Nam seruos saluti suæ salutem dominorum oportet anteponere.*

Ὅτι παιδὸς τοῦ αἰχμαλώτου ἀναιρεθέντος οἱ δοῦλοι βασανίζονται. καὶ ὅτι τοῦ πατρὸς ἀναιρουμένου, οἱ ἐν τῷ ἰδιοκτήτῳ πεκουλίῳ τοῦ υἱοῦ δοῦλοι βασανίζονται, εἰ † δὲ αὐτεξούσιος ἐστὶν ὁ υἱός. † καὶ. Καὶ ὅτι ἀνδρὸς ἢ γυναικὸς ἀναιρουμένου, οἱ ἑκάτεροι δοῦλοι καὶ οἱ τοῦ πενθεροῦ τιμωροῦνται. καὶ ὅτι, † ἐσφαγμένος ἐστὶν, ὁ κατὰ βίαν, ἢ σφαγὴν ἀναιρούμενος, ἢ πνιγόμενος, ἢ κατακρημνιζόμενος, ἢ ῥοπάλοις τυπτηθεὶς, ἢ λίθοις, ἢ ἄλλῳ τινὶ ἀκοντίῳ. † ἐσφαγμένος. εἰ δὲ φαρμάκῳ ἢ ἑτέρῳ τινὶ δυναμένῳ λάθρα φονεῦσαι ἀνῃρέθη, οὐ βασανίζονται οἱ δοῦλοι, εἰ μὴ † βεβαίως ἔλαβε τὸ φάρμακον. † βιαίως. οἱ δεδωκότες γὰρ ἢ συνειδότες τῷ γενομένῳ, κολάζονται. ἐπὶ τοῦ ἀναιρεθέντος φαρμάκῳ καὶ ἡ διαθήκη πρὸ ἐξετάσεως ἀνοίγεται, καὶ ἡ κληρονομία κληρονομεῖται. καὶ ὅτι οἱ ὑπὸ τὴν * αὐτὴν στέγην, πάντως κολάζονται. * τουτέστιν, ἐν τῷ οἰκίᾳ ὤν. ὑπὸ δὲ τὴν αὐτὴν στέγην νοοῦμεν τοὺς δυναμένους ἀκοῦσαι τῆς φωνῆς τοῦ φονευθέντος. ὁ μὴ δυνάμενος ἀκοῦσαι τῆς φωνῆς τοῦ ἀναιρεθέντος, οὐ τιμωρεῖται, εἰ μὴ συνίστωρ ἐστί. καὶ ἡ δούλη δὲ κἂν μὴ δύναται σώματι βοηθεῖν, ἀλλ' οὖν ὀφείλει κράζειν, ἵνα οἱ λοιποὶ ἀκούσωσιν, ἢ οἱ γείτονες. τοῦτο δὲ μὴ ποιήσασα, ἐσχάτως τιμωρεῖται, κἂν φόβῳ τοῦ ἀποθανεῖν οὐκ ἔκραξε. δεῖ γὰρ τοὺς οἰκέτας προκρίνειν τῆς οἰκείας σωτηρίας τὴν τῶν δεσποτῶν.

SCHOLION.

Ancilla quæ non proclamauit, quum domina iugularetur, punitur; quamuis percussor ei mortem minaretur, si proclamasset. Nam saluti suæ salutem domino præferat. Eodem autem tecto qualiter accipiendum sit, uideamus. utrum si intra eosdem parietes erant, an & ultra. uel intra eamdem diætam, uel eamdem domum, uel in eisdem hortis. & ait Seruius, sic esse sepe iudicatum; ut qui eo loci erant, unde uocem domini exaudire poterant, hi puniantur; quasi si sub eodem tecto fuissent. licet omnes eamdem uocem non habeamus, sed alij ualidiorem, alij exiguiorem; nec omnes undique exaudiri possimus.

ΣΧΟΛΙΟΝ.

Δούλη μὴ ἐκβοήσασα σφαζομένης τῆς δεσποίνης, τιμωρεῖται, κἂν ὁ σφαγεὺς ἠπείλει αὐτῇ θάνατον ἂν κράξῃ. προτιμᾶν γὰρ τὴν σωτηρίαν τῆς δεσποίνης τῆς ἰδίας. τὸ δὲ ὑπὸ τὴν αὐτὴν στέγην, ἴδωμεν πῶς ἐκδέχεσθαι ὀφείλομεν. πότερον ὁ ὑπὸ τοὺς αὐτοὺς τοίχους ὤν, ἢ καὶ περαιτέρω, ὁ ὑπὸ τὴν αὐτὴν δίαιταν ὤν, ὁ ἐν τῷ αὐτῷ οἴκῳ, ὁ ἐν τοῖς αὐτοῖς κήποις. καὶ λέγει ὁ Σέρβιος. ὅτι πολλάκις οὕτως ἐκρίθη, ἵνα οἱ ἐν ἐκείνῳ τῷ τόπῳ ὄντες, ἐν ᾧ τὴν φωνὴν τοῦ δεσπότου ἠδύναντο ἀκοῦσαι, οὗτοι κολάζωνται, ὡσανεὶ ὑπὸ τὴν αὐτὴν στέγην ὄντες. εἰ καὶ τὰ μάλιστα οὐ πάντες μίαν ἔχομεν φωνὴν, ἀλλ' οἱ μὲν ἰσχυροτέραν, οἱ δὲ ἀσθενεστέραν· καὶ οὐ πάντες πανταχόθεν ἀκούεσθαι δυνάμεθα.

γ. Οἱ διὰ

γ.

Ὁ διὰ βαρὺ νόσον μὴ βοηθήσας, συγγινώσκεται, ἐὰν τελευτῶν ὁ δεσπότης, εἴπη παρὰ τοῦ δούλου ὑπαρχθῆναι αὐτῷ τὴν αἰτίαν τοῦ φόνου, οὐ πιστεύεται, εἰ μὴ καὶ ἑτέρωθεν δείκνυται. ἐὰν ἑκὼν ὁ δοῦλος κατηγορήσῃ καὶ διελέγξῃ ἀναίρεσιν τοῦ δεσπότου, ἀναρπάζεται εἰς ἐλευθερίαν, κἂν ἐκεκώλυτο ἐλευθερωθῆναι.

ΣΧΟΛΙΟΝ.

Τυχὸν ἐφ' ὅρῳ πεπραμένος ἦν, τοῦ μὴ ἐλευθερωθῆναι· ἐπειδὴ [illegible] συμφέρειν ἐστὶ τὸ διελέγχεσθαι τὴν ἀναίρεσιν τῶν δεσποτῶν, ἐλευθεροῦται καὶ οὗτος.

Οὐ μὴν ἐὰν βασανιζόμενος ἐλέγξῃ τοὺς αἰτίους. καὶ οἱ ἐλευθερωθέντες ἐν τῇ διαθήκῃ τοῦ ἀναιρεθέντος, ὁμοίως τοῖς ἄλλοις οἰκέταις κολάζονται.

ϛ.

Εἰ δὲ καὶ δῆλός ἐστιν ὁ πλήξας, γίνεται ἡ ἐξέτασις, ἵνα εὑρεθῇ ὁ ἐντειλάμενος. καὶ τιμωροῦνται μὲν πάντες, ὁ δὲ πλήξας, πικρότερον.

ιβ.

Καὶ ὁ ληγατευθεὶς ὑπὸ τοῦ ἀναιρεθέντος ἐλευθεροῦται διελέγχων τὸν † φόβον αὐτοῦ.

† φόνον.

ιδ.

Ἐὰν πλησιάζων τῇ ἥβῃ ἄνηβος παρακαθεύδων τῷ ἀναιρεθέντι δεσπότῃ, μὴ δημοσιεύσῃ τὸ γεγονός, τιμωρεῖται. τοῖς γὰρ ὑπὸ τὴν αὐτὴν στέγην ἀνήβοις συγχωρεῖ, οὐ μὴν τοῖς ὑπηρέταις ἢ μετόχοις, οἳ δύνανται νοεῖν τὸ πραττόμενον. οἱ γὰρ τοιοῦτοι, οὐδὲ ἐφ' ἑτέρᾳ αἰτίᾳ βοηθοῦνται.

ΣΧΟΛΙΟΝ.

Εἰ γὰρ καὶ ὁμολόγηται ὁ ἄνηβος μὴ δεδυνῆσθαι βοηθῆσαι, ὅμως καὶ τὸ σιωπῆσαι τὴν ἀναίρεσιν ὑποβάλλει αὐτὸν τῇ τιμωρίᾳ. [illegible] γὰρ ὡς μόνοις ἐκείνοις τοῖς ἀνήβοις ὁ συγκλητικὸς συγχωρεῖ, τοῖς ὑπὸ τὴν αὐτὴν στέγην εὑρεθεῖσι μόνον. [illegible] ὁ μέτοχοι [illegible] ἡλικίας [illegible] τὸ πραττόμενον, τούτοις [illegible] ἀναιρέσεως τοῦ δεσπότου, [illegible] ἄλλας τινὰς αἰτίας δεῖ συγγινώσκειν ἡμᾶς.

ιϛ.

Ὁ ἐπίκοινος δοῦλος μηνύων τὴν ὑπὸ τῆς φαμιλίας τοῦ ἑνὸς τῶν δεσποτῶν ἀναίρεσιν, ἐλευθεροῦται: τοῦ μέρους τοῦ τιμήματος, τῷ ἑτέρῳ διδομένου.

ιη.

Δοκεῖ τῷ δεσπότῃ βοηθεῖν χειρὶ καὶ ὅπλοις καὶ κραυγῇ, καὶ ὑποβάλλων τὸ ἴδιον σῶμα. ταῦτα δὲ δυνάμενοι ποιῆσαι, καὶ μὴ ποιήσαντες, κολάζονται.

κε.

Οὐ γὰρ ἐξαιροῦμεν ἔτι τοὺς ἐκγόνους τοὺς ἀπὸ παιδὸς τοῖς πρὸς πατρὸς πάπποις γινομένοις: ὥστε ἐκείνους μὲν τέλειον λαμβάνειν τὸ μέρος, ὅσον ἂν ὁ αὐτῶν πατὴρ ἐλάμβανε περιὼν, τοὺς δὲ ἐκγόνους τοὺς ἀπὸ πάππου διὰ μέσης θυγατρὸς γινομένους, ἢ τοὺς ἀπὸ τῆς μάμμης πρὸς πατρὸς ἢ πρὸς μητρὸς παρὰ τὸ τρίτον λαμβάνειν: ἀλλὰ μίαν τάξιν ἐφ' ἅπασι τίθεμεν ἐκγόνοις καὶ προεκγόνοις: οὐκ † ἀνεχόμεθα τὸ θῆλυ τοῦ ἄρρενος ἐν τοῖς τοιούτοις ἐλαττοῦν. οὐδὲ γὰρ τὸ ἄρρεν αὐτὸ καθ' ἑαυτὸ, οὐδὲ τὸ θῆλυ μόνον πρὸς τεκνογονίαν αὔταρκες: ἀλλ' ὥσπερ ἑκάτερον συνήρμοσεν ὁ θεὸς πρὸς τὴν τῆς γενεσιουργίας χρείαν, οὕτω καὶ ἡμεῖς † τὴν τοιαύτην ἑκατέρῳ φυλάττομεν ἰσότητα. ἀλλ' οὐδὲ μέχρι τούτου ἵσταμεν τὸν νόμον. ταῦτα γὰρ φαμὲν καὶ ἐπ' ἐκείνων τῶν παίδων, οἵπερ ἐκ γάμων εἰσὶ γνησίων, εἰ καὶ μὴ προῖκες τοῖς γάμοις ἀκολουθήσουσιν, ἀλλὰ διάθεσις ὡμολογημένη καὶ σαφὴς μεταξὺ τῶν συνοικούντων οὖσα, τοῖς παισὶ διδοίη τὸ γνήσιον. προῖκα μὲν γὰρ ἀποτελεῖ γάμος, γάμον

† ἀνεχόμεθα.

† τὴν [illegible]

γάμον δὲ προῖκες οὐ ποιοῦσιν, ἀλλὰ τῶν συνοικούντων ἀμοιβαία διάθεσις. ταῦτα δὲ κρατείτω καὶ ἐπὶ τῶν ἐκ μεταγενεστέρας διαθέσεως μετὰ προικώων, κατὰ τὰς ἡμετέρας διατάξεις γενομένων γνησίων.

nuptias uero non dotes efficiunt, sed ipsorũ coniugum adfectio mutua. Ceterum hæc ualeant & in ijs, qui ex adfectione postea sequuta, per instrumenta dotalia secundum constitutiones nostras legitimi facti sunt.

ΣΧΟΛΙΟΝ.

Οἷον, εἰ πρότερον εἶχεν αὐτὴν παλλακήν, εἶτα δὲ σεμνὴν γαμετὴν ἐπ' αὐτῇ κατέστησε μὴ ἰλλούστριος ὤν, γαμετὴ γίνεται· καὶ οἱ ἐξ αὐτῆς παῖδες, γνήσιοι ὡς ἐπὶ τῶν ἰλλουστρίων ἀεὶ, εἰ προικῷα μετὰ ταῦτα γένηται. κυροῦται γὰρ ὁ ἔννομος μετὰ ταῦτα γάμος ἐπὶ μὲν τῶν ἀξιωματικῶν ἀπὸ τῆς ὡς πρὸς γαμετὴν διαθέσεως, ἐπὶ δὲ τῶν ἰλλουστρίων ἀπὸ τῆς τῶν προικώων γραφῆς.

SCHOLION.

Puta, si prius eam uir concubinã habuit, deinde uero ceu matronam retinuit, quum ipse non esset illustris, fit uxor, & suscepti ex ea liberi sunt legitimi, sicut & in illustribus; si cũ ea deinceps instrumẽta dotalia cõfecta fuerint. Nam legitimũ matrimoniũ postea cõfirmatur in ijs quidem, qui positi sunt in dignitate, per adfectionẽ coniugalẽ: in illustrib. uero, per instrumẽtorũ dotaliũ cõfectionẽ.

Ζήτει τὸ αὐτὸν δ. τίτλον, κεφάλαιον ιζ. ἐν ᾧ φησίν, δύνασθαι τὸν παῖδα τὴν κατὰ τῆς διαθήκης τοῦ πατρὸς, ἢ τῆς δωρεᾶς μέμψιν κινεῖν, εἰ μὴ τὸ καταλελειμμένον αὐτῷ διὰ πάντων ἀρκεῖ αὐτῷ πρὸς τὸ γ. ἢ ἐπέγνω τὴν τοῦ πατρὸς βούλησιν, ἢ ἐρρώθη καταδρομῇ, καὶ μείζων ἐστὶ τῶν κε. ἐνιαυτῶν. καὶ ὅτι χώραν τῇ μέμψει καὶ κατὰ τῶν μητρῴων δωρεῶν, εἰ μὴ ἡ θυγάτηρ ἔλαβε τὸ ἀναλογοῦν εἰς τὸ τρίτον.

Quærito & eumdem IIII. tit. cap. XVII. in quo dicitur; posse filium aduersus testamentum patris aut donationẽ querelam instituere, nisi quod ei relictũ est, per omnia sufficit ad trientẽ; uel iudicium patris agnouit, uel testamentum decursu temporis firmatum est, & ipse maior est annis XXV. factus. Item, esse querelæ locum etiam cõtra maternas donationes, nisi filia tantum accepit, quantum trienti respondet. L. 8. C. de inoff. test.

ΤΙΤΛΟΥ ε. ἐν τῷ α. κεφαλαίῳ φησίν.

Θεσπίζομεν ὥστε εἴ τις δωρεὰν ἄμετρον εἴς τινα ἢ τινὰς τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχειν ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν, † τὸ ἐκ τοῦ νόμου μέρος, πρὶν τὴν δωρεὰν ὁ πατὴρ εἰς τὸν παῖδα, ἢ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο. οὕτω γὰρ οὐδεὶς † ἐπὶ ταῖς δωρεαῖς ἐγκαλέσουσιν, ἔχοντες μὲν ἐν πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων, κατὰ τοσοῦτον δὲ αὐξομένου † τοῦ μέτρου, καθόσον καὶ τὰ πράγματα εἶχε τοῦ πατρὸς, πρὶν ταῖς δωρεαῖς ἐξαντληθείη. οὐ δυναμένων τῶν ταῖς δωρεαῖς τετιμημένων παίδων φάσκειν, ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου, ἀλλ' οὐκ ἀναγκαζομένων μὲν, εἰ ἀρκοῦνται ταῖς δωρεαῖς, καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον, καθ' ὅσον εἰρήκαμεν μέτρον, ὥστε † ἔλαττον αὐτοὺς ἔχειν τὸ ἐκ τῶν νόμων αὐτοῖς ὀφειλόμενον, διὰ τὴν γενομένην ἐπὶ τῆς δωρεαῖς ἀμετρίαν. ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων ὄντων αὐτοῖς, οὐ μὴν περὶ τῶν ἀγνωμόνων, καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἀχαριστίαν ἐπάγει. εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη, καὶ ἀποδειχθείησαν αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων κύρια, † ἐκ τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα.

† ἴσον ὂν τὸ ἴσα.
† ἐπὶ ταῖς.
† τοῦτ' ἐστὶ μοίρας.
† μὴ ἔλαττον.
† ἐλλιπῆ.

TIT. V. cap. I. dicitur:

Sancimus, ut si quis immodicam donationem in aliquẽ uel aliquos ex filijs fecerit, necesse habeat in hereditatis distributione tantum cuiq; filiorum seruare, quanta erat legitima portio prius, quam pater eam donationẽ in filium uel filios, in quos eam cõtulit, faceret. Nam hoc modo nõ amplius de donationibus querẽtur, quum in uniuersa patris substantia portionem legitimam habeant, eiusq; summa tãtum excrescat, quanto erant maiora patris bona prius, quam donationibus exhaurirentur. neque dicere filij poterunt, qui donationibus his ornãtur, se donationibus illis immodicis contentos, paterna hereditate abstinere uideri. quippe non coguntur illi quidem, si donationibus ijs contẽti sunt, hereditatem agnoscere; sed omnibus tamen modis exæquare fratribus id, quod illinc eorum interest, ea quæ dictum a nobis est mensura, cõpelluntur: ut scilicet illi propter factã donationũ immensitatem nihilominus habeant id, quod eis legitime debetur. Atq; hæc de liberis dicimus, qui parentibus accepti sunt, non de contumacibus, & quibus pater iustam atq; legitimam notã ingratitudinis inurit. Quippe si rem ita se habere paruerit, & caussæ ingratitudinis ꝓbatæ fuerint: rata sunto, quæ leges de ingratis latæ statuunt, nec eis hac sanctione nostra qdquã detrahatur. Nouel. 92.

Ἐν δὲ τῷ δ. κεφαλαίῳ.

Εἴ ποτέ τις διάθηται, καί τι πρᾶγμα ἀκίνητον τῇ ἰδίᾳ φαμιλίᾳ, ἢ ἑτέρῳ τινὶ προσώπῳ ὀνόματι λεγάτου καταλείψει, καὶ ἰδικῶς εἴπῃ, μηδενὶ χρό-

[illegible]

Et cap. IIII.

Si quis testatus fuerit, & rem immobilem familiæ suæ, uel alij cuidam persõnæ legati nomine reliquerit, ac specialiter adiecerit, ne unquam

quam ea res alienetur, sed ut apud heredes, eiusue successores, cui relicta fuerit, maneat: in hoc legato legem Falcidiam nullum prorsus locum habere iubemus, quandoquidem ipse testator eius alienationem prohibuit.

Legito & lib. XXXV. tit. XI. cap. IIII. & XLVI. & LXII. them. II. & LXXII. Item lib. XXXIX. tit. I. cap. XLVI. cuius hæc uerba sunt:

l. 26. C. de inoff. test. *Ex quatuor uncijs impuberi filio heredi instituto pater substituere directo potest, nec id esse detractio uidetur.*

Legito & lib. XLVII. tit. III. cap. XXXIX. in quo dicitur:

Si quid moriens sine condicione tibi donauero, heredes mei non recte retinēt, ac Falcidiam petunt. Nam Falcidia non in simplicibus, sed mortis caussa donationibus locum habet.

SCHOLION.

Legito & nouellam I. cap II. & nouel. XIIX. in qua dicitur, non solum Falcidiam IIII. unciarum esse, uerumetiam portionis huius heredes habere præter proprietatem ipsum usum & usumfructum. Item nouellā XCII. in qua tractatur de immodicis in filios donationibus.

DE IVREIVRANDO, QVOD MORIENS DE MODO PATRIMONIJ SUI PRÆSTITIT.

Tit. VI. cap. ……

Sancimus, ut si quis inuētario facto, siue per scripturam propriæ manus, siue ab alio quidem scripto, ab se uero subsignato, uel in testamenti tabulis patrimonij sui modum expresserit, heredibus forte partim absentibus, partim præsentibus, aut omnibus etiam præsentibus; non liceat heredibus abnuere, neq; dicere, suppreßisse quē heredū res aliquas extra illas, quas defunctus expresserit: sed si iusiurandum moriens præstet, aut per testamēti tabulas sacramento testetur, nihil sibi præter has rerum esse; contenti sint hoc ipso heredes, siue liberi, siue extranei sint, neq; curiosius scrutentur, neque calumniam suis coheredibus intentent. Et hæc quidem in heredibus, qui quodam modo ijdem cum defunctis esse uidentur, ualere uolumus: sed nequaquam respectu creditorum esse rata, quum legibus nostris expressum sit, quæcumque pro se quis dixerit aut scripserit, ea nec ipsi prodesse, nec præiudicium creditoribus parere; sed eos habere facultatem omnia quo uelint modo perscrutandi; ac heredes ijs, quæ a testatore dicta sunt, insistere. Sitque adeo res pœna inter heredes, ut qui aduersatur his, omnino relictis sibi rebus frui nequeat; eaque subsit neceßitas, ut uel omnibus obtemperent, uel omnia respuant; nec par-

ναι τὸ αὐτὸ πρᾶγμα ἐκποιηθῆναι, ἀλλὰ παρὰ τοῖς κληρονόμοις, ἢ διαδόχοις ἐκείνου, ᾧ τινι καταλειφθῇ, διαμένειν· ἐπὶ τούτου τοῦ λεγάτου κελεύομεν τὸν Φαλκίδιον νόμον χώραν παντελῶς μὴ ἔχειν, ἐπειδὴ τὴν ἐκποίησιν τούτου, αὐτὸς ἐκώλυσεν ὁ διαθέμενος.

Ἀνάγνωθι καὶ βιβλ. λε. τίτλ. ια. κεφάλ. δ. καὶ μς. καὶ ξβ. θεμ. β. καὶ οβ. καὶ βιβλ. λθ. τίτλ. α. κεφάλαιον μς. ἐν ᾧ φησίν.

Τῷ εἰς τετράγκιον γραφέντι ἀνήβῳ παιδὶ κληρονόμῳ, δύναται κατὰ αὐθεντίαν ὑποκατάστατον περιέχειν ὁ πατήρ· καὶ οὐ δοκεῖ τοῦτο μείωσις εἶναι.

Ἀνάγνωθι καὶ βιβλίον μζ. τίτλον γ. κεφάλαιον λθ. ἐν ᾧ φησίν.

Ἐάν τι τελευτῶν χωρὶς αἱρέσεως δωρήσωμαί σοι, οὐ καλῶς οἱ κληρονόμοι μου † παρακρατῇ καὶ Φαλκίδιον ἐπιζητοῦσιν. ὁ γὰρ Φαλκίδιος οὐκ ἐπὶ τῶν ἁπλῶν δωρεῶν, ἀλλ᾽ ἐπὶ τῶν θανάτου αἰτίᾳ χώραν ἔχει. † παρακρατοῦσι.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν α. κεφάλ. β. καὶ νεαρὰν ιη. ἐν ᾗ φησί, μὴ μόνον δ. γο ἶναι τὸν φαλκίδιον, ἀλλὰ καὶ τὸ ἔχειν πρὸς τῇ δεσποτείᾳ καὶ τὴν χρῆσιν καὶ ἐπικαρπίαν τοὺς κληρονόμους τοῦ μέρους τούτου. καὶ νεαρὰν ϞΒ. ἐν ᾗ φησὶ καὶ περὶ τῶν εἰς τοὺς παῖδας ἀμέτρων δωρεῶν.

ΠΕΡΙ ΟΡΚΟΥ ΔΟΘΕΝΤΟΣ ΠΑΡᾺ ΤΟΥ ΤΕΛΕΥΤΩ͂ΝΤΟΣ ἝΝΕΚΕΝ ΤΟΥ ΜΈΤΡΟΥ ΤΗ͂Σ ΑὐΤΟΥ͂ ΟὐΣΊΑΣ.

Τίτλος ς. κεφ……

Θεσπίζομεν, εἴτις ἀπογραφὴν πεποιηκώς, εἴτε ἰδιόχειρον, εἴτε δὴ ἑτέρου μὲν γραφεῖσαν, παρ᾽ αὐτοῦ δὲ ὑποσημειωθεῖσαν, ἢ ἐν ταῖς αὐτοῦ διαθήκαις τὸ τῆς οὐσίας τῆς αὐτοῦ † ποιήσει φανερόν, τῶν κληρονόμων ἴσως τῶν μὲν ἀπόντων, τῶν δὲ παρόντων, ἢ καὶ πάντων παρόντων: μὴ ἐξεῖναι τοῖς κληρονόμοις πρὸς ταῦτα ἀνανεύειν, μηδὲ λέγειν, † ὅς τις τῶν κληρονόμων ἀπέκρυψε πράγματα, ἔξω τῶν ῥηθέντων παρὰ τοῦ τελευτήσαντος. ἀλλ᾽ εἴπερ ὅρκον ὁ τελευτῶν ὑπόσχοι, ἢ διομόσαιτο κατὰ τὰς ἑαυτοῦ διαθήκας, ὡς οὐδέν ἐστιν ἕτερον αὐτῷ παρὰ ταῦτα: τοῦτο στέργειν τοὺς κληρονόμους, εἴτε παῖδες, εἴτε καὶ ἐξωτικοί εἰσιν: καὶ μὴ πολυπραγμονεῖν, μηδὲ συκοφαντεῖν τοὺς ἑαυτῶν † κληρονόμους. ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς κληρονόμους, οἵπερ τὸ αὐτό πως δοκοῦσι τοῖς τελευτῶσιν εἶναι, κρατεῖν βουλόμεθα. οὐ μὴν τοῦτο κύριον εἶναι καὶ πρὸς δανειστάς, διότι τοῖς ἡμετέροις εἴρηται νόμοις, ὅπερ ἄν τις ὑπὲρ ἑαυτοῦ φήσειεν ἢ γράψειεν, ταῦτα μηδὲν αὐτὸν ὠφελεῖν, μήτι τοῖς δανεισταῖς προκρίνειν, ἀλλ᾽ ἐκείνοις ἄδεια ἔστω πάντα ἀνερευνᾶν, ὃν βούλονται τρόπον. τοὺς κληρονόμους δὲ ἐμμένειν τοῖς παρὰ τοῦ διατιθεμένου ῥηθεῖσι. καὶ ἔστω γε ποινὴ τοῦ πράγματος ἐν τοῖς κληρονόμοις τὸν ἐναντιούμενον τούτοις μὴ δύνασθαι τῶν καταλελειμμένων αὐτῷ παντελῶς ἀπολαύειν: ἀνάγκης ὑπούσης ἢ πείθεσθαι πᾶσιν, ἢ πάντα διαπτύειν, καὶ μὴ τὰ μὲν αἱρεῖ-

† μήνυσιν. † ὅστις. † συγκληρονόμους.

αἱρεῖσθαι, τοὺς δὲ διαμάχεσθαι· ἀλλὰ τὴν τοῦ τελευτήσαντος βουλὴν ὑπὸ τῶν αὐτοῦ διαδόχων οὕτω φυλάττεσθαι, ὡς κατὰ μηδὲν ἐναντιοῦσθαι ταύτῃ θαῤῥεῖν.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. μβ.

ΤΊΤΛ. α. β. γ.

Ζήτει ἐν τῷ τίτλῳ περὶ κληρονομίας καὶ ἐνστάσεως ἀνιόντων, καὶ κατιόντων, καὶ κυοφορουμένων.

ΠΕΡῚ ΤΩ͂Ν ἘΝ ΔΙΚΑΣΤΗΡΊΩι ἐρωτωμένων καὶ ἀποκρινομένων.

ΤΊΤΛ. δ. κεφ. β.

Πρὸς μόνην ἀπόδειξιν ἀρκεῖ ἡ τοῦ ἐρωτωμένου ἀπόκρισις, εἴτε ταῖς κληρονομίαις, εἴτε τοῖς ἄλλοις πράγμασιν.

ια.

† ἐνέχεται. Ἐὰν ὁ μὴ ὢν κληρονόμος ἐρωτηθεὶς εἴπῃ κληρονομεῖν εἰς τόσον, † ἀναγκάζεται πρὸς αὐτό. πιστεύεται γὰρ καθ' ἑαυτοῦ. εἰ δὲ μερικῶς ὤν, ἢ μηδ' ὅλως, εἴπῃ κληρονομεῖν, εἰς ὁλόκληρον ἐνάγεται. † ἐνέχ. καὶ ὁ εἰπὼν εἰς ἧττον μέρος κληρονομεῖν, † ὅπερ ἐστίν, εἰ μὴ εὐλόγως ἐπλανήθη. ἴσως γὰρ αὐτῷ προσηύξησεν ἀγνοοῦντι, ἢ εἰς ἄδηλον μέρος ἐγράφη κληρονόμος.

ιβ.

Ἔξεστι τῷ ἀποκρινομένῳ μεταμέλεσθαι, εἰ μὴ ἐντεῦθεν ζημιοῦται, καὶ μετὰ ταῦτά τις ἔγνω ἐκ δικαιωμάτων ἢ ἐπιστολῶν περὶ τοῦ ἰδίου δικαίου.

ιγ.

Τότε πλαστῶς καταθέμενός τις ἐνέχεται, ὅταν ἀπὸ τῆς αἰτίας, ἐξ ἧς ἠρωτήθη, ἀγωγὴ κατά τινος ἁρμόζει. † ἑαυτόν. τὴν γὰρ καθ' ἑτέρου, εἰς † ἑαυτὴν μεταφέρει.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. μγ.

ΤΊΤΛ. α.

Ζήτει ἐν τῷ περὶ ἐπερωτήσεων τίτλῳ.

ΤΊΤΛ. β. καὶ γ.

ΠΕΡῚ ἘΠΕΡΩΤΉΣΕΩΝ ΔΟΎΛΩΝ διαλαμβάνεται.

ΤΊΤΛ. δ. φησὶ

ΠΕΡῚ ΠΡΑΙΤΩΡΊΩΝ ἘΠΕΡΩΤΉΣΕΩΝ.

ΤΊΤΛ. ε.

Εὑρήσεις ἐν τῷ εἰρημένῳ περὶ ἐπερωτήσεων τίτλῳ.

ΠΕΡῚ ἈΛΛΗΛΟΚΛΗΡΟΝΟΜΊΑΣ.

Τίτλος ς. κεφ. δ.

Ὅτι ἐὰν συμφωνήσωσι τινὲς ὥστε τὸν προτελευτῶντα τῷ ἑτέρῳ διδόναι τὴν οὐσίαν, ἄχρηστον τὸ γεγονός, κατὰ τῶν καλῶν τρόπων ὄν. οὔτε γὰρ σύμφωνον, οὔτε ἐπερώτησις οὕτω γινομένη ἰσχύει.

tim agnoscāt, partim oppugnent: sed ut defuncti iudicium sic a successoribus eius seruetur, ut in nullo ei aduersari audeant.

BASILICORVM LIBER XLII.

TIT. I. II. III.

Quare in titulo de successione ac institutione tam adscendentium, quam descendentium, & postumorum.

DE HIS QVI INTERROGANTVR in iudicio, & qui respondent.

Tit. IIII. cap. II.

Ad probationem tantummodo interrogati responsio, tam in hereditatibus, quam in alijs rebus sufficit. l. 1. §. ult. D. de interr.

XI.

Si quis, quum heres non esset, interrogatus responderit, in tantum se heredem esse; in tantumdem cōuenitur. quippe fides ei contra se habetur. Sin quum ex parte, uel quum omnino heres non esset, heredem se dixerit; ex asse conuenitur. Itidem & qui se dixerit heredem ex minori, quā heres est. nisi ratione iusta errauit. nam fortassis ignoranti [pars] adcreuit, uel ex incerta parte fuit heres scriptus.

XII.

Licet respōdenti pœnitere, si nullum inde damnum sit; & si postea quis ius suum plenius ex instrumentis uel epistolis cognouerit.

XIII.

Tunc qui falso quid deponit, tenetur; quum ex caussa, propter quam interrogatus est, in aliquem actio competit. nam quæ cum alio esset, eam in se transfert.

BASILICORVM LIBER XLIII.

TIT. I.

Quare in titulo de stipulationibus.

TIT. II. & III

DE STIPVLATIONIBVS SERVORVM tractatur.

TIT. IIII. dicitur

DE PRAETORIIS STIPVLATIONIBUS.

TIT. V.

Inuenies in dicto de stipulationibus titulo.

DE PACTO MVTVAE SVCCESSIONIS.

Tit. VI. cap. IIII.

Si qui stipulati fuerint, ut prior ex eis moriēs alteri det patrimonium suum; inutile est, quod gestum est, quum sit contra bonos mores. Nec enim pactum, nec stipulatio sic facta, ualet. l. 4. C. de inut. stip.

SCHOLION.

THEODORVS. Neque pactum, neque stipulatio contra bonos mores facta, ualet. Legito & lib. XI. tit. I. cap. LXVIII. item lib. XXIX. tit. V. cap. XXXV.

DE MVLTIS SEV POENIS, TAM ex stipulationibus, quam condemnatione iudicum.

Tit. VII. cap. III.

l.4.C.de mod. mult. *Vsq. ad quinquaginta libras in peccatis grauissimis praefecti [praetorij] mulctent.*

In actu constituti prouinciarum praesides usque ad duas uncias multam irrogent. Proconsules uero, & comes Orientis, & praefectus Augustalis usque ad senas uncias. Ceteri spectabiles iudices, & qui uicem praefectorum gerunt, ad tres uncias usque multam irrogent. Atq. omnes hae multa addicuntur aerario, nisi operi publico, uel publico cursui, uel usui cuidam alij necessario deputatae fuerint.

IIII. cap.

Non potest quis amplius, quam ter, eumdem eodem anno multare. nam ceteroquin multam quidem fisco, duplum uero multato restituet: salua scilicet poena in eos statuta, qui grauiora delicta cōmiserint, puta sacrilegium, raptum uiolentum, concussionem, furtum, & si quid eiusmodi est.

Legito & tit. I. cap. XV. & XVI. them. II. & cap. XIX. & LXIX. & CXXI. them. VI.

Legito & lib. XXIII. tit. III. cap. XIX. & LVIII. cuius haec uerba sunt:

l.15.C.de usur. *Non potest quis poenam stipulari, ultra legitimarum usurarum quantitatem.*

BASILICORVM LIBER XLIIII.

DE LEGATIS.

TIT. I. CAP. I.

Legito & nouel. I. cap. I. in quo dicitur, quod uoluntatem testatoris implere coguntur.

*Legatum * est donatio testamento relicta.*

V.

Electione † legata, semel optare possumus.

VII.

* l.36.D.de leg.2.

† l.5.D.de leg.1.

Legatum seruo meo delatum repudiare possum. Si testator fundi legati partem alienauerit, reliquum dumtaxat datur. quia etiam si adiecisset aliquid ei, legatum augeretur.

XI.

Si filiumfamilias heredē instituero, uel legatum ei dedero: rectè legato patrē uel dominum eius grauo. Ac si quidem rogauero, ut extero hereditatem restituat; ex persona filij Falcidiam

ΣΧΟΛΙΟΝ.

ΘΕΟΔΩΡΟΣ. Οὔτε πάκτον, οὔτε ἐπερώτησις γενομένη ἐναντία τῶν χρηστῶν τρόπων ἔρρωται. ἀνάγνωθι καὶ βιβλίον ια. τίτλ. α. κεφ. ξη. καὶ βιβλίον κθ. τίτλ. ε. κεφ. λε.

ΠΕΡῚ ΠΡΟΣΤΊΜΩΝ ἬΤΟΙ ΠΟΙΝῶΝ τῶν ἐξ ἐπερωτήσεως, καὶ τῶν ἀπὸ καταδίκης ἀρχόντων.

Τίτλος ζ. κεφάλαιον γ.

Μέχρι πεντήκοντα λιτρῶν ἐπὶ τῶν βαρυτάτων ἁμαρτημάτων οἱ ἔπαρχοι προστιματώσουσι.

Οἱ δὲ ἔμπρακτοι τῶν ἐπαρχιῶν ἄρχοντες μέχρι δύο γο προστιματώσουσι. οἱ δὲ ἀνθύπατοι καὶ ὁ κόμης τῆς ἀνατολῆς, καὶ ὁ αὐγουστάλιος ἄχρι ἓξ οὐγκιῶν. οἱ δὲ λοιποὶ περίβλεπτοι ἄρχοντες καὶ οἱ ἐν τάξει τῶν ἐπάρχων ὄντες, μέχρι τριῶν οὐγκιῶν προστιματώσουσι. ταῦτα δὲ πάντα πρόστιμα, τῷ ταμείῳ προσκυρωθήσονται, εἰ μὴ ἔτυχον εἰς δημόσιον ἔργον ἢ εἰς τὸν δρόμον ἢ εἰς ἀναγκαίαν ἑτέραν ἀφορισθέντα χρείαν.

Ἐν δὲ τῷ δ. κεφαλαίῳ.

Οὐ δύναταί τις πλέον τοῦ τρίτου προστιμῆσαι τῷ αὐτῷ κατὰ τὸν αὐτὸν ἐνιαυτόν. ἐπεί τοιγε τὸ προστιμηθὲν μὲν τῷ δημοσίῳ, τὸ δὲ διπλάσιον ἀναδώσει † τῷ προστιθέντι: σωζομένης δηλονότι τῆς τετυπωμένης τιμωρίας κατὰ τῶν τὰ μείζονα πταιόντων, οἷον ἱεροσυλίαν, ἁρπαγὴν μετὰ βίας, διασεισμόν, κλοπήν, καὶ ἔτι τοιοῦτον. † τῷ προστιμωμένῳ.

Ἀνάγνωθι καὶ τίτλ. α. κεφάλ. ιε. καὶ ις. θεμ. β. καὶ κεφάλ. ιθ. καὶ ξθ. καὶ ρκα.

θεμ. ς.

Ἀνάγνωθι καὶ βιβλίον κγ. τίτλον γ. κεφαλ. ιθ. καὶ νη. ἐν ᾧ φησίν.

Οὐ δύναταί τις πρόστιμον ἐπερωτᾶν ὑπὲρ τὴν τῶν νομίμων τόκων ποσότητα.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. μδ.

ΠΕΡῚ ΛΕΓΆΤΩΝ.

ΤΊΤΛΟΣ α. κεφάλ. α.

Λεγάτον ἐστὶ δωρεὰ ἐν διαθήκῃ καταλειφθεῖσα. ἀνάγνωθι καὶ νεαρὰν α. κεφαλ. α. ἐν ᾧ φησιν, ὅτι ἀναγκάζονται τὴν τοῦ διαθεμένου βούλησιν πληροῦν.

ε.

Ἐπιλογῆς λεγατευθείσης, ἅπαξ ἐπιλέξασθαι δυνατόν.

ζ.

Τὸ λεγατευθὲν τῷ δούλῳ μου δύναμαι παραιτεῖσθαι. ἐὰν μέρος τοῦ λεγατευθέντος ἀγροῦ ἐκποιήσῃ ὁ διαθέμενος, τὸ λοιπὸν μόνον δίδοται. ἐπειδὴ καὶ ἐὰν εἰς αὐτὸ προσθήσῃ, αὔξει τὸ λεγάτον.

ια.

Ἐὰν γράψω κληρονόμον ὑπεξούσιον, ἢ λεγατεύσω αὐτῷ καλῶς βαρῶ τὸν πατέρα ἢ τὸν δεσπότην αὐτοῦ λεγάτῳ. καὶ εἰ μὲν ἐξωτικῷ ἐπιτρέψω τὴν κληρονομίαν ἀποκαταστῆσαι, παρακρατεῖ ἐκ προσώπου τοῦ υἱοῦ Φαλκί-

Φαλκίδιον. εἰ δὲ αὐτοῦ τῷ υἱῷ εἶπον ἀποκαταστῆσαι, οὐ παρακρατεῖ. εἰ δὲ τὸν πατέρα παρακαλέσω τὸ περιερχόμενον εἰς αὐτὸν μετὰ θάνατον ἀποκαταστῆσαι τῷ υἱῷ· καὶ ζῶντος αὐτοῦ ὁ υἱὸς ἀποθάνῃ, τὸ πᾶν ὁ πατὴρ παρακρατεῖ.

ιδ.

Ἐὰν πρᾶγμα ἑνουμένως δύο τισὶ ληγατευθῇ, ὧν ὁ εἷς οὐκ ἔστιν ἐν φύσει, μόνον τὸ ἥμισυ ὁ περιὼν λαμβάνει.

ιϛ.

Ἐὰν ληγατευθῇ ἐμοὶ καὶ κυοφορουμένῳ, μὴ τι-
† καθ. κτομένου τοῦ κυοφορουμένου, τὸ πᾶν λαμβάνω, † καὶ εἴπῃ ὁ διαθέμενος ἀναλογοῦντα μέρη λαβεῖν ἡμᾶς.

κα.

Ἐὰν πολλοῖς ληγατευθῇ, καὶ μὴ λεχθῇ μέρος, ἐξ
† ἴσων. ἴσου λαμβάνουσιν. ἐὰν † ἔχω δύο δούλους ληγατεύσω τὸν ἕνα, καὶ μὴ δηλωθῇ ποῖον: ὁ ληγατάριος ἔχει τὴν ἐπιλογήν. ἀγέλης ληγατευθείσης, καὶ τὰ προστεθέντα λαμβάνει ὁ ληγατάριος. εἰ δὲ καὶ μειωθῇ, καὶ εἰς ἕνα βοῦν περιστῇ, λαμβάνει αὐτὸν ὁ ληγατάριος, εἰ καὶ ἐπαύσατο εἶναι ἀγέλη. καὶ οἴκου ληγατευομένου καὶ καιομένου, λαμβάνει τὸ ἔδαφος.

κγ.

Ἐὰν προσθήσῃ ὁ διαθέμενος μετὰ τὴν διαθήκην τῷ ληγατευθέντι ἀγρῷ μέρος ἐξ ἑτέρου ἀγροῦ ἢ ἐκ τοῦ ληγατευθέντος ἑτέρῳ ἀγρῷ μέρος προσκυρώσῃ, τὸν ληγατάριον ὁρᾷ καὶ ἡ μείωσις καὶ ἡ αὔξησις, ὡς ἐπὶ τῆς προσχώσεως. οὐ κατὰ φύσιν γάρ ἐστι τὰ ὀνόματα τῶν ἀγρῶν καὶ τῶν οἴκων, ἀλλὰ πρὸς τὴν βούλησιν τῶν δεσποτῶν. δῆλον πρᾶγμα ἐὰν ληγατευθῇ καὶ ἀπόληται, ὁ ληγατάριος ζημιοῦται, εἰ μὴ δόλος ἢ ῥαθυμία γέγονε τοῦ κληρονόμου, ἢ ὑπέρθεσις εἰς τὸ μὴ δοθῆναι ἔνθα ἦν.

κδ.

Ἐὰν μέρος οὐσίας ληγατευθῇ, ἐπιλογὴν ἔχει ὁ κληρονόμος, ἢ τὸ μέρος τῶν πραγμάτων δοῦναι, ἢ τὴν ἀποτίμησιν αὐτοῦ. τῶν μέντοι ἀδιαιρέτων καὶ δυσδιαιρέτων, πάντως τὸ τίμημα δίδωσιν.

κθ.

Ἐὰν πολλοὺς ἔχων πέτρους, ληγατεύσω σοι πέτρον, καὶ μὴ δηλωθῇ ποῖον, ὁ κληρονόμος ἔχει τὴν ἐπιλογήν.

λ.

Ἐὰν οἱ μὲν συνεζευγμένοι εἰσὶν, οἱ δὲ διεζευγμένοι, πρόσωπον ἑνὸς ὑπέχουσιν οἱ συνεζευγμένοι. ἐὰν τὸ αὐτὸ πρᾶγμα πολλάκις μοι ἐν τῇ αὐτῇ διαθήκῃ ληγατευθῇ, ἅπαξ μόνον ἢ τὸ πρᾶγμα ἢ τὴν ἀποτίμησιν λαμβάνω. εἰ δὲ ἐν διαφόροις διαθήκαις, ἀπὸ μὲν τῆς μιᾶς τὸ πρᾶγμα, ἀπὸ δὲ τῆς ἄλλης τὸ τίμημα λαμβάνω. ἐὰν δύο τισὶ ληγατευθῇ πρᾶγμα, ὧν ὁ εἷς κληρονόμος ἐστὶν: οὐ καλῶς αὐτῷ ἀφ' ἑαυτοῦ ληγατεύεται, ἀλλὰ τοῦτο τῷ συλληγαταρίῳ ἁρμόζει. εἰ γὰρ καὶ δυσὶ κληρονόμοις γραφεῖσι, τῷ μὲν εἰς Γο ια. τῷ δὲ εἰς Γο α. ληγατευθῇ πρᾶγμα: ὁ μὲν εἰς τὰς ια. Γο κληρονομῶν, ια. Γο ἕξει τοῦ ληγάτου: ὁ δὲ ἕτερος α. εἰ δὲ ληγατάριος, γένηται κληρονόμος ἑνὸς τῶν κληρονόμων, ἀμείωτον ἕξει τὸ ληγατευθὲν αὐτῷ.

retinet. Si uero iussero, ut ipsi filio restituat, non retinet. Quod si patrē rogauero, quod ad se peruenit, post mortem suam filio restituere; isq́ uiuo patre decesserit: totum pater retinet.

XIIII.

Si duobus res coniunctim legata sit, quorum alter in rerum natura nō fuerit: solam partem dimidiam accipit is, qui exstat.

XVI.

Si mihi & postumo legatum sit, non nato postumo totum capio; quamuis testator expresserit, debere nos uiriles partes capere.

XXI.

Si pluribus legatū sit, nec adiecta sint partes; aequas capiūt. Si duos seruos habēs, unū legauero, nec indicatū sit, quē legauerim: electionem legatarius habet. Grege legato, & quae accessere postea, legatarius accipit. Quod si grex deminutus sit, & unus bos superfit: capit eū legatarius, quamuis grex esse desierit. Itidem domo legata, si ea combusta sit, aream uindicat.

XXIII.

Si testator post factū testamētū fundo legato partē ex alio agro adiecerit, aut ex fundo legato partē alteri fundo addixerit: tā deminutio, quā accessio legatariū respicit, sicut in alluuione. Nō enim natura fundorū domorumq́ nomina cōstituta sunt, sed destinatione dominorum. Si certa res legata sit, eaq́ perierit: legatarÿ detrimento est, nisi dolo & culpa heredis factū sit, uel mora interuenerit, quo minus eā ibi, ubi esset, traderet. Si testator fundo leg. l. quod in rerū ff. de leg.

XXIIII.

Si pars bonorū legata sit, heres electionē habet, aut partē rerū dādi, aut earū aestimationē. Earū tamē rerū, quae indiuisa sunt, & quae difficulter diuiduntur, aestimationē omnimodo praestat.

XXIX.

Si plures Petros habens, Petrū tibi legauero, nec pareat de quo senserim: heres electionem habet.

XXX.

Si quidam coniuncti sint, quidam disiuncti; personam unius coniuncti sustinent. Si eadē res saepius mihi legetur in eodem testamento, semel dūtaxat uel rem, uel aestimationē consequor. sin autē in diuersis testamentis, ex uno quidē rem, ex altero aestimationem cōsequor. Si duobus res legata sit, quorum alter heres est: non recte a semetipso ei legatur, ideoq́ hoc collegatario competit. Nam si duobus heredibus institutis, uno ex undecim uncÿs, altero ex una uncia, res quaeque legata sit: unciarum undecim heres uncias XI. rei legata consequetur, & alter unam. Plane si legatarius heres exstiterit uni ex heredibus, sine detractione legatum consequetur.

XXXI.

XXXI.

Si seruus alienus legatus sit, eumq; dominus eius manumiserit; nihil debetur.

XXXIII.

Seruo generaliter legato, nec optimus nec pessimus datur. Nō enim actorē quis eligere potest.

XXXIIII.

Idem cap. IIII. tit. II. dicitur.

Legatarius pro parte adquirere, pro parte repudiare non potest. Heredū uero legatarij potest alter partem suam adquirere, alter repudiare.

XXXV.

Si seruus legatus in fuga sit, uel lōginquo absit; heres suis eum sumtibus requirit. Fructus heres præstat, nō quos percepit; sed quos legatarius percipere potuit. Idem & in operis seruorum, & uecturis iumētorum, & naulis nauium, & pensionibus ædificiorum. In usuris autem iudex morem regionis sequitur. Ceterum post moram, interitum quoq; rei legatæ agnoscit heres; sicut in stipulatione, si post morā res interierit, æstimatio præstatur. item quæcumq; adquiri poterant per seruum legatum, puta hereditas, aut legatum, aut quid aliud. Omnia præterita uectigalia rei legatæ heres soluit. Si duos fundos eiusdem nominis habens, unum legauero, nec quem legem expressero: minor præstatur, nisi contrariam fuisse uoluntatē meā legatarius docueris.

XXXIIX.

Si res aliena legata fuerit, cuius comparandæ ius non habeo, quamq; possidere non possum; æstimationem consequor.

LVI.

De captatione quere titulum de successione.

Captationis caussa factæ scripturæ uelut in hereditatibus, ita nec in legatis ualent. ueluti, QVA EX PARTE ME PETRVS HEREDEM SCRIPSERIT, HERES ESTO.

LVII.

Si particulatim tota legata domus ita refecta sit, ut nihil ex pristina materia supersit: legatum ualet. At si destruxerit eam testator, & aliam eius loco ædificauerit: extinctum est, nisi aliud senserit.

LXIII.

Heres non recte legati poculi æstimationem præstare cupit, quod dicat, iniquum esse, id ab se separari. Nam illud in hominibus dumtaxat benigna ratione receptum est, ut supra diximus.

LXVI.

Si tibi X. aureos, quos Petrus mihi debet, legauero; neq; Petrū quidquā debere constiterit: inutile legatū est. Quod si quum deberet, exegerim; extinguitur. Si uero adhuc debet, actiones tibi dūtaxat heres cedit. Quod si legauero tibi hoc

λα.

Ἐὰν ἀλλότριος δοῦλος ληγατευθῇ, καὶ ἐλευθερώσῃ αὐτὸν ὁ δεσπότης αὐτοῦ, οὐδὲν κεχρεώστηται.

λγ.

Δούλου γενικῶς ληγατευθέντος, οὔτε ὁ κάλλιστος, οὔτε ὁ χείριστος δίδοται. οὔτε γὰρ δύναταί τις τὸν διοικητὴν ἐπιλέξασθαι.

λδ.

Ὁ ληγατάριος οὐ δύναται μέρος καταδέξασθαι, καὶ μέρος παραιτήσασθαι. τῶν δὲ κληρονόμων τοῦ ληγαταρίου, ὁ μὲν δύναται καταδέξασθαι τὸ ἴδιον μέρος, ὁ δὲ παραιτήσασθαι. Ὅμοιον φησὶ καὶ ἐν τῷ δ. κεφ. τοῦ β. τιτλ.

λε.

Ἐὰν ὁ ληγατευθεὶς δοῦλος ἢ ἐν φυγῇ ἢ μακρὰν ἄπεστιν, ὁ κληρονόμος αὐτὸν ἰδίοις ἀναζητεῖ δαπανήμασι. τοὺς καρποὺς δίδωσιν ὁ κληρονόμος, οὐχὶ οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ὁ ληγατάριος ἠδύνατο λαβεῖν. τὸ αὐτὸ καὶ περὶ ὑπηρεσιῶν δούλων, καὶ μισθῶν ὑποζυγίων, † καὶ πλοίων ἐνοικίων. ἐπὶ δὲ τόκων, ὁ δικαστὴς ἀκολουθεῖ τῷ ἔθει τοῦ κλίματος. μετὰ δὲ ὑπέρθεσιν, καὶ τὴν φθορὰν τοῦ ληγατευθέντος ἐπιγινώσκει ὁ κληρονόμος: ὥσπερ ἐν τῇ ἐπερωτήσει μετὰ ὑπέρθεσιν, ἐὰν τὸ πρᾶγμα φθαρῇ, δίδοται ἡ διατίμησις: καὶ ὅσα ἠδύνατο περιποιηθῆναι διὰ τοῦ ληγατευθέντος, τυχὸν κληρονομία, ἢ ληγάτον, ἢ τι ἕτερον. πάντα τὰ παρεληλυθότα τέλη τοῦ ληγατευθέντος πράγματος, ὁ κληρονόμος δίδωσιν. ἐὰν ἔχων δύο ὁμωνύμους ἀγροὺς, ληγατεύσω τὸν ἕνα, καὶ μὴ δῆλον ποιήσω: ὁ ἥττων δίδοται, εἰ μὴ τὴν ἐναντίαν μου γνώμην δείξει ὁ ληγατάριος. † καὶ ναύλων πλοίων, καὶ ἐνοικίων.

λη.

Ἐὰν ἀλλότριον πρᾶγμα ληγατευθῇ, οὗ τινος τὴν κτῆσιν οὐκ ἔχω, ὅτι δύναμαι αὐτὸ νομηθῆναι: τὸ τίμημα λαμβάνω.

νς.

Αἱ χάριν αἰτομενεύσεως γραφαὶ, καὶ ἐν ταῖς κληρονομίαις, καὶ ἐν τοῖς ληγάτοις οὐκ ἰσχύουσιν: οἷον, ΕΙ'Σ Ο'ΣΟΝ ΜΕ ΓΡΑ'ΨΕΙ ΠΕ'ΤΡΟΣ ΚΛΗΡΟΝΟ'ΜΟΝ, Ε'ΣΤΩ ΜΟΥ ΚΛΗΡΟΝΟ'ΜΟΣ. περὶ αἰτομενεύσεως ζήτει ἐν τῷ περὶ κληρονομίας.

νζ.

Ἐὰν κατὰ μέρος ὅλος ὁ ληγατευθεὶς οἶκος ἀνανεωθῇ, ὡς μηδὲν ὑπεῖναι τῆς προτέρας ὕλης: ἔρρωται τὸ ληγάτον. εἰ δὲ καταγάγῃ αὐτὸν ὁ διαθέμενος, καὶ ἄλλον ἀντ' αὐτοῦ κτίσει, ἐσβέσθη, εἰ μὴ ἕτερον † ἀνανεώσῃ. † ἐνοήσεν.

ξγ.

Οὐ καλῶς ἐπιζητεῖ ὁ κληρονόμος δοῦναι τὴν τιμὴν τοῦ ληγατευθέντος σκεύους, λέγων μὴ δίκαιον εἶναι χωρισθῆναι αὐτοῦ. τοῦτο γὰρ ἐπὶ μόνων ἀνθρώπων φιλαγάθως ἐδέχθη, ὡς ἀνωτέρω.

ξς.

Ἐὰν ληγατεύσω σοι τὰ Ν Ν. ἅ τινα χρεωστεῖ μοι πέτρος, καὶ εὑρεθῇ μηδὲν χρεωστῶν: ἄχρηστον ληγάτον. εἰ δὲ χρεωστοῦντα αὐτὸν ἀπήτησα, σβέννυται. εἰ δὲ καὶ χρεωστεῖ, μόνας τὰς ἀγωγὰς ἐκχωρεῖ σοι ὁ κληρονόμος. εἰ δὲ ληγατεύσω σοι οὕτως:

οὕτως· ΛΕΓΑΤΕΥΩ ΤῼΔΕ, ΑΤΙΝΑ ΧΡΕΩΣΤΩ ΑΥΤῼ, καί τοι μηδὲν χρεωστῶν· εἰ μὲν μὴ προσέθηκα ποσὸν, ἄχρηστον λεγάτον. εἰ δὲ εἶπον τὰ τόσα ΝΝ. ἔρρωται. τοῦτο γὰρ ἐπὶ προικὸς λεγατευομένης κρατεῖ.

οζ.

Δύναται ὁ ὑπεξούσιος υἱὸς τὴν μὲν κληρονομίαν τοῦ πατρὸς παραιτεῖσθαι, τὸ δὲ λεγάτον καταδέχεσθαι, εἰ μὴ ἄρα ἢ ἐξεφώνησεν, ἢ ἐνενόησεν ὁ πατὴρ, μὴ θέλειν αὐτὸν χωρὶς τῆς κληρονομίας λαβεῖν τὸ λεγάτον. καὶ ὁ αὐτεξούσιος γὰρ δύναται τοῦτο ποιεῖν.

οη.

Ὅτι διὰ τῆς διαθήκης τὸ λεγάτον ἀπαιτεῖται, οἱ μετὰ προκάταρξιν καρποὶ καὶ τοκετοὶ καὶ τὰ προσπορισθέντα λεγατευθέντι δούλῳ, ἀποκαθίστανται τῷ λεγαταρίῳ.

οθ.

Ἐὰν λεγατεύσω σοι χρήματα, καὶ ἀξιώσω σε δοῦλον ἀλλότριον ἐλευθερῶσαι, καὶ ἢ ἀποθάνοι, ἢ ὁ δεσπότης αὐτοῦ οὐ πιπράσκει, κερδαίνεις τὸ λεγάτον.

ϛα.

Ἐὰν ἐνστήσωμαι τὸν πενθερόν μου κληρονόμον, καὶ λεγατεύσω σοι τὸ μέρος τῆς κληρονομίας· ὑπεξαιρεῖ καὶ τὴν κεχρεωστημένην αὐτῷ παρ' ἐμοῦ προῖκα, καὶ τὰ ἄλλα χρέα.

ϛδ.

Ἐὰν ζῶντος τοῦ διαθεμένου, φύγῃ ὁ λεγατευθεὶς δοῦλος· κινδύνῳ καὶ δαπανήμασι τοῦ λεγαταρίου ἐπανέρχεται. τὸ γὰρ λεγατευθὲν ἔνθα ἐάθη ὑπὸ τοῦ διαθεμένου, δίδωσιν ὁ κληρονόμος. ἐὰν λεγατευθῇ δοῦλος, τὴν ἐπιλογὴν ὁ λεγατάριος ἔχει, ὁ καὶ δυνάμενος οἵᾳ θέλει ἀγωγῇ χρήσασθαι. μετὰ ὑπερθέσιν, κινδύνῳ τοῦ κληρονόμου καὶ ἀποθνήσκει, καὶ χείρων γίνεται ὁ λεγατευθεὶς δοῦλος. ἐὰν οὖν χείρονα γενόμενον αὐτὸν δώσει, μένει ἐνεχόμενος.

ϛϛ.

Ἐὰν ἀξιωθῇ ὁ κληρονόμος δοῦναί μοι ὃν βούλεται δοῦλον, οὐκ ὀφείλει δοῦναί μοι τὸν χείριστον. ἐὰν οὖν ἐν εἰδήσει κλέπτην μοι δῷ, καὶ ὑποστῶ παρ' αὐτοῦ κλοπὴν, ἐνάγεται τῇ περὶ δόλου ἀγωγῇ, καὶ ἀναγκάζεται ἄλλον δοῦναι, καὶ τοῦτον ὡς εἰς τὴν ζημίαν ἐᾶσαι μοι.

ρβ.

Οὐ καλῶς οἶκος ἐπὶ τῷ καταλυθῆναι λεγατεύεται.

ρε.

Λεγάτον ἐστὶ, μείωσις τῆς κληρονομίας.

ριβ.

Ἐὰν ἄχρηστον καταλειφθῇ λεγάτον, καὶ οἱ κληρονόμοι ἐν εἰδήσει αὐτὸ καταβάλωσιν, οὐκ ἔτι δύνανται αὐτὸ ἐπαναλαμβάνειν.

ριϛ.

Ἐὰν κτήματα ὑποκείμενα λεγατευθῶσιν, ὁ κληρονόμος ἀναγκάζεται ταῦτα ἀναρρύσασθαι· μάλιστα ὅτι καὶ ὁ τελευτήσας ἤδη τὴν κατάστασιν αὐτῶν· εἰ ἠγνόει μὲν, πλὴν εἰ ἠπίστατο, ἔμελλεν ἀντ' αὐτῶν ἕτερόν τι λεγατεύειν. εἰ δὲ ἐπράθησαν ἤδη παρὰ τοῦ δανειστοῦ, ὁ κληρονόμος ἀναγκάζεται δοῦναι τῷ λεγαταρίῳ τὴν διατίμησιν αὐτῶν.

modo, LEGO HVIC, QVOD EI DEBEO, *quum nihil debeã: si quidem quantitatẽ non adiecero, inutile legatũ est: si uero adiecero, tot aureos, ualet. Hoc. n. & in dote legata ualet.*

LXXVII.

Filius in potestate manens, hereditatem patris repudiare potest, & legatum adquirere: nisi pater uel expresserit, uel senserit, non uelle se eum absque hereditate legatum accipere. Nam & emancipatus id facere potest.

LXXVIII.

Quũ ex testamẽto legatũ petitur, post litis cõtestationẽ percepti fructus, & partus, & quæ a seruo legato adquisita sunt, legatario restituuntur.

LXXIX.

Si pecuniam tibi legauero, fideique tua commisero, ut alienum seruum manumittas; isque uel mortuus fuerit, uel dominus eum uendere nolit: legatum lucraris.

XCI.

Si socerum meum heredem instituero, tibiq; partem hereditatis legauero: tam debitam sibi a me dotem, quam alia credita deducit.

XCIIII.

Si uiuo testatore seruus legatus aufugerit, periculo & impensis legatarij reducitur. quoniam rem legatam eo loco, in quo a testatore relicta est, heres præstat. Si seruus legatus fuerit, electionem legatarius habet: qui & potestatem habet, qua actione uelit, utendi. Post moram periculo heredis seruus legatus & moritur, & deterior fit. itaque si deteriorem factum tradat, nihilominus tenetur.

XCVI.

Si rogatus fuerit heres mihi seruũ dare, quẽ ipse uelit, pessimum mihi dare nõ debet. Ideoq; si sciens furẽ mihi dederit, isq; furtũ mihi fecerit: de dolo malo conuenitur, & aliũ mihi dare cogitur, & hunc ueluti pro noxa deditũ relinquere.

CII.

Non recte legantur ædes destruendæ.

CV.

Legatum est hereditatis deminutio.

CXII.

Licet inutiliter legatum relictum sit, & heredes scientes præstiterint: non amplius id repetere possunt. l. 2. C. de fideicomm.

CXVI.

Si obligata prædia legata fuerint, heres ea liberare cogitur; maxime quum & testator conditionem eorum non ignorauit: aut ignorauit ille quidem, uerum si sciisset, aliud quid eorum loco legaturus fuisset. Si uero a creditore distracta sunt, pretium heres legatario soluere cogitur.

CXXXII.

CXXXII.

Et in epistola, & in quocumq. libello, & sine scriptura, & nutu legatum relinquitur.

ρλβ.

Καὶ ἐν ἐπιστολῇ, καὶ ἐν οἰῳδήποτε λιβέλλῳ, καὶ ἀγράφως, καὶ νεύματι, λεγάτον καταλιμπάνεται.

CXXXVI.

Si legatum filiofamilias relictum fuerit, & pater repudiauerit: ipse filius id petere potest.

ρλϛ.

Ἐὰν ὑπεξουσίῳ καταλειφθῇ λεγάτον, ὁ δὲ πατὴρ παραιτήσηται: αὐτὸς δύναται ὁ ὑπεξούσιος αὐτὸ ἐπαιτῆσαι.

TIT. II. cap. VIII. them. III. dicitur:

ΤΙΤΛΟΥ β. κεφάλαιον η. θεμ. γ. φησίν.

l. 8. §. 2. D. de leg. 2.

Si ex illo dolio mihi decem amphora legata fuerint, nec tot amphoras contineat; accipio quod inuenitur.

Ἐὰν ἐκ τοῦδε τοῦ πίθου λεγατευθῶσι μοι δέκα κέραμοι, καὶ μὴ ἔχει τοσούτους, τὸ εὑρισκόμενον λαμβάνω.

X.

Si post factum testamentum fundo legato quid adiecero, & utrumque coniunctim possedero: ad legatarium pertinet.

ι.

Ἐὰν μετὰ τὴν διαθήκην ἑνώσω τι τῷ λεγατευθέντι ἀγρῷ, καὶ ἡνωμένως αὐτὰ νεμηθῶ, τῷ λεγαταρίῳ διαφέρει.

XII.

Pecunia legata, quum soluendo est hereditas, licet nulla pecunia relicta sit; tamen heres eam soluit.

ιβ.

Χρημάτων λεγατευθέντων, καὶ τῆς κληρονομίας εὐπορούσης, εἰ καὶ μὴ καταλείφθησαν χρήματα, δίδωσιν αὐτὰ ὁ κληρονόμος.

XVII.

Si X. aureos tibi legauero, teque rogauero, ut eos Petro restituas, & Petrus ante testatorem mortuus fuerit: tuo commodo cedunt, nisi te uelut ministro dumtaxat usus sum. Idem & de usufructu legato.

ιζ.

Ἐὰν λεγατεύσω σοι δέκα ΝΝ. καὶ ἀξιώσω σε ἀποκαταστῆσαι αὐτὰ Πέτρῳ, καὶ προαποθάνῃ τοῦ διαθεμένου Πέτρος: σὺ αὐτὰ κερδαίνεις, εἰ μὴ ἄρα ὡς ὑπουργῷ σοι μόνον ἐχρησάμην. τὸ αὐτὸ καὶ περὶ χρήσεως καρπῶν λεγατευθείσης.

XXI.

De dote legata.

Si maritus, quamquam sciret uxori dotem redditam, ei legare uolens, iusserit dotem reddi: recte uxor eam petit, reddendi uerbo pro dandi sumto.

κα.

Ἐὰν ἀνὴρ εἰδὼς ἀποδεδωκέναι τῇ γαμετῇ αὐτοῦ τὴν προῖκα, καὶ βουλόμενος αὐτῇ λεγατεῦσαι, εἴπῃ ἀποδοθῆναι αὐτῇ τὴν αὐτῆς προῖκα, καλῶς αὐτὴν ἀπαιτεῖ: τοῦ ἀποδοθῆναι ῥήματος, ἀντὶ τοῦ δοθῆναι παραλαμβανομένου. περὶ προικὸς λεγατευθείσης.

XXXII.

Quæ sine condicione uel die legantur, ex adita hereditatis die præstantur.

λβ.

Χωρὶς αἱρέσεως ἢ ἡμέρας λεγατευόμενα, ἀπὸ τῆς ὑπεισελεύσεως τῆς κληρονομίας δίδονται. πότε δίδονται χωρὶς αἱρέσεως λεγάτα.

XXXIII.

Si fundum legauero cum omnibus rebus, quæ in eo sunt; mancipia quoque continentur. Quæ specialiter legata sunt, & sine dolo heredis in defuncti patrimonio non reperiuntur; peti non possunt. Heredes pro partibus hereditariis legata præstant, nec pro his qui soluendo non sunt, coheredes grauantur.

λγ.

Ἐὰν ἀγρὸν λεγατεύσω μετὰ πάντων τῶν ἐν αὐτῷ πραγμάτων, καὶ τὰ ἐν αὐτῷ ἀνδράποδα περιέχεται. τὰ ἰδικῶς λεγατευόμενα, καὶ χωρὶς δόλου τοῦ κληρονόμου μὴ εὑρισκόμενα ἐν τῇ οὐσίᾳ, οὐκ ἀπαιτοῦνται. οἱ κληρονόμοι πρὸς τὰ κληρονομιαῖα μέρη διδόασι τὰ λεγάτα, μὴ βαρούμενοι ἐκ τῆς ἀλλήλων ἀπορίας.

XXXIIII.

Si domum seruo meo legatam cum hereditate diuiserint testatoris heredes, me quasi teste præsente: nihil amitto, nisi probatum fuerit, me legati omittendi caussa hoc fecisse.

λδ.

Ἐὰν τὸν λεγατευθέντα οἶκον τῷ δούλῳ μου μετὰ τῆς κληρονομίας διέλωνται οἱ τοῦ διαθεμένου κληρονόμοι παρόντος μου ὡς μάρτυρος, οὐκ ἐκπίπτω: εἰ μὴ δειχθῇ ὅτι ὡς ἀποπεμπόμενος ἐποίησα τοῦτο.

XXXIX.

Si fundi mei partem dimidiam tibi legauero, & partem dimidiam Petro, Paulo autem totum: quæcumque pars defecerit, ceteris pro portione adcrescit.

λθ.

Ἐὰν τοῦ ἀγροῦ μου τὸ ἥμισυ λεγατεύσω σοι, καὶ Πέτρῳ τὸ ἥμισυ, Παύλῳ δὲ τὸ ὅλον, καὶ ἀρνήσηται τὸ οἱονδήποτε μέρος, τοῖς ἄλλοις πρὸς τὰ μέρη αὐτῶν αὔξει.

μη. Τι-

μη.

Τελευτῶντος τοῦ λεγατευθέντος μοι βοὸς, οὔτε τὴν βύρσαν, οὔτε τὸ κρέας λαμβάνω.

ξγ.

Τὸ λεγατευθὲν πεκούλιον, καὶ αὔξει καὶ μειοῦται προστιθεμένου τινὸς, ἢ ὑπεξαιρουμένου. ἐὰν τέθριππον λεγατευθῇ μοι, καὶ ἀποθάνῃ ὁ καλλιστεύων ἐν αὐτοῖς, σβέννυται τὸ λεγάτον: εἰ μὴ περιὼν ὁ διαθέμενος ἀνεπλήρωσε τὸ τέθριππον.

ξθ.

Ἐὰν λεγατευθῇ μοι τὸ μέλλον ἐκ Μαρίας τίκτεσθαι, καὶ ἀγοράσω αὐτὴν, καὶ τέκῃ παρ' ἐμοὶ, οὐ δοκῶ ἀπὸ κέρδους ἔχειν τὸ τεχθέν. διὸ πρὸς ἀναλογίαν τῶν δοθέντων παρ' ἐμοῦ ὑπὲρ τῆς αὐτοῦ μητρὸς, ὁρίζει λαβεῖν με τὴν αὐτοῦ τιμὴν ὁ δικαστής.

ο.

† πρός τινα. Ἐὰν γράψεις † πρὸς ἐπιστολὴν ἐφ' ᾧ μετὰ θάνατόν σου ἀναγνῶσαι, ἔχουσαν οὕτως: ΕἼΔΕΝΑΙ ΣΕ ΒΟΥΛΟΜΑΙ, ὍΤΙ ἘΔΩΡΗΣΆΜΗΝ ρ. ΝΝ. ἔρρωται τὸ λεγάτον, εἰ καὶ μὴ πρὸς τὸν κληρονόμον, ἀλλὰ πρὸς ἐμὲ διελέχθης.

πδ.

Τῶν λεγάτων καὶ τῶν ἀποκαταστάσεων τοὺς τόκους ἐξ ἐκείνου τοῦ καιροῦ, ἐν ᾧ ἡ δίκη προκατήρχθη, δύνασθαι ἀπαιτηθῆναι, φανερόν ἐστιν. ἀλλὰ καὶ οἱ καρποὶ τῶν πραγμάτων καὶ οἱ μισθοὶ τῶν δούλων, οἵτινες κεχρεωστοῦνται ἐκ διαθήκης, ὁμοίως παρέχεσθαι ὀφείλουσιν.

ΤΙΤΛΟΥ γ. κεφάλαιον ζ. φησίν.

Ἀπὸ στρατιωτικῆς διαθήκης, καὶ ὁ περιορισμένος λαμβάνει λεγάτον.

κα.

Σβέννυται τὸ λεγάτον, τοῦ πράγματος ἐξ ἐπικερδοῦς αἰτίας εὑρισκομένου παρὰ τῷ λεγαταρίῳ, εἰ μὴ τὴν τιμὴν ἠθέλησεν αὐτὸν λαβεῖν ὁ διαθέμενος.

† μθ. † μθ.

Ἐὰν λεγατεύσω τῇ γυναικί μου, ὍΣΑ ὈΝΌΜΑΤΙ ΑὐΤῊΣ ΕὐΤΡΈΠΙΣΑ: περιέχει καὶ ἐσθῆτα καὶ ἀργύριον, κόσμιον, καὶ ὅσα ὀνόματι τῶν γυναικῶν εἰς διηνεκῆ χρείαν εὐτρεπίζεται, καὶ οὐκ εἰς κοινήν: εἴτε πρὶν ἀγαγέσθαι γαμετὴν, ἢ μετὰ ταῦτα εὐτρέπισα. εἰ δὲ καί τι ἀπὸ τῶν ἐν χρήσει πραγμάτων, εἰς χρῆσιν αὐτῆς μετάγω, περιέχεται. καὶ εἰ μὲν εἴπω, ΚΑῚ ὍΣΑ ὈΝΌΜΑΤΙ ΑὐΤῊΣ ΕὐΤΡΕΠΙΣΑ: δηλῶ, καὶ εἴ τι πλέον τῶν εἰρημένων τοιαύτης ἕνεκεν αἰτίας εὐτρέπισα. εἰ δὲ χωρὶς τοῦ ΚΑῚ συνδέσμου εἴπω, ἍΤΙΝΑ ΕἸΣ ΛΌΓΟΝ ΑὐΤῊΣ ΕὐΤΡΈΠΙΣΑ: ἐκ πάντων τῶν εἰρημένων ἀνωτέρω πραγμάτων μόνα σημαίνω τὰ χάριν αὐτῆς εὐτρεπισθέντα.

μη.

Ἐὰν ρ. βιβλία λεγατευθῶσιν, οὐκ ἀριθμὸς βιβλίων, ἀλλὰ ρ. τεύχη δίδονται.

XLVIII.

Mortuo boue mihi legato, neque corium neque carnem consequor.

LXIII.

Peculium legatū augetur & minuitur, quū quid accesserit, aut decesserit. Si quadriga mihi legata sit, & equus praestantissimus mortuus fuerit; legatum extinguitur, nisi testator superstes quadrigam suppleuerit.

LXIX.

Si quod ex Maria nascetur, legatū mihi fuerit, & ego Mariam emam, eaque apud me sit enixa: non ex caussa lucratiua partum habere uideor. ideoq. pro portione illorum, quae pro matre pueri dedi, iudex pretium eius mihi dandum statuit.

LXX.

Si epistolam scripseris ad aliquem; post mortem tuam aperiendam, in haec uerba: SCIRE TE VOLO, DONARE ME TIBI C. AVREOS: *legatum ualet, quamuis non cum herede, sed mecum loquutus sis.*

LXXXIIII.

Legatorum & fideicommissorum usuras ex eo tempore, quo lis contestata est, exigi posse manifestum est. Sed & fructus rerum, & mercedes seruorum, qui ex testamento debentur, similiter praestari debent. l.1.C.de usur. &c.

TIT. III. cap. VII. dicitur:

Ex militari testamento deportatus quoque legatum capit. l.7.D.de leg.3.

XXI.

Legatum extinguitur, quū ex caussa lucratiua res apud legatarium inuenitur; nisi testator aestimationem eius quoque praestari uoluit.

* XLIX. * XLIIII.

Si uxori meae legauero, QVAE VXORIS CAVSSA PARAVI, *continet hoc legatum tam uestem, quam argentum, ornamenta, caeteraq. quae uxorum gratia perpetui, non cōmunis usus caussa parantur: siue prius, quam uxorem ducerem, siue postea parauerim. Quod si etiam aliquid ex his rebus, quibus ipse uti solitus sum, uxoris usibus adsignauero; continetur. Ac si quidem dixero,* QVAEQVE EIVS CAVSSA PARAVI, *hoc scilicet significo, & si quid praeter ea quae dicta sunt, eius caussa paraui. Quod si absque coniunctione dixero,* QVAE EIVS CAVSSA PARAVI, *ex omnibus supra indicatis rebus ea sola significo, quae eius caussa parata sunt.*

XLVIII.

Si C. libri legati sint, nō librorum numerus, sed C. uolumina dantur.

LVI.

Agnis legatis intelliguntur ij, qui minores anniculis sunt.

LVIII.

Legato mulorum, etiam mulæ continentur; & seruorum serua plerumque. Semper enim masculinum nomen etiam femininum sexum significat.

LXI.

Legato pecorum & quadrupedes, quæ gregatim pascuntur, continentur; in quibus & sues sunt. Iumentis legatis boues non continentur. equorum autem legato & equæ cõtinentur, non etiam appellatione ouium agni. Vsus autem cuiusque loci, quamdiu agni sint, declarat. nam in quibusdam locis donec tondeantur, pro agnis habentur.

LXIIII.

Prædio cum enthecis, quæ in eo sunt, legato; mancipia quoque, quæ illic erant testamenti facti tempore, cedunt sed tum ea, quæ accessere postea, quum hoc manifeste testator expresserit.

LXV.

Non aliter a significatione uerborum recedimus, quam quum manifestum est, aliud sensisse testatorem. Si iuuenes legauero, iudicis est cognoscere, de quibus intellexerim. Nam in testamentis accuratas definitiones non seruamus. Nec enim testatores proprijs nominibus ac uocabulis semper utuntur. Sed tamen iuuenis est is, qui adolescentis ætatem excessit, quoad incipiat inter seniores numerari.

LXIX.

Quum suos quis seruos legat, eos intelligit, qui pleno iure serui eius sunt, & qui ei bona fide seruiunt, & quos hypotheca pignorive dedit, aut quorum operas locauit; non tamen quorum usufructus ad eum pertinet, nec qui ei sunt oppignerati. Quod si uenalsciarius erat, qui sic legauit; uenalia mancipia non continentur. nam hæc mancipia loco mercis habentur.

LXXV.

Seruis legatis, etiam ancillæ continentur; itemque pueris, puellæ: sed non contra. Mulieribus legatis, etiam uirgines continẽtur; ut uiris, pueri quoque. Legato pecudum & boues, & iumenta cetera continentur: armento boum, boues tantum, non etiam greges ouium uel caprarum. Ouium legato nec agni, nec arietes continentur. ouium uero grege legato, continentur.

CIII.

L. 4. C. de uerb. sign. *Quum quidã sic uel institutionẽ, uel legatũ, uel fideicõmissum, uel libertatẽ, uel tutelã scri-*

νϛ.

Τῷ λεγάτῳ τῶν ἀρνῶν, οἱ μήπω τὸν ἐνιαυτὸν πληρώσαντες δηλοῦνται.

νη.

Τῷ λεγάτῳ τῶν κορδονίων καὶ αἱ μοῦλαι περιέχονται, καὶ τῶν δούλων ὡς ἐπὶ τὸ πλεῖστον αἱ δοῦλαι. ἀεὶ γὰρ τὸ ἀρρενικὸν ὄνομα, καὶ τοῦ θήλεως ἐστὶ δηλωτικόν.

ξα.

Τῷ τῶν θρεμμάτων λεγάτῳ, τὰ ἀγεληδὸν βοσκόμενα τετράποδα περιέχεται, ἐν οἷς καὶ οἱ χοῖροι. ὑποζυγίων λεγατευθέντων, οἱ βόες οὐ περιέχονται. τῷ λεγάτῳ τῶν ἵππων καὶ φορβάδες περιέχονται. οὐ μὴν τῷ τῶν προβάτων οἱ ἀρνοί. ἡ δὲ χρῆσις ἑκάστου τόπου, δηλοῖ ἕως πότε εἰσὶν ἀρνοί. ἔν τισι γὰρ τόποις, ἕως ὅτε καρῶσιν, ἀρνοὶ νομίζονται.

ξδ.

Ἀγροῦ μετὰ τῶν ἐνθηκῶν τῶν ὄντων ἐν αὐτῷ λεγατευομένου, καὶ τὰ ἀνδράποδα τὰ ἐν τῷ διατίθεσθαι ἐκεῖσε ὄντα δίδονται. τὰ δὲ ὕστερον προστεθέντα, ὅτε ῥητῶς εἴπῃ ὁ διαθέμενος.

ξε.

† Οὐ καλῶς ἀναχωροῦμεν τῆς σημασίας τῶν λέξεων, εἰ μὴ πρόδηλόν ἐστιν ἕτερον ἐνθυμηθῆναι τὸν διαθέμενον. ἐὰν τοὺς νεωτέρους λεγατεύσω, τοῦ δικαστοῦ ἐστὶ σκοπεῖν, περὶ ποίων ἐνενόησα. ἐν γὰρ ταῖς διαθήκαις, οὐ φυλαττόμεν τοὺς ἀκριβεῖς ὅρους. ὅτι γὰρ † οἱ διαθέμενοι τῆς κυριολεξίας κέχρηνται. ὅμως δὲ ἐν τοι νεώτερός ἐστιν ὁ τὴν † ἀμφίβολον ἡλικίαν ἐξελθὼν, ἕως οὗ μετὰ τῶν γερόντων ἄρξεται εἶναι. † ἐν ἄλλοις. † οὐ δεῖ. † ἔφηβον

ξθ.

Ὅταν τοὺς ἰδίους δούλους λεγατεύσῃ τίς, † τῆς πληρηδικαίου δούλους ὄντας αὐτοῦ λέγει, καὶ τοὺς καλῇ πίστει δουλεύοντας αὐτῷ, καὶ οὓς ὑπέθετο, ἢ ἐνεχύρωσεν, ἢ ἐμίσθωσεν. οὐ μὴν τοὺς κατὰ χρῆσιν αὐτῷ διαφέροντας, ὅτι οὓς ἐνέχυρον ἔχει. εἰ δὲ σωματέμπορος ἦν ὁ οὕτω λεγατεύσας, τὰ πράσιμα οὐ περιέχεται. φορτία γὰρ καὶ οἱ δοῦλοι νοοῦνται. † τὸν πλήρ. δεσπ.

οε.

Δούλων λεγατευομένων, καὶ δοῦλαι περιέχονται, καὶ παίδων αἱ παιδίσκαι: οὐ μὴν τὸ ἐναντίον. γυναικῶν λεγατευομένων, καὶ παρθένοι περιέχονται, ὥσπερ ἀνδρῶν οἱ παῖδες. τῷ λεγάτῳ τῶν θρεμμάτων, καὶ οἱ βόες καὶ τὰ λοιπὰ νωτοφόρα περιέχονται. βουκολίου δὲ, μόνον βόες, οὐ μὴν ἀγέλαι προβάτων, ἢ αἰγῶν. τῷ λεγάτῳ τῶν προβάτων, οὔτε ἀρνοὶ, οὔτε κριοὶ περιέχονται: τῇ μέντοι τῶν προβάτων ἀγέλῃ περιέχονται.

ργ.

Ὅτι τίς οὕτως ἢ ἴνστιτον, ἢ λεγάτον, ἢ ἀποκατάστασιν, ἢ ἐλευθερίαν, ἢ ἐπιτροπὴν ἔγραψεν:

Ο ΔΕΙ.

Ὁ ΔΕΙ͂ΝΑ, Ἢ Ὁ ΔΕΙ͂ΝΑ ἜΣΤΩ ΜΟΙ ΚΛΗΡΟΝΟΜΟΣ, ἢ ΤΩΙ͂ΔΕ Ἢ ΤΩΙ͂ΔΕ ΔΙΔΩΜΙ ΚΑῚ ΛΕΓΑΤΕΥΩ, ἢ ΔΙΔΟΣΘΑΙ ΒΟΥΛΟΜΑΙ, ἢ ΤΟΝΔΕ ΚΑῚ ΤΟΝΔΕ ἘΛΕΥΘΕΡΟΝ ΕἾΝΑΙ ΒΟΥΛΟΜΑΙ, ἢ ἘΠΙΤΡΟΠΟΝ ΕἾΝΑΙ ΚΕΛΕΥΩ: κελεύομεν τὸν σύνδεσμον τὸν Ἢ ἀντὶ τοῦ ΚΑῚ δεχθῆναι, ἵνα δόξῃ συμπλεκτικῷ τρόπῳ εἶναι † προσενηνεγμένος, καὶ μᾶλλον εἴη παραδιάζευξις, ἵνα καὶ τὸ πρῶτον πρόσωπον εἰσαγάγῃ, καὶ τὸ δεύτερον μὴ ἐκβάλῃ. ὃν τρόπον γὰρ (λόγου χάριν) ἐν τῷ νομίμῳ παραγγέλματι τοῦ ΒΙΑι Ἢ ΛΑΘΡΑ, ὁ Ἢ σύνδεσμος ἀντὶ τοῦ ΚΑῚ φανερῶς κεῖται, οὕτως ἐν πᾶσι τοῖς τοιούτοις θέμασιν, εἴτε ἐνστάσεων, εἴτε ληγάτων, εἴτε ἀποκαταστάσεων, εἴτε ἐλευθεριῶν, εἴτε † ἐπιτρόπων, τοῦτο εἶναι νοητέον. καὶ ἑκάτεροι ἐρχέσθωσαν ἴσῳ ζυγῷ πρὸς τὴν κληρονομίαν, ἑκάτεροι τὰ ληγάτα ὁμοίως λαμβανέτωσαν, αἱ ἀποκαταστάσεις εἰς ἑκάτερον μεριζέσθωσαν, ἡ ἐλευθερία ἑκάτερον λαμβανέτω, τῷ τοῦ ἐπιτρόπου οἱ δύο † λειτουργοῦσιν ὀφφικίῳ.

† προσεπινενογμένος. † ἐπιτροπῶν. † λειτουργοῦσιν.

ρδ.

Τῇ ἀναφορᾷ τῆς τοῦ Ἰλλυρικοῦ συνηγορίας ἀποκρινόμενοι διορίζομεν τὸ τῆς φαμιλίας ὄνομα, τοιαύτην ἔχειν δύναμιν: τοὺς ἀνιόντας, καὶ κατιόντας, καὶ πάντας τοὺς συγγενεῖς, καὶ τὴν ὑπόστασιν, καὶ τοὺς ἀπελευθέρους, καὶ τοὺς πάτρωνας, καὶ τοὺς δούλους, διὰ ταύτης τῆς προσηγορίας σημαίνεσθαι. καὶ εἴ τις ἐν τῇ ἰδίᾳ διαθήκῃ ἀποκατάστασιν τῇ ἰδίᾳ φαμιλίᾳ καταλίπῃ, μηδεμιᾶς ἰδίας προσθήκης περὶ τινῶν ῥητῶν προσώπων γινομένης: μὴ μόνον τοὺς συγγενεῖς, ἀλλὰ καὶ τούτων λειπόντων, τὸν γαμβρὸν καὶ τὴν νύμφην. καὶ † τοῦτο γὰρ ἡμῖν φιλάνθρωπον εἶναι δοκεῖ, εἰς τὴν ἀποκατάστασιν καλεῖσθαι οὕτως, ἐὰν ὁ γάμος θανάτῳ τοῦ παιδὸς ἢ τῆς θυγατρὸς εἴη διαλυθείς. μηδενὶ τρόπῳ † διαλυθήτωσαν ὁ γαμβρὸς ἢ ἡ νύμφη, τῶν παίδων ζώντων, εἰς τὴν τοιαύτην ἀποκατάστασιν κληθῆναι, ὁπότε ἀναμφιβόλως αὐτοὺς προλαμβάνουσι. καὶ τοῦτο δηλαδὴ κατὰ τάξιν γίνεσθαι, ἵνα μετ' αὐτοὺς οἱ ἀπελεύθεροι ἔλθωσι. τούτου αὐτοῦ ἰσχύοντος, καὶ εἴ τις πρᾶγμα ἀκίνητον τινὶ ἐληγάτευσεν, ἢ κατὰ ἀποκατάστασιν κατέλειπε, καὶ ἐκώλυσεν ἐκποιηθῆναι αὐτό, προστιθεὶς ἵνα ἐὰν τοῦτο παρέλθῃ ὁ τὴν ἀποκατάστασιν λαβόμενος: τῇ φαμιλίᾳ αὐτοῦ τὸ πρᾶγμα προσπορισθῇ. ἐν ἄλλοις δὲ θέμασι τὸ ὄνομα τῆς φαμιλίας, ἀντὶ τῆς ὑποστάσεως χρὴ νοεῖσθαι: ἐπειδὴ καὶ οἱ δοῦλοι, καὶ τὰ ἄλλα πράγματα, ἐν τῇ οὐσίᾳ ἑνὸς ἑκάστου εἶναι νομίζονται.

† τούτων. † διαλυθείτωσαν.

ΤΙΤ. δ. διαλαμβάνει

ΠΕΡῚ ἘΤΗΣΙΩΝ ΛΕΓΑΤΩΝ. οὗ τινος ἐν τῷ β. κεφαλαίῳ φησίν.

psisset, ILLE AVT ILLE MIHI HERES ESTO, uel ILLI AVT ILLI DO LEGO, uel DARI VOLO, uel ILLVM AVT ILLVM LIBERVM ESSE VOLO, uel TVTOREM ESSE IVBEO, iubemus coniunctionem AVT pro ET accipi, ut uideatur copulatiuo modo esse prolata, magisq; sit paradiazeuxis; ut & primam personam inducat, & secundam non repellat. Quemadmodum enim, uerbi gratia, in interdicto QVOD VI AVT CLAM, coniunctio AVT pro ET aperte posita est: ita & in omnibus huiusmodi casibus siue institutionum, siue legatorum, siue fideicommissorum, siue libertatum, siue tutelarum, hoc intelligendũ est, ut ambo ueniãt aqua lance ad hereditatẽ; ambo legata similiter accipiant; fideicõmissa in utrumq; diuidantur; libertas utrumq; capiat; ambo tutoris officio fungantur.

CIIII.

Relationi aduocatorum Illyrici respondentes decernimus, familia nomen talem habere uim; ut adscendentes, & descẽdentes, & omnes propinqui, & substantia, & liberti, & patroni, & serui per hanc appellationem significentur. Et si quis in testamento suo fideicommissum familia sua reliquerit, nulla speciali adiectione de certis quibusdam personis facta; nõ solum propinqui, sed etiam his deficiẽtibus, gener & nurus. Nam & eos nobis humanum esse uidetur ad fideicommissum ita uocari, si matrimonium morte filij uel filia fuerit dissolutum. Nullo autem modo possint gener uel nurus filijs uiuentibus ad tale fideicommissum uocari, quum hi proculdubio eos antecedant. & hoc uidelicet gradatim fieri, ut post eos liberti ueniant. Hoc eodem ualente & si quis rem immobilẽ cuidam legauerit, uel fideicommiserit, eamque alienare prohibuerit, adyciens, ut si hoc fideicommissarius praterierit; familia sua res adquiratur. In alijs autem casibus nomen familia pro substantia oportet intelligi. quia & serui, & alia res in patrimonio uniuscuiusque esse putantur.

TIT. IIII. tractat

DE ANNVIS LEGATIS. Eius cap. II. dicitur:

Si heres initio anni, quo colere deberem, moram fecerit; licet postea colere me patiatur, tamen totius anni nomine: similiter in operis seruorum, si non a mane seruum miserit, sed a sexta diei hora, totius diei nomine tenetur. D. eod.

XVII.

Ἐὰν ἐν τῷ προοιμίῳ τοῦ ἐνιαυτοῦ ὅτε ἔδει με γεωργῆσαι, ὑπέρθεσιν ποιήσῃ ὁ κληρονόμος, εἰ καὶ μετὰ ταῦτα συγχωρεῖ μοι γεωργῆσαι, ὑπὲρ ὅλου τοῦ ἐνιαυτοῦ, καὶ ἐπὶ ὑπηρεσιῶν δούλων, ἐὰν μὴ ἕωθεν πέμψῃ τὸν δοῦλον, ἀλλὰ μετὰ τὴν ἕκτην ὥραν, ὑπὲρ ὅλης τῆς ἡμέρας, ἀπολογεῖται.

XVII.

Si X. aurei tibi praestentur ad annos XXX. & intermedio tēpore moriaris; heres tuus residui temporis fideicommissum capit: nisi qui eo grauatus est, ostenderit; me tantum te uiuente praestari noluisse.

XXVII.

l.3.C.de leg. *Si quis rem legauerit, eamque postea pignori uel hypotheca dederit; adhuc legatum ualet. Ideoq; si aduersus heredem legatarius actionem personalem elegerit, hoc est, subsidium ex testamento. rem heres a creditore liberare cogitur.*

XXVIII.

Seruis testamento dominorum non data libertate, legatum seu fideicommissum relictum non ualet: licet post mortem testatoris libertatem aliqua ratione consequuti sint.

XXXIII.

Quoties heres legata soluit, a legatarijs eiusmodi cautionem exigere debet; ut si euicta fuerit hereditas, legata sibi restituant. At si testamentum falsum esse appareat, ne quidē aequum est interim legata praestari.

XXXIIII.

Quum alienam rem quis reliquerit, si quidem sciens; tam ex legato, quam fideicommisso ab eo, qui legatum seu fideicommissum meruit, peti potest. Quod si suam esse putauit, non aliter ualet relictum, nisi proxima persona, uel uxori, uel alij tali personae datum sit, cui legaturus esset, & si scisset rem alienam esse.

XXXV.

Si quis testamento res filiae legauerit, & superstes adhuc, post testamentum suum res eas in dotem pro filia dederit; posteaq; mortuus fuerit: amplius filia legatum petere non potest.

XXXVI.

Quoties heres in testamento etiam legatum habet, quod extra hereditatem praecipiat; potest & omissa parte sua hereditatis, legatum sibi relictum capere.

XLVIII.

Si legatarius celauerit testamentum, idque postea in lucem emerserit; omni modo inhibendum esse censemus, ne fructum suae calliditatis accipiat is, qui heredem hereditate sua defraudare uoluit: sed huiusmodi legatum illi quidem auferatur, maneat autem quasi pro non scripto apud heredem: ut qui alij nocendum esse existimauit, ipse suae iacturae modum sentiat.

TIT. V. tractat

DE VSVFRVCTV ET OPERIS LEGATIS.

ιζ.

Ἐὰν ἀποδοθῇ σοι ι. Ν Ν. ἐπὶ λ ἔτη, καὶ ἀποθάνῃς ἐν τῷ μεταξὺ, ὁ κληρονόμος σου λαμβάνει τοῦ λειπομένου χρόνου, εἰ μὴ δείξῃ ὁ βαρυνθεὶς, ὅτι μέχρι μόνης τῆς ζωῆς σου ἠθέλησα δοθῆναι.

κζ.

Ἐὰν τις ληγατεύσῃ πρᾶγμα, καὶ μετὰ ταῦτα † ἀποθῆται τὸ πρᾶγμα, ἔτι ἰσχύει τὸ λεγάτον. ὅθεν ἐὰν ὁ ληγατάριος ἐπιλέξηται κατὰ τοῦ κληρονόμου, τὴν προσωπικὴν ἀγωγὴν, τουτέστι τὴν ἐκ διαθήκης βοήθειαν, ὁ κληρονόμος ἀναγκάζεται τὸ πρᾶγμα ἐλευθερῶσαι παρὰ τοῦ δανειστοῦ. † ὑπόθηται

κη.

Δούλοις ἐν διαθήκῃ τοῦ δεσπότου μὴ δοθείσης ἐλευθερίας, λεγάτον ἢ ἀποκατάστασις καταλειφθὲν, οὐκ ἰσχύει: εἰ καὶ μετὰ θάνατον τοῦ διαθεμένου τὴν ἐλευθερίαν τρόπῳ τινὶ ἐκτήσαντο.

λγ.


IIII.

Etiam post capitis deminutionem possessio bonorum ab intestato liberis a pratore seruatur, exceptis adoptiuis. Nam hi emancipati nomen quoque liberorum amittunt. Sed si naturalem filium meum emancipauero, & adoptauero, & rursus emancipauero; ius liberorum manet.

VII.

Parentes ratione miserationis heredes liberorum sunt: at liberi parentum & naturali ratione, & parentum uoto.

XV.

Sui sunt, filij & filiæ, qui sunt in potestate, tam naturales, quam adoptiui. Suis præfertur fiscus, quum pater eorum post mortem perduellionis damnatus est. ac talis filius nec sepulcrorum ius habet. l.1.§.2.D.de suis & legit.

XXII.

Femina suos heredes non habent, nec desinūt habere propter capitis deminutionem.

XXVI.

Si dixero in dotali filiæ meæ instrumento, nihil ei amplius ex hereditate mea sperandum esse; non ualet. Nam priuatorum cautiones iuri publico non præiudicant.

XXVII.

Mulier tam legitimi, quam uulgo quæsiti filij sui heres est. Liberi defuncti matrem eius excludunt, siue in potestate sint, siue naturales emancipati. Nam adoptiuus emancipatus ita defuncti matrem excludit, quum & filius naturalis est. puta quem auus adoptauit. Si uero filius emancipatus hereditatem repudiauerit, defuncti locum mater occupat. Quam diu filius apud hostes est, uel nasci speratur; ius matris pendet. l.2.D.ad S.C.Tertyl.

XXVIII.

Filius qui se nolle matris hereditatem adire dixit, ante quam fratres eius hereditatem adeant, uel cognati ceteri; mutandi uolūtatem intra annum potestatem habet. Nam & ipsa filij bonorum possessio annalis est.

XXIX.

Quacumque seruantur, matre ac fratribus consanguineis defuncto legitimis exstantibus; eadem & adoptiuis exstantibus seruantur.

XXXII.

l.3.C.ad. Mater, qua filio tutorem non petijt, non succedit ei, si quidem impubes decesserit. at si pubes factus diem obierit, recte illi heres est.

XXXIII.

De matre nuptias iterante dictum est & in titulo de cõtrahentibus secundas nuptias.

Si qua mulier nequaquam religionem priori uiro, ex quo filios seu filias non habet, nuptiarum festinatione praestiterit; ex iure notißimo infamis fit, nisi huiusmodi maculam imperiale beneficium ei remittat. ita tamen, ut si ei filij fuerint, omnium facultatum, qua tempore nuptiarum erant, medietatem, hoc est semissem, filio uel filia, filijs uel filiabus donet; nec usufructu quidem retento. Quin & uno filiorum decedente, fratres superstites portionem eius accipiant. Sin autem uniuersi intestati decesserint, dura fortuna ad matrem solatia ex integro reuertentur.

XXXIIII.

Quoties mater ab intestato filio suo filiaue succedit, si matrimonium secundum post mortem filij non contraxerit, integrum sibi retineat lucrum, quod ad eam peruenit. Si uero matrimonium secundum contraxerit, extrinsecus quidem quasita filio retineat, sed eorum, quacumque de bonis paternis ad filium peruenerunt, usufructu potiatur; & proprietatem fratribus atque sororibus defuncti filij seruet. Hoc enim & alijs in rebus obtinet, quas a priori marito mulier, qua secundas contraxit nuptias, lucrata est.

XXXV.

Si mater non iteraturam se nuptias promiserit, legitimaque filij sui tutela suscepta, secundum postea matrimonium cõtraxerit: filio, qui decedit impubes, non succedat, ne quidem a patre substituta: nisi prius & tutorem ei petierit, & quacumque debentur ex ratione gesta tutele, persoluerit.

SCHOLION.

Libro autem XXVIII. titulo XIIII. capite XIII. simili modo puniendas tradit constitutio, quę intra luctus tempus secundas nuptias contrahunt. quo de dictum est in titulo de contrahentibus secundas nuptias.

XXXVI.

l.1.C.ad S.C. Orfic. Si mulier exstantibus consanguineis, & matre, & filia decedat; ad filiam hereditas eius pertinet.

κθ.

Ὅσα φυλάττεται μητρὸς .... † σης καὶ ἀδελφῶν ὁμοπατρίων τῷ τελευτήσαντι φυσικῶν, ταῦτα κρατεῖ καὶ θετῶν ὑπόντων. † ὑπούσης καὶ ἀδελφῶν.

λβ.

Ἡ μήτηρ μὴ αἰτήσασα ἐπίτροπον τῷ παιδὶ, οὐ κληρονομεῖ αὐτὸν, ἐὰν ἄνηβος τελευτήσῃ. εἰ δὲ ἔφηβος γενόμενος τότε τελευτήσει, καλῶς αὐτὸν κληρονομεῖ.

λγ.

Εἴ τις γυνὴ μηδαμῶς τὴν † θρησκείαν τῷ πρώτῳ ἀνδρὶ, ἐξ οὗ παῖδας ἢ θυγατέρας οὐκ εἶχε, τῇ τῶν γάμων ἐπείξει παρέσχεν· ἐκ τοῦ φανερωτάτου νόμου ἄτιμος ἔσται, εἰ μὴ τὸν τοιοῦτον σπίλον βασιλικὴ εὐεργεσία αὐτῇ συγχωρήσει. οὕτω μέντοιγε ὥστε εἰ παῖδας ἔχοι, πασῶν τῶν ὑποστάσεων, αἵτινες ἦσαν ἐν καιρῷ τῶν γάμων, τὴν μέσην, τουτέστι τὴν ἡμισείαν, τῷ υἱῷ ἢ τῇ θυγατρὶ, ἢ τοῖς υἱοῖς, ἢ ταῖς θυγατράσι δωρήσηται· μηδὲ παρακατασχεθείσης τῆς χρήσεως. ἀλλὰ καὶ τελευτῶντος ἑνὸς τῶν παίδων, τοὺς περιόντας ἀδελφοὺς, λαμβάνειν τὸ μέρος αὐτοῦ. ἐὰν δὲ πάντες ἀδιάθετοι τελευτήσωσι, τῆς σκληρᾶς τύχης πρὸς τὴν μητέρα εἰς παραμυθίαν ἐξ ἀκεραίου ἀποστρέψουσιν.

περὶ μητρὸς δευτερογαμούσης εἴρηται καὶ ἐν τῷ περὶ δευτερογαμούντων. † θρησκείαν.

λδ.

Ὁσάκις μήτηρ κληρονομήσει υἱὸν ἴδιον ἢ θυγατέρα ἐξ ἀδιαθέτου, εἰ μὴ δευτερογαμήσει μετὰ τὴν τοῦ παιδὸς τελευτὴν, μενέτω τέλειον ἔχουσα τὸ εἰς αὐτὴν περιελθὸν κέρδος. ἐὰν δὲ δευτερογαμήσει, τὰ μὲν ἔξωθεν εἰς τὸν υἱὸν περιελθόντα πράγματα ἐχέτω. ὅσα δὲ ἐκ τῆς τοῦ πατρὸς οὐσίας εἰς τὸν υἱὸν ἦλθον, τούτων τὴν χρῆσιν ἐχέτω· τὴν δεσποτείαν φυλαττέτω τοῖς ἀδελφοῖς καὶ ταῖς ἀδελφαῖς τοῦ τελευτήσαντος παιδός. τοῦτο γὰρ κρατεῖ καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων, ἅπερ ἐκέρδανε παρὰ τοῦ πρώτου ἀνδρὸς ἡ δευτερογαμήσασα γυνή.

λε.

Ἐὰν ἡ μήτηρ ἐπαγγείληται μὴ δευτερογαμεῖν, καὶ ἐπιτροπεύσῃ τοῦ ἰδίου παιδὸς, εἶτα δευτερογαμήσῃ· μὴ κληρονομείτω τὸν υἱὸν ἄνηβον τελευτῶντα, μηδὲ ἐὰν ὑποκατάστατος ἐδόθη † αὕτη παρὰ τοῦ πατρός· εἰ μὴ ἄρα πρότερον καὶ ἐπίτροπον αὐτῷ αἰτήσει καὶ ἀποκαταστήσει τὰ ἐκ τῆς ἐπιτροπῆς χρεωστούμενα. † αὐτῇ.

ΣΧΟΛΙΟΝ.

Ἐν δὲ τῷ κη. βιβλίῳ, τίτλ. ιδ. κεφ. ιγ. ὁμοίως τιμωρεῖσθαι νομοθετεῖ ἡ διάταξις τὰς πρὸ τοῦ πενθίμου δευτερογαμούσας. καὶ προείρηται ἐν τῷ περὶ δευτερογαμούντων.

λϛ.

Ἐὰν γυνὴ τελευτήσῃ ἐπὶ ἀδελφοῖς ὁμοπατρίοις, καὶ μητρὶ, καὶ θυγατρὶ, ἡ θυγάτηρ αὐτὴν κληρονομεῖ.

λη.

Θεσπίζομεν ἵνα μήτε ἐκ διαθήκης, μήτε ἐξ ἀδιαθέτου, μήτε ἀπὸ δωρεᾶς ἐν ζωῇ γινομένης, νομίμων παίδων ὑπόντων, τί ποτε παντελῶς ἐκ τῶν ἐνδόξων μητέρων εἰς τοὺς πορνογενεῖς ἐλθεῖν. ἐπειδὴ ἐν ταῖς γυναιξὶ ταῖς εὐγενέσι καὶ ἐνδόξοις οὔσαις ποσὶν ἡ τῆς σωφροσύνης παραφυλακὴ ἐξαίρετον χρέος ἐστί, καὶ ὀνομάζεσθαι τοὺς πορνογενεῖς, πάνυ ἄδικον, πάνυ σφοδρὸν, καὶ τῶν ἡμετέρων καιρῶν ἀνάξιον κρίνομεν. καὶ τοῦτον τὸν νόμον αὐτῇ τῇ σωφροσύνῃ, ἣν διὰ παντὸς ἐπιμελητέαν κρίνομεν, ἀξίως καθιεροῦμεν. ἐὰν δὲ παλλακὴ ἐλευθέρας τύχης ὑπάρχουσα υἱὸν ἢ θυγατέρα ἀπὸ θεμιτῆς συνηθείας πρὸς ἄνθρωπον ἐλεύθερον γενομένης, τέκῃ: τούτους καὶ μετὰ τῶν νομίμων παίδων, εἰς τὰ μητρῷα ἐλθεῖν πράγματα, ἅπερ αὐτὴ νομίμῳ δικαίῳ καὶ ἐν ἰδίᾳ οὐσίᾳ κέκτηται, οὐδεὶς φθόνος ἐστίν.

περὶ πορνογενῶν καὶ τῶν ἀπὸ παλλακίδος.

μβ.

Πᾶς καλούμενος εἰς κληρονομίαν ἀνήβου, ἐὰν εὑρεθῇ μὴ αἰτήσας αὐτῷ ἐπίτροπον ἐντὸς ἐνιαυτοῦ, οὐ δύναται αὐτὸν ἄνηβον τελευτῶντα κληρονομῆσαι: εἴτε ἐξ ἀδιαθέτου βούλεται ἐλθεῖν, εἴτε ὡς ὑπὸ ἀποκαταστάσεως τοῦ κατὰ ἀνηβότητα.

μς.

Ὁ πατρωὸς τὸν πρόγονον ἐξ ἀδιαθέτου οὐ κληρονομεῖ.

νβ.

Ἐὰν εὐτελὴς τελευτήσῃ ἀδιάθετος καὶ μὴ ἔχων συγγενεῖς ἐξ ἀδιαθέτου, ἐκ τῶν ἄλλων εὐτελῶν κληρονομεῖται.

ΤΙΤΛΟΥ β. κεφάλ. ε.

Ἡ συγγενικὴ κληρονομία, μόνως ἐστὶ πραιτωρία. συγγενεῖς δὲ λέγονται ὡς ἐξ ἑνὸς τεχθέντες, ἢ ὅτι κοινὴν ἀρχὴν τῆς γενέσεως ἐσχήκασιν.

ιδ.

† βαθμηδόν.

† Βαθμίδες, οἱ συγγενεῖς καλοῦνται, καὶ οἱ τοῦ αὐτοῦ ὄντες βαθμοῦ, ἅπαντες.

ιζ.

Ἡ προσγινομένη διὰ θέσεως συγγένεια, ἀπόλλυται τῇ αὐτεξουσιότητι. ὅθεν ἐὰν ὁ θετός μου ἀδελφὸς μετὰ θάνατόν μου ἔσω ρ. ἡμερῶν αὐτεξούσιος γένηται: ἀπολεῖ τὴν διακατοχήν. οὐ γὰρ μόνον ἐν τῷ καιρῷ τῆς τελευτῆς, ἀλλὰ καὶ τῷ τῆς διακατοχῆς δεῖ φυλάττεσθαι τὴν συγγένειαν.

ιη.

Ἡ τοῦ σπορίου κληρονομία, οὐκ ἀνήκει τοῖς κατὰ πατέρα συγγενέσιν. οὐ γὰρ ἔχει πατέρα. τῇ μητρὶ δὲ αὐτοῦ καὶ τοῖς ὁμομητρίοις ἀδελφοῖς δίδοται ἡ συγγενικὴ βοήθεια.

κ.

Τὸ κατηγορῆσαί με τοὺς συγγενεῖς μου, οὐκ ἀποκλείει με τῆς συγγενικῆς βοηθείας.

XXXVIII.

Sancimus, ut neque ex testamento, neque ab intestato, neque ex liberalitate inter uiuos habita, iustis liberis existentibus, aliquid penitus ab illustribus matribus ad spurios perueniat. quum in mulieribus ingenuis & illustribus, qui bus castitatis obseruatio præcipuum debitum est, uel nominari spurios admodum iniuriosum, admodum acerbum, & nostris temporibus indignum esse iudicemus. Et hanc legem ipsi pudicitia, quam semper colendam censemus, merito dedicamus. Sin autem concubina libera conditionis constituta, filium uel filiam ex licita consuetudine cum homine libero habita, procreauerit: eos etiam cum legitimis liberis ad materna uenire bona, quæ ipsa iure legitimo, & in suo patrimonio possidet, nulla inuidia est.

De spurijs, eque concubina natis.

XLII.

Quisquis ad successionem pupilli uocatur, si tutorem ei non petijsse intra annum deprahendatur; impuberi morienti succedere non potest, siue ab intestato, siue iure substitutionis hereditatem adire uelit.

L.10.C.de leg. here.

XLVI.

Vitricus priuigno ab intestato non succedit. L.3.C.de success.

LII.

Si cohortalis sine testamento, nec cognatos ab intestato successores habens, decesserit; hereditas eius ad alios cohortales pertinet.

L.3.C.de hered.dec.

TIT. II. cap. V.

Successio VNDE COGNATI *tantum prætoria est. Cognati autem dicuntur, quasi ex uno nati. uel quasi qui commune nascendi initium habuerint.*

L.1.D.un.cog.

XIIII.

Gradatim cognati, qui unius gradus sunt, omnes simul uocantur.

XVII.

Per adoptionem adquisita cognatio emancipatione perimitur. igitur si frater meus adoptiuus post mortem meam intra centesimum diem fuerit emãcipatus, bonorum possessionem amittit. Non solum enim mortis tempore, sed etiam bonorum possessionis, intueri proximitatem oportet.

XVIII.

Ad agnatos hereditas spurij non pertinet. quia patrem non habet. Matri autem eius & uterinis fratribus, edicti VNDE COGNATI *remedium conceditur.*

XX.

Quod accusauerim cognatos meos, id a remedio successionis VNDE COGNATI *me non excludit.*

XXII.

Vulgo quaesiti etiam auia materna ab intestato succedunt.

XXIIII.

l.1.C.de suis & leg.

Qui iure ciuili, uelut cognatus, heres esse potest; centum dierum decursu non excluditur. Nam hae in bonoru͂ possessionib. praefinita sunt.

XXV.

De nepotibus.

Nepotes ex duobus filijs, si non sint numero pares; sed ex uno plures, ex altero pauciores: pariter uocantur, & ex aequo secundum stirpes hereditatem aui partiuntur.

SCHOLION.

Hoc est, qui ex uno fratre nati sunt, dimidium capiunt, & qui ex altero, dimidium.

XXVI.

Si quis & filio, & ex prius defuncto filio nepote relictis mortuus fuerit; pariter ambo succedunt.

XXVIII.

Si quis intestatus decesserit, naturalibus liberis & adoptiuo relictis; pariter omnes succedunt

XXVIIII.

Ex libera & seruo conceptus, spurius est. itaque licet pater manumissus, & natalibus suis restitutus, dignitate͂ aliquam consequutus fuerit, & decesserit: talis filius ei succedere non potest.

XXXII.

Si matre superstite quis decesserit, & liberos aut nepotes reliquerit: citra controuersiam illi matrem praecedunt. Quod sine dubio & de pronepotibus obseruandum esse censemus.

XXXIII.them. VIII. & IX.

l.1.§.7.D.de succ.ed.

*Si frater fratri pupillariter substitutus sit, centum * dies habet. Etiam si per seruum meum parentis filijue mei successio mihi competat, annum habeo.*

* scilicet ad petendã bonoru͂ possessionem.

XXXIIII.

Tam in petenda bonorum possessione contra tabulas, quã in omni alia possessione, annus & adscendentibus & descendentibus est definitus.

XXXVI.

l.1.D.quis ord. in poss.

Primus ab intestato gradus, est descendentium; alter, adscendentium; tertius, transuersalium; quartus, uiri & uxoris: siue tabulae testamenti non exstent, siue extent illa quidem, sed secundum eas, uel contra eas bonorum possessio petita non sit.

TIT. III. tractatur

DE * GRADIBVS COGNATIONIS. de quibus supra dictum est. Eius tertij tituli cap. VIII. uerba sunt:

* De gradibus cognationis, & qui nam ad successionem primi, qui secundi, qui deinceps uocentur.

κβ.

Οἱ παρενεγκῦμένοις καὶ τὴν κατὰ τὴν μητέρα μάμμην ἐξ ἀδιαθέτου διαδέχονται.

κδ.

Ὁ δυνάμενος ἐκ πολιτικῶν δικαίων ὡς συγγενὴς κληρονομεῖν, οὐκ ἀποκλείεται τῇ τῶν ρ. ἡμερῶν παραδρομῇ. αὗται γὰρ ἐπὶ τῶν διακατόχων εἰσὶν ὡρισμέναι.

κε.

Οἱ ἔκγονοι ἐκ τῶν δύο παίδων, ἐὰν μὴ ὦσιν ἴσοι περὶ τὸν ἀριθμὸν: ἀλλ᾽ ἐκ μὲν τοῦ ἑνὸς πλείονες, ἐκ δὲ τοῦ ἑνὸς ἐλάττονες, ὁμοίως καλοῦνται: καὶ κατὰ σειρὰν ἐξ ἴσης μερίζονται τὴν τοῦ πάππου κληρονομίαν. περὶ ἐγγόνων.

ΣΧΟΛΙΟΝ.

Τουτέστιν, οἱ ἐκ τοῦ ἑνὸς ἀδελφοῦ λαμβάνουσι τὸ ἥμισυ: καὶ οἱ ἐκ τοῦ ἄλλου τὸ ἥμισυ.

κϛ.

Ἐάν τις τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐκγόνῳ ἐξ υἱοῦ προτελευτήσαντος, ὁμοίως ἑκάτεροι κληρονομοῦσιν.

κη.

Ἐάν τις τελευτήσῃ ἀδιάθετος ἐπὶ παισὶ φυσικοῖς καὶ παιδὶ θετῷ, ὁμοίως πάντες κληρονομοῦσιν.

κθ.

Ὁ ἐξ ἐλευθέρας καὶ δούλου συλληφθεὶς, πορνογενής ἐστιν. ὅθεν κἂν ὁ πατὴρ ἐλευθερωθεὶς καὶ ἀποκατασταθεὶς εἰς εὐγένειαν, ἀξιωματικὸς ἐγένετο, καὶ ἐτελεύτησεν: οὐ δύναται αὐτὸν οὗτος ὁ υἱὸς κληρονομεῖν.

λβ.

Ἐάν τις τελευτήσῃ μητρὸς περιούσης, καὶ καταλείψῃ παῖδας ἢ ἐκγόνους: ἀμάχως αὐτοὶ προλαμβάνουσι τὴν μητέρα. ὅπερ ἀναμφιβόλως καὶ περὶ † ἐκγόνων φυλάττεσθαι θεσπίζομεν. † προεγγόνων.

λγ. θεμ. η. καὶ θ.

Ἐὰν ἀδελφὸς ἀδελφῷ κατὰ ἀνηβότητα ὑποκαταστῇ, ρ.* ἡμέρας ἔχει. καὶ διὰ δούλου μου ἁρμόσῃ μοι διαδοχὴ γονέως μου ἢ παιδός μου, ἐνιαυτὸν ἔχω. * τουτέστιν εἰς τὸ αἰτῆσαι διακατοχήν.

λδ.

Καὶ ἐπὶ τῆς κατὰ τὴν διαθήκην ἐναντιώσεως, καὶ ἐπὶ πάσης διακατοχῆς, ἐνιαυτὸς ἀνιοῦσι καὶ κατιοῦσιν ὥρισται.

λϛ.

Πρώτη τῆς ἐξ ἀδιαθέτου κλῆσις ἐστὶν, ἡ τῶν κατιόντων. δευτέρα, ἡ τῶν ἀνιόντων. τρίτη, ἡ τῶν ἐκ πλαγίου. τετάρτη, ἡ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός: εἴτε μὴ ἐστὶ διαθήκη, ἢ ἐστὶ μὲν, οὐκ ᾐτήθη δὲ ἐξ αὐτῆς ἢ καὶ κατ᾽ αὐτῆς διακατοχή.

ΤΙΤΛΟΣ γ. διαλαμβάνει

ΠΕΡΙ * ΒΑΘΜΩΝ ΣΥΓΓΕΝΕΙΑΣ. περὶ ὧν προείρηται. ἐν δὲ τῷ η. κεφαλαίῳ τοῦ αὐτοῦ γ. τίτλου φησίν.

* περὶ βαθμῶν συγγενείας: καὶ τίνες καλοῦνται πρῶτοι, καὶ τίνες δεύτεροι, καὶ καθεξῆς πρὸς τὴν κληρονομίαν.

Ἐπειδὴ

Ἐπειδὴ πᾶσα ἡ τοῦ γένους ἐξ ἀδιαθέτου διαδοχὴ τρισὶ γνωρίζεται τάξεσι: τουτέστι τῇ τε τῶν ἀνιόντων, καὶ τῇ τῶν κατιόντων, καὶ τῇ τῶν ἐκ πλαγίου: πρώτην εἶναι διατυποῦμεν, τὴν τῶν κατιόντων διαδοχήν. εἴ τις τοίνυν τῶν κατιόντων ὑπείη τῷ ἀδιαθέτως τελευτήσαντι, οἱασδήποτε φύσεως ἢ βαθμοῦ, εἴτε ἐξ ἀρρενογονίας, εἴτε ἐκ θηλυγονίας καταγόμενος, καὶ εἴτε αὐτεξούσιος, † πάντων τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου συγγενῶν προτιμάσθω. καὶ γὰρ ὁ τελευτήσας ἑτέρου ὑπεξούσιος ἦν, ὅμως τοὺς αὐτοῦ παῖδας, οἱασδήποτε ἂν ὦσι φύσεως, ἢ βαθμοῦ, καὶ αὐτῶν τῶν γονέων προτιμᾶσθαι κελεύομεν, ὧν ὑπεξούσιος ἦν ὁ τελευτήσας: ἐπ᾽ ἐκείνοις δηλαδὴ τοῖς πράγμασιν, ἅτινα κατὰ τοὺς ἄλλους ἡμῶν νόμους, τοῖς πατράσιν οὐ προσπορίζεται. ἐπεὶ γὰρ τῇ χρήσει τῶν πραγμάτων τούτων, ὧν ὀφείλουσι προσπορίζεσθαι, τοὺς περὶ τούτων ἡμῶν νόμους τοῖς γονεῦσι φυλάττομεν: οὕτω μέντοι γε, ὥστε εἴ τινα τούτων τῶν κατιόντων παῖδας καταλιπόντα τελευτῆσαι συμβαίη, τοὺς ἐκείνου υἱοὺς, ἢ θυγατέρας, ἢ τοὺς ἄλλους κατιόντας, εἰς τὸν τοῦ ἰδίου γονέως τόπον ὑπεισιέναι: εἴτε ὑπεξούσιοι τῷ τελευτήσαντι, εἴτε αὐτεξούσιοι εὑρεθεῖεν, τοσοῦτον ἐκ τῆς κληρονομίας τοῦ τελευτήσαντος λαμβάνοντας μέρος, ὅσοι δήπου ἂν ὦσιν, ὅσον ἑαυτῶν ὁ γονεὺς, εἰ περιῆν, ἐκομίζετο, ἣν τινα διαδοχὴν κατὰ σειρὰν ἐξ ἴσης ἡ ἀρχαιότης ἐκάλεσεν. ἐπὶ ταύτης γὰρ τῆς τάξεως τὸν βαθμὸν ζητεῖσθαι οὐ βουλόμεθα, ἀλλὰ μετὰ τῶν υἱῶν καὶ θυγατέρων τοὺς ἐκ προτελευτήσαντος υἱοῦ ἢ θυγατρὸς ἐκγόνους καλεῖσθαι θεσπίζομεν. οὐδεμιᾶς εἰσαγομένης διαφορᾶς, εἴτε ἄρρενες, εἴτε θήλειαι εἰσὶ, εἴτε ἐξ ἀρρενογονίας, εἴτε ἐκ θηλυγονίας κατάγονται, εἴτε ὑπεξούσιοι, εἴτε αὐτεξούσιοι εἴησαν. καὶ ταῦτα μὲν περὶ τῆς τῶν κατιόντων διαδοχῆς ἐτυπώσαμεν. ἀκόλουθον δὲ εἶναι συνείδομεν, καὶ περὶ τῶν ἀνιόντων διατάξασθαι, ὅπως ἂν εἰς τὴν τῶν κατιόντων κληθεῖεν διαδοχήν. εἰ τοίνυν ὁ τελευτήσας κατιόντας μὲν μὴ καταλίποι κληρονόμους, πατὴρ δὲ ἢ μήτηρ ἢ ἄλλοι γονεῖς † αὐτοῦ ἐπιζήσουσι: πάντων τῶν ἐκ πλαγίου συγγενῶν τούτους προτιμᾶσθαι θεσπίζομεν, ἐξῃρημένων μόνων ἀδελφῶν καὶ ἀδελφοπαίδων ἐξ ἑκατέρου γονέως * συναπτομένων τῷ τελευτήσαντι, ὡς διὰ τῶν ἑξῆς δηλωθήσεται. εἰ δὲ πολλοὶ τῶν ἀνιόντων περίεισι, τούτους προτιμᾶσθαι κελεύομεν, οἵτινες ἐγγύτεροι τῷ βαθμῷ εὑρεθεῖεν, ἄρρενές τε καὶ θήλειαι, εἴτε πρὸς πατρὸς, εἴτε πρὸς μητρὸς εἶεν. εἰ δὲ τὸν αὐτὸν ἔχουσι βαθμὸν, ἐξ ἴσης αὐτοῖς ἡ κληρονομία διαιρεθήσεται, ὥστε τὸ μὲν ἥμισυ λαμβάνειν πάντας τοὺς πρὸς πατρὸς ἀνιόντας, ὁσοιδήποτε ἂν ὦσι: τὸ δὲ ὑπόλοιπον ἥμισυ τοὺς πρὸς μητρὸς ἀνιόντας, ὅσουσδήποτε ἂν αὐτοὺς εὑρεθῆναι συμβαίη. εἰ δὲ μετὰ τῶν ἀνιόντων εὑρεθῶσιν ἀδελφοὶ ἢ ἀδελφοπαῖδες ἐξ ἑκατέρων γονέων συναπτόμενοι τῷ τελευτήσαντι:

† ἔτι ὑπεξούσιος ὢν, αὐτ.

† αὐτῷ.

* οἱ λεγόμενοι ἀμφιθαλεῖς ἀδελφοί.

*Quum omnis ab intestato generis successio tribus ordinibus cognoscatur, hoc est, adscendentium, descendentium, & transuersalium: primam descendentium successionem esse statuimus. Si quis ergo descendentium extitet ei, qui sine testamento decessit, cuiuscumque sexus aut gradus, siue mascula, siue feminea subole procreatus, siue alterius in potestate, siue sui iuris fuerit; omnibus adscendentibus & ex transuerso cognatis sit potior. Quamuis enim defunctus in alterius potestate fuit, tamen filios eius, cuiuscumque sexus gradusue fuerint, ipsis etiam parentibus praeferri iubemus, quorum erat in potestate defunctus; in illis scilicet rebus, quae secundum alias leges nostras, parentibus nostris non adquiruntur. Nam in usufructu rerum earum, quas adquirere debent, leges de his nostras parentibus saluas uolumus: ita tamen, ut si quem horum descendentium relictis liberis decedere contigerit, eius filij, uel filiae, uel alij descendentes, in parentis sui locum succedant; siue in potestate defuncti, siue emancipati reperiantur; tantam ex hereditate defuncti portionem capientes, quotcumque tamdem fuerint, quantam parens eorum, si superstes foret, tulisset; quam successionem in stirpes ex aequo uocauit antiquitas. Siquidem in hoc ordine gradum spectari nolumus, sed una cum filijs & filiabus nepotes ex praemortuo filio uel filia uocari sancimus, nullo discrimine introducendo, maresne sint, an feminae; masculisne prognati, an femillis; in potestate ne sint, an sui iuris. Atque haec quidem de successione descendentium statuimus. Consentaneum uero nobis uisum est, de adscendentibus quoque decernere, quo modo ad descendentium successionem uocentur. Itaque si defunctus heredes quidem ex descendentibus nullos relinquat, sed pater aut mater, alijue parentes ei superstites sint: omnibus illos ex transuerso cognatis praeferri sancimus, exceptis solis fratribus fratrumque filijs, ex utroque * parente defuncto coniunctis, ueluti per sequentia declarabitur. Si uero plures adscendentium supersunt, eos praeferri iubemus, qui gradu propiores inuenti fuerint; tam mares, quam feminae: paterni siue materni generis. quod si gradu eodem fuerint, ex aequo hereditas inter eos diuidetur, ut semissem capiant omnes paterni generis adscēdentes, quotcumque numero fuerint; reliquum uero semissem materni generis adscendentes, quotquot eorum repetiri contigerit. Si uero cum adscendentibus inuenti fuerint etiam fratres, ex alterutro parentum defuncto coniuncti;*

Nouel. 118. cap. 1.

* qui germani fratres appellantur.

cum

*cum propioribus gradu adscendentibus ij uocabuntur, licet ipse pater aut mater fuerint; diuidenda scilicet inter eos hereditate secundum numerum personarum, ut tam adscēdentium, quam fratrum quisq; portionem æqualem consequatur. Quin & fratrum filij partem parētis sui capiant. nec ullum usumfructū hoc casu pater ex filiorum aut filiarum parte sibi ullo modo uindicare poterit; quandoquidem illius usus fructus loco ei partem hereditatis, etiam proprietatis iure, per hanc legem concessimus: nullo discrimine seruando inter hasce personas, mares an feminæ sint, qui ad successionem uocantur, & num per masculam, an femineam personam coniungantur, itemque num emancipatus, an filiusfamilias fuerit, cui succedunt. Superest, ut & tertium ordinem definiamus, qui ex transuerso dicitur; ut hac etiam parte constituta, lex undique perfecta reperiatur. Itaque si defunctus nec descendentes, nec adscendentes reliquerit; primos ad successionem uocamus fratres atque sorores, ex eodem patre ac matre procreatos; iisdemque fratrum filios, quos & una cum parentibus ad successionem uocauimus. His autem non exstantibus, secundo loco eos fratres ad successionem uocamus, qui ex uno * parente defuncto coniunguntur, siue per solum patrem, siue per matrem. ac si quidem defuncto fratres existant, & alterius fratris aut sororis iam præmortuorum filij: ad successionē hi cum patruis & auunculis uocabuntur, tam masculis, quam feminis; & quotquot illorum fuerint, tantam ex hereditate partem capient, quantam eorum parens cōsequuturus erat, si uixisset. Vnde consequitur, ut si forte præmortuus frater, cui filij superstites sunt, per utrumque parentem iam defunctæ personæ iungebatur; fratres autem uiui per solum patrem puta, uel matrem ei coniungantur: illius liberi patruis præferantur, quamuis gradu tertio sint, siue adeo patrui fuerint, siue auunculi, siue mares, siue feminæ; quemadmodum & parens eorum præferretur, si superstes foret. E contrario, si superstes frater defuncto parentis utriusque nomine iungitur; at frater ille præmortuus, eidem per unum modo parentem iungatur: a successione liberos eius excludimus, quemadmodum & ipsemet excluderetur, si superstes foret. Huiusmodi uero priuilegium in hoc cognationis ordine solis fratrum sororumque filijs aut filiabus damus, ut in parentum suorum iura succedant: nec ulli prorsus alij personæ, quæ hoc ordine uenit, hoc ius concedimus. Quando igitur fratris sororisque liberis tale priuilegium*

* qui uterini fratres appellantur.

μετὰ τῶν ἐγγυτέρων τῷ βαθμῷ ἀνιόντων κληθήσονται, εἰ καὶ πατὴρ ἢ μήτηρ εἴησαν, διαιρουμένης εἰς αὐτοὺς δηλαδὴ τῆς κληρονομίας, κατὰ τὸν τῶν προσώπων ἀριθμὸν, ἵνα καὶ τῶν ἀνιόντων καὶ τῶν ἀδελφῶν ἕκαστος, ἴσην ἔχοιεν μοῖραν, ἀλλὰ καὶ οἱ ἀδελφόπαιδες τὴν μοῖραν τοῦ ἰδίου γονέως λαμβάνωσιν. οὐδεμίαν χρῆσιν ἐκ τῆς τῶν υἱῶν ἢ θυγατέρων μοίρας ἐν τούτῳ τῷ θέματι δυναμένου τοῦ πατρὸς ἑαυτῷ παντελῶς ἐκδικεῖν: ἐπειδὴ ἀντὶ ταύτης τῆς χρήσεως μέρος αὐτῷ τῆς κληρονομίας καὶ κατὰ δεσποτείας δίκαιον, διὰ τοῦ παρόντος δεδώκαμεν νόμου. οὐδεμιᾶς φυλαττομένης διαφορᾶς μεταξὺ τῶν προσώπων τούτων, εἴτε θήλειαι, εἴτε ἄῤῥενες εἴησαν οἱ πρὸς τὴν κληρονομίαν καλούμενοι, καὶ εἴτε διὰ ἄρρενος ἢ θηλείου προσώπου συνάπτονται, καὶ εἴτε αὐτεξούσιος, εἴτε ὑπεξούσιος ἦν, ὃν διαδέχονται. ὑπόλοιπόν ἐστιν, ἵνα καὶ τὴν τρίτην ὁρίσωμεν τάξιν, ἥτις ἐκ πλαγίου καλεῖται, ἵνα καὶ τούτου τοῦ μέρους διατυπωθέντος, πανταχόθεν ὁ νόμος τέλειος εὑρεθῇ. εἰ τοίνυν ὁ τελευτήσας, μήτε κατιόντας, μήτε ἀνιόντας καταλείψει, πρώτους † τὴν κληρονομίαν καλοῦμεν τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς, τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ τῆς αὐτῆς μητρὸς τεχθέντας, ὁμοίως δὲ καὶ τοὺς ἀδελφόπαιδας, οὓς καὶ μετὰ τῶν πατέρων πρὸς τὴν κληρονομίαν ἐκαλέσαμεν. τούτων δὲ μὴ ὑπόντων, ἐν δευτέρᾳ τάξει ἐκείνους τοὺς ἀδελφοὺς πρὸς τὴν κληρονομίαν καλοῦμεν, οἵτινες ἐξ ἑνὸς * γονέως συνάπτονται τῷ τελευτήσαντι, εἴτε διὰ τοῦ πατρὸς μόνου, εἴτε διὰ τῆς μητρός. καὶ εἴγε τῷ τελευτήσαντι ἀδελφοὶ ὑπείησαν, καὶ ἑτέρου ἀδελφοῦ ἢ ἀδελφῆς προτελευτησάντων παῖδες: κληθήσονται πρὸς τὴν κληρονομίαν ἤτοι μετὰ τῶν πρὸς πατρὸς καὶ πρὸς μητρὸς θείων, ἀρρένων τε καὶ θηλειῶν, καὶ ὁσοιδήποτε ἂν ὦσι, τοσοῦτον ἐκ τῆς κληρονομίας λήψονται μέρος, ὅσον αὐτῶν γονεὺς ἔμελλε λαμβάνειν, εἰ ἔζησεν. ὅθεν ἀκόλουθόν ἐστιν, ἵνα εἰ τύχοι ὁ προτελευτήσας ἀδελφὸς, οὗ υἱοὶ περίεισι, δι᾽ ἑκατέρου γονέως τῷ νῦν τελευτήσαντι προσώπῳ συνήπτετο, † εἰ δὲ περιόντες ἀδελφοὶ διὰ τοῦ πατρὸς μόνου τυχὸν ἢ τῆς μητρὸς αὐτῷ συνήπτοντο: προτιμηθῶσιν οἱ τούτου παῖδες τῶν ἰδίων θείων, κἂν τρίτου ὦσι βαθμοῦ, εἴτε πρὸς πατρὸς εἴησαν οἱ θεῖοι, εἴτε πρὸς μητρὸς, καὶ εἴτε ἄρρενες, εἴτε θήλειαι, ὥσπερ ὁ αὐτῶν γονεὺς προετιμᾶτο, εἰ περιῆν. καὶ ἐκ τῶν ἐναντίων, εἰ ὁ μὲν περιὼν ἀδελφὸς ἐξ ἑκατέρου γονέως συνάπτεται τῷ τελευτήσαντι, ὁ δὲ προτελευτήσας δι᾽ ἑνὸς γονέως συνήπτετο: τοὺς τούτου παῖδας τῆς κληρονομίας ἀποκλείομεν, ὥσπερ † εἰ περιῆν, ἐξεκλείετο. τὸ δὲ τοιοῦτο προνόμιον ἐν ταύτῃ τῇ τάξει τῆς συγγενείας, μόνοις παρέχομεν τοῖς τῶν ἀδελφῶν ἀρρένων ἢ θηλειῶν υἱοῖς ἢ θυγατράσιν, ἵνα εἰς τὰ τῶν ἰδίων γονέων δίκαια ὑπεισέλθωσιν. οὐδενὶ δὲ ἄλλῳ παντελῶς προσώπῳ ἐκ ταύτης τῆς τάξεως ἐρχομένῳ τοῦτο τὸ δίκαιον συγχωροῦμεν. ὁπότε τοίνυν τοῖς τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς παισὶ τοιοῦτο προνόμιον δε-

† πρὸς τὴν.

* οἱ λεγόμενοι ἑτεροθαλεῖς.

† οἱ δὲ.

† ἂν περιὼν αὐτός.

διδώκαμεν, ἵνα τὸν τῶν γονέων ὑπεισιόντες τόπον μόνοι τρίτου ὄντες βαθμοῦ μετὰ τῶν ἐκ πρώτου καὶ δευτέρου βαθμοῦ πρὸς τὴν κληρονομίαν καλῶνται: ἐκεῖνο πρόδηλόν ἐστιν, ὅτι τῶν θείων τοῦ τελευτήσαντος ἀρρένων τε καὶ θηλειῶν, εἴτε πρὸς πατρὸς, εἴτε πρὸς μητρὸς εἴησαν, προτιμῶνται, εἰ καὶ ἐκεῖνοι τρίτον ὁμοίως συγγενείας βαθμὸν ἔχοιεν. εἰ δὲ μήτε ἀδελφοὺς, μήτε παῖδας ἀδελφῶν (ὡς εἰρήκαμεν) ὁ τελευτήσας καταλείψει: πάντας τοὺς ἐφεξῆς ἐκ πλαγίου συγγενεῖς πρὸς τὴν κληρονομίαν καλοῦμεν, κατὰ τὴν ἑνὸς ἑκάστου βαθμοῦ † προτίμησιν, ἵνα οἱ ἐγγύτεροι τῷ βαθμῷ, αὐτοὶ τῶν λοιπῶν προτιμῶνται. εἰ δὲ πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ εὑρεθῶσι κατὰ τὸν τῶν προσώπων ἀριθμὸν, μεταξὺ αὐτῶν ἡ κληρονομία διαιρεθήσεται, ὅπερ κατὰ κεφαλὴν ἤγουν προσωπικῶς οἱ ἡμέτεροι λέγουσι νόμοι. οὐδεμίαν δὲ εἶναι βουλόμεθα διαφορὰν ἐν οἱαδήποτε διακατοχῇ, ἢ κληρονομίᾳ μεταξὺ τῶν πρὸς τὴν κληρονομίαν, καλουμένων ἀρρένων ἢ θηλειῶν, οὓς πρὸς τὴν κληρονομίαν κοινῶς ὡρίσαμεν καλεῖσθαι, εἴτε διὰ ἄρρενος, εἴτε διὰ θήλεος προσώπου συνήπτοντο τῷ τελευτήσαντι: ἀλλ' ἐπὶ πασῶν τῶν διαδοχῶν τὴν ἐξ ἀρρενογονίας τε καὶ θηλυγονίας διαφορὰν, ἀργεῖν κελεύομεν, εἴτε διὰ θῆλυ πρόσωπον, εἴτε διὰ αὐτεξουσιότητα, ἢ ἕτερον οἱονδήποτε τρόπον, τοῖς προτέροις διεσκοπεῖτο νόμοις, καὶ πάντας δίχα τινὸς τοιαύτης διαφορᾶς κατὰ τὸν τῆς ἰδίας συγγενείας βαθμὸν εἰς τὴν ἐξ ἀδιαθέτου τῶν συγγενῶν διαδοχὴν ἐλθεῖν κελεύομεν.

σημείωσαι, ὅτι προτιμῶνται οἱ ἀδελφῶν παῖδες τῶν πρὸς πατρὸς ὁ μητρὸς θείων τοῦ τελευτήσαντος, ἐν τῇ κληρονομίᾳ αὐτοῦ.

† προτίμησιν.

ΤΙΤΛΟΣ δ. διαλαμβάνει ΠΕΡΙ ΜΗΤΡΙΚΩΝ ΥΠΑΡΞΕΩΝ, ΚΑΙ ΤΩΝ ΑΠΟ ΜΗΤΡΙΚΗΣ ΣΥΓΓΕΝΕΙΑΣ ΚΑΤΑΓΟΜΕΝΩΝ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Τὰ πράγματα τὰ μητρῷα εἰς τοὺς παῖδας περιελθόντα τοὺς ὄντας ὑπεξουσίους τοῦ ἰδίου πατρὸς, διαφερέτωσαν τῷ πατρί: ὥστε αὐτὸν ἔχειν μόνην τὴν χρῆσιν, τὴν δὲ δεσποτείαν αὐτῶν τοῖς παισὶ διαφέρειν. πᾶσαν δὲ σπουδὴν καὶ ἐπιμέλειαν ποιείσθωσαν περὶ τὸ πρᾶγμα τοὺς πατέρας, καὶ τοὺς ἀγῶνας τῶν παίδων ἐκβιβάζειν ἐν δικαστηρίῳ, ἢ δι' ἑαυτῶν, καὶ διὰ ἐντολέων, καὶ ἐπὶ τὸ δαπανᾶν ἐκ τῶν καρπῶν. ἐὰν δέ ποτε ζητήσωσι τί ποτε ἐκ τούτων τῶν πραγμάτων ἐκποιήσαι, ὀφείλει ὁ ἀγοραστὴς ἐγγυητὴν λαβεῖν τοῦ πατρὸς, ὡς δυναμένων, ὅτε ἂν βουληθῶσι, τῶν παίδων τὸ πρᾶγμα διεκδικῆσαι.

γ.

Ἐὰν ἔτι περιούσης τῆς μητρὸς συμβῇ τοὺς παῖδας αὐτεξουσίους γενέσθαι παρὰ τοῦ πατρὸς, μετὰ ταῦτα δὲ ἡ μήτηρ τελευτήσῃ: κελεύει ἡ διάταξις πρὸς τὸ μέτρον τῶν παίδων τὸν πατέρα λαμβάνειν τὴν χρῆσιν. ἐὰν δέ τινες ἐκ τῶν παίδων γεγόνασιν αὐτεξούσιοι, τινὲς δὲ ἔμειναν ὑπεξούσιοι, καὶ οἱ ὑπεξούσιοι προσπορίζονται τῷ πατρὶ τὴν

tribuimus, ut in locum parentum succedentes, licet tertij gradus existant, soli cum ijs, qui primo secundoque gradu sunt, ad successionem uocentur: hoc sane manifestum est, eos patruis defuncti, maribus atque feminis, paterno maternoue genere prognatis, praeferri, quamuis ij tertium similiter cognationis gradum obtineant. Si uero nec fratres, nec fratrum liberos (ceu diximus) defunctus reliquerit: omnes ordine sequentes ex transuerso cognatos ad successionem uocamus, secundum uniuscuiusque gradus praerogatiuam: ut gradu propiores ceteris praeferantur. At si plures eiusdem gradus inueniantur, pro numero personarum inter eos hereditas diuidetur; quod in capita siue in personas nostrae leges appellant. Nihil autem discriminis esse uolumus in quacumque bonorum possessione uel successione, inter mares aut feminas, qui ad successionem uocantur, quos communiter uocari definiuimus, siue per masculam, siue femineam personam defuncto coniungantur: sed in omnibus successionibus discrimen ortus ex masculis atque feminis cessare iubemus, siue illud per caussam femineae personae, siue per caussam emancipationis, siue alium quemcumque modum priscae leges considerauerint; adeoque omnes absque ullo tali discrimine, pro suo cognationis gradu, ad cognatorum ab intestato successionem uenire praecipimus.

Nota, fratrum filios patruis & auunculis defuncti, in eius successione praeterri.

TIT. IIII. tractat DE BONIS MATERNIS, ET A MATERNA COGNATIONE VENIENTIBVS. Eius I. cap. dicitur:

Res maternae, quae ad filios in potestate patris constitutos deuolutae fuerint, ita patris sint; ut utendi fruendi dumtaxat potestatem habeat, dominio uidelicet earum ad liberos pertinente. Debent autem parentes omnem tuendae rei diligentiam adhibere, litesque liberorum in iudicio persequi tam per se, quam per procuratores; & sumtus ex fructibus facere. Quod si quando de rebus his aliquid alienare uoluerint, emtor a patre fideiussorem accipere debet, quum filij, quandocumque uoluerint, rem uindicare queant. L. 1. C. eod.

III.

Si uiua matre filios emancipari a patre contigerit, posteaque mater decesserit: iubet constitutio, ut pro modo uirilis portionis filiorum pater usumfructum consequatur. Si uero quidam ex filijs emancipati sint, quidam in potestate manserint: etiam ij, qui adhuc in potestate retinentur, patri suae portionis usum-

usumfructum adquirant, simulque cum liberis emancipatis usumfructum partitur. & quandocumque filios emancipat, dimidiam partem adquisita sibi per eos ..... retinet. Atque hæc de liberis. Si uero nepotes sint, partitur bona nepotum ex filio, qui in potestate defecit, procreatorum; & usumfructum dumtaxat accipit. Quando uero cumque de his aliquem emancipat, lucrum ex emancipatione debitum consequatur. Quod si nepotes sint ex emancipato filio uel filia procreati, uel ab ipso auia uiua emancipati; rursum uirilis portionis usumfructum percipiat. Si uero ex nepotibus quidã fuerint in potestate, quidam sui iuris: tunc, quemadmodum & de liberis dictum est, etiam illorum quæ nepotibus in potestate constitutis obueniunt, usumfructum consequitur; & cum emancipatis pro rata partitur. Eadem autem & de pronepotibus sancimus.

IIII.

Omnem ambiguitatis cõfusionem amputantes, hac liquida & compendiosa lege sancimus, circa usumfructũ maternarum rerum nullam esse differentiam, siue in priore matrimonio pater, ex quo filios suscepit, permanere uoluerit; siue nouercam filijs superinduxerit: legibus, quæ de maternis bonis latæ sunt, suam firmitatem habẽtibus. Patres igitur usumfructum, etiamsi ad secundas transierint nuptias, sine dubio habere debent; nec ullam filijs, uel quibuslibet ex eorum persona contra patres impudentem uocem accusationemue posse competere.

V.

De his quæ adquiruntur, & non adquiruntur. l. 1. C. de bon. quæ lib.

Sicut ea, quæ filijsfamiliarum a materno genere competunt, patribus non adquiruntur: ita nec lucra, quæ titulo nuptiarum filijsfamiliarum obueniunt, eis adquiruntur; sed eorum dominium penes liberos manet.

VI.

Quæcumq. pater ante nuptias pro filio dat, uel in dotem pro filia præstat; ea soluto matrimonio, si ita conuentum sit, ipsi adquiruntur: ne scilicet parentes ad dandum pro liberis tardiores efficiantur. ceterorum uero, quæcumque ad maritum ab uxore peruenerint, uel ad uxorem a marito; pater quidem usumfructum habeat, proprietatem uero filiusfamilias sibi retineat. Si uero postea pater subiectam iuri suo personam emancipare uoluerit, ex rebus hisce, sicut & de maternis diximus, dimidium usufructus habeat.

VII.

Quæcumq. filijsfamiliarũ ex caussa nuptiali

χρῆσιν τοῦ μέρους αὐτῶν· καὶ μετὰ τῶν αὐτεξουσίων ἑαυτοῦ παίδων τὴν χρῆσιν μερίζεται. καὶ ὁποτεδήποτε ποιῶν τοὺς παῖδας αὐτεξουσίους, παρακατέχει τὸ ἥμισυ μέρος τῆς προσπορισθείσης αὐτῷ ἐξ αὐτῶν ..... ταῦτα μὲν περὶ παίδων. ἐὰν δὲ ἔκγονοι ὦσι, μερίζεται τὰ τῶν ἐκγόνων τῶν τεχθέντων ἀπὸ παιδὸς ὑπεξουσίου, καὶ λαμβάνει μόνην τὴν χρῆσιν. καὶ ὁποτεδήποτε ποιῶν ἕνα ἐξ αὐτῶν αὐτεξούσιον, ἐχέτω τὸ κέρδος τὸ ἐκ τῆς αὐτεξουσιότητος. ἐὰν δὲ ὦσιν ἔκγονοι τεχθέντες αὐτεξουσίου υἱοῦ, ἢ ἀπὸ θυγατρὸς τεχθέντες, ἢ παρ᾽ αὐτοῦ γενόμενοι αὐτεξούσιοι ζώσης ἔτι τῆς μάμμης, πάλιν πρὸς ἀναλογίαν λαμβανέτω τὴν χρῆσιν. ἐὰν δὲ τῶν ἐκγόνων τινὲς ὦσιν ὑπεξούσιοι, τινὲς δὲ αὐτεξούσιοι· τότε, ὡς εἴρηται καὶ ἐπὶ τῶν παίδων, καὶ τῶν λαγχανόντων τοῖς ὑπεξουσίοις ἐχέτω τὴν χρῆσιν, καὶ μετὰ τῶν αὐτεξουσίων πρὸς ἀναλογίαν αὐτῶν μεριζέσθω. τὰ δὲ αὐτὰ καὶ περὶ † ἐκγόνων θεσπίζομεν.

† προεγγόνων.

δ.

Πᾶσαν ἀμφισβητήσεως σύγχυσιν περιαιροῦντες, τούτῳ τῷ φανερῷ καὶ συντόμῳ νόμῳ θεσπίζομεν, περὶ τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων μηδεμίαν εἶναι διαφοράν· εἴτε ἐν τῷ πρώτῳ γάμῳ ὁ πατὴρ, ἐξ οὗ τοὺς υἱοὺς ἔσχε, διαμένειν ἐβουλήθη, εἴτε μητρυιὰν τοῖς παισὶν ἐπεισήγαγε· τῶν νόμων, οἵτινες περὶ μητρῴων πραγμάτων ἐξηνέχθησαν, τὴν ἰδίαν ἐχόντων ἰσχύν. οἱ πατέρες τοίνυν τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων, εἰ καὶ εἰς δευτέρους μετέλθωσι γάμους, ἀναμφιβόλως ἔχειν ὀφείλουσι. καὶ οὐδεμίαν τοῖς παισὶν ἢ τοῖς † εἰ ποσὶ δήποτε ἐκ προσώπου † κατὰ τῶν πατέρων ἀναιδεστάτην φωνὴν, ἢ αἰτίασιν τινὰ δύνασθαι ἁρμόζειν.

† οἱωσδήποτε. † αὐτῶν κατὰ τῶν.

ε.

Ὥσπερ τὰ ἀπὸ μητρικῆς συγγενείας ἁρμόζοντα τοῖς παισὶ τοῖς ὑπεξουσίοις, οὐ προσπορίζονται τοῖς πατράσιν· οὕτω καὶ τὰ ἀπὸ γαμικῆς αἰτίας κερδαινόμενα ἀπὸ τῶν ὑπεξουσίων, οὐ προσπορίζονται αὐτοῖς, ἀλλὰ μένει ἡ δεσποτεία αὐτῶν παρὰ τοῖς παισίν.

Περὶ προσποριζομένων, καὶ μὴ προσποριζομένων.

ϛ.

Ὅσα πατὴρ πρὸ τῶν γάμων δίδωσιν ὑπὲρ παιδὸς, ἢ εἰς προῖκα ὑπὲρ θυγατρὸς παρέχει, ταῦτα λυομένων τῶν γάμων, ἐὰν τὸ σύμφωνον οὕτω συμβῇ, προσπορίζονται αὐτῷ, ἵνα μὴ οἱ πατέρες ὀκνηρότεροι γίνωνται εἰς τὸ παρέχειν ὑπὲρ τῶν παίδων. ὅσα δὲ ἕτερα ἐκ τῆς γυναικὸς ἔλθωσιν εἰς τὸν ἄνδρα, ἢ ἐκ τοῦ ἀνδρὸς εἰς τὴν γυναῖκα· τούτων τὴν χρῆσιν ἐχέτω ὁ πατὴρ, τὴν δεσποτείαν δὲ ἐχέτω τὸ ὑπεξούσιον πρόσωπον. ἐὰν δὲ ὁ πατὴρ μετὰ ταῦτα βουληθῇ αὐτεξούσιον ποιῆσαι τὸ ὑπεξούσιον πρόσωπον, κατεχέτω ἐκ τούτων τῶν πραγμάτων, ὥσπερ ἐκ τῶν μητρῴων εἰρήκαμεν, τὸ ἥμισυ τῆς χρήσεως.

ζ.

Ὅσα ἀπὸ γαμικῆς αἰτίας κερδαίνουσιν οἱ ὑπεξούσιοι,

ξούσιοι, ταῦτα τελευτώντων αὐτῶν ἐπὶ παισὶ, τοῖς παισὶν αὐτῶν ἁρμόζουσι: καὶ οὐδὲ προσπορίζονται ἐξ αὐτῶν τοῖς πάπποις, τουτέστι τοῖς πατράσι τῶν τελευτησάντων. ἐὰν δὲ τελευτήσωσιν ἐπὶ πατρὶ καὶ πάππῳ, ὁ πατὴρ αὐτῶν τοῦ πάππου προτιμᾶται: καὶ αὐτὸς τὰ μητρῷα αὐτῶν καὶ τὰ ἀπὸ γαμικῆς αἰτίας κέρδη κληρονομεῖ, τῆς χρήσεως καὶ ἐν τούτοις τοῖς θέμασι τῷ πάππῳ, ἐν ὅσῳ περίεστι, φυλαττομένης.

η.

Γυνή τις κερδάνασα ἀπὸ μνηστῆρος, ἔλεγεν ὅτι ὁ μνηστὴρ ἐν πολλοῖς ἄνδρα μιμεῖται, καὶ ὀφείλουσι τὰ ἐξ αὐτοῦ κέρδη ἀπροσπόριστα εἶναι. ἀντετίθετο δὲ αὐτῇ ὁ ἀδελφὸς αὐτῆς ὁ ὁμοπάτριος, ὅτι ἡ διάταξις ἀνδρὸς μέμνηται ἰδικῶς καὶ γυναικός. καὶ πρὸς τοῦτο ἀντιγράφουσα ἡ διάταξις λέγει, ὅτι καὶ τὰ ἀπὸ μνηστῆρος ἢ μνηστῆς κέρδη, ὥσπερ τὰ ἀπὸ γαμικῆς αἰτίας, οὐ προσπορίζονται.

ι.

Εἴ τις ὑπεξούσιος, ἢ ἐν τῇ τοῦ ἰδίου πατρὸς, ἢ ἐν τῇ τοῦ πάππου, ἢ ἐν τῇ τοῦ προπάππου ὑπεξουσιότητι τυγχάνων, τί ποτε ἑαυτῷ προσκτήσαιτο, μὴ ἐκ τῆς † ἀποκαταστάσεως, οὗ τινος ὑπεξούσιός ἐστιν, ἀλλ' ἐξ ἄλλων οἱωνδήποτε αἰτιῶν, αἵτινες ἀπὸ φιλοτιμίας τῆς τύχης, ἢ ἀπὸ καμάτων ἰδίων εἰς αὐτὸν φέρονται: ταῦτα τοῖς ἰδίοις γονεῦσιν οὐκ εἰς ὁλόκληρον, ἀλλ' ἕως μόνης τῆς χρήσεως προσπορίζεται: τῆς δεσποτείας ἐν αὐτῷ διαμενούσης κατὰ μίμησιν τῶν μητρῴων πραγμάτων, καὶ τῶν ἀπὸ γαμικῆς δωρεᾶς τοῖς ὑπεξουσίοις προσπορίζομένων: ὑπεξῃρημένων τῶν στρατιωτικῶν πεκουλίων, ὧν οὐδὲ τὴν χρῆσιν τὸν πατέρα, ἢ πάππον, ἢ πρόπαππον ἔχειν † οἱ παλαιοὶ συγχωροῦσιν. ἐν τούτῳ γὰρ οὐδὲν καινίζομεν, ἀλλὰ τὰ παλαιὰ ἄθικτα παραφυλάττομεν: τοῦ αὐτοῦ παραφυλαττομένου, καὶ ἐν τούτοις τοῖς πεκουλίοις, ἅτινα οἱονεὶ στρατιωτικά εἰσι κατὰ μίμησιν τοῦ στρατιωτικοῦ πεκουλίου. ἐχέτω δὲ ὁ πατὴρ εἰς τὰ ἄλλα πράγματα, ἅπερ ἀνωτέρω ἠριθμήσαμεν, τελειοτάτην ἐξουσίαν κεχρῆσθαι καὶ ἀπολαύειν καὶ διοικεῖν τὰ πράγματα κατὰ τὸν εἰρημένον τρόπον κτηθέντα. καὶ εἴτι ἀπὸ τῆς χρήσεως αὐτῶν ὁ πατὴρ ἢ ὁ πάππος, ἢ ὁ πρόπαππος συναγάγῃ, ἐχέτω ἐξουσίαν ὃν τρόπον ἐπιθυμεῖ, τοῦτο διατίθεναι, καὶ εἰς ἄλλους κληρονόμους παραπέμπειν: ἢ ἐὰν ἐκ τῶν καρπῶν τούτων τῶν πραγμάτων κινητὰ ἢ ἀκίνητα ἢ αὐτοκίνητα κτήσηται, καὶ ταῦτα οἵῳ τρόπῳ βουληθῇ, ἐχέτω καὶ παραπεμπέτω, καὶ εἰς ἄλλους μεταφερέτω, εἴτε ἐξωτικοὺς, εἴτε παῖδας ἰδίους, εἴτε οἱονδήποτε † πρόσωπον.

† ἐπιδόσεως.

† οἱ παλαιοὶ νόμοι.

† προσώπου.

ιγ.

Εἴ τις ἐκ τοῦ βασιλέως ἢ τῆς αὐγούστης δωρεὰν κτήσηται ἐν ὑπεξουσιότητι τυγχάνων, ἐχέτω τὰ τοιαῦτα πράγματα παντὸς προσπορισμοῦ ἀπολελυμένα, μηδὲ τούτων τὴν χρῆσιν ὁ πατὴρ ἐκδικείτω: ἀλλὰ κατὰ μίμησιν ἰδιοκτήτου ἤτοι στρατιωτικοῦ πεκουλίου, πᾶσαν ἐξουσίαν

lucrantur, ea si liberis relictis decedant, ipsorum liberis competunt; nec ab eis adquiruntur auis, hoc est, defunctorum parentibus. Si uero patre auoque superstite decesserint, pater eorum auo praefertur; & in bonis ipsorum maternis ac lucris nuptialibus succedit, usufructu his quoque casibus auo, dum superest, reseruando.

VIII.

Mulier quaedam lucrum a sponso consequuta, sponsum in multis maritum imitari dicebat; ideoque non debere lucra, quae ab ipso prouenissent, alteri adquiri. Verum frater eius germanus obijciebat ei, constitutionem specialiter mariti & uxoris mentionem fecisse. Ad hoc rescribens haec constitutio tradit, etiam a sponso sponsaue profecta lucra, perinde ac nuptialia, parentibus non adquiri.

X.

Si quis filiusfamilias, uel in patris sui, uel aui, uel proaui potestate constitutus, aliquid sibi adquisierit, non ex eius substantia, cuius in potestate sit, sed ab alijs quibuscumque caussis, quae ex liberalitate fortunae, uel laboribus suis ad eum perueniant; ea suis parentibus non in solidum, sed usque ad usumfructum solum adquirat; dominio ipsi remanente, ad exemplum tam maternarum, quam ex nuptiali donatione filijsfamilias adquisitarum rerum. exceptis castrensibus peculijs, quorum nec usumfructum patrem, uel auum, uel proauum habere, ueteres leges concedunt. in hoc enim nihil innouamus, sed uetera iura intacta seruamus: eodem obseruando etiam in his peculijs, quae quasi castrensia peculia, ad instar castrensis peculij sunt. Habeat autem pater in alijs rebus, quas supra recensuimus, plenissimam potestatem utendi, fruendi, administrandi res secundum praedictum modum adquisitas. Et si quid ex usu earum pater, uel auus, uel proauus collegerit; habeat licentiam, quemadmodum cupit, hoc disponendi, & in alios heredes transmittendi. uel si ex earum rerum fructibus res mobiles, uel immobiles, uel se mouentes comparauerit; eas etiam quomodo uoluerit, habeat & transmittat, & in alios transferat, siue extraneos, siue liberos suos, seu quamlibet personam.

XIII.

Si quis filiusfamilias a principe uel augusta donationem consequutus sit, habeat huiusmodi res omni adquisitione absolutas, nec earum usumfructum pater sibi uindicet; sed ad similitudinem castrensis peculij omnem facultatem

M in eis

in eis filijfamiliarum habeant. Vt enim imperialis fortuna omnes supereminet alias, ita oportet & principales liberalitates culmen habere præcipuum, hoc est, sublimitatē eximiam habere.

XIIII.

Omnium fere rerum, quarum usufructus patribus adquiritur, liberi proprietatem habent; exceptis ijs, quæ ex rebus patris proueniunt.

TIT. V. cuius....... dicitur:

l.un. D. und. uir & ux. *Quum iniustum matrimonium est, nec successio competit* VNDE VIR ET VXOR, *nec ex testamento hereditas, aut quid aliud lucri capi potest. Vt autem hæc bonorum possessio competat, uxorem esse oportet mortis tempore. Nam si diuortium sequutum fuerit, licet irritum sit, hæc bonorum possessio locum non habet. Irritum uero dicimus, quod non secundum iuris obseruationem factum est.*

l.un. C. eod. *Maritus & uxor ab intestato inuicem sibi in solidum pro antiquo iure succedant, quoties deficit omnis adscendentiū, uel descendentium, uel propinquorum legitima naturalisue successio, fisco excluso.*

TIT. VI. tradit

VT ARMENII QVOQVE LEGES ROMANAS SEQVANTVR. Eius cap. V. dicitur:

De his, qui ex indotatis, & dotatis nati sunt. Nouel. 117. cap. 3. *Sancimus, ut si quis citra scripturam adfectione coniugali mulierem acceperit, & liberos ex ea procreauerit; solutoq; matrimonio, quod habuit cum ea, forte aliam uxorem instrumentis dotalibus interuenientibus duxerit, ex eaque liberos susceperit; nullum ijs liberis, qui ex indotata uxore nati sunt, in successione paterna præiudicium gignatur, sed una cum reliquis liberis, editis ex secunda uxore, quæ cum dotalibus instrumentis in matrimonium coiuit, ad hereditatem patris & ipsi uocentur, quum ex adfectione sola matrimonium consistere possit. quod similiter obtinere uolumus; & si primo cum instrumentis dotalibus uxori quis copulatus fuerit; ac post eam coniugali dumtaxat adfectione alteram duxerit.*

Legito & lib. V. tit. III. cap. X. in quo tractatur de successione episcoporum, & clericorum, & xenodochorum, & orphanotrophorum. quo de dictum est in titulo de episcopis.

Legito & lib. XLIIII. tit. I. cap. XCVIII. & CIII. cuius uerba sunt:

l. 114. §. 8. D. de leg. 1. *Qui sub condicione rogatus est in potestate*

ἐν τούτοις οἱ ὑπεξούσιοι ἐχέτωσαν. ὥσπερ γὰρ ἡ βασιλικὴ τύχη πάσας ὑπερέχει τὰς ἄλλας, οὕτω χρὴ καὶ τὰς βασιλικὰς δωρεὰς ὀροφὴν ἔχειν ὑψηλὴν, τουτέστιν, ὕψος ἔχειν ὑπερβαῖνον.

ιδ.

Πάντων σχεδὸν τῶν πραγμάτων, ὧν ἡ χρῆσις προσπορίζεται τοῖς πατράσι, τὴν δεσποτείαν ἔχουσιν οἱ παῖδες: χωρὶς τῶν ἐκ τῶν πραγμάτων τοῦ πατρός.

ΤΙΤΛΟΣ ε. οὗ τινος....... φησίν.

Παρανόμου ὄντος τοῦ γάμου, οὔτε ἡ ἐκ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς διαδοχὴ ἁρμόζει, οὔτε κληρονομίαν ἐκ διαθήκης, ἢ ἄλλό τι κερδαίνειν δύναται. πρὸς δὲ τὸ ἁρμόσαι τὴν διακατοχὴν, γαμετὴν εἶναι δεῖ ἐν καιρῷ τελευτῆς. εἰ γὰρ παρακολουθήσει διαζύγιον, καὶ ἔστιν ἄκυρον, οὐκ ἔχει χώραν ἡ διακατοχή. ἄκυρον δὲ λέγομεν, τὸ μὴ γενόμενον κατὰ τὴν τοῦ νόμου παρατήρησιν.

Ἀνὴρ καὶ γυνὴ ἐξ ἀδιαθέτου ἀμοιβαδὸν ἑαυτοῖς εἰς ὁλόκληρον κατὰ τὸ ἀρχαῖον νόμιμον ὑπεισερχέσθωσαν, ὁσάκις ἀργεῖ πάσης ἀνιόντων † ἢ συγγενῶν νόμιμος ἢ φυσικὴ † διακατοχὴ, τοῦ δημοσίου ἀποκλειομένου. † ἢ κατιόντων ἢ συγγ. † διαδοχή.

ΤΙΤΛΟΣ ς. διαλαμβάνει

ΤΟΥ ΚΑΙ ΤΟΥΣ ΑΡΜΕΝΙΟΥΣ ΤΟΙΣ ΡΩΜΑΙΩΝ ΑΚΟΛΟΥΘΕΙΝ ΝΟΜΟΙΣ. οὗ τινος ἐν τῷ ε. κεφαλαίῳ φησίν.

Θεσπίζομεν εἴ τις ἀγράφως κατὰ διάθεσιν γαμικὴν γυναῖκα λάβῃ, καὶ παῖδας ἐξ αὐτῆς ποιήσηται, λυθέντος δὲ τοῦ πρὸς αὐτὴν γάμου, συμβῇ αὐτὸν ἑτέραν ἀγαγέσθαι γυναῖκα μετὰ προικῴων συμβολαίων, καὶ ἐξ αὐτῆς ποιήσασθαι παῖδας: μηδὲν περὶ τὴν πατρῴαν κληρονομίαν τοῖς ἐκ τῆς ἀπροίκου γαμετῆς τεχθεῖσι παισὶ πρόκριμα γίνεσθαι: ἀλλὰ μετὰ τῶν ἄλλων παίδων τῶν ἐκ τῆς δευτέρας τεχθέντων γαμετῆς τῆς μετὰ προικῴων συμβολαίων συνοικησάσης, εἰς τὸν τοῦ πατρὸς κἀκείνους καλεῖσθαι κλῆρον, οἷα καὶ ἐκ μόνης διαθέσεως δυναμένου τοῦ γάμου συνίστασθαι. ὅπερ ὁμοίως κρατεῖν βουλόμεθα, εἰ καὶ πρῶτον μὲν μετὰ προικῴων συμβολαίων συναφθῇ τις γαμετῇ, μετ᾽ ἐκείνην δὲ ἑτέραν ἀγάγηται μόνῃ γαμικῇ διαθέσει. περὶ τῶν ἐξ ἀπροίκων καὶ ἐμπροίκων τεχθέντων.

Ἀνάγνωθι καὶ βιβλίον ε. τίτλον γ. κεφάλαιον ι. ἐν ᾧ φησὶ περὶ τῆς διαδοχῆς τῶν ἐπισκόπων, καὶ τῶν κληρικῶν καὶ ξενοδόχων καὶ ὀρφανοτρόφων. εἴρηται δὲ ταῦτα ἐν τῷ περὶ ἐπισκόπων τίτλῳ.

Ἀνάγνωθι καὶ βιβλίον μδ. τίτλον α. κεφάλαιον ςη. καὶ ργ. ἐν ᾧ φησίν.

Ὁ ἀξιούμενος ὑπεξουσίοις ὑπὸ αἵρεσιν ἀποκα-

ἀποκαταςῆσαι κληρονομίαν, ὅτι βουλομένοις αὐτοῖς † δίδοται πρὸ τῆς * προχωρήσεως ἀποκαταςῆσαι. εἰκὸς γὰρ ἐν τῷ μεταξὺ αὐτεξουσίους αὐτοὺς γενέσθαι, καὶ ἑαυτοῖς κτήσασθαι: ἤ τινας ἀποθανεῖν καὶ τοῖς λοιποῖς τὸ ὅλον περιγενέσθαι. † λώσωσι. * πρὸ ἐκβάσεως τῆς αἱρέσεως.

Καὶ κεφάλαιον ρδ. καὶ ρκδ. καὶ ρκε.
ἐν ᾧ φησίν.

Ἐὰν γυνὴ τοὺς παῖδας τοὺς ἰδίους γράψασα κληρονόμους, ἀξιώσῃ τὸν πατέρα αὐτῶν ποιῆσαι αὐτοὺς αὐτεξουσίους, δοκεῖ τοῦτο λέγειν ὅτι γενομένοις αὐτοῖς αὐτεξουσίοις ἀποκατάστησον τὴν κληρονομίαν. καὶ διὰ τοῦτο ὁπόταν ποτὲ αὐτῶν αὐτεξουσίων γινομένων, ὑπόκειται τῇ ἀποκαταστάσει.

Καὶ κεφάλαιον ρκς. καὶ ρλα. καὶ ρλδ. καὶ ρλε. καὶ ρμ. ἐν ᾧ φησίν.

Εἴ τις τὸν υἱὸν τὸν ἴδιον κληρονόμον ἐνστήσαιτο, καὶ τῷ τῆς ἀποκαταστάσεως βάρει μετὰ τὸν θάνατον ὑπέβαλε: μὴ ἄλλως τοῦτο δόξει διατυπῶσαι, εἰ μὴ ὅτι ὁ υἱὸς αὐτοῦ χωρὶς ἀπογονῆς τὴν ζωὴν τὴν ἰδίαν καταλείψει. μὴ μόνον δὲ τὸν υἱὸν γράφων τὸν κληρονόμον, ἀλλὰ καὶ θυγατέρα ἐξ ἀρχῆς, ἢ ἔκγονον, ἢ ἐκγόνην, ἢ προέκγονον, ἢ προεκγόνην, ἢ ἄλλην ἐφεξῆς ἀπογονήν, εἰ καὶ ταύτην τῷ τῆς ἀποκαταστάσεως μετὰ τελευτὴν βάρει ὑπέβαλε: μὴ ἄλλως τοῦτο ἔσεσθαι δόξει, εἰ μὴ οὗτοι, οἵτινες τῇ ἀποκαταστάσει βαρηθέντες εἰσί, χωρὶς υἱῶν ἢ θυγατέρων, ἢ ἐκγόνων * ἀῤῥένων, † ἢ προεκγόνων εἶεν τελευτήσαντες. ἵνα μὴ δόξει ὁ τελευτήσας ἀλλοτρίας διαδοχὰς τῶν ἰδίων προτιθέναι. ἔ κεφάλαιον ρμα.
* τουτέστι, ἐξ ἀῤῥένων παίδων γεννηθέντων. † ὀλιγόνων, ἢ ὕστερα.

Καὶ τίτλον β. κεφάλαιον μα. καὶ ξς. καὶ ξη. καὶ ογ. ἐν ᾧ φησίν.

Γράψας τὴν θυγατέρα μου κληρονόμον, οὕτως εἶπον: ΑἸΤΩ͂ ΣΕ ΘΥΓΑΤΕΡ ΕἸ ΚΑῚ ΣΧΟΊΗΣ ἌΛΛΑ ΤΈΚΝΑ, ὍΜΩΣ ΠΈΤΡΩι ΤΩ͂ι ΠΑΙΔΊ ΣΟΥ, ΠΛΈΟΝ ΤΙ ΚΑΤΑΛΙΠΕΙ͂Ν. δοκῶ πᾶσι τοῖς ἐξ αὐτῆς ἀποκαταςῆσαι τὴν κληρονομίαν ἐξ ἴσου: πλέον δὲ πέτρῳ ὅσον ἡ θυγάτηρ βούλεται.

Καὶ κεφάλαιον πα. καὶ πβ.
καὶ πγ.

Καὶ τίτλον γ. κεφάλαιον η. καὶ ια. καὶ ιβ. καὶ λα. καὶ λγ. καὶ λε. ἐν ᾧ φησίν.

Ἐὰν τὸν ἀγρὸν τῆς μητρός μου λεγατεύσω αὐτῇ, καὶ ἀξιώσω αὐτὴν ἀποκαταςῆσαι τῇ γαμετῇ μου: εἰ μηδὲν ἐκ τῆς διαθήκης μου ἐκέρδανεν, οὔτε τὸ λεγάτον, οὔτε ἡ ἀποκατάστασις ἔρρωται. κἂν εἰ τὰ μάλιστα μετὰ τὴν ἐμὴν τελευτὴν ἐν ὑπομνήμασιν ἡ μήτηρ κατέθετο, μηδὲν ὑπεναντίον τῆς βουλήσεώς μου ποιεῖν.

*constitutis hereditatem restituere, ne quidem ex eorum uoluntate potest ante diem * cedentē restituere. Nam fieri potest, ut interim sui iuris efficiantur, & sibimetipsis adquirant: uel ut aliqui decedant, & reliquis totum obueniat.* * ante, quam condicio existat.

Adde cap. CIIII. & CXXIIII. & CXXV. in quo dicitur:

Si mulier filÿs suis heredibus institutis, patrem ipsorum rogauerit, ut eos manumittat; hoc dicere uidetur, debere patrem liberis emancipatis hereditatē restituere. ac propterea quandocumque fuerint emancipati, restituere tenetur. l.15. C de fideicom.

Et cap. CXXVI. & CXXXI. & CXXXIIII. & CXXXV. & CXL. cuius uerba sunt:

*Si quis filium suum heredem instituerit, & restitutionis post mortem oneri subiecerit: non aliter hoc disposuisse uidetur, nisi quum filius eius sine subole uitam suam reliquerit. Non solum autem filium heredem instituens, sed etiam filiam ab initio, uel nepotem, uel neptem, uel pronepotem, uel proneptem, uel aliam deinceps posteritatem, si & eam restitutionis post obitum grauamini subiugauerit: non aliter hoc fore uidebitur, nisi hi, qui restitutione onerati sunt, sine filÿs uel filiabus, aut nepotibus * masculis uel femininis, aut pronepotibus fuerint defuncti. ne uideatur testator alienas successiones proprÿs anteponere. Coniūgito cap. CXLI.* l.30. eod. * hoc est, qui ex liberis masculis nati sunt.

Item tit. II. cap. XLI. & LXVI. & LXVIII. & LXXIII. cuius uerba sunt:

Instituta herede filia mea, sic testamento locutus sum: PETO A TE FILIA, LICET ALIOS QVOQVE FILIOS SVSCEPERIS, TAMEN PETRO FILIO TVO PLVS RELINQVAS. *Videor omnibus ex ea natis hereditatem aequaliter restituere, plus autem Petro, quantum filia uelit.* l.76.§.4.D. de leg.2.

Adde cap. LXXXI. & LXXXII. & LXXXIII.

Item tit. III. cap. VIII. & XI. & XII. & XXXI. & XXXIII. & XXXV. cuius haec uerba sunt:

Si fundum matris meae proprium eidem legauero, & ab ea petiero, ut illum coniugi meae restituat: si nihil ex testamento meo lucrata sit, neque legatum, neque fideicommissum ualet. quamuis post mortem meam mater in gestis deposuerit, se nihil aduersus uoluntatem meam facturam. l.37. D. de leg.3.

Adde cap. XXXVI. & XXXVII. & XXXIX. & XCIX. & CIII. Item tit. IIII. cap. XX.

SCHOLION.

Legito & nouel. LXXXIIII. in qua dicitur de successione fratrum tam cōsanguineorum, quam uterinorum. Legito & nouel. CVIII. in qua tractatur de restitutionibus hereditarijs. & nouel. CXXVII. in qua dicitur, fratrū filios cum adscendentibus succedere. & CL. tractat enim de restitutione, cautione facta. Et nouel. CXVIII. in qua dicitur de adscendentium, & descendentium, & eorum qui sunt ex transuerso successione.

DE INTESTATO.

Tit. I. cap. XIIII.

l. 1. D. de suis & leg. *Intestati proprie dicuntur, qui quum possent testamentum facere, testati non sunt, uel frustra testati sunt. Item, quum uel ruptum, uel irritum fuerit testamentum. Qui uero testari non potuerunt, appellantur illi quidem intestati, sed non proprie. uelut impubes, & furiosus, & cui bonis est interdictum. item is, qui apud hostes decessit. nam & qui captus est ab hostibus, intestatus decessisse uidetur. Eius autem hereditas defertur ijs, quibus deferretur, si in ciuitate decessisset. nam & eius hereditas fuisse creditur.*

BASILICORVM LIBER XLVI.

DE HOMINIBVS, LIBERIS PARIter & seruis, & ingenuis, & libertinis, deque statu, & qualitate, & discrimine hominum, & status eorum mutatione.

TIT. I. CAP. II.

[illegible] *Libertas est naturalis facultas eius faciundi, quod cuique facere libet; nisi ui aut iure prohibeatur. Seruitus autem est constitutio iuris gentium, qua quis alieno dominio contra naturam subijcitur. Libertini uero sunt, qui ex legitima seruitute manumissi sunt.*

XVI.

Qui ex legitimo matrimonio natus est, patrem sequitur; uulgo quaesitus, matrem.

TIT. II. cuius cap. VII. dicitur:

l. 7. D. de cap. minut. *Actio iniuriarum, & obligationes ex delicto, caput sequuntur.*

X.

Tres sunt capitis deminutiones, magna, media, minima. nā tria sunt, quae habemus; liber-

Καὶ κεφάλαιον λϛ. καὶ λζ. καὶ λθ. καὶ ϙθ. καὶ ργ. καὶ τίτλον δ. κεφάλαιον κ.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ νεαρὰν πδ´ ἐν ᾗ φησὶ περὶ κληρονομίας ἀδελφῶν ὁμογνίων, καὶ ὁμομητρίων. ἀνάγνωθι καὶ νεαρὰν ρη´. ἐν ᾗ φησὶ περὶ κληρονομιῶν ἀποκαταστάσεως. καὶ νεαρὰν ρκζ´. ἐν ᾗ φησὶν, ὅτι δεῖ ἀδελφιδοῦς ἅμα τοῖς ἀνιοῦσι κληρονομεῖν. καὶ ρν´. φησὶ γὰρ περὶ ἀποκαταστάσεως ἀσφαλείας γενομένης. καὶ νεαρὰν ριη´ ἐν ᾗ φησὶ περὶ κληρονομίας ἀνιόντων, καὶ κατιόντων, καὶ ἐκ πλαγίου.

ΠΕΡῚ ἈΔΙΑΘΈΤΟΥ.

ΤΊΤΛΟΥ α. κεφ. ιδ.

Κυρίως ἀδιάθετοι λέγονται οἱ διαθέσθαι δυνάμενοι, καὶ μὴ διαθέμενοι, ἢ ἀκύρως διαθέμενοι. καὶ ὅτε ῥαγῇ ἢ ἄκυρος γένηται ἡ διαθήκη. οἱ δὲ μὴ δυνάμενοι διαθέσθαι, λέγονται μὲν ἀδιάθετοι, οὐ κυρίως δέ, ὡς ἐπὶ τοῦ ἀνήβου καὶ μαινομένου καὶ ἀσώτου, καὶ τοῦ παρὰ τοῖς πολεμίοις τελευτήσαντος. καὶ ὁ ληφθεὶς γὰρ αἰχμάλωτος, ἀδιάθετος δοκεῖ τελευτῆσαι. ἡ δὲ τούτου κληρονομία ἐκείνοις καταφέρεται διὰ τοῦ κορνηλίου νόμου, οἷς ἂν κατεφέρετο, εἰ ἐν τῇ πόλει ἐτελεύτησε. καὶ ἡ † διακατοχὴ γὰρ εἶναι κληρονόμου πιστεύεται. † ἀναδοχή.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. μϛ.

ΠΕΡῚ ἈΝΘΡΏΠΩΝ ἘΛΕΥΘΈΡΩΝ τε καὶ δούλων, καὶ εὐγενῶν, καὶ ἀπελευθέρων: καὶ περὶ καταστάσεως, καὶ ποιότητος, καὶ διαιρέσεως αὐτῶν, καὶ ἐναλλαγῆς τῆς τούτων καταστάσεως.

ΤΊΤΛΟΣ α. κεφάλ. β.

Εἴ τις ἀγορασίας, ἢ δωρεᾶς, ἢ ἄλλου οἱουδήποτε συναλλάγματος † τίτλον, πρᾶγμα τίποτε πίστει καλῇ ἐπὶ δέκα ἢ εἴκοσι ἐνιαυτοὺς κατέσχε, καὶ τὴν τοῦ μακροῦ χρόνου παραγραφὴν κατὰ τῶν δεσποτῶν αὐτοῦ τοῦ πράγματος, ἢ τῶν δανειστῶν, τῶν τὴν ὑποθήκην αὐτοῦ προτεινομένων ἑαυτῷ ἐκτήσατο, καὶ μετὰ ταῦτα κατὰ τύχην τὴν νομὴν ἐκείνου τοῦ πράγματος ἀπώλεσε: δύνασθαι αὐτὸν καὶ ἀγωγὴν εἰς ἐκδικήτιον τὸ αὐτὸ πρᾶγμα ἔχειν θεσπίζομεν. τοῦτο γὰρ καὶ οἱ παλαιοὶ † (εἴ τις αὐτοὺς ὀρθῶς θεωρήσει) ἐθέσπιζον. εἰ δέ τις τὸ πρᾶγμα παύσεται νέμεσθαι, οὗ τινος ὁ δεσπότης, ἢ ὅστις ὑποκείμενον αὐτὸ εἶχε, τῇ παραγραφῇ τῶν λ. ἢ μ. ἐνιαυτῶν ἐξεβλήθη: τὴν εἰρημένην βοήθειαν οὐκ ἀδιακρίτως, ἀλλὰ μετὰ μεμετρημένης διαιρέσεως αὐτῷ παρέχειν θεσπίζομεν: ἵνα εἰ μὲν πίστει καλῇ ἐξ ἀρχῆς τοῦτο τὸ πρᾶγμα διακατέσχεν, ὁμοίας δυνηθείη χρήσασθαι βοηθείας. ἐὰν δὲ πίστει κακῇ τοῦτο ἀπέλαβε, ἀνάξιος ταύτης δόξει. οὕτω μέντοι, ἵνα καὶ ὁ καινὸς νομεύς, εἰ μὲν αὐτὸς τοῦ πράγματος δεσπότης ἐξ ἀρχῆς ἦν, ἢ ὑποκείμενον αὐτὸ εἶχε, καὶ τῇ τῆς μνημονευθείσης παραγραφῆς ἀνάγκῃ ἐξωσθεὶς ἐστι, τὸ κέρδος τῆς διακατοχῆς ἑαυτῷ προσπορίσει. ἐὰν δὲ μηδὲν δίκαιον ἐν τῷ αὐτῷ πράγματι καθ' οἱονδήποτε καιρὸν ἔσχεν, τότε ἐξουσία εἴη τῷ πρώτῳ δεσπότῃ, ἢ τῷ δανειστῇ, ὅς τις ὀνόματι ὑποθήκης τὸ πρᾶγμα ἐνεχόμενον ἔσχε, καὶ τοῖς κληρονό-

† τίτλον.

ἃ γὰρ ἑκουσίως αὐτὸ ἀπενέσατο τὸ πρᾶγμα, οὐκ ἔτι ἔχει παραγραφήν.

† νέμει, ἤτοι.

cariam, donec debitor uiuit, non excludatur. Post mortẽ uero debitoris, opponitur ei XXX. annorum præscriptio. Si autem posterior creditor non solum opponere uoluerit tẽpus, per quod ipse possedit post debitoris obitum, uerumetiam id, quo ipso uiuente detinuit: tunc annorũ XL. exceptionem anteriori creditori opponi iubet. In condicionalibus autem, uel sub die contractibus, computari iubet posteaquam condicio exstiterit, aut dies lapsa sit. Similiter iubet tam in dote, quam ante nuptias donatione, post coniugij dissolutionem mulieri earumdem præscriptionum tempus computari. Itidem præcipit, ut quatenus sine uiolentia quis res sibi suppositas tenet, temporis ei præscriptio non opponatur. Quod si debitor secundam ad agnoscẽdum debitum suum cautionem exposuerit, rursus illarum præscriptionum tempus interrumpit. Iubet & in annuis legatis computari tempus, non ex quo relicta fuerint, sed ex quo instituta sit actio. quæ quidem in singulos annos nascitur. Præterea uult, ut emphyteuta non opponat præscriptionem longi temporis, nec conductor, uel rerum alienarum procurator; sed quandocumque cõpleto emphyteuseos aut conductionis tempore, rem ipsam reddat.

VIII.

Si quis emtionis, uel donationis, uel alterius cuiuscumque contractus titulo, rem aliquam bona fide per decem uel uiginti annos possederit, & longi temporis exceptionem contra dominos ipsius rei, uel creditores hypothecam eius prætendentes, sibi adquisierit: posteaque fortuito casu possessionem eius rei perdiderit: posse eum etiam actionem ad uindicandam rem eamdem habere sancimus. hoc enim & ueteres leges, si quis eas recte inspexerit, sanciebant. Quod si quis eam rem desierit possidere, cuius dominus, uel is qui suppositam eam habebat, exceptione XXX. uel XL. annorum expulsus est: prædictum auxilium non indiscrete, sed cum moderata diuisione ei præstari censemus: ut si quidem bona fide ab initio eam rem tenuerit, simili possit uti præsidio. Sin uero mala fide eam adeptus est, indignus eo uideatur, ita tamen, ut & nouus possessor, siquidem ipse rei dominus ab initio fuit, uel suppositam eam habebat, & memoratæ exceptionis necessitate expulsus est; commodum detentionis sibi adquirat. Sin uero nullum ius in eadem re quocumque tempore habuit, tunc licentia sit priori domino, uel creditori qui nomine hypothecæ rem obligatam habuit, & heredi-

Nam si sponte sua rem possidere desierit, non amplius exceptionem habuerit.

bus eorum, ab iniusto detentatore eam uindicare: non obstante ei, quod prior possessor triginta uel quadraginta annorum exceptione eum remouerat: nisi ipse iniustus possessor triginta uel quadraginta annorum ex eo tempore computandorum, ex quo prior possessor, qui euicit, ea possessione cecidit, exceptione munitus est. Sed hæc super illis detentatoribus censemus, qui sine uiolentia rem eamdem nacti sunt. Nam si quis uiolenter eam abstulerit, omni modo licebit priori possessori sine ulla distinctione eam uindicare. Sed & si quis non per uim, sed per sententiam iudicis eam obtinuerit, ea tantum occasione, quod absens prior possessor ad litem uocatus minime responderit: licebit ei & ad similitudinem ceterorum, qui rei dominium habent, intra annum se offerenti, cautionemque suscipiendæ litis danti, eamdem rem recipere, superque ea cognitionalia subire certamina.

IX.

Exceptionem XXX. *uel* XL. *annorum in illis cōtractibus, in quibus usuræ promissæ sunt, ex illo tempore initiū capere sancimus; ex quo debitor usuras minime persoluit.*

X.

Sæpe quidam suos obnoxios in iudicium uocantes, & iudiciarijs certaminibus motis, non ad certum finem lites producunt, sed taciturnitate in medio tempore adhibita, propter potentiam forte reorum, uel suam imbecillitatem, uel alios quoscumque casus, quum fortis humanæ multi sint, qui nec dici, nec numerari possunt: deinde iure suo lapsi esse uidebantur eo, quod post cognitionem nouissimam triginta annorum spatium effluxerit, & huiusmodi exceptione opposita suas fortunas ad alios translatas uidentes, merito quidem, sine remedio autem lugebant. Quod nos corrigentes, eamdem exceptionem, quæ ex XXX. *annis oritur, in huiusmodi casu opponi minime patimur. Sed licet personalis actio ab initio fuerit instituta, eam tamen in quadragesimum annum extendimus: quum non similis sit qui penitus ab initio tacuit, et qui & postulationem deposuit, & in iudicium uenit, & ..... certamina, litem autem implere per quosdam casus præpeditus est. Sed licet ipse actor defecerit, tamen sua posteritati huius caussa cursum eum relinquere posse definimus, ut eius heredibus uel successoribus liceat eam adimplere, nullo modo triginta annorum exceptione sublata. Quod tempus (id est, quadraginta*

μοις αὐτῶν, ἐκ τοῦ ἀδίκως διακρατήσαντος τοῦτο διεκδικῆσαι, μὴ ἀντικειμένου † αὐτοῦ, ὅτι ὁ πρῶτος νομεὺς τριάκοντα ἢ μ. ἐνιαυτῶν παραγραφῇ αὐτὸν ἀπεκίνησεν: εἰ μὴ ἄρα αὐτὸς ὁ ἄδικος νομεὺς, λ. ἢ μ. ἐνιαυτῶν ἐξ ἐκείνου τοῦ καιροῦ ψηφιζομένων, ἐξ οὗ ὁ πρῶτος νομεὺς (ὅς τις καὶ † ἐνίκη) ταύτης τῆς νομῆς ἐξέπεσεν, παραγραφῇ ὠχυρωμένος ἐστίν. ἀλλὰ ταῦτα μὲν περὶ ἐκείνων τῶν νομέων κρίνομεν, οἵτινες χωρὶς βίας τοῦ αὐτοῦ πράγματος ἐπελάβοντο. καὶ γὰρ εἴ τις κατὰ βίαν αὐτὸ ἀφείλετο, παντὶ τρόπῳ ἔξεστι τῷ προτέρῳ νομεῖ χωρίς τινος διαστάσεως τοῦτο ἐκδικῆσαι. εἰ δὲ καί τις μὴ κατὰ βίαν, ἀλλ' ἐξ ἀποφάσεως δικαστοῦ τοῦτο κατέχει, πλὴν ἐκ ταύτης τῆς προφάσεως, ὅτι ἀπὼν ὁ πρῶτος νομεὺς, καὶ εἰς τὴν δίκην κληθεὶς, οὐδαμῶς ἀπεκρίνατο: ἐξέσται αὐτῷ κατὰ μίμησιν τῶν λοιπῶν. οἵτινες τὴν τοῦ πράγματος δεσποτείαν ἔχουσιν, εἴσω τοῦ ἐνιαυτοῦ ἑαυτὸν προσφέροντι, καὶ ἀσφάλειαν τοῦ ὑποδέξασθαι τὴν δίκην διδόντι, τὸ αὐτὸ πρᾶγμα ἐπαναλαβεῖν, καὶ περὶ τούτου διαγνωστικοὺς ὑπεισελθεῖν ἀγῶνας. θ.

Τὴν παραγραφὴν τῶν λ. ἢ μ. ἐνιαυτῶν ἐν ἐκείνοις τοῖς συναλλάγμασιν, ἐν οἷς τόκοι ὁμολογηθέντες εἰσὶν, ἐξ ἐκείνου τοῦ χρόνου λαμβάνειν ἀρχὴν θεσπίζομεν, ἐξ οὗ ὁ χρεώστης τόκους † κατέλαβεν οὐδαμῶς. ι.

Πολλάκις τινὲς τοὺς ἰδίους ὑπευθύνους εἰς δικαστήριον καλοῦντες, καὶ δικαστικῶν ἀγωνιῶν κινηθέντων, οὐκ εἰς ῥητὸν τέλος τὰς δίκας προάγουσιν, ἀλλὰ σιωπῆς ἐν τῷ μέσῳ χρόνῳ γινομένης, διὰ τὴν δυναστείαν ἴσως τῶν ἐναγομένων, ἢ τὴν ἰδίαν ἀσθένειαν, ἢ ἄλλας τινὰς οἵας δήποτε περιστάσεις, ὁπότε τοῦ ἀνθρωπίνου κλήρου πολλαί εἰσιν, αἵτινες οὔτε λεχθῆναι, οὔτε ἀπαριθμηθῆναι δύνανται: ἔπειτα τοῦ ἰδίου δικαίου ἐλιωθηκότες ἐδόκουν διὰ τοῦτο, ὅτι μετὰ τὴν ἐσχάτην διάγνωσιν, τριάκοντα ἐνιαυτῶν διάστημα ἐρρύη, καὶ τῆς τοιαύτης παραγραφῆς ἀντιτεθείσης, τὰς ἰδίας ὑποστάσεις εἰς ἄλλους μετενεχθείσας ὁρῶντες, ἀξίως μὲν, πλὴν χωρὶς θεραπείας ἐπένθουν. ὅπερ ἡμεῖς ἐπανορθοῦντες, τὴν † αὐτῶν παραγραφὴν, ἥτις ἐκ τῶν λ. ἐνιαυτῶν τίκτεται, ἐν τῷ τοιούτῳ θέματι ἀντιτεθῆναι οὐδαμῶς ἀνεχόμεθα. ἀλλ' εἰ καὶ προσωπικὴ ἀγωγὴ ἔτυχεν ἐξ ἀρχῆς κινηθεῖσα, ὅμως αὐτὴν εἰς τεσσαρακοστὸν ἐνιαυτὸν ἐκτείνομεν: ὁπότε οὐκ ἔστιν ὅμοιος ὅς τις παντελῶς ἐξ ἀρχῆς ἐσιώπησεν, ἐκείνῳ ὅς τις καὶ αἰτίασιν ἀπέθετο, καὶ εἰς δικαστήριον ἀπῆλθεν...... ἀγῶνας, τὴν δὲ δίκην πληρῶσαι διά τινας τύχας ἐμποδισθείς ἐστιν. ἀλλ' εἰ καὶ αὐτὸς ὁ ἐνάγων ἀπαντήσει, τῇ ἰδίᾳ ἀπογονῇ τῆς τοιαύτης αἰτίας τὸν δρόμον αὐτὸν καταλιμπάνειν δύνασθαι ὁρίζομεν: ἵνα τοῖς κληρονόμοις αὐτοῦ ἢ τοῖς διαδόχοις ἐξείη ταύτην πληρῶσαι, μηδενὶ τρόπῳ † τὴν τῶν τριάκοντα ἐνιαυτῶν παραγραφὴν ἀναιρεθείσης. ὅν τινα χρόνον (τουτέστι τῶν μ. ἐνιαυ-

† αὐτῷ.
† ἐνίκησε.
† κατέβαλεν.
† αὐτὴν.
† τῆς τῶν λ. ἐνιαυτῶν παραγραφῆς ἀναιρεθείσης.

μ. ἐνιαυτῶν διάστημα) ἐξ ἐκείνε συναριθμεῖσθαι κελεύομεν, ἐξ ἧ ἡ ἐσχάτη προῆλθε διάγνωσις, μεθ' ἣν ἑκάτερον μέρος ἐρραθύμησεν.

ια.

Θεσπίζομεν, εἴ τις κακῇ πίστει πράγματα νεμόμενος ἢ κατὰ πρᾶσιν, ἢ κατὰ δωρεὰν, ἢ ἄλλως, ταῦτα ἐκποιήσει, ὁ δὲ νομίζων τὰ αὐτὰ πράγματα προσήκειν ἑαυτῷ, τοῦτο γινώσκων, ἐντὸς ι. ἐνιαυτ. μεταξὺ παρόντων, καὶ κ. μεταξὺ τῶν ἀπόντων, μὴ διαμαρτύρηται κατὰ τὰς νόμους τὸν ἀγοραστὴν, ἢ τὴν δωρεὰν δεχόμενον, ἢ ἐκεῖνον, εἰς ὃν τὰ πράγματα ἄλλῳ οἱῳδήποτε τρόπῳ μετενεχθείη: τὸν τὰ τοιαῦτα πράγματα κομιζόμενον, βεβαίως ταῦτα ἔχειν μετὰ τὴν τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων, καὶ τῆς εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδρομήν. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης, καὶ ὅτι τὰ πράγματα αὐτῷ προσήκει, καὶ ὅτι γέγονεν ἡ ἐκποίησις: κελεύομεν τοῦτον μὴ ἀποκλείεσθαι, πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας, μὴ δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι αὐτὸς καλῇ πίστει νέμεται, ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος ταῦτα ἐκομίσατο. περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας, ταῦτα διατυπῶσαι συνείδομεν, ὥστε εἴ τις ἐν τῇ εἰρημένῃ τῆς δεκαετίας χρονικῇ παραγραφῇ ἐπί τινας μὲν ἐνιαυτὰς παρὼν εἴη, ἐπί τινας δὲ ἀπὼν, ἄλλους τοσούτους αὐτῷ ἐνιαυτὰς πρὸς τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἐξ αὐτῆς τῆς δεκαετίας ἀπὼν γέγονεν.

ΤΙΤΛ. ιε. κεφ. α.

† προσωπικαί. Ἡ διάταξις κελεύει ἵνα καὶ πᾶσαι αἱ † πρόσκαιροι παραγραφαὶ, ἃς ἑρμηνεύοντές τινες, ἔλεγον μετὰ τριακοντα ἐνιαυτὰς ταύτας κινεῖσθαι, λ. ἐνιαυτοῖς περαιῶνται, εἰ μὴ ἄρα ἐν τῷ μεταξὺ κατενεχθεῖσαι εἰς δικαστήριον καὶ † ἀγῶνας τυχοῦ, καὶ ἐσιωπήθησαν. ζητοῦμεν γὰρ μεταξὺ δικαστηρίου οὐκέτι λ. ἀλλὰ μ. ἐνιαυτὰς παραδραμεῖν. αἱ δὲ ἀγωγαὶ ἁρμόζουσαι τοῖς ὑπεξουσίοις προφάσει τῶν πραγμάτων τῶν μὴ προσπορίζομένων τοῖς πατράσι, μὴ ἀντικειέσθωσαν. εἰ μὴ ἐξ οὗ γινόμενοι αὐτεξούσιοι, ἠδύναντο κινεῖν τὰς ἀγωγάς.

† ἀγωνισθεῖεν.

Ἡ διάταξις κελεύει, ἵνα ὁσάκις ἄν τις οὐ δύνηται ἐναγαγεῖν, ἢ διὰ τὴν ἀπουσίαν τοῦ νεμομένου, ἢ διὰ τὴν ἡλικίαν, ἢ διὰ τὴν μανίαν, ἢ διὰ τὴν δυναστείαν, προσελθεῖν τῷ ἄρχοντι ἢ τῷ ἐπισκόπῳ, ἢ τῷ ἐκδίκῳ τῆς πόλεως. εἰ δὲ ἀπολιμπάνονται, δημοσίᾳ προθήσει τὸν λίβελλον ἔνθα οἰκεῖ ὁ νεμόμενος, εἰ μὲν ἔχει ἡ πόλις ταβουλαρίους, ὑπογεγραμμένον χειρὶ τῶν ταβουλαρίων. εἰ δὲ μὴ ἔχει, ὑποτάξει αὐτῷ τριῶν μαρτύρων ὑπογραφάς: καὶ διαρρήγνυσι τὸν χρόνον τῆς τριετίας, ἢ δεκαετίας, ἢ εἰκοσαετίας, ἢ λ. ἢ μ. ἐνιαυτῶν, πάντων τῶν ἄλλων τῶν εἰρημένων ἐπὶ ταύτης τῆς παραγραφῆς, ἰσχυόντων.

annorum spatiū) ex eo numerari decernimus, ex quo nouissima processit cognitio, postquam utraque pars cessauit.

XI.

Sancimus, ut si quis mala fide res possidens, uel per uenditionem, uel per donationem, uel aliter, alienauerit eas; is uero, qui eas res ad se pertinere putet, hoc ipsum sciens, intra X. annos inter præsentes, & XX. annos inter absentes, non secundum leges contestatus fuerit emtorem, uel eum qui donationem accepit, uel ad quem ea res quocumque modo peruenerint; qui res eas adeptus sit, firmiter illas obtineat post decennij, scilicet inter præsentes, & XX. annorum inter absentes decursum. Quod si uerus rerum alienatarum dominus ignoret, tum quod res ad se pertineant, tum quod intercesserit alienatio: iubemus, ut hic non excludatur, extraquam per annorum XXX. præscriptionem; non admittendo, ut is, qui res hoc modo possidet, se bona fide possidere dicat: quum eas a malæ fidei possessore nactus sit. De præscriptione uero decennij hac uisum est decernere, ut si quis umquam in prædicta temporali decennij præscriptione per aliquot annos præsens sit, per aliquot absens: alij totidem anni ad decennium adyciantur, quot annis ex ipso decennio abfuit. Nouel. 119. cap. 7.

TIT. XV. cap. I.

*Constitutio iubet, ut omnes * personales exceptiones, quas quidā interpretatione sua post annos XXX. institui dicebant, annis XXX. concludantur; nisi medio tempore deducta in iudicium fuerint, & certamina acceperint, posteaque silentio tradita sint. Requirimus enim inter iudicium non amplius annorum XXX. sed XL. decursum. Actionibus uero, quæ filijsfamiliarum competunt ratione rerum, quæ patribus non adquiruntur, nulla præscriptiones opponantur; nisi ex quo sui iuris facti, actiones mouere potuerunt.* L. 1. §. 1. C. de anno. exc. * al. temporales.

Constitutio iubet, ut quoties quis agere non potest, uel propter absentiam possessoris, uel propter ætatem, uel propter furorem, uel propter potentiam; præsidem adeat, uel episcopum, uel defensorem ciuitatis. Sin autem illi abfuerint, publice libellum proponat, ubi domicilium possessor habet, tabulariorum manu subscriptum, si tabularios ciuitas habeat: si nullos habeat, trium testium subscriptiones adhibeat: & interrumpet tempus siue trienny, siue decenny, siue uicenny, siue XXX. uel XL. annorum: omnibus alys, quæ de hac præscriptione dicta sunt, in suo robore durantibus.

Si quis multas habens actiones, de aliquibus libellum obtulerit; omnes perpetuas reddit. Et quidem amplius ait constitutio, licet is, qui personales, & de proprietate, & hypothecarias actiones habet, libellum offerat, quo contineatur, eum personales instituere, uel de proprietate, uel hypothecarias: non tamen ei hanc omissionem aliarum nocere.

TIT. XII. tractat
DE ADQVIRENDO PER ALLVVIONEM DOMINIO. cuius
II. cap. dicitur:

Lub. C. de allu. *Si qui quocunque loco per alluuionem terram adquisierint, eius domini fiũt, nec ipsius nomine functiones fisco praestant. Quod si antea locus a palude obrutus erat, uel pascuis adscriptus, possessorum uero sumtibus iam fertilissimus factus sit: nec illius nomine functiones exigendae sunt. Quinetiam pœna contra legis huiusce temeratorem auri L. librarum esto.*

Legito & lib. LI. tit. III.

DE PRO EMTORE.
TIT. XI. cap. I.

D. eod. *Qui litis aestimationem obtulit, pro emtore possidet. Item, Pro emtore possidet, qui emit, non existimans se emere.*

DE DERELICTIS.
TIT. VII. cap. I.

D. eod. *Quod pro derelicto habui, meum non est, sed fit occupantis. nam quibus modis adquirimus, hisdem & amittimus.*

II.

Qui scit pro derelicto quid habitum, id ipsum adquirit. nam esse desinit omittentis, & fit occupantis.

BASILICORVM
LIBER LI.

DE EXCEPTIONIBVS ET replicationibus.
TIT. I. cap. I. & III.

Reus in exceptionibus actor est. Exceptio solet excludere, quae in intentionem condemnationemue deducta sunt. Replicatio nihil aliud est, quã exceptio opposita exceptioni rei. ac multa dantur, replicantibus inuicem litigatoribus.

IIII.

Exceptionũ aliae temporales sunt, quae ad certum tempus opponuntur, & dilationẽ tribuũt. ut quae actionem differunt. quales sunt pactorum exceptiones. Aliae sunt perpetuae, quae actori oppositae, semper actionem ab eo motam perimunt. qualis est doli mali & metus exceptio,

Ἐάν τις πολλὰς ἔχων ἀγωγὰς, περί τινων ἐπιδῷ λίβελλον, πάσας διηνεκεῖς ἀποτελεῖ. καὶ τὸ πλέον λέγει ἡ διάταξις: ὅτι κἂν ἔχων προσωπικὰς καὶ περὶ δεσποτείας καὶ ὑποθηκαρίας, ἐπιδῷ λίβελλον ἔχοντα ὅτι τὰς προσωπικὰς κινεῖ, ἢ ὅτι τὰς περὶ δεσποτείας κινεῖ, ἢ ὅτι τὰς ὑποθηκαρίας, οὐδὲ αὐτὴ ἡ ὑπεξαίρεσις ἀδικεῖ αὐτόν.

ΤΙΤΛΟΣ ιϛ. διαλαμβάνει
ΠΕΡΙ ΤΗΣ ΕΚ ΠΡΟΣΧΩΣΕΩΣ ΗΤΟΙ ΠΡΟΣΚΛΥΣΕΩΣ ΓΕΝΟΜΕΝΗΣ ΔΕΣΠΟΤΕΙΑΣ. οὗ τινος ἐν τῷ
β. κεφαλαίῳ φησίν.

Ἐάν τινες ὁπουδήποτε διὰ προσχώσεως προσκτήσωνται γῆν, δεσπόται αὐτῆς γίνονται, καὶ οὔτε δημόσια ὑπὲρ αὐτῆς συντελοῦσιν. εἰ δὲ καὶ πρότερον ἦν τόπος ὑπὸ λίμνης κατεχόμενος, ἢ εἰς βοσκὴν ἀπεγράφη: δαπανήμασι δὲ τῶν κεκτημένων νῦν κάλλιστος ἐγένετο. οὐδὲ ὑπὲρ τούτου χρὴ συντελείας ἀπαιτεῖσθαι. ἔτι δὲ πρόστιμον κατὰ τοῦ παραβαίνοντος τὸν νόμον, πεντήκοντα λιτρῶν χρυσίου.

Ἀνάγνωθι καὶ βιβλ. να. τίτλ. γ.

ΠΕΡΙ ΑΝΤΑΓΟΡΑΣΤΟΥ.
Τίτλος δ. κεφάλ. α.

Ὁ διδοὺς τὴν τῆς δίκης διατίμησιν, ἀντὶ τοῦ ἀγοραστοῦ νέμεται. καὶ ὅτι ὡς ἀγοραστὴς νέμεται, ὁ ἀγοράσας οὐχ ὑπονοῶν ἀγοράσαι.

ΠΕΡΙ ΕΓΚΑΤΑΛΕΛΕΙΜΜΕΝΩΝ.
Τίτλου ζ. κεφάλ. α.

Ὃ ἐγκατέλιπον οὐκ ἔτι ἐστὶν ἐμὸν, τοῦ δὲ προκαταλαμβάνοντος γίνεται. ὡς γὰρ κτώμεθα, οὕτω καὶ ἀποκτώμεθα. β. — ἀνάγνωθι καὶ τὸ περὶ ἀντεστιάσεως.

Ὁ εἰδὼς ἐγκαταλελεῖφθαι τι, κτᾶται αὐτό. παύεται γὰρ εἶναι τοῦ καταλιπόντος, καὶ γίνεται τοῦ κρατοῦντος.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. να.
ΠΕΡΙ ΠΑΡΑΓΡΑΦΩΝ ΚΑΙ ἀντιπαραγραφῶν.
Τίτλος α. κεφαλ. α. καὶ γ.

Ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων ἐστίν. ἡ παραγραφὴ † ἀποκλείειν εἴωθε τὰ ἐν τῇ ἐπιτάσει καὶ τῇ καταδίκῃ κατεσπευσμένα. ἡ ἀντιπαραγραφὴ, οὐδὲν ἕτερόν ἐστιν, ἢ παραγραφὴ ἀντιτιθεμένη τῇ παραγραφῇ τοῦ ἐναγομένου. καὶ πολλαὶ δίδονται ἀντιπαραγραφομένων ἀλλήλοις τῶν δικαζομένων. † ἀποκλείειν.

δ.

Τῶν παραγραφῶν αἱ μέν εἰσι πρόσκαιροι μέχρι φανεροῦ χρόνου ἀντικείμεναι, αἵτινες καὶ ὑπέρθεσιν παρέχουσιν, ὡς αἱ ἀναβαλλόμεναι τὴν ἀγωγὴν, ὁποῖαι εἰσὶν αἱ περὶ συμφώνων παραγραφαί. αἱ δὲ † διηνεκῶς, ἀντικείμεναι τῷ ἐνάγοντι, ἀεὶ τὴν ὑπ᾽ αὐτοῦ κινουμένην ἀγωγὴν ἀναιροῦσαι. οἷον ἡ τοῦ δόλου παραγραφὴ, καὶ ἡ τοῦ φόβου, † διηνεκῶς.

καὶ ἡ

καὶ ἡ περὶ πράγματος κεκριμένου, καὶ αἱ τὸ γεγονὸς ὡς παράνομον διαβάλλουσαι, καὶ αὐτὸ τὸ χρέος εἰς τέλειον συγχωροῦσαι τοῦ συμφώνου. αἱ δὲ πρόσκαιροι καὶ μειωτικαί, ὡς ἡ τοῦ προσκαίρου συμφώνου, καὶ αἱ περὶ φροντιστῶν ἤτοι ἐντολέων.

η.κεφ. θεμ. γ.

Οὐ πάντως ὁ παραγραφόμενος, δοκεῖ συντίθεσθαι τῇ ἐπιτάσει τοῦ ἀντιδίκου.

ΤΙ'ΤΛΟΣ β.κεφάλ. κς.

Ἐὰν ὁ διοικῶν ἀλλότρια παρὰ γνώμην τοῦ δεσπότου ἐναγάγῃ, καὶ μὴ δεκτὸν ἡγήσηται, ἀλλ' αὖθις ἐντείληται αὐτῷ κινῆσαι: οὐκ ἀντίκειται ἡ περὶ κεκριμένων παραγραφή. ἐὰν κινήσω κατὰ σοῦ ὡς ἔχων δίκαιον ἐπὶ ι. πόδας ὑψοῦν τὸν οἶκόν μου: καὶ μετὰ ταῦτα κινῶ ὡς ἔχων δίκαιον ἐπὶ κ. πόδας ὑψοῦν: ἐκβάλλομαι τῇ περὶ τῶν κεκριμένων παραγραφῇ.

ΤΙ'ΤΛΟΣ γ. διαλαμβάνει

ΠΕΡΙ' ΤΩ͂Ν ΩΣ ΑΠΟ' ΧΡΟΝΙ'ΑΣ ΝΟΜΗ͂Σ ΠΑΡΑΓΡΑΦΟΜΕ'ΝΩΝ.

ὃν μετ' οὐ πολὺ εὑρήσεις.

ΤΙ'ΤΛΟΣ δ.

ΠΕΡΙ' ΤΗ͂Σ ΔΟ'ΛΟΥ ΚΑΙ' ΦΟ'ΒΟΥ ΠΑΡΑΓΡΑΦΗ͂Σ, ΚΑΙ' ΤΟ'ΚΟΥ ΚΑΤΑΒΛΗΘΕ'ΝΤΟΣ, καὶ περὶ τοῦ ἐν εἰδήσει φυγάδα ἀγοράζοντος, καὶ περὶ τῶν ἐναγόντων, καὶ δικολόγων καὶ λοιπῶν παραγραφῆς.

ΤΙ'ΤΛΟΣ ε.

ΠΕΡΙ' ΤΗ͂Σ ΤΩ͂Ν ΒΙ'Α Η͂ ΔΟ'ΛΩ ΤΗ͂Σ ΝΟΜΗ͂Σ ΚΩΛΥΘΕ'ΝΤΩΝ ΠΑΡΑΓΡΑΦΗ͂Σ.

ΤΙ'ΤΛΟΣ ς.

ΠΕΡΙ' ΠΡΑΓΜΑ'ΤΩΝ ΚΑΘ' Ω͂Ν ἈΓΩΓΗ' ΟΥ' ΔΙ'ΔΟΤΑΙ: οἷον περὶ ὅρκων καὶ ἀνισχύρων ἐπερωτήσεων παραγραφή.

ΠΕΡΙ' ΧΗΡΩ͂Ν.

Τίτλου α. κεφάλαιον ις. θεμ. β.

Ἡ χήρα καὶ τὴν κατοίκησιν καὶ τὴν ἀξίαν ἐπέχει τοῦ τελευτήσαντος ἀνδρός, εἰ μὴ δευτερογαμήσῃ.

ΠΕΡΙ' ΤΩ͂Ν ΩΣ ΑΠΟ' ΧΡΟΝΙ'ΑΣ νομῆς παραγραφομένων.

Τίτλου γ. κεφ. η.

περὶ τῆς τῷ δημοσίῳ ἀντικειμένου χρόνου παραγραφῆς.

Ἐάν τις ἔσω τῆς τετραετίας προσαγγείλῃ κατὰ τοῦ νεμομένου πρᾶγμα, τὸ ἁρμόζον μὲν τῷ δημοσίῳ, μήπω δὲ ἐλθὸν ὑπὸ τὴν δεσποτείαν αὐτοῦ, καὶ ἀποστῇ, καὶ μετὰ τετραετίαν ἕτερος ἔλθῃ προσαγγέλλων, ἐκβάλλεται τῇ τῆς τετραετίας παραγραφῇ, εἰ μὴ συμπαιγνία τοῦ πρώτου ἐλέγχεται. ἀριθμεῖται δὲ ἡ τετραετία οὐκ ἐξ ὑπονοίας, ἀλλ' ἀφ' οὗ γέγονεν ἄκυρος ἡ διαθήκη, καὶ παρῃτήθησαν κατὰ βαθμὸν αἱ ἐξ ἀδιαθέτου διαδοχαί, ἢ παρῆλθεν ὁ ἐπ' αὐτῆς ὡρισμένος χρόνος.

& rei iudicatæ, & si quid contra leges factum esse dicetur, & pacti, quo debitum omnino remittitur. Illæ uero tẽporales & indicatiuæ sunt, uelut pacti conuenti temporalis, & procuratoria exceptio.

VIII. them. III.

Qui exceptione utitur, non omnino consiteri de intentione aduersary uidetur.

Tit. II. cap. XXVI.

Si is, qui aliena negotia gessit, ignorante domino actionem intenderit, nec dominus ratam habuerit, sed ei de integro mãdauerit, ut agat: exceptio rei iudicatæ nõ obstat. Si egero tecum, mihi ius esse ædes meas usque ad X. pedes altius tollere; ac postea egero, ius mihi esse usque ad XX. pedes altius tollere: exceptione rei iudicatæ summoueor. l. 25. D. de exc. rei iudic.

TIT. III. dicitur

DE PRAESCRIPTIONIBVS LONGAE POSSESSIONIS. quem paulo post inuenies.

TIT. IIII. dicitur

DE DOLI MALI ET METVS EXCEPTIONE, & usurarum solutarum, & eius qui fugitiuum sciens emit, & actorum, & causidicorum, & ceterorum exceptione.

TIT. V. tractat

DE EXCEPTIONE EORVM, QVI VI AVT DOLO POSSESSIONE PROHIBITI SVNT.

TIT. VI. dicitur

DE REBVS, QVARVM ACTIO NON DATVR. ut est exceptio iurisiurandi, & inutilium stipulationum.

DE VIDVIS.

EOD. I. TIT. cap. XVI.

Vidua tam domum, quam dignitatem uiri defuncti retinet, nisi ad secundas nuptias transierit.

DE PRAESCRIPTIONIBVS LONgæ possessionis.

TIT. III. cap. VIII.

De præscriptione temporis, quod fisco opponitur. l. 10. D. de diu. temp. præsc.

Si quis intra quatuor annos rem contra possessorem denuntiauerit, quæ ad fiscum illa quidem pertinet, sed nondum ab eo possessa est; ille uero desistente, post quatuor annos alius delator uenerit: quadrienny præscriptione summouetur. nisi præuaricatio prioris detegatur. Hoc autem quadriennium dinumeratur non ex [hominũ] opinione, sed ex quo irritũ factum est testamentum, & gradatim successiones ab intestato repudiatæ sunt, uel præstitutum tempus preterijt.

XII.

XII.

In omnibus fisci caussis præscriptio uiginti annorum opponitur, exceptis quibusdam, in quibus minora tempora lex statuit.

XIIII.

Non solum eius possessio, qui mihi uendidit, sed & illius qui ei uendidit, mihi accedit: si quidem continue possedimus. Nam si is, qui mihi uendidit, non possederit; præcedentis auctoris possessio mihi non proderit, sicut nec ei, qui omnino non possidet, possessoris prioris possessio prodest.

Legito & lib. LVI. tit. XIIII. cap. XXXI. cuius hæc uerba sunt:

l. ult. C. de fund. patrim.

Quisquis in quacumque diœcesi, uel prouincia, fundum principis patrimonialem, uel templi, uel agonotheticum, per annos XL. continuos, siue iusto, siue non iusto titulo possederit; firmiter eum teneat. Atque idem iuris esse statuimus, siue saluo canone, siue nō, per annos quadraginta possederit. quippe tuto eum retinebit.

Legito & lib. V. tit. II. cap. XXIII. cuius hæc uerba sunt:

De ecclesiasticis, nou. CXI.

Omnis actio religiosæ domui competens, siue personalis, siue hypothecaria sit, non excedit annos XL. præscriptionum temporalium, cuilibet tali religiosæ domui competentium; sua tamen interim tempora seruantium.

Legendus & lib. III. cap. III. in quo dicitur:

Nouella CXXXI. constitutione IIII.

Pro temporalibus autem præscriptionibus X. & XX. & XXX. annorum, sacrosanctis ecclesijs & alijs uenerabilibus locis solam annorum XL. præscriptionem opponi præcipimus.

Legito & lib. IX. tit. VI. cap. X. cuius hæc uerba sunt:

l. 13. D. quib. ex causs. in poss.

Emtor similis est ei, qui ex permutatione rē accepit. item is qui rem in solutum accepit, & qui lite æstimata retinuit, & qui ex caussa stipulationis est cōsequutus, non ob liberalitatem.

Legito & lib. XLVI. tit. III. cuius II. III. & IIII. cap. dicitur:

l. 2. D. de diuis. rer.

Quædam omnium sunt, quædam uniuersitatis, quædam nullius, quædam singulorum & omnium. aër, aqua profluens, mare, & flumina pene, & portus publici sunt. Vsus ripæ fluminis publicus est, ac liberum est cuilibet nauem appellere, onera in ripa reponere, retia siccare, per ipsa flumina nauigare, funes ex arboribus in ripa natis religare. Ripæ tamen, & arborum in ea proprietas illorum est, qui prædiorum domini sunt, quibus hærent.

ιβ.

Ἐν πάσαις ταῖς δημοσίαις † διαθήκαις κ. ἐτῶν ἀντίκειται παραγραφὴ, ἐξῃρημένων τινῶν, ἐφ' ὧν ἥττονα χρόνον ὁ νόμος ὁρίζει. † δίκαις.

ιδ.

Οὐ μόνον τοῦ πωλήσαντός μοι ἡ νομὴ, ἀλλὰ καὶ ἡ τοῦ πωλήσαντος αὐτῷ, προστίθεταί μοι, ἐὰν ἀδιακόπως πάντες νεμηθῶμεν. ἐὰν γὰρ ὁ πωλήσας μοι μὴ νεμηθῇ, οὐ συμβάλλεταί μοι ἡ τοῦ † πωλήσαντος αὐτῷ νομὴ, ὥσπερ τῷ μὴ παντελῶς νεμηθέντι, οὐ συμβάλλεται ἡ νομὴ τοῦ προκτήτορος. † πωλήσαντος.

Ἀνάγνωθι καὶ βιβλίον νϛ. τίτλον ιδ. κεφάλαιον λα. ἐν ᾧ φησίν.

Πᾶς ὁστισοῦν ἐν οἱᾳδήποτε διοικήσει, ἢ ἐπαρχίᾳ, ἔστι ἰδιόκτητον τοῦ βασιλέως ἀγρὸν, ἢ ἱερατικὸν, ἢ ἀγωνοθετικὸν ἐπὶ τεσσαράκοντα ἔτη συνεχῆ ἐὰν νεμηθῇ εἴτε ἐκ δικαίου τίτλου, εἴτε μὴ, βεβαίως αὐτὸν ἐχέτω. τὸ αὐτὸ φαμὲν, κἂν σωζομένου τοῦ κανόνος, κἂν τε μὴ, ἐνεμήθη ἐπὶ μ. ἔτη. ἀσφαλῶς γὰρ αὐτὸν ἕξει.

Ἀνάγνωθι καὶ βιβλίον ε. τίτλον β. κεφάλαιον κγ. ἐν ᾧ φησίν.

Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ † εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ. ἔτη τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ προσκαίρων παραγραφῶν, φυλαττουσῶν μέντοιγε τοὺς οἰκείους χρόνους. περὶ ἐκκλησιαστικῶν νεαρὰ ρια. † ἄντι προσωπικὴ, ἄτε, ἐπ' αὐτ.

Ἀνάγνωθι καὶ βιβλίον γ. κεφάλαιον γ. ἐν ᾧ φησίν.

Ἀντὶ δὲ τῶν χρονίων παραγραφῶν τῶν ι. καὶ κ. καὶ λ. ἐνιαυτῶν, ταῖς ἁγίαις ἐκκλησίαις καὶ τοῖς ἄλλοις σεβασμίοις τόποις, μόνην τὴν τῶν μ. ἐνιαυτῶν παραγραφὴν ἀντιτίθεσθαι προστάττομεν. νεαρὰ ρλα. διάταξις δ.

Ἀνάγνωθι καὶ βιβλίον θ. τίτλον ϛ. κεφάλαιον ι. ἐν ᾧ φησίν.

Ὅμοιός ἐστιν ὁ ἀγοραστὴς, καὶ ὁ ἐξ ἐναλλαγῆς λαβὼν, καὶ ὁ εἰς καταβολὴν, καὶ ὁ παρακρατήσας τῆς δίκης διατιμηθείσης, καὶ ὁ λαβὼν ἐξ ἐπερωτήσεως, οὐ κατὰ φιλοτιμίαν.

Ἀνάγνωθι καὶ βιβλίον μϛ. τίτλον γ. οὗ τινος ἐν τῷ β. καὶ γ. καὶ δ. κεφαλαίῳ φησίν.

Ὅτι τινὰ πάντων ἐστὶ, τινὰ τῆς ὁμάδος, τινὰ οὐδενὸς, τινὰ τῶν καθέκαστον πάντων εἰσίν. ὁ ἀὴρ, τὸ ῥέον ὕδωρ, ἡ θάλασσα, καὶ οἱ ποταμοὶ σχεδὸν καὶ οἱ λιμένες δημόσιοί εἰσιν. ἡ χρῆσις τῆς ὄχθης τοῦ ποταμοῦ, δημοσία ἐστί. καὶ ἔξεστι τῷ θέλοντι προσορμίζειν πλοῖον, καὶ φορτία ἐν τῇ ὄχθῃ ἀποτίθεσθαι, καὶ τὰ δίκτυα ψύχειν, καὶ πλεῖν ἐν τοῖς ποταμοῖς, καὶ σχοῖνα δεσμεῖν ἐν τοῖς δένδροις τοῖς ἐν τῇ ὄχθῃ γινομένοις. ἡ μέντοι δεσποτεία τῆς ὄχθης, καὶ τῶν ἐν αὐτῇ δένδρων, τῶν κυρίων ἐστὶ τῶν ἀγρῶν ἐν οἷς κεῖται.

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ βιβλίον νη, τίτλον ις, ὅπερ εὑρήσεις ἐν τῷ περὶ ποταμῶν. φησὶ γὰρ καὶ περὶ ὄχθης καὶ περὶ τῆς φυομένης νήσου ἐν ποταμῷ.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. νβ.

ΠΕΡΙ' ἘΝΟΧΩ͂Ν ΠΑΝΤΟΙ'ΩΝ, Α'ΠΟ' συναλλάγματος καὶ ἁμαρτήματος τικτομένων. καὶ τίνες ἐνέχονται, καὶ τίνες οὐκ ἐνέχονται.

Τίτλος α. κεφάλ. α.

Αἱ ἐνοχαὶ ἢ ἀπὸ συναλλάγματος, ἢ ἀπὸ ἁμαρτήματος τίκτονται, ἢ ἀπὸ ἰδικοῦ νόμου ἐκ διαφόρων θεμάτων. αἱ ἀπὸ συναλλάγματος ἀγωγαὶ, ἢ ἐν πράγματί εἰσιν, ἢ ἐν ἐπερωτήσει, ἢ συναινέσει. ἐν πράγματι μὲν ὡς τὸ δάνειον, ὅπερ συνίσταται ἐν τοῖς ἀριθμεῖσθαι καὶ σταθμίζεσθαι καὶ μετρεῖσθαι δυναμένοις πράγμασι. καὶ τοῦ μὲν δανεισθέντος, δεσπόζει ὁ δανεισάμενος, καὶ αὐτ' αὐτοῦ τῷ δανειστῇ ἀποδίδωσι. καὶ ὡς ἂν ἀπόληται, τῷ χρεώστῃ κινδυνεύεται. τὸ δὲ κεχρημένον, μένει μὲν τοῦ δεδωκότος, χρεωστεῖ δὲ ἐπιμέλειαν ἐπὶ τῇ παραφυλακῇ αὐτοῦ ὁ λαβὼν, οἵαν τις δύναται ἐπιδείξασθαι, καὶ οὐ μόνον ἣν αὐτὸς ἐν τοῖς οἰκείοις ἔχει. εἰ δὲ συμβῇ τὸ πρᾶγμα τυχηρῶς ἀπολέσθαι, οἷον καταπτώσει, ἢ ἐμπρησμῷ, ἢ ναυαγίῳ: οὐχ ὑπόκειται, εἰ μὴ ἀμέλειαν ἐν αὐτοῖς ἐπλημμέλησεν: οἷον ἐπὶ ἄλλῳ λαβὼν, ἄλλως ἐχρήσατο. ἐὰν γὰρ ἄργυρον ἐπὶ τὸ ἄριστον ποιῆσαι χρήσηται, καὶ ἐπὶ ξένης αὐτὸν ἀπαγάγῃ, καὶ ἀπόληται ναυαγίῳ ἢ λῃστῶν ἐπιδρομῇ, ὑπόκειται. ἐνέχεται καὶ τῇ περὶ τοῦ πράγματος ἀγωγῇ, καὶ ὁ παραθήκην λαβὼν, εἰς τὸ πρᾶγμα ἀποκαταστῆσαι. ὑπόκειται δὲ ἀπὸ μόνου δόλου, καὶ τῆς πλησιαζούσης τῷ δόλῳ ῥαθυμίας. καὶ αὐτὴ γὰρ δόλος ἐστί. τοῦτο δὲ, ἐπειδὴ χρήσει ἀγαθῇ ἔλαβε τὴν παραθήκην. καὶ ὁ δανειστὴς ἐπὶ ἀποκαταστάσει τοῦ ἐνεχύρου, τῇ περὶ πράγματος ἀγωγῇ ὑπόκειται. ἡ δὲ ἐν ἐπερωτήσει ἀγωγὴ συνίσταται, ὅταν ἐπερωτῶν μὲν γενέσθαι τι ἢ δοθῆναι. ἐνέχεται δέ τις ἢ ἰδίῳ ὀνόματι, ἢ ἀλλοτρίῳ: καὶ καλεῖται ἐγγυητής. ἐξ ἑκατέρων μερῶν συναινέσεως καὶ συμφωνίας ἐστὶ, πρᾶσις, ἀγορασία, μίσθωσις, καὶ ἐκμίσθωσις, περιτροπή. καὶ οὐ χρήζουσι κυριότητος ῥημάτων ἢ γραμμάτων, καὶ συνίσταται, καὶ μεταξὺ ἀπόντων, διὰ ἐπιστολῆς καὶ δι' ἀγγέλου.

δ.

Ἐξ ἁμαρτήματος τίκτεται ἀγωγὴ, οἷον ἡ περὶ κλοπῆς τὸ διπλάσιον ἀπαιτοῦσα ἀγωγὴ, ἢ ἐξ ὁμολογίας μὲν εἰς τὸ ἁπλοῦν, ἐξ ἀρνήσεως δὲ, τὸ διπλοῦν ἀπαιτοῦσα ἀγωγή.

λ.

Πᾶσα ἐνοχὴ ὑπὸ ἀδυνάτου αἵρεσιν τεθεῖσα, ἄκυρός ἐστιν.

SCHOLION.

Legito & lib. LVIII. tit. XVI. id quod in titulo de fluminibus inuenies. tractat enim & de ripa, & de insula in flumine nata.

BASILICORVM LIBER LII.

DE OMNIS GENERIS OBLIGATIONIBUS, ex contractu & delicto natis, tum quinam obligentur, qui non obligentur.

TIT. I. CAP. I.

Obligationes aut ex contractu, aut ex maleficio nascuntur, aut proprio quodam iure ex uarys casibus. Obligationes ex contractu uel re fiunt, uel stipulatione, uel consensu. Re, uelut in mutui datione, qua consistit in his rebus, qua numerari, appendi, mensurari possunt. Et quidem eius rei, qua mutuo data est, dominus fit is, qui mutuum accepit, & creditori soluit. Quocumque uero casu res perierit, debitoris est periculo. Ceterum quod utendum datum est, manet eius qui dedit, & is qui accepit, diligentiam rei custodienda debet, quantam maximam praestare potest; non eam dumtaxat, quam ipse suis in rebus adhibet. Si uero contigerit fortuito casu rem perire, uelut ruina, uel incendio, uel naufragio; non tenetur, nisi culpa eius interuenerit, puta quum ad aliud utendum accepit, & aliter usus est. Si enim argentum ad cenam quis instruendam utendu acceperit, & peregre profectus secum portauerit, idque uel naufragio, uel pradonum incursu perierit; tenetur. Is etiam, qui depositum accepit, in rem actione tenetur, ad rem ipsam restituendam. Tenetur autem dumtaxat nomine doli mali, & negligentia, qua dolo proxima est. nam & illa dolus est. atque hoc propterea, quod usu bono depositum acceperit. Creditor quoque de restituendo pignore in rem actione tenetur. Stipulatione uero contrahitur obligatio, quum quid fieri darive stipulor. Sed obligatur quis aut proprio nomine, aut alieno, qui fideiussor uocatur. Ex ambaru partium consensu mutuo sunt emtio, uenditio, locatio, conductio, mandatum. Nec proprietatem uerborum uel scriptura desiderant, atq. etiam inter absentes contrahuntur; per epistolam, & per nuntium. D. de oblig. & act.

IIII.

Ex maleficio nascitur obligatio, uelut furti in duplum actio, & ex confessione in simplum, ex infitiatione in duplum.

XXX.

Omnis obligatio, cui condicio impossibilis est interposita, nullius momenti est.

XLIII.

XLIII.

Obligationum fere quatuor caussae sunt. aut enim dies in his est, aut condicio, aut modus, aut accessio. Dies dupliciter inspicitur. Aut enim in initio, uelut a kalendis Martijs: aut ad finem, uelut usque ad kalendas. Non potest autem obligatio, uel legatum, ad certum quoddam tempus constitui: sed qui post tempus agit, pacti conuenti uel doli exceptione summouetur. quemadmodum & si solum tibi tradens, paciscar, ne impositum aedificium solum sequatur. Condicio uero efficaciter inseritur, quum obligatio constituitur, non quum iam ea perfecta est. Nam si stipulatus fuero C. aureos NISI NAVIS VENERIT, *naui ueniēte locus erit pacti conuenti, uel doli mali exceptioni. Modus est, quum seruum aut decem aureos stipulor. Nam altero soluto, tota obligatio interimitur; & quam diu utrumque est, alterum petere non possum. Accessio fit uel personae, uel rei. Rei, uelut quum X. aureos mihi stipulor. Personae, uelut quū mihi uel Petro X. aureos dari stipulor, aut Petro seruū. Et quaeritur, an seruo soluto Petro, ipso iure perimatur obligatio. Si ita stipuler,* SI FVNDVM MIHI NON DEDERIS, CENTVM AVREOS DARE SPONDES? *soli aurei sunt in stipulatione, fundus autem in solutione. ueluti quum stipulor,* SI NAVEM MIHI NON FECERIS, CENTVM AVREOS DARE SPONDES? *Si ex stipulatu seruum debens, eum ante moram manumisero; & decesserit prius, quam conueniret: non teneor. Ubi ex re uenit actio, tam furiosus quam pupillus obligantur etiam sine curatorū auctoritate. ueluti si communem fundum cum eis habeam, & aliquid in eum impendero, uel damnum in eo pupillus dederit. Nam actione communi diuidundo tenentur.*

LI.

Obligamur aut re, aut stipulatione, aut simul utroq., aut consensu, aut lege, aut iure praetorio, aut necessitate, aut ex delicto. Re, quum res intercedit. Stipulatione, quum stipulatio & congruens responsio. Re & stipulatione, quum utrumque. Consensu, ex uoluntate. Lege, quum obtemperantes uel aduersantes legi aliquid facimus. Iure praetorio, quum ex edicto Praetoris aut prohibitione, uel magistratuum aliquid fit. Necessitate, quibus non licet aliud facere, quam quod praeceptum est. uelut in necessario herede. Ex delicto, quum in facto quaestio consistit. Etiam nudus cōsensus obligationi sufficit, quamuis uerbis exprimi possit. Sed & nutu solo plerumque consistit.

μγ.

Ὡς ἐπὶ τὸ πολὺ τέσσαρες εἰσὶν αἰτίαι τῶν ἐνοχῶν. ἢ γὰρ ἡμέρα ἔνεστιν αὐταῖς, ἢ αἵρεσις, ἢ τρόπος, ἢ προσθήκη. ἡ δὲ ἡμέρα διχῶς θεωρεῖται. ἢ γὰρ ἐν ἀρχῇ, ὡς ἀπὸ καλανδῶν μαρτίων, ἢ εἰς πέρας, ὡς ἕως τῶν καλανδῶν. οὐ δύναται δὲ ἐνοχὴ ἢ ληγάτον μέχρι τινὸς ῥητοῦ χρόνου συνίστασθαι, ἀλλ' ὁ μετὰ τὸν χρόνον ἐνάγων ἐκβάλλεται συμφώνου ἢ δόλου παραγραφῇ. ὥσπερ καὶ ὅτι παραδίδω σοι ἔδαφος, συμφωνήσω μὴ ἐπακολουθῆσαι αὐτῷ τὸ ἐπικείμενον οἰκοδόμημα. αἵρεσις δὲ ἰσχυρῶς ἐντίθεται, ἐν τῷ τὴν ἐνοχὴν συνίστασθαι, οὐ μὴν μετὰ τὸ περαιωθῆναι. ἐὰν γὰρ ἐπερωτήσω ἑκατὸν ΝΝ, ΕἊΝ ΜῊ Ἡ ΝΑΥ͂Σ ἜΛΘΗ: ἐρχομένης τῆς νηὸς, χώρα τῇ τοῦ συμφώνου ἢ τοῦ δόλου παραγραφῇ. τρόπος δέ ἐστιν, ὅταν ἐπερωτῶ δοῦλον, ἢ δέκα ΝΝ. ἑνὸς γὰρ καταβαλλομένου, ἡ πᾶσα ἐνοχὴ λύεται. καὶ ἐφ' ὅσον ἑκάτερόν ἐστιν, οὐ δύναμαι περὶ τοῦ ἑνὸς κινεῖν. προσθήκη γίνεται ἢ προσώπῳ, ἢ πράγματι. πράγματι, ὡς ὅταν ἐπερωτῶ ἐμαυτῷ ι. ΝΝ. προσώπῳ, ὡς ὅταν ἐμαυτῷ ἢ πέτρῳ ἐπερωτῶ τὸ δοθῆναι δέκα ΝΝ. ἢ πέτρῳ δοῦλον. καὶ ζητεῖται εἰ τοῦ δούλου καταβαλλομένου πέτρῳ, λύεται τῷ νόμῳ ἡ ἐνοχή. ἐὰν οὕτως ἐπερωτήσω, ἘᾺΝ ΜῊ ΔΩ͂Σ ΜΟΙ ΤῸΝ ἈΓΡῸΝ, ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΌΝΑΙ ἙΚΑΤῸΝ ΝΝ. τὰ ΝΝ. εἰσὶν ἐν ἐπερωτήσει: ὁ δὲ ἀγρὸς, ἐν καταβολῇ. ὥσπερ ὅτι ἐπερωτῶ, ἘᾺΝ ΜῊ ΠΟΙΉΣΗΣ ΜΟΙ ΠΛΟΙ͂ΟΝ, ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΌΝΑΙ ἙΚΑΤῸΝ ΝΝ. ἐὰν ἐξ ἐπερωτήσεως χρεωστῶν δοῦλον, πρὸ ὑπερθέσεως αὐτὸν ἐλευθερώσω, καὶ ἀποθάνῃ πρὶν ἐναχθῶ, οὐ κρατοῦμαι. ἡνίκα ἀπὸ πράγματος ἀγωγὴ φέρεται, καὶ ὁ μαινόμενος, καὶ ὁ ἄνηβος ἐνέχονται χωρὶς αὐθεντίας τῶν κηδεμόνων, ὡς ὅτι κοινὸν ἀγρὸν ἔχω μετ' αὐτῶν, καὶ δαπανήσω εἰς αὐτ(ὸν), ἢ ἄνηβος ζημίαν εἰς αὐτ(ὸν) ἐργάσηται. ἐνέχονται γὰρ τῇ τὰ ἐπίκοινα διαιρούσῃ ἀγωγῇ.

να.

Ἐνεχόμεθα ἢ πράγματι, ἢ ἐπερωτήσει, ἢ ἑκατέρῳ ἅμα, ἢ συμφώνῳ, ἢ νόμῳ, ἢ πραιτωρίως, ἢ ἀνάγκῃ, ἢ ἀπὸ ἁμαρτήματος. πράγματι, ὅτε πρᾶγμα παρεντίθεται. ἐπερωτήσει, ὅτε ἐπερώτησις καὶ σύμφωνος ἀπόκρισις. πράγματι καὶ ἐπερωτήσει, ὅτε ἑκάτερον. συμφώνῳ, ἀπὸ βουλήσεως. νόμῳ, ὅτε πειθαρχοῦντες ἢ ἐναντιούμενοι τῷ νόμῳ ποιοῦμεν. πραιτωρίως, ὅτε κατὰ τὴν παραγγελίαν τοῦ πραίτωρος, ἢ τὴν κώλυσιν, ἢ τῶν ἀρχόντων τι γίνεται. ἀνάγκῃ, οἷς οὐκ ἔξεστι παρὰ τὸ διατεταγμένον ποιῆσαι, ὡς ἐπὶ τοῦ ἀναγκαίου κληρονόμου. ἀπὸ ἁμαρτήματος, ὡς ὅτε περὶ αὐτὸ τὸ γεγονός ἐστιν ἡ ζήτησις. καὶ γυμνὴ συναίνεσις ἀρκεῖ πρὸς ἐνοχὴν, εἰ καὶ δύναται ῥήμασιν ἐκφωνεῖσθαι. καὶ νεύματι μόνῳ ὡς ἐπὶ τὸ πολὺ συνίσταται.

νγ.

Τὰ εἰκονικὰ συναλλάγματα, οὐδὲ ἐν ταῖς πράσεσιν ἐνοχοποιεῖ.

Ἀνάγνωθι καὶ βιβλίον μγ. τίτλον β. ἐν ᾧ φησὶν ΠΕΡΙ' ΕΝΕΧΟΜΕΝΩΝ ΔΥΟ. οὗ ἴνος ἐν τῷ β. κεφαλαίῳ φησίν.

Ὅτι δύο τὴν αὐτὴν ὁμολογοῦσιν ἢ ἐπερωτῶσι ποσότητα, ἕκαστος αὐτῶν εἰς ὁλόκληρον χρεωστεῖται. ὅθεν τῇ τοῦ ἑνὸς ἀπαιτήσει, ἢ τῇ ἀποχῇ, πᾶσα ἡ ἐνοχὴ λύεται.

ια. κεφ. θεμ. β.

Ἐὰν μὴ πρόσκειται τῇ ὁμολογίᾳ τὸ ἕκαστον εἰς ὁλόκληρον ἐνέχεσθαι, οὐ γίνονται δύο ἐναγόμενοι: ἀλλὰ πρὸ βιρίλι πορτίονι ἐνέχονται.

Ἀνάγνωθι καὶ βιβλίον μβ. τίτλ. δ. κεφάλαιον ιδ. καὶ βιβλίον κδ. τίτλον γ. κεφάλαιον ιε. ἐν ᾧ φησίν.

Ὁ δανείσας μισθωτῇς, οὐ δύναται τὸν δεσπότην αὐτῶν ἀπαιτεῖν: οὐδὲ ἐὰν παρόντος αὐτοῦ ἐδάνεισεν.

Ἀνάγνωθι καὶ τίτλον δ. οὗ ἴνος ἐν τῷ γ. κεφαλαίῳ φησίν.

Τὰ ἐξώπροικα τῆς γυναικὸς, οὐχ ὑπόκεινται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις, ἀλλ᾽ οὐδὲ αἱ μητέρες ὑπὲρ τούτων ἐνάγονται. οὐδὲ ὁ ἀνὴρ ὑπὲρ τῶν τῆς γυναικὸς συναλλαγμάτων.

ζ.

Ὥσπερ ὁ υἱὸς οὐ κατέχεται ἐκ τῶν τοῦ πατρὸς λειτουργιῶν, οὕτως οὐδὲ ὁ πατὴρ ἐκ τῶν τοῦ παιδός.

θ.

Ἐκ τῶν τοῦ πάτρωνος ἢ τοῦ δεσπότου συναλλαγμάτων, ἀπελεύθεροι ἢ δοῦλοι οὐ κατέχονται.

Ἀνάγνωθι καὶ τίτλον ε. οὗ ἴνος ἐν τῷ β. κεφαλαίῳ φησίν.

Τοῖς σοῖς δανεισταῖς, οἵτινες ἐν τῇ δουλείᾳ ἐδάνεισαν, οὐδεμία κατὰ σοῦ ἁρμόζει ἀγωγὴ, μάλιστα ἐπειδὴ τὸ πεκούλιον μὴ ληγατευθῆναί σοι θεματίζεις.

γ.

Τῶν ἐπαγγελθέντων σοι πραγμάτων παρὰ τοῦ δούλου σου, ἵνα αὐτὸν ἐλευθερώσῃς, εἰ μετὰ τὸ ἐλευθερῶσαι μὴ ἐπηρώτησας αὐτὸν, οὐδεμίαν κατ᾽ αὐτοῦ ἀπαίτησιν ἔχεις.

δ.

Ἐκ τῶν ἐν δουλείᾳ συναλλαγμάτων, μετὰ τὴν ἐλευθερίαν οὐδεὶς κατέχεται. ἐκ δὲ τῶν ἁμαρτημάτων ἐνάγεται, διὰ τὸν κανόνα τὸν λέγοντα: τὰ πταίσματα τῇ κεφαλῇ ἀποδοθῇ.

Ἀνάγνωθι καὶ βιβλίον ι. τίτλον δ. κεφάλαιον ια. ἐν ᾧ φησίν.

Ἐνέχεται ἐλευθερωθεὶς, καὶ ἐφ᾽ οἷς ἀπέκλεψε τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν, καὶ τῇ ἀπαιτήσει τοῦ κλαπέντος, καὶ τῇ φανερώσει τοῦ πράγματος, ὡς ψηλαφῶν αὐτὰ μετὰ τὴν ἐλευθερίαν.

LIII.

Contractus imaginarij nec in uenditionibus obligant.

Legito & lib. XLIII. tit. II. in quo tractatur DE DVOBVS REIS. Eius cap. II. dicitur:

Quum duo eamdem summam promittunt, aut stipulantur, in solidum singuli debentur. ideoque petitione unius, uel acceptilatione, tota soluitur obligatio. D. de duob. reu.

XI. cap. them. II.

Si cautioni non adiectum sit, singulos in solidum teneri: duo rei non fiunt, sed pro uirili portione tenentur.

Legito & lib. XLII. tit. IIII. cap. XIIII. Item lib. XXIIII. tit. III. cap. XV. in quo dicitur:

Qui colonis mutuum dedit, non potest ab ipsorum domino petere, nec si eo præsente crediderit.

Legito & tit. IIII. cuius III. cap. dicitur:

Extradotalia mulieris pro uiri oneribus obligata non sunt, nec matres pro eis tenentur, nec uir pro contractibus uxoris. L. 3. C. ne uxor. pro mar.

VII.

Sicut filius pro patris oneribus non tenetur, ita nec pater pro oneribus filij. L. 3. & 4. C. ne fil. pro pat.

IX.

Ex patroni uel domini contractibus, liberti uel serui non tenentur.

Legendus & tit. V. cuius II. cap. dicitur:

Creditoribus tuis, qui tibi in seruitute mutuam pecuniam crediderunt, nulla aduersus te actio competit: maxime quum peculiū tibi non esse legatum proponas. L. 2. C. an ser. pro suo.

III.

Promissarum tibi rerum a seruo tuo, ut eum manumitteres, si postea, quam manumisisti, stipulatus ab eo non es, nullam aduersus eum petitionem habes.

IIII.

Ex contractibus in seruitute celebratis, post manumissionem nemo tenetur. Ob delicta tamen conuenitur, propter regulam, cuius uerba sunt: Caput noxa sequitur.

Legendus & lib. X. tit. IIII. cap. XI. in quo dicitur:

Manumissus & earum rerum nomine, quas suppressit, actione furti in duplum, & condictione rei furtiuæ, & ad exhibendum tenetur; ueluti qui eas & manumissus contrectet. L. 11. D. de min.

P Nam

Nam ceteroqui ex delictis in seruitute factis, dominus aduersus manumissum actionem non habet.

DE ACTIONIBVS EX VARIIS caussis nascentibus.

Tit. eiusd. cap. XXIIII.

l.25.D.de obl. *Actionum genera duo sunt. Aut enim in rem sunt, & uindicationes dicuntur: aut personales, & condicticiæ appellantur.* Quid sit actio in rem. *In rem actio est, quæ rei nostræ petitionem habet, ac semper aduersus possessorem competit. Personalis est, qua cum eo agitur, qui obligatus est ad aliquid faciendum uel dandum. Item actionum quædam ex contractu nascuntur, quædam ex facto, quædam in factum sunt.* Quid ex contractu actio. *Ex contractu actiones sunt, quas sui lucri caussa quis contrahit emendo, uel uendendo, uel locando, uel ceteris similibus.* Quid ex facto actio. *Ex facto, uelut ubi quis deliquerit furtum iniuriamue committendo, uel damnum dando.* Quid in factum. *In factum actio est, ueluti quam patronus habet aduersus libertum, ab eo sine uenia in ius uocatus. Omnes autem actiones aut ciuiles sunt, aut prætoriæ. Pœnales omnes post litis contestationem in heredes transmittuntur.*

XLVIII.

Ex contractu uenientes actiones in heredes transeunt, licet delictum quoque contineant, ueluti quum tutor in tutela gerenda dolo fecerit, aut is apud quem depositum est, circa depositum. Quod si etiam qui aliena in potestate sunt, tale quid commiserint; non noxalis, sed de peculio actio competit.

L.

Quid sit actio. *Actio est ius persequendi iudicio, quod sibi debetur.*

Legendus & lib. LX. tit. XXXII. cap. III. cuius hæc uerba sunt:

Quid actio popularis. *Popularis actio est, qua populi ius tuetur.*

l.1.D.de pop.act. Legito & lib. XV. tit. II. in quo traditur

De actione Publiciana. DE ACTIONE PVBLICIANA.

Eius cap. I. dicitur:

D.de Public. in rem. *Qui per traditionem accepit a non domino, ex iusta caussa; nec usucepit: Publicianam habet. Nam qui usucepit, ciuilem habet. Item multis iuris modis dominium quis nanciscitur.*

III.

Ei qui ex iusta caussa rem consequutus est, & amisit; Publiciana datur.

XIII.

Ex quacumque iusta rerum adquirendarum caussa si rem nancti amiserimus, locus est Publiciana.

ἐπεί τοι γε περὶ τῶν ἁμαρτηθέντων ἐν δουλείᾳ, ἀγωγὴν οὐκ ἔχει κατὰ τοῦ ἐλευθερωθέντος ὁ δεσπότης.

ΠΕΡΙ ἈΓΩΓΩΝ ἘΚ ΔΙΑΦΟΡΩΝ αἰτιῶν συνισταμένων.

Τοῦ αὐτοῦ τίτλου κεφάλ. κδ.

Ὅτι τῶν ἀγωγῶν β. γένη εἰσίν. ἢ γὰρ ἴν * ῥεμ εἰσί, καὶ καλοῦνται οὐινδικατίονες: ἢ περσωνικαί, καὶ καλοῦνται κονδικτίκιοι. ἐν πράγμασι ἀγωγή ἐστιν ἡ ἀπαίτησιν ἔχουσα πράγματος ἰδίου. ἥτις ἀεὶ κατὰ νομέως ἁρμόζει. περσωνικὴ δέ ἐστιν ἡ κινουμένη κατὰ τοῦ ἐνεχομένου εἰς τὸ ποιῆσαί τι ἢ δοῦναι. καὶ ὅτι τῶν ἀγωγῶν, αἱ μὲν ἀπὸ συναλλάγματος τίκτονται: αἱ δὲ ἀπὸ φάκτου. αἱ δὲ ἴν * φάκτουμ εἰσίν. ἀπὸ † συναλλάγματος ἀγωγαί εἰσιν, ἃς ἐπὶ κέρδει οἰκείῳ ποιεῖταί τις ἀγοράζων, ἢ πιπράσκων, ἢ μισθῶν, καὶ ἐπὶ τῶν ὁμοίων. ἀπὸ * φάκτου, ὡς ὅταν τις ἁμαρτήσει κλέπτων, ὑβρίζων, ἢ ζημιῶν. ἐν † ἀποτελέσμασι ἀγωγή ἐστιν, ἣν ἔχει ὁ πάτρων κατὰ τοῦ ἀπελευθέρου, κληθεὶς παρ' αὐτοῦ ἄνευ συγγνώμης εἰς δικαστήριον. πᾶσαι δὲ αἱ ἀγωγαὶ ἢ πολιτικαί εἰσιν ἢ πραιτωρίαι. αἱ ποιναλίαι πᾶσαι μετὰ προκάταρξιν κατὰ κληρονόμων παραπέμπονται.

* ἐν πράγμασι. τί ἐστιν ἐν πράγμασιν ἀγωγή. * ἐν ἀποτελέσμασι. † τί ἐστιν ἀπὸ συναλλάγματος ἀγωγή. * τί ἐστιν ἀπὸ φάκτου ἀγωγή. † τί ἐστιν ἐν ἀποτελέσμασι.

μη.

Ὅτι αἱ ἀπὸ συναλλάγματος ἀγωγαὶ διαβαίνουσι κατὰ κληρονόμων, εἰ καὶ ἁμάρτημα ἔχουσιν. ὡς ὅτε ἐπίτροπος δόλον ἐν τῇ ἐπιτροπῇ ποιήσει: ἢ ὁ παραθήκην δεξάμενος περὶ τὸ παρατεθέν. εἰ δὲ καὶ ὑπεξούσιοι τι τοιοῦτον πλημμελήσουσιν, οὐ νοξαλία, ἀλλ' ἡ περὶ τοῦ πεκουλίου ἀγωγὴ ἁρμόζει.

ν.

Ἀγωγή ἐστι δίκαιον τοῦ ἀπαιτῆσαι ἴδια ἐν δικαστηρίῳ, ὅπερ κεχρεώστηται. τί ἐστιν ἀγωγή.

Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλον λβ. κεφάλαιον γ. ἐν ᾧ φησίν.

Ὅτι δημοτικὴ ἀγωγή ἐστιν, ἡ φυλάττουσα τὸ τοῦ δημοσίου δίκαιον. τί ἐστι δημοτικὴ ἀγωγή.

Ἀνάγνωθι καὶ βιβλ. ιε. τίτλ. β. ἐν ᾧ φησὶ περὶ πουβλικιανῆς ἀγωγῆς. ΠΕΡΙ ΤΗΣ ΠΟΥΒΛΙΚΙΑΝΗΣ ἈΓΩΓΗΣ.

Οὗ τινος ἐν τῷ α. κεφαλ. φησίν.

Ὁ κατὰ παράδοσιν λαβὼν παρὰ μὴ δεσπότου, ἐξ εὐλόγου αἰτίας, καὶ μὴ διὰ χρήσεως δεσπόσας, ἔχει τὴν πουβλικιανήν. ὁ γὰρ διὰ χρήσεως δεσπόσας ἔχει τὴν πολιτικήν. καὶ κατὰ πολλοὺς δὲ νομικοὺς τρόπους κτᾶταί τις δεσποτείαν.

γ.

Ὅτι κατ' εὔλογον αἰτίαν λαβόντι πρᾶγμα καὶ ἐκπεσόντι, δίδοται ἡ πουβλικιανή.

ιγ.

Οἱ ἐξ οἱασδήποτε αἰτίας εὐλόγου προσπορισμοῦ, εἰ λαβόντες πρᾶγμα, ἐκπέσωμεν αὐτοῦ, χώρα τῇ πουβλικιανῇ.

Ἀνάγνωθι

Ἀνάγνωθι καὶ βιβλίον κδ. τίτλον γ. οὗτινος ἐν τῷ ιδ. κεφαλαίῳ φησίν.

Οὐκ ἡ κατὰ τοῦ χρεώστου προσωπικὴ ἀγωγὴ οὐκ ἀναιρεῖται, κἂν ὁ δανειστὴς ἐπιλέξηται τὰ ἐνέχυρα· ἀλλὰ λογίζεται μὲν εἰς τὸ χρέος τὸ τίμημα τοῦ ἐνεχύρου, τὸ δὲ ὑπόλοιπον ἀπαιτεῖ διὰ τῆς προσωπικῆς ἀγωγῆς.

περὶ διπλῆς ἀγωγῆς. Ἀνάγνωθι καὶ βιβλίον ξ. τίτλ. ξβ. ἐν ᾧ φησὶ περὶ ἀγωγῆς διπλῆς, δυναμένης καὶ χρηματικῶς καὶ ἐγκληματικῶς κινεῖσθαι. οὗτινος ἐν τῷ α. κεφαλαίῳ.

Ὁσάκις ἀπὸ ἰδικῆς ζημίας καὶ χρηματικὸν καὶ ἐγκληματικὸν ἁρμόζει, ἐπιλογὴν ἔχει τις εἴτε τὸ ἐγκληματικὸν πρῶτον, εἴτε τὸ χρηματικὸν κινῆσαι. ὅθεν δύναταί τις κινῆσαι τὸ περὶ βίας ἰδιωτικῆς δικαστήριον: καὶ μετὰ ταῦτα κινῆσαι τὸν νόμον τὸν περὶ βίας δημοσίας. δύναται πάλιν κινῆσαι κρυπτομένης διαθήκης τὸ δικαστήριον τὸ περὶ τῆς φανερώσεως τῆς διαθήκης: καὶ πάλιν δύναται κινῆσαι τὸν νόμον τὸν περὶ πλαστογραφίας.

ΠΕΡῚ ἈΠΑΙΤΉΣΕΩΣ ΤΩ͂Ν ἈΠῸ καταδίκης ἤτοι ἀποφάσεως καὶ ψήφου δικαστικῆς. καὶ περὶ τῶν μὴ χρεωστουμένων μὲν, καταβληθέντων δὲ κατὰ ἀπάτην ἢ ἄγνοιαν ὡς κεχρεωστημένων, καὶ διὰ τοῦτο ἀπαιτουμένων.

Τίτλου γ. κεφάλ. α.

Ἡ ἀπαίτησις καταδίκης, κατὰ τοῦ δεσπότου δίδοται, οὐ μὴν κατὰ τοῦ ἐντολέως, εἰ μὴ προσήνεγκεν ἑαυτὸν τῇ δίκῃ: ἢ ἐν πράγματι ἰδίῳ ἐστί.

ζ.

Ὁ κατακριθεὶς οὐκ ἀπαιτεῖται μὲν πρὸ τῆς τετραμηνίας. εἰ δὲ βούλεται, πρὸ ταύτης ἐλευθεροῦται. ὑπὲρ αὐτοῦ γάρ ἐστιν ὁ χρόνος.

πα.

Ἐὰν στρατιώτης καταδικασθῇ, οὐ χρὴ τὰς ἀννόνας αὐτοῦ δοθῆναι τῷ ἐνάγοντι.

πβ.

Δύναταί τις γραμματεῖον χρεώστου τοῦ ἐναχθέντος λαβεῖν, εἰς ἐκβιβασμὸν τῆς καταδίκης.

Ἀνάγνωθι καὶ βιβλίον ια. τίτλον β. κεφάλαιον νβ. ἐν ᾧ φησίν.

Εἴ τις κατὰ πλάνην ψήφου πιστεύσας χρεωστεῖν ποσότητά τινα, ἣν τῆς ἀληθείας οὐκ ἐχρεώστει, ἐπερωτηθῇ ταύτην τὴν ποσότητα καταβαλεῖν, δύναται κινεῖν τὸν περὶ τῶν μὴ χρεωστουμένων δίκαιον λόγον, ἀπαιτεῖν γενέσθαι αὐτῷ ἐλευθερίαν τοῦ χρέους.

Ἀνάγνωθι καὶ βιβλίον κδ. τίτλον α. οὗτινος ἐν τῷ ιζ. κεφαλαίῳ φησίν.

† ἀνάληψιν εἶναι δικαίαν.
** ἐκεῖνα λέγει μὴ χρεωστούμενα, τὰ διὰ τὴν ἄρνησιν τοῦ χρέους, ἤτοι τὰ ποινῆς προστεθέντα...*

Τοῦ μὴ χρεωστουμένου κατὰ πλάνην, μὴ ὡς ἀπὸ καταδίκης, καταβληθέντος, † ἡ ἀνάληψις αὐτοῦ, δικαίῳ τοῦ τῆς ἀπαιτήσεως λόγου, οὐκ ἀμφιβάλλεται.

κ.

Τὰ ἐξ ἀρνήσεως διπλασιαζόμενα, κἂν μὴ * χρεωστούμενα καταβληθῶσιν, οὐκ ἀναλαμβά-

Legito & lib. XXIIII. tit. III. cuius XIIII. cap. dicitur:

L. 10. C. de oblig. & act. *Aduersus debitorem personalis actio non tollitur, quamuis pignora creditor elegerit: sed pretium quidem pignoris in debitum computatur, residuum uero actione personali petit.*

Legito & lib. LX. tit. LXII. in quo tractatur de duplici actione, quæ ciuiliter & criminaliter intentari potest. *De duplici actione.* Eius I. cap. dicitur:

l. un. C. quando ciuil. act. crim. *Quoties ex priuato damno & pecuniaria & criminalis actio competit, electionem quis habet, utrum criminali, an pecuniaria prius agere uelit. Unde potest quis agere iudicio de ui priuata, & postea lege de ui publica. Itidem supprosso testamento potest agere iudicio de tabulis exhibendis, & rursum lege de falsis.*

DE PETITIONE RERUM EX CONdemnatione, siue pronuntiatione sententiaque iudiciali. tum de indebitis solutis per errorem, uel ignorantiam, quasi debitis, & propterea petitis.

TIT. III. cap. I.

L. 4. D. de re iud. *Iudicati actio in dominum datur, non in procuratorem; nisi seipsum liti obtulit, aut in rem suam procurator est.*

VII.

A iudicato nihil ante quatuor menses petitur. Si uero uult, ante spatium hoc liberatur. quia tempus hoc pro eo [constitutum] est.

LXXXI.

l. 4. C. de exseq. rei iud. *Si miles cōdemnatus fuerit, annonas ipsius actori dari non oportet.*

LXXXII.

Nomen debitoris cōuenti capere quis ad exsequutionem rei iudicatæ potest.

Legito & lib. XI. tit. II. cap. LII. cuius hæc uerba sunt:

l. un. § ult. C. de err. calc. *Si quis quum per errorem calculi credidisset se summam quamdam debere, quam reapse nō debebat, eam se soluturum promiserit: agendo condictione indebiti, petere liberationem a debito potest.*

Legito & lib. XXIIII. tit. I. cuius XVII. cap. dicitur:

L. 1. C. de condic. indeb. *Indebiti per errorem, non ex caussa iudicati, soluti, repetitionem esse iure condictionis, non ambigitur.*

XX.

*Ea quæ per infitiationem duplantur, licet * indebita soluta fuerint, non repetuntur.*

** Indebitum uocat, quod propter infitiationem indebiti pœnæ loco petitur.*

 Sed

Sed & si cautio eorundem nomine interponatur, non rescinditur.

XXI.

Qui non est heres, si tamquam heres soluerit, repetere solutum potest: sicut & legata reuertuntur & repetuntur.

XXV.

Qui sciens indebitum soluit, non repetit.

Legito & tit. VI. cuius cap. I. dicitur:

L. 1. D. de condict. indeb. *Qui per ignorãtiam, non sciens & prudens indebitum soluit; condicit.*

XX.

Si quis sortem debens, usuras indebitas soluerit; non repetit. Qui uero supra legitimum modum usuras soluerit, non illas quidem repetit; sed sorti imputat. Quod si sortem quoque soluerit, repetit soluta, ut qui sortem non debeat: siue adeo ante sortẽ usuras soluerit, siue postea, siue simul utrumque.

XXXVII.

Pœna depensa non repetitur. Item, qui iurauit se non debere, si iam soluit, repetit.

Legito & lib. LI. tit. IIII. cap. VII. cuius hæc uerba sunt:

L. 7. D. de dol. & met. excep. *Si tibi me debere putans, iussu tuo daturum illi me promisero, cui donare uolebas: exceptionem aduersus ipsum, & si soluero, ius condictionis habeo. Item, si existimantem me tibi debere, pro te delegaueris ei, quem creditorem tuum putabas: exceptionem aduersus eum habeo, & si quidem soluero, condictionem.*

BASILICORVM

LIBER LIII.

DE NAVTICIS OBLIGATIONIBUS, & omnis generis actionibus, quæ nomine nauium, & omnium in eis nauigantium, exercitorum, magistrorum, nautarum, mercatorum, reliquorumque uectorum instituuntur. & de naufragio.

TIT. I. CAP. I.

Traditur heic, in quibus casibus obligentur exercitores, & magistri, & qui eos præposuerunt, amissione uel naufragio facto.

VI.

D. Nau. caup. stab. L. 1. *Nautæ & caupones quod in custodiam receperint, nisi restituerint, obligantur. In ipsorum autem arbitrio est, ne quem recipiant.*

VII.

Tenentur & propter eos, quos custodiæ gratia nauibus præposuerunt; ut sunt nauphylaces, id est, nauium custodes, & diatarij, in quantum acceperunt; quamquam ipse faciat cheirembolon.

νονται. εἰ δὲ καὶ χειρόγραφον γένηται ὑπὲρ τούτων, οὐκ ἀνατρέπεται.

κα.

Ὁ μὴ ὢν κληρονόμος, καταβαλὼν ὡς κληρονόμος, δύναται ἀναλαμβάνειν τὸ καταβληθὲν, † λέγονται ἀντιστρέφεσθαι καὶ ἀναλαμβάνεσθαι. † ὅτι τὰ πάλιν γάτα αἰτεῖται.

κε.

Ὁ ἐν εἰδήσει καταβαλὼν τὸ μὴ χρεωστούμενον, οὐκ ἀναλαμβάνει αὐτό.

Ανάγνωθι δὲ τιτ. ς. οὗ ἴσος ἐν τῷ α. κεφ. φησίν.

Ὅτι ἐν ἀγνοίᾳ, οὐ μὴν ὁ ἐν εἰδήσει καταβαλὼν μὴ χρεωστούμενον, ἀναλαμβάνει.

κ.

Ἐάν τις χρεωστῶν κεφάλαιον, τόκους μὴ χρεωστημένους καταβάλῃ, οὐκ ἀναλαμβάνει. ὁ δὲ τόκους ὑπὲρ τὸ νόμιμον καταβαλὼν, οὐκ ἀναλαμβάνει μὲν, καταλογίζεται δὲ αὐτοὺς εἰς τὸ κεφάλαιον. εἰ δὲ καὶ τὸ κεφάλαιον κατέβαλεν, ὡς τὸ κεφάλαιον μὴ χρεωστῶν, εἰ κατέβαλεν, ἀναλαμβάνει. εἴτε πρὸ τοῦ κεφαλαίου τοὺς τόκους κατέβαλεν, εἴτε μετὰ ταῦτα, εἴτε ἅμα ἑκάτερον. ἀναλαμβάνει μὴ ὄντας ὑπὲρ τὸ νόμιμον.

λζ.

Ποινὴ καταβληθεῖσα οὐκ ἀναλαμβάνεται. καὶ ὅτι ὁ ὀμόσας μὴ χρεωστεῖν, εἰ καταβάλοι, ἀναλαμβάνει.

Ανάγνωθι καὶ βιβλ. να. τιτ. δ. κεφ. ζ. ἐν ᾧ φησίν.

Ἐὰν νομίζων σοι χρεωστεῖν κατ' ἐπιταγήν σου ὁμολογήσω δοῦναι ἐκείνῳ, ᾧ σὺ ἤθελες δωρήσασθαι, ἔχω κατ' αὐτοῦ παραγραφήν: καὶ καταβαλὼν, ἀπαιτήσεως ἔχω δίκαιον. καὶ ὅτι ἐὰν νομίζοντά με χρεωστεῖν σοι, δῷς ὑπὲρ σοῦ τῷ νομιζομένῳ σου δανειστῇ, ἔχω κατ' αὐτοῦ παραγραφήν, καὶ καταβαλὼν ἀπαίτησιν.

ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ ΒΙΒΛ. νγ.

Ὁ ἀπὸ ναυαγίου ἢ πλοίου πορθηθέντος ἁρπάζων, ἢ κατὰ δόλον ὑποδεχόμενος, ἢ ζημιῶν: εἴσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν: μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν ἐνέχεται. ἁρμόζει δὲ ἡ ἀγωγὴ κατὰ δούλου καὶ φαμιλίας. ἁρμόζει δὲ καὶ ἐγκληματικὴ ἐπέξελευσις. χώραν δὲ τῷ νόμῳ ἐὰν κατὰ τὸν χρόνον, καὶ ἐν τόπῳ, ἐν ᾧ τὸ ναυάγιον γέγονε, ἀφέληται. κατέχεται δὲ τῷ σικαρίῳ, καὶ ὁ λαβὼν ἀπὸ ναυαγίου. ἐν δὲ τῷ μγ. κεφαλαίῳ. ὁ ἁρπάζων τι ἀπὸ ναυαγίου, καὶ ὁ βιαζόμενος ναύτας ἢ λαβὼν ἀπὸ ναυαγίου καὶ κρύψας, εἰς τὸ τρίτον τῆς οὐσίας δημεύεται. καὶ οὔτε συγκλητικὸς ἢ ἄρχων γίνεται, ἢ ἄλλην μετέρχεται τιμὴν, ἀλλὰ καὶ σφοδρῶς τιμωρεῖται.

(In margine: τῷ δὲ σικαρίῳ ἡ ποινὴ, νήσου περιορισμός ἐστι, καὶ πάσης τῆς οὐσίας ἀφαίρεσις.)

ΠΕΡΙ ΣΤΑΣΙΩΤΩΝ, ΗΤΟΙ ΤΩΝ στάσεις καὶ θορύβους καὶ ὀχλαγώγια ποιούντων, καὶ τῶν διεγειρόντων αὐτοὺς † ὑποδεχομένων.

(In margine: † ἢ ὑποδ.)

Τίτλος ιζ. κεφ. γ.

Ἐάν τις κατὰ δόλον ἐν θορύβῳ ζημιώσῃ, εἴσω μὲν συνεχοῦς ἐνιαυτοῦ, εἰς τὸ διπλοῦν ἐνέχεται: μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. οὐ μόνος δὲ ὁ ἐν θορύβῳ ζημιώσας ἐνέχεται, ἀλλὰ καὶ ὁ ποιήσας δόλον ἐφ᾽ ᾧ ἕτερον ζημιῶσαι: εἴτε παρῆν αὐτὸς τῷ θορύβῳ, εἴτε μή. καὶ ὁ ἐλθὼν εἰς τὸν θόρυβον † καὶ τοῦ δόλου τὴν ζημίαν μετασχὼν, ἐνέχεται.

(In margine: † καὶ τοῦ δόλου καὶ τῆς ζημίας.)

δ.

Ἐάν τις ἐπὶ τῷ γενέσθαι ζημίαν ὠθήσῃ τὸν δοῦλόν μου καὶ θορύβου γενομένου ἀπολέσῃ τι ὁ δοῦλος, ἐνέχεταί μοι ὠθήσας. εἰ δὲ † καὶ ἐπὶ τῷ ζημιῶσαι, ἀλλὰ δὲ ὕβριν τὸν ὄχλον συνήγαγεν ἐπὶ τῷ μαστιγῶσαι τὸν δοῦλον ἐπ᾽ αὐτῶν, ἐνέχεται τῇ παρούσῃ ἀγωγῇ ἐπὶ τῇ συμβάσῃ ζημίᾳ.

(In margine: † οὐκ ἐπί.)

Ἀνάγνωθι καὶ τίτλον ιη. κεφάλαιον β. ἐν ᾧ φησίν.

Καὶ οἱ βουλευσάμενοι θόρυβον, ἢ ἐπίστασιν ποιῆσαι, καὶ οἱ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους: καὶ ὁ ἔφηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος: καὶ οἱ ἐξ ἐφόδου ἀγροῖς ἐπιόντες καὶ ἁρπάζοντες πράγματα, τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται.

ΣΧΟΛΙΟΝ.

Ἡ καταδίκη τοῦ περὶ βίας δημοσίας ἐγκλήματος, ἡ ἐν μετάλλοις διηνεκὴς ἐξορία ἐστίν. ὁ δὲ καταδικασθεὶς τῷ περὶ βίας ἰδιωτικοῦ νόμῳ καὶ ἀπὸ τρίτου τῆς οὐσίας δημεύεται: καὶ οὔτε συγκλητικὸς, οὔτε ἄρχων γίνεται, οὔτε ἄλλας μετέρχεται τιμάς.

Ἀνάγνωθι καὶ τίτλον κα. κεφάλαιον ιε. ἐν ᾧ φησίν.

Ὁ ποιήσας ὀχλαγώγιον, ἢ κατὰ δόλον παρασκευάσας γενέσθαι, ἐνέχεται. ἔστι δὲ ὀχλαγώγιον πολλῶν ἰκανῶν σύνοδος, ὅτε πολλῶν ἰκανῶν φωναὶ παρὰ τοὺς ἀγαθοὺς τῆς πόλεως τρόπους † εἰς αὐτὸ συντρέχουσιν εἰς

(In margine: † ἐν αὐτῷ.)

Ceteri relegantur, uel deportantur.

Item lib. LIII. tit. III. cap. XXV. dicitur:

Qui ex naufragio, uel expugnata naui quid rapit, uel dolo recipit, uel damnum dat: intra annum in quadruplum, post annum in simplum tenetur. Et competit haec actio in seruum, & in familiam. Competit & criminalis persequutio. Edicto locus est, si quis eo tempore ac loco, quo naufragium accidit, abstulerit. Tenetur & lege Cornelia de sicarijs, qui aliquid ex naufragio accepit. Item cap. XLIII. Qui rapit aliquid ex naufragio, uel uim nautis facit, uel sublatum aliquid ex naufragio celat: eius tertia bonorum pars publicatur, & neque senator uel magistratus fit, aliúmue honorem capit, & acriter punitur.

(In margine: l.1. cum seq. D. de incend. — Legis Corneliæ de sicarijs pœna est relegatio in insulam, & omnium bonorum ademtio. l.3. §. penul. D. ad l. Cor. de sic. l.1. D. ad l. Iul. de ui priuat.)

DE SEDITIOSIS, HOC EST, EXcitantibus turbas, & tumultus, & conuicia facientibus, deque horum instigatoribus & susceptoribus.

TIT. XVII. cap. III.

Si quis dolo in turba damnum dederit, intra annum quidem continuum, in duplum: post annum uero, in simplum tenetur. Non is uero tantum, qui in turba damnum dedit, tenetur: sed & is, qui dolo fecit, ut alius quispiam damnum daret, siue turbæ præsens ipse fuerit, siue non. Et is, qui uenit in turbam, & doli ac damni particeps fuit, tenetur.

(In margine: l.4. D. ui bon. rapt.)

IV.

Si quis damni dandi caussa pulsauerit seruum meum, & turba facta seruus aliquid amiserit: is, qui pulsauit, tenetur mihi. Si uero non damni, sed iniuriæ faciendæ caussa, turbam coëgit, ut coram eis seruum cæderet: hac actione damni, si quod inde contigit, tenetur.

Huc pertinet tit. XVIII. cap. II. ubi dicitur:

Qui consilium inierint turbæ uel seditionis faciendæ, & qui liberos uel seruos armatos habuerint, & pubes qui gladium in publico gesserit, & qui agros ex impressione inuadunt, & bona rapiunt, lege de ui publica tenentur.

(In margine: l.3. D. ad l. Iul. de ui publ.)

SCHOLION.

Pœna uis publicæ est in metallū perpetua deportatio. De pœna uis priuatæ paulo ante dictū, & exstat in l.1. D. ad l. Iul. de ui priu.

Item tit. XXI. cap. XV.

Qui conuicium fecit, uel dolo curauit fieri, tenetur. Est autem cōuicium plurium quorumdam conuentus, quum multorum uoces aduersus bonos mores ciuitatis in idem concurrunt, ad

(In margine: l. item apud. §. ait prae. D. de iniur.)

inuidiam & infamiam alicuius. Etiam absenti fit conuicium, quum quis ad domum uenit, uel ad stationem, uel tabernam. Et facit conuicium non tantum is, qui uociferatur: sed & qui concitauit alios, aut summisit, ut uociferentur.

Et cap. XXVIII.

Actio iniuriarum ex conuicio nec heredibus, nec in heredes datur.

Item tit. LI. cap. XXXIIII.

l. si quis aliquid. §. 2. D. de pœn. *Qui populum concitant ad seditionē uel turbam, pro dignitate uel furca suspenduntur, uel bestijs obijciuntur, uel deportantur.*

Lege item tit. LXI. cap. I. in quo dicitur:

l. 1. & 2. C. de seditios. *Quicumque suscipit plebem, ut quid faciat contra publicam disciplinam, grauissima pœna subijcitur. Qui adclamarunt alicui, & ex eo turbā concitarunt; nihil eorum, quæ postulant, consequantur: & pœnis subijciantur, quibus tumultus auctores tenentur.*

DE INIVRIIS.

TIT. XXI. cap. I.

Lege & nouel. 121. cap. 47. ubi dicitur de iniuria ecclesiæ, uel episcopo, uel clerico facta. Vide lib. D. 47. tit. 10.

Generaliter quidem iniuria dicitur, quod illegitimum est: specialiter autem contumelia & damnum, ut in Aquilia: & iniusticia, ut in eo, qui inique & iniuste pronuntiat. Iniuria aut re fit, aut uerbo: & uel in corpus, uel in dignitatem, uel in infamiam. In corpus, ut in eo qui pulsatur. In dignitatem, ut quum matrona comes abducitur. In infamiam, quum alicuius pudicitia adtentatur. Iniuriam uero patitur quis aut per se, aut per alium: ueluti filium, seruum, uxorem, nurum. Et cadauere iniuria adfecto, heredi eius fit iniuria. Sed & si quis uolentem filium meum uendiderit, uel iniuria adfecerit: ei quidem non competit actio iniuriarum, (quippe iniuria non est, quæ in uolentem fit) at mihi competit.

III.

Siue scieris, siue ignoraueris, te filium meum uel uxorem iniuria adficere: habeo nomine meo actionem iniuriarum. Et ex una iniuria tribus personis cōpetit actio iniuriarum. Vxori enim meæ facta iniuria, & ipsa, & pater eius, & ego, habemus actionem. Et per unum alterius actio non consumitur. Viro autem iniuria adfecto, uxor non agit. Licet pro regula traditum sit, eos iniuriam pati, qui & facere possint: tamen sunt quidam, qui iniuriam pati possunt, facere non possunt, ut furiosus & impubes, qui non est doli capax. Iniuria enim adfici & qui non sentit, potest. Nemo autem iniuriam facit, nisi ex adfectu, & qui scit se iniuriam facere, licet ignoret, cui fiat. Quare si ludens

φθόνον καὶ ἀτιμίαν τινός. Ἔτι ἀπόντι γίνεται ὀχλαγώγιον, ὅτι τὶς ἐπέλθῃ τῷ οἴκῳ, ἢ τῇ στατίωνι, ἢ τῷ ἐργαστηρίῳ. ὀχλαγώγιον ποιεῖ, οὐ μόνον ὁ κράζων, ἀλλὰ καὶ ὁ συγκαλεσάμενος ἄλλους ἢ ὑποβαλὼν ἐπὶ τὸ κράξαι.

κη.

Ἡ ἀπὸ τοῦ ὀχλαγωγίου περὶ ὕβρεως ἀγωγὴ, οὔτε κληρονόμοις, οὔτε κατὰ κληρονόμων δίδοται.

Ἀνάγνωθι καὶ τίτλον να. κεφάλαιον λδ.

Οἱ τὸν δῆμον ἐρεθίζοντες εἰς στάσιν ἢ θόρυβον, πρὸς τὴν ἀξίαν αὐτῶν, ἢ φουρκίζονται, ἢ θηριομαχοῦσιν, ἢ περιορίζονται.

Ἀνάγνωθι καὶ τίτλον ξα. ἐν ᾧ φησίν.

Πᾶς ὁ ὑποδεχόμενος δῆμον ἐπὶ τῷ ποιῆσαι τι κατὰ τῆς κοινῆς εὐταξίας, βαρυτάτῃ ὑπόκειται τιμωρίᾳ. οἱ καταβοήσαντες τινὸς καὶ ἐκ τούτου θόρυβον κινήσαντες, μηδὲν μὲν κερδαινέτωσαν ἐξ ὧν αἰτοῦσιν: ὑποβαλλέσθωσαν δὲ ταῖς τιμωρίαις, αἷς ἴσον οἱ θορύβου αἰτιῶντες ὑποβάλλονται.

ΠΕΡΙ ὝΒΡΕΩΣ.

Τίτλος κα. κεφάλ. α.

Γενικῶς μὲν ὕβρις λέγεται, τὸ παράνομον: ἰδικῶς δὲ ἡ περιφρόνησις καὶ ἡ ζημία, ὡς ἐπὶ τοῦ ἀκουιλίου: ἔτι ἡ ἀδικία, ὡς ἐπὶ τοῦ ἀδίκως καὶ παρανόμως ψηφισαμένου. ἡ ὕβρις ἢ λόγῳ, ἢ ἔργῳ γίνεται: καὶ εἰς σῶμα, ἢ εἰς ἀξίαν, ἢ εἰς ἀτιμίαν. εἰς σῶμα, ὡς ἐπὶ τοῦ πληγέντος: εἰς ἀξίαν, ὡς ὅταν ὁ ἀκολουθῶν τῇ οἰκοδεσποίνῃ ἀφέλκηται: εἰς ἀτιμίαν, ὡς ὅταν ἀποπειρᾶται τῆς σωφροσύνης τινός. ὑβρίζεται δέ τις, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἑτέρων, οἷον υἱῶν, δούλων, γυναικὸς, νύμφης. καὶ λειψάνου ὑβριζομένου, ὁ κληρονόμος αὐτοῦ ὑβρίζεται. εἰ δὲ καί τις βουλόμενον τὸν υἱόν μου πωλήσει ἢ ὑβρίσει, αὐτῷ μὲν οὐχ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. ὕβρις γὰρ οὐκ ἔστιν ἡ γινομένη εἰς τὸν βουλόμενον, ἐμοὶ δὲ ἁρμόζει. ἀνάγνωθι καὶ νεαρὰν ρκα. κεφ. μζ. ἐν ᾗ φησὶ περὶ ὕβρεως εἰς ἐκκλησίαν ἢ περὶ ἐπίσκοπον γινομένης ἢ κληρικόν.

γ.

Εἴτε ᾔδεις, εἴτε ἠγνόεις ὡς ἐμὸν υἱὸν ὑβρίζεις, ἢ γαμετήν μου, ἔχω ὀνόματί μου τὴν περὶ ὕβρεως ἀγωγήν. καὶ ἐπὶ μιᾷ ὕβρει τρισὶ προσώποις ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. τῆς γυναικὸς γάρ μου ὑβρισθείσης, καὶ αὐτὴ καὶ ὁ πατὴρ αὐτῆς, κἀγὼ ἔχομεν τὴν ἀγωγήν, καὶ οὐκ ἀναιρεῖται διὰ τοῦ ἑνὸς ἡ τοῦ ἑτέρου. ὑβριζομένου δὲ τοῦ ἀνδρὸς, ἡ γυνὴ οὐκ ἐνάγει: καὶ τὰ μάλιστα κεκανόνισται ἐκείνους ὑβρίζεσθαι, τοὺς δυναμένους καὶ ὑβρίζειν. ὅμως εἰσί τινες ὑβριζόμενοι μὲν, μὴ δυνάμενοι δὲ ὑβρίζειν, ὡς ὁ μαινόμενος καὶ ἄνηβος, ὁ μὴ ὢν δόλου δεκτικός. ὑβρίζεσθαι μὲν γὰρ καὶ ὁ μὴ αἰσθανόμενος δύναται. οὐδεὶς δὲ ὑβρίζει, εἰ μὴ ἀπὸ διαθέσεως: καὶ ὁ γινώσκων ὡς ὑβρίζει, κἂν ἀγνοεῖ † τινὶ γίνεται ἡ ὕβρις. ὅθεν ἐὰν παίζων † τινί.

ἢ ἀγω-

† ἰσχύ. ἢ ἀγωνιζόμενος κρούσῃς τινὰ, οὐκ † ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ: ὅτι μὴν ὁ τὸν ἐλεύθερον ὡς δοῦλον τύπτων: ὅτι † μὴν τὸν δοῦλον μου θέλων τύ-
† ἰσχύ τόν.
ψαι, παρεστῶτά σε, τύψω ἄκων. ϛ.

Ἐπὶ τῆς περὶ ὕβρεως ἀγωγῆς καλῶς ὁ ἐνάγων ὅρκον ἐπιφέρει τῷ ἐναγομένῳ ὡς οὐχ ὕβρισεν.

θ.

Οὔτε αὐτεξουσίῳ υἱῷ κατὰ τοῦ πατρὸς, οὔτε ἀπελευθέρῳ κατὰ πάτρωνος ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγὴ, εἰ μὴ σφοδρῶς ὕβρισε, πλήξας τυχὸν ἢ τραυματίσας. ἐφεῖται γὰρ τοῖς πάτρωσι, μετρίως σωφρονίζειν τοὺς ἀπελευθέρους. τῷ δὲ ὑπεξουσίῳ παιδὶ, ὅτι ἀπὸ ὕβρεως τραχείας, ἡ περὶ ὕβρεως ἁρμόζει κατὰ τοῦ πατρός. ια.

Περὶ πάσης ὕβρεως ἔξεστι χρηματικῶς κινεῖν. ἡ τραχεῖα ὕβρις, ἢ ἀπὸ τοῦ προσώπου, ἢ αὐτοῦ τοῦ πράγματος, ἢ τοῦ † τρόπου κανονίζεται: ἀπὸ προσώπου, ὅταν ἄρχοντι, ἢ πατρὶ γίνηται: ἀπὸ τόπου, ὅταν ἐν θεάτρῳ, πάντων ὁρώντων: ἀπὸ τοῦ πράγματος, ὅταν τραῦμα δοθῇ, ἢ ὄψις πληγῇ. οὐ μόνον τὸ μέγεθος τοῦ † πράγματος εἰσάγει τραχεῖαν ὕβριν, ἀλλὰ καὶ ὁ τόπος: ἐὰν τυχὸν ἐν ὀφθαλμῷ γένηται. καὶ τὸ σχίσαι τὴν ἐσθῆτα τινὸς, καὶ τὸ ἀποσπάσαι τὸν ἀκόλουθον, καὶ τὸ ποιῆσαι ὀχλαγώγιον, καὶ τὸ ἐν θεάτρῳ πλῆξαι, εἰ καὶ † σφοδρῶς: τραχεῖαν ὕβριν εἰσάγει: εἴτε αὐτεξουσίῳ γίνηται, εἴτε ὑπεξουσίῳ. δούλου τραχεῖαν ὕβριν ποιήσαντος, εἰ μὲν πάρεστιν ὁ δεσπότης, ἐνάγεται: εἰ δὲ μὴ πάρεστιν, ὁ ἄρχων αὐτὸν † φραγγελίζει. ιγ.

† τόπου.

† τραύματος.

† μὴ σφοδρῶς.

† φραγελλίζει.

Οὐ μόνος ὁ τύψας ἢ ὑβρίσας, ἀλλὰ καὶ ὁ παρασκευάσας τοῦτο γενέσθαι, κατέχεται.

ιη.

Οὔτε κληρονόμοις, οὔτε κατὰ κληρονόμων ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή: κἂν δοῦλος ὑβρισθῇ τοῦ τελευτήσαντος περιόντος αὐτοῦ, εἰ μὴ κατήχθη.

κε.

Ὁ πολλάκις ἀνατείνας τὴν χεῖρα καὶ μὴ τύψας, οὐ τελείᾳ περὶ ὕβρεως ἀγωγῇ ἐνέχεται.

κθ.

Ὁ † προσβαλὼν γυναικὶ ἐνδεδυμένῃ σχῆμα δούλης, ἢ πόρνης, ἧττον μὲν ἁμαρτάνει: ὑπόκειται δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ: καὶ ὁ ἀποσπάσας τὸν ἀκόλουθον αὐτῆς, εἴτε δοῦλός ἐστιν, εἴτε ἐλεύθερος, ἀνὴρ ἢ γυνὴ, ἐν δημοσίῳ ἢ ἰδιωτικῷ τόπῳ. ἀκόλουθος δέ ἐστιν, ὁ ἀφορισθεὶς ἐπὶ τοῦ συνεχῶς ἀκολουθεῖν αὐτῇ, ὁποῖός ἐστι καὶ ὁ παιδαγωγός. ἀποσπᾶν δοκεῖ, οὐχ ὁ δεξάμενος, ἀλλ' ὁ ἀποτελέσας. ἀποσπᾶν δὲ οὐ δοκεῖ μόνον † ὁ βιαζόμενος, ἀλλὰ ὁ συμβουλεύσας αὐτῷ καταλιπεῖν * αὐτὴν. καὶ ὁ † προσλαβὼν καὶ ὁ συνεχῶς μετὰ σιωπῆς ἐπακολουθῶν ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ. * προσβαλεῖν δέ ἐστι, τὸ ἀπατηλοῖς ῥήμασιν ἀποπειρᾶσθαι τῆς ἄλλου σωφροσύνης. ὁ δὲ ῥήμασιν αἰσχρῶς χρώμενος, οὐ προσβάλλει μὲν, ὑπόκειται δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ. πρὸς τὴν ποιότητα τοῦ πράγματος καὶ τῶν προσώπων, ποιεῖται τὴν ζήτησιν καὶ τὴν ἐπεξέλευσιν ὁ ἄρχων.

† προσλαβών.

† ὁ.

* αὐτήν.

† προσβαλών.

* προσβάλλειν.

uel certās percusseris aliquem, iniuriarum non teneris. nec etiam is, qui liberū ut seruum cadit. Nec si seruum meum uolens cadere, adstātem te percussero inuitus. VI.

In actione iniuriarum recte actor reo iusiurandum defert, ut iuret se iniuriam non fecisse.

VIIII.

Neque filio emancipato aduersus patrē, neq; liberto aduersus patronum competit actio iniuriarū, nisi atrox sit iniuria: ut si uerberauerit, uel uulnerauerit. Licet enim patronis mediocriter castigare libertos. At filio familias nec ex atroci iniuria cōpetit hæc actio aduersus patrem.

XI.

De omni iniuria licet agere ciuiliter. Atrox iniuria uel ex persona, uel ex ipsa re, uel loco definitur. Ex persona, quum magistratui uel patri fit. Ex loco, quum in theatro, cunctis uidētibus. Ex re, quū uulnus infertur, uel facies cæditur. Nec solum magnitudo uulneris inducit atrocē iniuriam, sed & locus, ueluti si oculus uulneratus sit. Scindere uestem alicuius, & comitem abducere, & * conuicium facere, & in theatro cædere, licet non atrociter, atrocē iniuriam inducit, siue patrisfamilias fiat, siue filiofamilias. Seruo atrocē iniuriam faciente, si dominus præsens est, tenetur: si abest, præses eū flagris cædit.

* ὀχλαγώγιον ποιεῖν.

XIII.

Non solum qui percusit, uel iniuriam fecit, sed & qui curauit hoc fieri, tenetur.

XVIII.

Nec heredibus, nec in heredes competit actio iniuriarum, etiam si seruo defuncti fiat iniuria eo superstite, nisi contestata fuerit.

XXV.

Qui sæpe manū extulit, & nō percusit, utili iniuriarū actione tenetur. XXIX.

Qui † appellat mulierē ancillæ uel meretricis habitu uestitam, minus peccat, tenetur tamen iniuriarū. Et qui abduxit ei comitē, siue seruus sit, siue liber, mas uel femina, in publico uel priuato loco. Comes autem est, qui destinatus est, ut frequenter eā sequatur, qualis est & pædagogus. Abducere autem uidetur, non qui cepit, sed qui perfecit. Nec abducere tantum is uidetur, qui uim facit: sed & qui persuadet ei, ut eā deserat. Et qui appellat, & qui frequenter cum silentio adsectatur, tenetur iniuriarū. Appellare autē, est * blādis uerbis alterius pudicitiā adtentare. Qui turpibus uerbis utitur, non appellat, tenetur tamē iniuriarum. Pro qualitate rei & personæ, rem examinat, & exsequitur Prætor.

† ὁ προσβαλών. legitur & προσλαλῶν.

* ἀπατηλοῖς, subdolis, ad fraudem compositis.

XXXII.

XXXII.

Qui alienum seruum cõtra bonos mores uerberat, uel ignorante domino de eo quaestionem habet, tenetur iniuriarum. Verberare dicitur & pugnum dare. Quaestio autem est, adhibere tormenta & dolorem corpori ad eruendam ueritatem. Item pedes ligno inycere. Nuda uero interrogatio, & leuis territio, non pertinent ad iniuriarum actionem. Is etiam, qui iussu domini quaestionem habet, si modum excesserit, tenetur. Si uerberetur seruus, uel quaestio de eo habeatur, omni modo competit actio iniuriarum. Sin aliter ei fiat iniuria, non omnino: sed caussa cognita, ex qualitate iniuriae, & personae serui. Quadã iniuriae, a liberis factae, leues & nullius pretij sunt: a seruis autem facta, sunt atroces. Sicut ex alijs delictis seruorum, ita ex iniuria competit actio noxalis, & electionem habet dominus, ut uel eum uerberandum praestet, uel noxa dedat, uel praestet aestimationem litis.

Quid quaestio sit.

XXXIII.

Modum uerberum, ut uir bonus, iudex arbitrari debet. Si iussu domini seruus iniuriam fecerit, suo nomine tenetur, atq; etiam post libertatẽ ipsius tenetur. Nec enim in omnibus domino parere debet, nec iussu eius occidere. Quod si defendens dominum aliquid fecerit, non est sub querela, sed actori exceptio opponitur.

XXXVI.

Si seruus seruo fecerit iniuriam, perinde est ac si domino eius fecisset.

XLIII.

Si quis stuprauerit ancillã, uel alio quodam furandi consilio detinuerit eam, & iniuriarum & furti tenetur in duplum. Quod si eam immaturam stuprauerit, etiam Aquilia tenetur.

LI.

Qui contemnit actionem iniuriarum ob infamiam suam & egestatem, & ideo atrociorem iniuriam facit, acriter coercetur.

LIII.

Etiam ex lege Cornelia iniuriarum agitur ciuiliter, & aestimatur arbitrio iudicis.

LVII.

Qui appellat, si conuicium iudici fecerit, infamus fit. Qui per calumniam egit iniuriarum, uel relegatur, uel dignitate amouetur.

LX.

*De iniuria extra ordinem statuitur. & serui quidem flagellis caesi dominis restituuntur, liberi * autem humiliores fustibus caeduntur, reliqui uel ad tempus relegantur, uel re aliqua interdicuntur.*

* Aut etiam multam pecuniariam soluunt, usque ad CL. aureos, taxante hanc iudice pro qualitate iniuriae.

λβ.

Ὁ τ̃ ἀλλότριον δοῦλον παρὰ τοὺς ἀγαθοὺς τρόπους μαστίζων, ἢ ἀγνοοῦντος τοῦ δεσπότου ἐξετάζων, ὑπόκειται τῇ περὶ ὕβρεως ἀγωγῇ. τυπτῆσαι λέγεται καὶ τὸ κόνδυλον δοῦναι. κυαίστιον δέ ἐστι, τὸ ἐπαγαγεῖν βάσανον καὶ πόνον τῷ σώματι πρὸς κατάληψιν τ̃ ἀληθείας, καὶ τὸ ἐμβαλεῖν τοὺς πόδας ξύλῳ. ἡ δὲ ψιλὴ ἐρώτησις, καὶ ἡ μετρία καταπτόησις, οὐκ ἀνήκει πρὸς τὴν περὶ ὕβρεως ἀγωγήν. καὶ ὁ κελεύσει δεσπότου ἐξετάζων, ἐὰν τὸ μέτρον παρεξέλθῃ, ὑπόκειται. ἐὰν τυπτηθῇ δοῦλος ἢ ἐξετασθῇ, παντὶ τρόπῳ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. εἰ δὲ ἄλλως ὑβρισθῇ, οὐ πάντως, ἀλλὰ τ̃ αἰτίας διαγινωσκομένης, ἐκ τ̃ ποιότητος τ̃ ὕβρεως καὶ τοῦ προσώπου τοῦ δούλου. τινὲς ὕβρεις ἀπὸ ἐλευθέρων γινόμεναι † ἐλαφραὶ αἱ οὐδενός εἰσιν: ἀπὸ δὲ δούλων, τραχεῖαι εἰσίν. ὥσπερ ἐπὶ ἄλλων ἁμαρτημάτων τ̃ δούλων, οὕτως ἐπὶ τ̃ ὕβρεως ἁρμόζει νοξαλία. καὶ ἐπιλογὴν ὁ δεσπότης ἔχει, ἢ δοῦναι αὐτὸν εἰς τὸ μαστιγωθῆναι, ἢ εἰς θεραπείαν τ̃ ζημίας, ἢ δοῦναι τὴν ἀποτίμησιν τ̃ δίκης.

τίνι κυαίστιον. † ἐλαφραὶ ᾗ.

λγ.

Τὸ μέτριον τῶν βασάνων, ὡς ἀνὴρ ἀγαθὸς ὁ δικαστὴς ὀφείλει δοκιμάζειν. ἐὰν κελεύσει τοῦ δεσπότου δοῦλος ὑβρίσῃ, ἰδίῳ ὀνόματι ἐνάγεται, καὶ μετ' ἐλευθερίαν αὐτός. οὔτε γὰρ ἐν πᾶσιν ὀφείλει τῷ δεσπότῃ πειθαρχεῖν, οὔτε κελεύσει αὐτοῦ φονεύειν. εἰ δὲ τῷ δεσπότῃ βοηθῶν ἐποίησέ τι, οὐκ ἔστιν ὑπὸ μέμψιν, ἀλλὰ παραγραφὴ ἀντίκειται τῷ κινοῦντι.

λϛ.

Δοῦλος δοῦλον ὑβρίζων, οὕτως ἐστὶν ὡσανεὶ τ̃ δεσπότην αὐτοῦ ὑβρισεν.

μγ.

Ἐάν τις αἰσχρὸν ποιήσῃ δούλῃ, ἢ ἄλλῳ τινὶ κλωπιμαίῳ λογισμῷ κατάσχῃ αὐτ. καὶ τῇ περὶ ὕβρεως ἀγωγῇ, καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν κατέχεται. εἰ δὲ † ἀκμὸν αὐτὴν οὖσαν διαπαρθενεύσει, καὶ τῷ ἀκυιλίῳ ὑπόκειται.

περὶ δούλης. † ἄκμον.

να.

Ὁ περιφρονῶν τ̃ περὶ ὕβρεως ἀγωγῆς διὰ τὴν προσοῦσαν αὐτῷ ἀτιμίαν, καὶ ἀπορίαν, καὶ σφοδρότερον διὰ τοῦτο ἐνυβρίζων, σφοδρῶς τιμωρεῖται.

νγ.

Καὶ ἡ ἀπὸ τοῦ κορνηλίου νόμου περὶ ὕβρεως ἀγωγὴ, κινεῖται χρηματικῶς: καὶ ἀποτιμᾶται δοκιμασίᾳ τοῦ ἄρχοντος.

νζ.

Ὁ ἐκκαλούμενος ἐὰν ὑβρίσῃ τ̃ δικαστὴν, ἀτιμοῦται. ὁ κατὰ συκοφαντίαν κινήσας περὶ ὕβρεως ἀγωγὴν, ἢ ἐξορίζεται, ἢ τοῦ ἀξιώματος ἀποκινεῖται.

ξ.

Ἡ περὶ ὕβρεως ἀγωγὴ ἐξτραορδίνως νοεῖται: καὶ οἱ μὲν δοῦλοι † φραγγελιζόμενοι, τοῖς δεσπόταις ἀποδίδονται. οἱ * δὲ ἐλεύθεροι καὶ εὐτελεῖς ῥοπαλίζονται: οἱ δὲ ἄλλοι ἢ πρὸς καιρὸν ἐξορίζονται, ἢ τινὸς κωλύονται πράγματος.

† φραγελλιζόμενοι.
* ἢ καὶ χρηματικῶς ποινὴν παρέχουσι μέχρι τῶν ρν. ΝΝ. παρὰ τοῦ δικαστοῦ τιμωμένην πρὸς τὴν ποιότητα τ̃ ὕβρεως.

ξγ. Μά·

ξγ.

Μάχlω τὶς ἐποίησέ τινι: ὁ δὲ ὡς ὑβρισμένος καὶ λέγων, ὅτι φονέα ἐκάλεσεν, ἠπείλει [τινὶ] τὴν περὶ ὕβρεως ἀγωγήν. προσῆλθεν ἐκεῖνος τῷ βασιλεῖ λέγων, ὅτι οὐδὲ ὕβρισα: καὶ παρῆλθεν ὁ ἐνιαυτός. ὅρα οὖν τὸ κατὰ πόδα. ἐὰν ὑβριστικὸν συμβουλεῦσαι † μηδὲν εἰρηκέναι ἀποδεῖξαι δύναται, ἡ πίστις τῆς ἀληθείας πρὸς τὴν συκοφαντίαν βοηθεῖ. εἰ δὲ ἐν τῇ μάχῃ προπετῶς τῇ θερμότητι ὀλισθήσας, φόνου ὕβριν ἐπήγαγες, καὶ ἐξ ἐκείνης τῆς ἡμέρας ἐνιαυτὸς παρέδραμεν: * ὅτι ἡ τῆς ὕβρεως ἀγωγὴ ἐνιαυσιαίῳ χρόνῳ γέγραπται, διὰ τὸ τῆς ὕβρεως ὄνομα, ἐναγεσθαι οὐ δύνασαι.

† μηδὲν, μηδὲ ἀρνήσασθαι ἀποδεῖξαι δύνασαι.

* σημείωσαι ὅτι ὁ περὶ ὕβρεως ἀγωγὴ, ἐντὸς ἐνιαυτοῦ κινεῖται.

† ἔμπρακτοι.

ξη.

Ἐὰν ὑβρισθῶσιν ἰλλούστριοι, ἢ † ἔμπρακτοι, ἢ μόνον τῇ ἀξίᾳ τετιμημένοι, ἢ γυναῖκες αὐτῶν ἢ παῖδες, ἢ θυγατέρες, ἢ ἐὰν κατά τινος τούτων τῶν προσώπων κινεῖται ἡ περὶ ὕβρεως ἀγωγή, δύνανται καὶ δι' ἐντολέως . . . . ἀλλὰ κατὰ τοῦ δεδωκότος αὐτόν.

Ἀνάγνωθι καὶ βιβλίον γ. τίτλον α. κεφάλαιον μγ. ἐν ᾧ φησίν.

Εἴ τις τῶν θείων μυστηρίων καὶ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων ἐν ἁγίᾳ εἰσελθὼν ἐκκλησίᾳ, ἢ τῷ ἐπισκόπῳ, ἢ τοῖς κληρικοῖς, ἢ τοῖς ἄλλοις ὑπηρέταις τῆς ἐκκλησίας ὕβριν τι ἐπαγάγῃ, κελεύομεν τοῦτον βασάνους ὑπομεῖναι, καὶ εἰς ἐξορίαν πεμφθῆναι. εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια, καὶ τὰς θείας λειτουργίας ταράξει, ἢ ἐπιτελεῖσθαι κωλύσει, κεφαλικῶς τιμωρείσθω. † τοῦτο αὐτὸ καὶ ἐπὶ τὰς λιτὰς, ἐν αἷς οἱ ἐπίσκοποι, ἢ κληρικοὶ εὑρίσκονται, φυλαττομένου: ἵνα εἰ μὲν ὕβριν μόνον ποιήσει, βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ: εἰ δὲ καὶ τὴν λιτὴν διασκεδάσει, κεφαλικὸν κίνδυνον ὑπομείνῃ.

† τοῦ αὐτοῦ.

ΠΕΡΙ ἘΚΤΡΩΣΑΣΗΣ ἘΠΙΤΗΔΕΣ, εἴτε ἐπὶ χρήμασιν, εἴτε διὰ μῖσος τοῦ ἀνδρός.

Τίτλ. κβ κεφάλ. δ.

Ἡ ἐπίτηδες ἐκτρώσασα, τυπτομένη ἐξορίζεται.

Ἀνάγνωθι καὶ τίτλον να. κεφάλαιον λε. ἐν ᾧ φησίν.

Ἡ ἐπὶ χρήμασιν ἐκτρώσασα, κεφαλικῶς τιμωρεῖται. ἡ δὲ μετὰ τὸ διαζύγιον πρὸς μῖσος τοῦ ἀνδρὸς τοῦτο ποιήσασα, προσκαίρως ἐξορίζεται.

ΠΕΡΙ ΠΡΟΔΙΔΟΝΤΩΝ ἈΛΛΟΤΡΙΑ ΔΙΚΑΙΩΜΑΤΑ.

Τοῦ αὐτοῦ τίτλου κβ. κεφάλ. η.

Καὶ ὁ προδεδωκὼς ἀλλότρια δικαιώματα, σωφρονίζεται διὰ τοῦ ἄρχοντος. ἔσθ' ὅτε πρὸς τὴν συνήθειαν τῆς ἐπαρχίας ἡ ἐπεξέλευσις γίνεται.

ΠΕΡΙ ΤΥΜΒΩΡΥΧΩΝ.

Τίτλος κγ. κεφάλ. α. καὶ γ.

LXIII.

Rixam fecit quis alicui. at is tamquam accepta iniuria dicens, Homicidam me uocauit, minabatur se acturum iniuriarum. Adijt ille principem, dicens se iniuriam non fecisse, sed & annũ praeteryβe. Vide igitur * τὸ κατὰ πόδα. *Si te nihil iniuriosum animo cogitasse, neq; dixisse, probare potes: fides ueri a calũnia te defendit. Si uerò in rixa temere calore prolapsus, homicidy cõuiciũ obiecisti, & ex eo die annus excessit:* † *quum actio iniuriarũ annuo tẽpore circumscribatur, ob iniuria nomen cõueniri non potes.*

l. si non conuitij. C. de iniur.

* librum iuris intelligit, sic factum, ut Iustinianus antea praeceperat.

† Nota, intra annum iniuriarum agi.

LXVIII.

Si iniuria fiat illustribus, uel in actu constitutis, uel dignitate tantum honoratis, uel uxoribus eorum, uel filijs, uel filiabus, uel si aduersus aliquam huiusmodi personam agatur iniuriarum: possunt & per procuratorem litigare, sententia ferenda non in procuratorem, sed in eum, qui procuratorem dedit.

l. ult. C. eod.

Huc pertinet lib. III. tit. I. cap. XLIII. in quo dicitur:

Eum, qui quum diuina mysteria & alij sacri cultus peraguntur, sacram ecclesiam ingressus, uel episcopo, uel clericis, uel alijs ecclesiae ministris quippiam intulerit iniuria, uerberari iubemus & exsilio multari. Sin & ipsa diuina mysteria, cultusq; diuinos turbauerit, aut celebrari prohibuerit, capite punitor. Idem & in supplicationibus, quibus episcopi uel clerici intersunt, obseruandum: ut, siquidem iniuriam tantum fecerit, uerberibus & exsilio plectatur: sin autem supplicationem ipsam disturbauerit, capitis periculum sustineat.

l. 10. C. de episc. & cler.

DE EA, QVAE PARTVM ABEGIT data opera, siue accepta pecunia, siue odio mariti.

TIT. XXII. cap. IIII.

Quae data opera partum abegit, uerberata in exsilium mittitur.

l. Diuus. D. de extraord. crim.

Refer huc tituli LI. cap. XXXV. in quo dicitur:

Quae accepta pecunia partum abegit, capite punitur. Quae uero post diuortium odio mariti id fecit, temporali exsilio coercetur.

l. Cicero. D. de poenis.

DE HIS, QVI PRODVNT ALIENA instrumenta.

Eod. XXII. tit. cap. VIII.

Qui prodidit aliena instrumenta, castigatur a praeside. Interdum & pro more prouinciae fit exsequutio.

l. saccul. crũ. §. sunt praeter. D. extraord. crim.

DE SEPVLCRORVM VIOLATORIBUS.

TIT. XXIII. cap. I. & III.

Sepulcri

l.1.& 3.§.aduersus.D.de sep.uiol.

Sepulcri uiolati crimen infamiam irrogat.

III.

Sepulcrorum uiolatores, & qui spoliant corpora defunctorum, si cum armis id faciant, capite puniuntur: si absque armis, usq; ad metallũ.

SCHOLION.

Qui[a] reliquias[b] uel ossa loco mouerint, humiliores quidem summo supplicio puniuntur, honestiores in insulam deportantur: qui uerò aliter in sepulcra commiserint, relegátur, uel in metallum damnantur.[c] Sepultum in terra, uel arcula, ut alio transferatur, inquietari non oportet. ipsa quidem arcula si res exigat, in locum commodiorẽ transfertur lib. III. Codicis, tit. XLIIX. uel ut in Basilicis, lib. LIX. tit. III. cap. X. Corpus[d] perpetuæ sepulturæ traditũ, de loco in alium locum transferri[e] potest. Nemo corpus humanũ sine iussu principis in alium locũ transferto. Violatores sepulcrorum & lege de sacrilegio tenentur, uti legitur in lib. Basilic. XLVIII. tit. XIII. & Cõstit. V. tit XIX. lib IX. Codicis, [f] ubi etiá pecuniarias pœnas auget. Item in hoc LX. lib. Basilic. hoc ipso XXIII. tit. capite ultimo dicitur: Qui ex sepulcris materias auferunt, sacrilegij crimine tenentur.

a l.ult.D.hoc tit.
b cadauera.
c l.39.D.de rel. & sumt. fun.
d l. si necdum.C. de rel. & sumt. fun.
e In Cod. uocula negans adijcitur. Potest ea tamen abesse, ut sensus sit, transferri cadauer in locum alium posse, uerum non absq; principis iussu. In digestis l.1.h.t. legitur, non perpetuæ sepulturę traditum, &c. alio translata negatione.
f l.5.C.de sep. uiol. l.antepen. D.eod.

Τὸ τῆς τυμβωρυχίας ἔγκλημα ἀτιμίαν ἐπιφέρει.

γ.

Οἱ τυμβωρυχοῦντες καὶ γυμνοῦντες τὰ τῶν τελευτώντων σώματα, εἰ μὲν μετὰ ὅπλων, κεφαλικῶς τιμωροῦνται: εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλου.

ΣΧΟΛΙΟΝ.

Οἱ τὰ λείψανα ἢ τὰ ὀστᾶ μετακινήσαντες, εὐτελεῖς μὲν ἐσχάτως τιμωροῦνται, ἔντιμοι δὲ εἰς νῆσον περιορίζονται. οἱ δὲ ἄλλως περὶ μνημεῖα πλημμελοῦντες, ἐξορίζονται, ἢ εἰς μέταλλον καταδικάζονται. τὸν ταφέντα ἐν γῇ ἢ σορῷ ἐπὶ τῷ ἀλλαχοῦ μετακινηθῆναι, οὐ δεῖ ἐνοχλεῖσθαι. αὐτὴ μέντοι ἡ σορὸς χρείας χάριν, εἰς ἐπιτηδειότερον μεταφέρεται, βιβλίον γ. τοῦ κώδικος, τίτλος μη. ἢ ὡς τῶν βασιλικῶν νθ τίτλος γ. κεφ. ι. τὸ σῶμα τὸ παραδοθὲν ταφῇ διηνεκεῖ, δύναται ἀπὸ τόπου εἰς ἕτερον τόπον μετενεχθῆναι. μηδεὶς ἀνθρώπινον σῶμα χωρὶς κελεύσεως βασιλικῆς εἰς ἕτερον τόπον μεταφερέτω. ὑπόκεινται καὶ οἱ τυμβωρύχοι καὶ τῷ περὶ ἱεροσυλίας νόμῳ, ὡς βιβλίον μη. τίτλον ιγ. καὶ διατάξει ε. τοῦ ιθ. τίτλου, τοῦ θ βιβλίου τοῦ κώδικος, ἐν ᾗ καὶ τὰς χρηματικὰς αὔξει ποινάς. βιβλίον τῶν βασιλικῶν ξ τίτλον κγ. κεφάλαιον ἔσχατον: οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες, ὑπενεχθήσονται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι.

DE SEPVLCRIS, ET QVI SEPVLcra differant a monumentis. Item de sumtu, qui fit in sepulturam uel funus mortuorum.

Eod. tit. cap. II.

† *Qui* sepulcrũ diruit, uel impositam ei statuam, Aquilia non tenetur, sed Quod ui aut clam. Nã & statua, sicut ossuaria, pars est monumenti. Is cuius dolo malo † sepulcrum uiolatum est, [in duplum] tenetur illi, ad quem hoc pertinet: & si nemo est, ad quem pertineat, uel nolit agere, uolẽti datur actio in C. aureos.* Sepulcrum dicitur omnis locus, sepultura destinatus. Tam heres, quã alius quispiam, cõtra uoluntatẽ testatoris in sepulcrũ hereditariũ inferens, hac actione tenetur. Potest enim defunctus & omnino, & quosdã heredum inferre prohibere.*

† l.2.& 3.D.de sep.uiol.
* monumentum.
† monumentum.
* monumentum.

ΠΕΡῚ ΤΆΦΩΝ, ΚΑῚ ΤΊ ΔΙΑΦΈΡΟΥσιν οἱ τάφοι τῶν μνημάτων: καὶ περὶ τῆς γινομένης δαπάνης εἰς ταφὴν ἢ κηδείαν τῶν τεθνεώτων.

Τοῦ αὐτοῦ τίτλου κεφ. β.

Ὁ καταστρέφων μνημεῖον ἢ τὴν ἐπικειμένην αὐτῷ στήλην, τῷ μὲν ἀκυϊλίῳ οὐκ ἐνέχεται, ἀλλὰ τῷ περὶ βίας ἢ λάθρα. καὶ ἡ στήλη γὰρ, ὥσπερ ἡ σορὸς, μέρος ἐστὶ τοῦ μνημείου. ὁ ποιήσας δόλον εἰς τὸ χραανθῆναι μνημεῖον, τῇ τὸ διπλοῦν ἀπαιτούσῃ ἀγωγῇ κατέχεται ἐκείνῳ, εἰς ὃν .... εἰς ρ. χρυσοῦ ΝΝ. μνημεῖον λέγεται, πᾶς ὁ ἀφορισμένος τόπος τῇ ταφῇ. καὶ ὁ κληρονόμος καὶ πᾶς ἕτερος παρὰ γνώμην τοῦ διαθεμένου εἰς τάφον κληρονομιαῖον εἰσάγων, ἐνέχεται ταύτῃ τῇ ἀγωγῇ. δύναται γὰρ ὁ τελευτήσας, καὶ τελείως καὶ τινας τῶν κληρονόμων εἰσαγαγεῖν κωλύσαι.

IX.

l.2.C.eod.

Si seruus sepulcrum demoliatur, si quidem id contra uoluntatem domini faciat, in metallum datur: si iussu illius, relegatur. Quod si ex sepulcro seruus uoluntate domini detrahens, miserit uel in domum, uel agrũ, aut uillam domini, publicabitur. Si præses ea, quæ in sepulcra committuntur, uindicare neglexerit: eamdem ipse pœnam exigetur, quam exiguntur qui materiam ipsam auferunt, XX. libras auri fisco persoluẽs: siue adeo ipse dominus sepulcri queratur, siue quis alius, siue officium nuntiet. Eadem pœna tenentur & qui corpora contrectant, iam perfecta sepultura tradita. Qui de sepulcris materias auferunt, crimini sacrilegij subijciantur.

θ.

Ἐὰν οἰκέτης τάφον καταλύσῃ, εἰ μὲν παρὰ γνώμην τοῦ δεσπότου τοῦτο ποιήσει, μεταλλίζεται: εἰ δὲ κατὰ κέλευσιν ἐκείνου, ἐξορίζεται. εἰ δὲ μάλιστα ἀπὸ τάφου λαβὼν οἰκέτης κατὰ γνώμην τοῦ δεσπότου ἔφερεν ἢ εἰς οἶκον, ἢ εἰς ἀγρὸν ἢ ἐποίκιον τοῦ δεσπότου, δημευθήσεται. ἐὰν ὁ ἄρχων μὴ σπουδάσει ἐκδικεῖν τὰ κατὰ τῶν τάφων ἁμαρτανόμενα, αὐτὸς ἀπαιτείσθω τὴν τιμωρίαν, ἣν τινα καὶ οἱ αὐτὴν δήποτε τὴν ὕλην ἀφαιροῦντες, ἤτοι κ. λίτρας χρυσοῦ τῷ δημοσίῳ καταβαλλέτω, εἴτε αὐτὸς ὁ τῆς ταφῆς δεσπότης καταμέμψηται, εἴτε τις ἕτερος, εἴτε ἡ τάξις προσαγγείλῃ. τῇ αὐτῇ καὶ οἱ τὰ σώματα ψηλαφῶντες τὰ παραδεδομένα ἤδη τελείᾳ ταφῇ, ἐνέχονται. οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι.

Ἀνάγνωθι καὶ τίτλον με. κεφάλαιον β. καὶ δ. καὶ ε. ἐν ᾧ φησίν, ὅτι οὐκ ἔξεστι συνθάπτειν τοῖς τεθνεῶσι χρήματα: καὶ περὶ τῶν ταῦτα ἀφαιρουμένων.

Ἀνάγνωθι βιβλίον νθ. τίτλον α. καὶ β. καὶ γ. καὶ δ.

ΠΕΡΙ ΔΙΑΣΕΙΣΜΩΝ.

Τίτλος κδ.

Ὅτι ἐὰν πλασάμενός τις κέλευσιν ἄρχοντος, διασείσῃ τινά: καὶ ἀναδίδωσιν ὅπερ ἔλαβε, σωφρονίζεται. τὸ περὶ τοῦ διασεισμοῦ δικαστήριον, οὐκ ἔστι ποινάλιον. εἰ μέντοι τις ἀπειλήσας ἔγκλημα, λάβῃ χρήματα: ὑπόκειται τῷ κορνηλίῳ ἐκ τοῦ κεφαλαίου τοῦ διαγορεύοντος περὶ τῶν συνιόντων εἰς κατηγορίαν τινὸς ἀναιτίου, ἢ λαβόντων χρήματα ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, ἢ διὰ τὸ μαρτυρῆσαι, ἢ μὴ καταμαρτυρῆσαι.

Ἀνάγνωθι καὶ τίτλον μγ. κεφάλαιον ιβ. θεμ. β.

Huc pertinet huius lib. tit. XLV. cap. II. & IIII. & V. in quo dicitur, quod pecuniam cum mortuis sepelire non liceat. Loquitur & de ijs, qui eas auferunt.

Refer huc & lib. LIX. tit. I. & II. & III. & IIII.

DE CONCVSSIONIBVS.

TIT. XXIIII.

Si quis simulans iussum præsidis aliquem concusserit, & quod accepit restituit, & castigatur. Concussionis iudicium non est pœnale. At si quis crimen minatus, pecuniam acceperit: tenetur Cornelia, ex eo capite, quo cauetur de ijs, qui coierint in accusationem innocentis, aut pecuniam acceperint ob accusandum uel non accusandum, ob dicendum testimonium, uel non dicendum. L. 1. & 2. D. de concuss.

Legito & tit. XLIII. cap. XII. them. II.

ΠΕΡΙ ΑΠΕΛΑΤΩΝ.

Τίτλος κε. κεφ. α.

Κυρίως ἀπελάτης λέγεται, ὅστις θρέμματα ἀπὸ βοσκῆς ἢ βουκολίων ὑποσύρει, ἢ ἀπὸ τῶν ἀγελῶν ἵππους. ὁ γὰρ βοῦν καὶ ἵππον πλανώμενον λαβὼν, οὐκ ἔστιν ἀπελάτης, ἀλλὰ κλέπτης. εἰ γάρ τις χοῖρον ἢ αἶγα ἀπελάσει, οὐχ οὕτως σφοδρῶς τιμωρεῖται, ὡς ὁ τέλειον ζῶον ἀπελαύνων.

γ.

Πρὸς τὸν ἀριθμὸν τῶν ἀπελαυνομένων ἢ κλέπτης ἐστί τις, † ἀπελάτης. δέκα γὰρ πρόβατα ποιοῦσιν † ἀγέλην, καὶ χοῖροι πέντε. εἷς δὲ βοῦς καὶ ἵππος ἀπελαθεὶς, εἰσάγει τοῦτο τὸ ἔγκλημα. καὶ ὁ ἀπὸ ἀγέλης, ἢ ὕλης δεδαμασμένον ἄλογον ἀπελαύνων, σφοδρότερον τιμωρεῖται. καὶ ὁ πολλάκις ἀπελάσας, εἰ καὶ ἓν ἢ καὶ δεύτερον θρέμμα, ἀπελάτης ἐστί. καὶ ὅτι: οἱ τοὺς ἀπελάτας ὑποδεχόμενοι ἐπὶ δέκα ἔτη τῆς ἐπαρχίας ἐξορίζονται.

† ὁ ἀπελ.

† γράφεται καὶ, ἀπελάτην.

δ.

Οἱ ἀπελάται ἅπαξ μὲν τοῦτο πλημμελοῦντες τυπτέσθωσαν· ἐκ δευτέρου διαπραττόμενοι ἐξοριζέσθωσαν. εἰ δὲ καὶ τρίτον φωραθεῖεν τὸ τοιοῦτον κατατολμῶντες, χειροκοπείσθωσαν: τῆς ἀπελαθείσης ἀγέλης δηλονότι τῇ ἰδίᾳ δεσποτείᾳ παρ' αὐτῶν ἀποκαθισταμένης. καὶ † ὅσον δύναταί τις κινῆσαι κατὰ τοῦ ἀπελάτου καὶ ἐγγράφως, καὶ χωρὶς ἐγγραφῆς.

† ἔτι.

DE ABIGEIS.

TIT. XXV. cap. I.

Proprie abigeus dicitur, qui pecora ex pascuis uel armentis subtrahit, uel ex gregibus equos. qui enim bouem aut equum errantem abduxerit, non est abigeus, sed fur. Si quis porcum uel capram abduxerit, non tam grauiter plectitur, quam qui perfectum animal abigit. L. 1. C. hoc tit.

III.

*Pro numero abactorum aut fur quis est, aut abigeus. Nam decem oues * gregem faciunt, & porci quinque. Vnus autem bos & equus abactus hoc crimen inducit. Et qui ex grege uel silua domitum pecus abigit, acrius punitur. Qui sæpius abegit, licet unum uel alterum pecus, abigeus est. Qui abigeos recipiunt, in annos X. prouincia relegantur.* L. 3. D. eod. * al. abigeum, legendo ἀπελάτην pro ἀγέλην. De pœna.

IV.

Abigei semel quidem hoc admittentes, uerberantor: iterum uero committentes, relegantor: sin tertium idem ausi deprahendantur, manus amputantor, uidelicet abacto grege suo domino ab eis restituendo. Item [traditur hæc,] posse quem agere in abigeum & cum inscriptione, & sine inscriptione. L. un. C. hoc tit.

ΠΕΡΙ ΥΠΟΦΘΟΡΑΣ ΑΝΤΙΔΙΚΩΝ, καὶ τίνες δύνανται αὐτοὺς ὑποφθείρειν, καὶ τίνες οὐ δύνανται.

Τίτλος κϛ. κεφάλ. ϛ.

Ἀντὶ ἐλεγχθέντος ἐστὶν ὁ τὸν κατήγορον ὑποφθείρας, χωρὶς τῶν δι' αἵματος ἐχόντων τὴν καταδίκην.

Ἀνάγνωθι καὶ τίτλ. νγ. κεφάλ. α. ἐν ᾧ φησίν.

Ἐν τοῖς ἔχουσι θάνατον τὴν καταδίκην, ἔξεστι

DE ADVERSARIORVM CORRVPTIONE, & quibus liceat eos corrumpere, quibus non liceat.

TIT. XXVI. cap. VI.

Pro conuicto est, qui accusatorē corrupit, exceptis ijs, quæ sanguinis condemnationē habēt. L. 1. D. de præuar.

Huc pertinet tit. LIII. cap. I. in quo dicitur:

In his, quæ mortis condemnationē continent, L. 1. D. de bon. eor. qui an. sent.

teo aduersarium corrumpere licet. Et caput secundum.

Item lib. LVI. hæc reperies.

Lei⁹ qui. D. de in. fisc. *Qui corrupit delatorem, pro uicto est. Nam in fiscalibus causis id obtinet. hac autem pœna in heredes eius non competit. Nec enim ipse, nisi condemnatus fuerit, de hoc tenetur. Ceterum delatore per corruptelam uicto, recte fiscus litem restaurat.*

DE RECEPTATORIBVS, QVI LAtrones uel alios criminibus obnoxios recipiunt, nec in iudicium proferunt.

TIT. XXVII. cap. I.

l. 1. & 2. D. hoc tit. *Receptatores latronum ut latrones puniuntur. Et qui, quum possent latrones apprehendere, pecunia accepta, uel parte surreptorum, dimiserunt, perinde puniuntur. Qui uero cognatum uel adfinem latronem custodiuit & conseruauit, medio quodam modo punitur.*

II.

Qui latrones receperit, & eos in iudicium non protulerit, publicatur, uel pro qualitate personæ, prout iudici uidebitur, punitur.

DE EFFRACTORIBVS.

TIT. XXVIII. cap. I.

l. 2. D. h. t. *Nocturni effractores fustibus casi in metallum dantur, diurni fustibus casi in opus perpetuum uel temporarium dantur.*

DE IMPOSTORIBVS SIVE STELlionibus & subdolis, qui rem alij obligatam uenditámue, tamquam suam & non obligatam, ad alium transferunt: qui & stellionatus crimine tenentur, ut antibadiastæ.

TIT. XXX. cap. I.

D. de crim. stell. *Stellionatus crimen neque pœnalibus indicijs, neque pecuniarijs actionibus continetur, neque famosum est: sed extraordinariam persequutionem habet.*

IV.

l. ult. C. eod. *Qui obligat pluribus easdem res, crimine stellionatus tenetur: quo tamen crimine liberatur, si paratus sit omnibus soluere.*

DE PERIVRIS.

Tit. eod. cap. III.

Legito & nouel. LXXVII. l. ult. D. de crim. stell. *De periurio illius, qui iurauerit in instrumento, suum esse pignus, quod obligat; hoc crimen competit, & ad tempus exsulat.*

Legito & lib. XXII. tit. V. cap. X. them. V. in quo dicitur:

l. 13 §. ult. D. de iureiur. *Qui per principem in re pecuniaria iurauerit, & peierauerit; fustibus castigatur.*

τῷ ἐναγομένῳ ὑποφθείρειν τὸν ἀντίδικον. καὶ κεφάλαιον δεύτερον.

Ἀνάγνωθι καὶ βιβλ. νϛ. ἐν ᾧ φησίν.

Ὁ ὑποφθείρας τὸν μηνυτὴν, αὐτὸς ἡττηθείς ἐστι. τοῦτο γὰρ κρατεῖ ἐπὶ τῶν τοῦ δημοσίου δικῶν. ἡ δὲ τιμωρία αὕτη κατὰ κληρονόμων αὐτοῦ οὐχ ἁρμόζει. οὔτε γὰρ αὐτὸς, εἰ μὴ καταδικασθῇ, περὶ τούτου ὑπόκειται. ἐξ ὑποφθορᾶς δὲ ἡττηθέντος τοῦ μηνυτοῦ, καλῶς ὁ δημόσιος ἀνανεοῖ τὴν δίκην.

ΠΕΡῚ ὙΠΟΔΕΚΤΩ͂Ν ΤΩ͂Ν ὙΠΟΔΕχομένων λῃστὰς ἢ ἑτέρους ὑπευθύνους, καὶ μὴ προσαγόντων αὐτοὺς τῷ δικαστηρίῳ.

Τίτλος κζ. κεφ. α.

Οἱ ὑποδοχεῖς τῶν λῃστῶν, ὡς λῃσταὶ τιμωροῦνται. καὶ οἱ δυνάμενοι κρατῆσαι τοὺς λῃστὰς, καὶ ἀπολύσαντες χρήματα λαβόντες, ἢ μέρος τῶν λῃσευθέντων, ὁμοίως τιμωροῦνται. ὁ δὲ συγγενῆ ἢ ἀγχιστέα λῃστὴν φυλάξας καὶ διασώσας, μέτρως πῶς τιμωρεῖται.

β.

Ὁ ὑποδεξάμενος λῃστὰς, καὶ μὴ προσαγαγὼν αὐτοὺς τῷ δικαστηρίῳ, δημευέσθω, ἢ τιμωρείσθω κατὰ τὴν ποιότητα τοῦ προσώπου, ὡς ἂν ὁ δικαστὴς συνείδῃ.

ΠΕΡῚ ΤΟΙΧΩΡΥΧΩΝ.

Τίτλος κη. κεφάλ. α.

Οἱ νυκτερινοὶ τοιχωρύχοι, ῥοπαλιζόμενοι μεταλλίζονται: οἱ δὲ ἡμερινοὶ ῥοπαλιζόμενοι, διηνεκῶς ἢ προσκαίρως εἰς ἔργον βάλλονται.

ΠΕΡῚ ΚΑΚΟΤΡΟ΄ΠΩΝ ἨΤΟΙ ΠΕριέργων καὶ δολίων τῶν τὸ ἑτέρῳ ὑποκείμενον ἢ πραθὲν ὡς ἴδιον καὶ ἀνεύθυνον πρὸς ἕτερον μεταφερόντων. οἵ τινες καὶ τῷ στελλιονάτους ὑπόκεινται ἐγκλήματι, ὡς † ἀντιβιδιασταί.

Τίτλ. λ. κεφάλ. α. † ἀντιβαδιασταί.

Τὸ κατὰ τῶν περιέργων ἔγκλημα, οὔτε τοῖς ποιναλίοις δικαστηρίοις, οὔτε ταῖς χρηματικαῖς ἀγωγαῖς περιέχεται, οὔτε ἀτιμωτικόν. ἐξτραορδιναρίαν δὲ ἐπεξέλευσιν ἔχει.

δ.

Ὑποτιθέμενος τοῖς πολλοῖς τὰ αὐτὰ πράγματα, κατέχεται τῷ στελλιονάτου ἐγκλήματι. ἕτοιμος δὲ ὢν πᾶσι καταβάλλειν, ἀπαλλάσσεται τοῦ ἐγκλήματος.

ΠΕΡῚ ἘΠΙΟ΄ΡΚΩΝ.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. γ.

Περὶ τῆς ἐπιορκίας τοῦ ὀμόσαντος ἐν συμβολαίῳ ἰδιωτικὸν αὐτοῦ εἶναι ὅπερ ὑποτίθεται, τὸ παρὸν ἔγκλημα ἁρμόζει, καὶ πρὸς καιρὸν ἐξορίζει. ἀδέγνωθι καὶ νεαρὰν οζ.

Ἀνάγνωθι καὶ βιβλίον κβ. τίτλον ε. κεφάλαιον ι. θεμ. ε. ἐν ᾧ φησίν.

Ὁ ἐπὶ χρήμασι κατὰ τοῦ βασιλέως ὀμόσας, καὶ ἐπιορκήσας, ῥοπαλίζεται.

Καὶ κε.

Καὶ κεφάλ. μδ.

Οὐδεὶς κατὰ θεοῦ ὀμόσας κινδυνεύει. ἱκανὸς γὰρ ὁ ὅρκος ἔχειν τιμωρὸν τὸ θεῖον, εἰ κατὰ τοῦ θεοῦ γέγονεν. εἰ δὲ κατὰ βασιλέως κατά τινα θερμότητα ὤμοσέ τις, συγχωρεῖται.

ΠΕΡῚ ὙΠΕΥΘΎΝΩΝ ΕἸΣ ΦΥΛΑΚῊΝ βαλλομένων, ἢ ἐγγυητὰς διδόντων.

Τίτλος λε. κεφ. α.

Ὁ ἄρχων διασκοπείτω πότερον ὁ κατηγορούμενος ὀφείλει φυλακῇ ἐμβάλλεσθαι, ἢ στρατιώταις παραδίδοσθαι, ἢ ἐγγυηταῖς, ἢ ἑαυτῷ καταπιστεύεσθαι. τοῦτο δὲ γίνεται ἐκ τῆς ποιότητος τοῦ ἐγκλήματος, ἢ διὰ τὴν τιμὴν, ἢ διὰ τὴν εὐπορίαν τοῦ ἐναγομένου, ἢ τὴν ἀξίαν αὐτοῦ, ἢ διὰ τὸ μηδὲν αὐτὸν ἡμαρτηκέναι.

γ.

Ὁ ἔχων ἐγγύας, οὐ δεσμεῖται, εἰ μὴ βαρύ ἐστι τὸ παρ' αὐτοῦ ἁμαρτηθὲν, ὡς μήτε ἐγγυηταῖς, μήτε στρατιώταις αὐτὸν ὀφείλειν παραδοθῆναι.

δ.

Ὁ ἐγγυησάμενος τὸν κατηγορηθέντα, χρηματικὴν δίδωσι ποινὴν, μὴ παραστῶν αὐτόν. εἰ δὲ κατὰ δόλον οὐ παρίστησι, καὶ ἐξτραορδινέρ κατακρίνεται.

ΠΕΡῚ ΦΥΛΑΚΤΩ͂Ν ΚΑῚ ΦΥΛΆΚΩΝ, καὶ φυλακῆς: καὶ τίνες ὑποβάλλονται τιμωρίαις: οἱ ἀποδιδράσκοντες τῆς φυλακῆς, καὶ οἱ φύλακες αὐτῶν. καὶ περὶ τοῦ μὴ εἶναι φυλακὴν ἰδιωτικήν.

Τοῦ αὐτοῦ τίτλου κεφάλ. ιβ.

Οἱ ἀποφυγόντες τὴν φυλακὴν, εἴτε κλάσαντες αὐτὴν, ἢ τοῖς λοιποῖς συμπνεύσαντες, κεφαλικῶς κολάζονται. εἰ δὲ κατὰ ῥαθυμίαν τῶν φυλάκων ἀπέφυγον, μετριώτερον τιμωροῦνται.

ιδ.

Ἐὰν συμπνεύσαντες οἱ δέσμιοι ῥήξωσι τὰ δεσμὰ καὶ τὴν φυλακὴν, καὶ ἀποφύγωσιν, εἴτε ἀνεύθυνοι ἦσαν, τιμωροῦνται, εἴτε ὑπεύθυνοι, πλέον κολάζονται, ἢ τὸ ἔγκλημα ἀπῄτει ἐφ' ᾧ συνεσχέθησαν. οἱ δὲ τὴν σκευωρίαν διελέγξαντες, ἀπολύονται.

κα.

Ὁ κατασχεθεὶς, μὴ ἐπὶ πολὺν χρόνον μενέτω ἐν τῇ φυλακῇ. χρὴ γὰρ αὐτὸν, ἢ συντόμως ἀπολυθῆναι, ἢ συντόμως τιμωρηθῆναι. κελεύομεν οὖν τὸν ὑπομνηματογράφον ἀφ' οὗ ἐμβληθῇ τις ἐν τῇ φυλακῇ καθ' ἑκάστην ἡμέραν ἕως λ. ἡμέρας προσφέρειν τῷ ἄρχοντι τὴν γνῶσιν τῶν ἐγκεκλεισμένων, ἐν ᾗ δεῖ περιέχεσθαι καὶ τὴν ποιότητα τῶν ἁμαρτημάτων. εἰ δὲ † μετὰ ταῦτα γένηται, ἡ μὲν τάξις κ. λιτρῶν χρυσίου προστιμηθήσεται: ὁ δὲ ἐκπίπτων τῆς ἀξίας ι. χρυσίου λιτρῶν τοῖς ἡμετέροις εἰσαχθῆναι θησαυροῖς. οὐδένα χρὴ ἐμβάλλεσθαι φυλακῇ χωρὶς κελεύσεως τῶν μεγάλων ἀρχόντων τῆς βασιλίδος πόλεως: ἐν δὲ ταῖς ἐπαρχίαις τῶν ταύτας ἰθυνόντων, ἢ τῶν κατὰ τόπον ἐκδίκων. χρὴ δὲ τὸν ἐπίσκοπον κατὰ τετράδα καὶ παρασκευὴν

(margin: † μὴ ταῦτα.)

Et cap. XLIIII.

Nemo qui per Deum iurauerit, periculum subit. Nam satis est, iusiurandum Deum habere uindicem, si per Deum conceptum fuerit. Sin aliquis per principem calore quodam iurauerit, ueniam consequitur. (margin: l.1.C.eod.)

DE REIS, QVI MITTVNTVR IN carcerem, uel dant fideiussores.

TIT. XXXV. cap. I.

Praeses aestimat, utrum reus debeat in carcerē mitti, an militibus tradi, uel fideiussoribus, uel sibi committi. hoc autem fit ex qualitate criminis, uel propter honorē, uel propter diuitias rei, uel dignitatem, uel propter innocentiam. (margin: D.lib.48.tit.3.)

III.

Qui fideiussores habet, non conijcitur in uincula: nisi graue scelus admiserit, ut neque fideiussoribus, neque militibus debeat tradi.

IIII.

Qui fideiussit pro reo, nisi exhibeat, pecuniariam pœnā praestat. Sin uero dolo non exhibeat, etiam extra ordinem condemnatur.

DE CVSTODIENDIS, ET CVSTOdibus, & custodia: tum qui effugientes carcere, quiue custodes horum puniantur. Item, non debere priuatos esse carceres.

Eod. tit. cap. XII.

Qui euadunt custodiam, siue effracta ea, siue cum alijs facta conspiratione, capitaliter coercentur. Sed si negligentia custodum euaserint, mitius puniuntur. (margin: D. de cust. & exh. reo. leg. ib. ultimu.)

XIV.

Si, qui erant in uinculis, facta conspiratione ruperint uincula & custodiam, & euaserint; siue innocentes erant, puniuntur: siue nocentes, amplius puniuntur, quam crimen posceret, ob quod comprahensi erant. Qui uero conspirationem detexerint, absoluuntur.

XXI.

*Ne diu is, qui comprahensus est, in custodia maneat. Nā oportet eum cito uel absolui, uel puniri. Iubemus igitur Commentariensem, ex quo coniectus quis est in carcerē, singulis diebus usq; ad XXX. dies, offerre iudici notitiam inclusorum, in qua continere oportet & qualitatē delictorum. Quod si non fiat, officium XX. libris auri multatur, iudex autem dignitate amissa, X. libris, quae thesauris nostris inferantur. Neminem * oportet in custodiam conijci, sine iussu magnorum iudicum regia urbis: & in prouincijs, sine iussu rectorum earum, uel defensorum locorum. Episcopum autem oportet quarto septimana ac praeparatorio diebus [custodia datos]* (margin: l.penult.C.eod.)

(margin: * haec debebat esse lex ultima, C. eod. sed desideratur in editis uulgo libris.)

 inspi-

inspicere, cur coniecti sint in carcerem: & si ser ui sint, vos intra XX. dies excludere carcere, uel castigatos, & dominis redditos, uel si non ap pareant domini, dimittere. Quod si liberi sint, propter datas insolenter turbas uincti, statim iudicari. Quod si ex alia quacumque caussa, fidetussores dare. Si fideiussores non habeant, criminis reos, praterquam homicidij, celeriter iudicari. Sin capitale crimē est, intra XXX. dies. Sed si opus sit amplecri dilatione, non prabente caussam eo, qui inclusus est: committi eum iuratoria cautioni, ita ut sententia in eum feratur, si absit. At si crimen sit homicidij, & ex relatione publicarum personarū; intra sex menses iudicari, scientibus publicis personis, si falsa detulerint, se eadem pœna teneri: si uero accusator, qui inscripsit, caussam retentioni dederit, committi eum fideiussoribus: uel si non habeat copiam fideiussorum, manere in uinculis, & litem intra annum definiri. Prasumtione uero de eo facta, quasi nocente, esse eum in custodia, quoad lis terminata sit. Quod si iam de carcere inclusis lata sententia sit, exequi eam, siue corporalis, siue pecuniaria sit.

Lege & tit. LI. cap. LX. them. II. Item tit. LV. cap. I. in quo dicitur:

De priuatis carceribus. Lun. C. de priuat. car.

*Ne in quacumque ciuitate, uel in agris, uel in domibus, sint priuata custodia. qua sane res cura prouinciarum prasidibus esto. Quod si negligentes fuerint, * sacrilegij crimine teneantur: eodemque primates officij, si non simul atq; cognouerunt, prasidi rem detulerint. Ipsi uero facinoris auctores, maiestatis iudicio teneātur. Constitutio iubet, ne priuata custodia fiant, & ut ij qui fecerint, pœna subijciantur, ac tot dies in carcere publico maneant, quot fuerit quis in priuato ab eis inclusus, cuiuscumque sint condicionis, uel dignitatis. Vt etiam caussam amittant, quam habent aduersus inclusos, prouidentia episcopi & prasidis. quod si neglexerit prases, & bonorum & salutis periculum sustinebit.*

* maiestatis.

Lege & lib. III. tit. I. cap. IIII. Item lib. LVI. tit. XVII. cap. XXXVII. quod refertur in titulo de curatoribus publicis.

DE INSIDIATORIBVS, QVI QVOcumq; modo uel contra imperiū, uel rempublicam, uel exercitū, uel eius duces inierint consilia, uel seditiosi fuerint, uel proditores, uel trāsfugæ, uel litteras hostibus miserint, uel milites ad seditionem turbamue sollicitauerint: qui ue castra produnt, uel

ἐπισκέπτεσθαι † διὰ τί ἐνεβλήθησαν. καὶ εἰ μὲν δοῦλοι εἰσὶν, ἔσω κ. ἡμερῶν ἐκβάλλεσθαι αὐτοὺς, ἢ σωφρονιζομένους, † ἢ τοῖς δεσπόταις παραδιδομένους: ἢ ἐὰν μὴ φαίνηται ὁ δεσπότης, ἀπολύειν αὐτούς. εἰ δὲ ἐλεύθεροί εἰσιν † ἐπὶ ταξίᾳ κατεχόμενοι, παραχρῆμα κρίνειν αὐτούς. † ἐὰν περὶ ἀλλοίας δήποτε αἰτίας, παρέχειν αὐτοὺς ἐγγύας. εἰ δὲ μὴ ἔχουσιν ἐγγυητάς, εἰ μὲν ἐπὶ ἐγκλήματι κατέχονται χωρὶς φόνου, ἐν τάχει αὐτοὺς κρίνεσθαι. εἰ δὲ κεφαλικόν ἐστι τὸ ἔγκλημα, ἔσω λ. ἡμερῶν. ἐὰν δὲ χρεία πλείονος ὑπερθέσεως, μηδαμοῦ παρέχοντος αἰτίαν τοῦ ἐγκεκλεισμένου: δοθῆναι αὐτὸν ἐπὶ ἐξωμοσίᾳ, ἵνα ἡ ψῆφος γένηται κατ' αὐτοῦ ἐὰν ἀπολειφθῇ. ἐὰν δὲ φόνου ἐστὶν, εἰ μὲν ἀπὸ ἀναφορᾶς δημοσιευόντων, ἔσω ἓξ μηνῶν κρίνεσθαι: εἰδότων τῶν δημοσιευόντων ὅτι ἐὰν ψεύσωνται, τῇ αὐτῇ ὑπόκεινται τιμωρίᾳ. εἰ δέ τις ἐγγραψάμενος αἴτιος ἐγένετο τῆς ἐνοχῆς, δίδοσθαι αὐτὸν ὑπὸ ἐγγύας: ἢ ἐὰν μὴ εὐπορῇ ἐγγυητῶν, μένειν μὲν ἐν τῷ δεσμωτηρίῳ: τέμνεσθαι δὲ τὴν δίκην ἐντὸς ἐνιαυτοῦ. † προσλήψεως δὲ περὶ αὐτοῦ γενομένης, ὡς ὑπευθύνου, εἶναι αὐτὸν ἐν τῇ φρουρᾷ † ἕως τι περαιωθῇ ἡ δίκη. εἰ δὲ ἤδη ψῆφος γέγονε περὶ τῶν ἐγκεκλεισμένων, ἐκβιβάζεσθαι αὐτὴν, εἴτε σωματική ἐστιν, εἴτε χρηματική.

† τὰς ἐν φυλακῇ διά τι.

† ἤ.

† ὑπὸ ἀταξίας.

† ὁ περὶ ἄλλου οἱασδήποτε.

† προλήψεως.

† ἕως ἄν.

Ἀνάγνωθι καὶ τίτλ. να. κεφάλ. ξ. θεμ. β. καὶ τίτλ. νε. κεφάλαιον α. ἐν ᾧ φησίν.

Μὴ ἐν οἱᾳδήποτε πόλει, μήτε ἐν ἀγροῖς, ἔστωσαν ἰδιωτικαὶ φυλακαὶ, ἢ ἐν οἴκοις: ἀλλὰ φροντιζέτωσαν τούτου καὶ οἱ τῶν ἐπαρχιῶν ἄρχοντες. ἐὰν δὲ ῥαθυμήσωσιν, ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι. καὶ οἱ πρῶτοι δὲ τῆς τάξεως, τῷ αὐτῷ ἐγκλήματι ἐνεχέσθωσαν, εἰ μὴ εὐθέως ἅμα ἔγνωσαν, ἀνήγαγον τῷ ἄρχοντι. καὶ αὐτοὶ δὲ οἱ ἡμαρτηκότες, ὑποκείσθωσαν τῷ περὶ καθοσιώσεως δικαστηρίῳ. ἡ διάταξις κελεύει μὴ γίνεσθαι ἰδιωτικὰς φυλακάς. τοὺς δὲ τοῦτο πράττοντας, ὑποκεῖσθαι καὶ ἐπιτιμίῳ, καὶ διάγειν ἐν τῇ δημοσίᾳ φρουρᾷ τοσαύτας ἡμέρας, ὅσας δήποτ' ἂν γέγονεν ὁ † ἐγκλεισθεὶς ἐν τῇ γενομένῃ παρ' αὐτῶν φυλακῇ, ὁποίας ἂν εἴησαν τύχης ἢ ἀξίας. † ἐκπίπτει δὲ καὶ τῆς δίκης τῆς ἁρμοζούσης αὐτοῖς κατὰ τῶν ἐγκλεισθέντων, προνοίᾳ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος. εἰ δὲ ῥαθυμήσει ὁ ἄρχων, ὑφίστασθαι κίνδυνον καὶ περὶ τὴν οὐσίαν καὶ περὶ τὴν σωτηρίαν.

περὶ ἰδιωτικῶν φυλακῶν.

† ἐγκλεισθείς.

† ἐκπίπτουσι.

Ἀνάγνωθι καὶ βιβ. γ. τίτ. α. κεφ. δ. καὶ βιβ. νς. τίτ. ιζ. κεφ. λζ. ὅπερ εἴρηται ἐν τῷ περὶ φροντιστῶν.

ΠΕΡΙ ΤΩΝ ΕΠΙΒΟΥΛΩΝ ΤΩΝ ΚΑτὰ οἱονδήποτε τρόπον εἴτε κατὰ τῆς βασιλείας, εἴτε κατὰ τῆς πολιτείας, ἢ τοῦ στρατοῦ, ἢ τῶν ἀρχόντων αὐτοῦ μελετησάντων, ἢ στασιασάντων, ἢ προδοσίαν τινὰ πεποιηκότων: ἢ πρὸς τοὺς πολεμίους αὐτομολησάντων, ἢ γράμματα στειλάντων, ἢ ἐρεθισάντων στρατιώτας πρὸς στάσιν καὶ θόρυβον, ἢ προδιδόντων κάστρα, † ἢ αὐτι-

† αὐτομολούντων.

αὐτπρόντων, ἢ συνωμοσίαν ποιούντων: ἢ βλαπτόντων τεῖχος, ἢ δι' αὐτοῦ, καὶ μὴ διὰ τῆς πόρτης εἰσιόντων. καὶ τίνες αὐτῶν ὑπόκεινται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι, καὶ τίνες τῷ τῶν φονευτῶν.

Τίτλος λϛ. κεφάλ. α.

Ὁ περὶ τῶν ἐπιβούλων νόμος, ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας, καὶ ἐνέχεται αὐτῷ.

ιζ.

(ὁ λ τοῦ ν. τιτ. κεφ. ιθ φησίν, ὅτι καὶ οἱ μάρτυρες βασανίζονται τοῦ πράγματος ἀπαιτοῦντος: ὅπερ εὑρήσεις ἐν τῷ περὶ ζητήσεως τίτλῳ.) Ἐπὶ τῆς καθοσιώσεως καὶ οἱ ἐνάγοντες βασανίζονται, εἰ μὴ φανερούς ἐλέγχους ἔχουσιν.

κ.

Οἱ ἡμαρτηκότες καθοσίωσιν, καὶ μετὰ τελευτὴν ἐνέχονται, καὶ δημεύεται ἡ οὐσία αὐτῶν.

Ἀνάγνωθι καὶ τιτλ. να. κεφάλ. λδ. ἐν ᾧ φησίν.

Οἱ αὐτόμολοι καὶ οἱ τὰς ἡμῶν βουλὰς τοῖς πολεμίοις ἀπαγγέλλοντες, καίονται ἢ φουρκίζονται.

Καὶ κεφάλ. λϛ.

Ὁ τὸν πολέμιον φεύγοντα ἐν εἰδήσει ὑποδεξάμενος, περιορίζεται. ὁ δὲ εἰδὼς αὐτὸν εἶναι πολέμιον, καὶ ἐπιπολὺ ἀνασχόμενος κρύπτεσθαι, ἐξορίζεται.

νβ.

Ὁ τοὺς βαρβάρους ναῦς κατασκευάζειν διδάσκων, κεφαλικῇ τιμωρίᾳ ὑπόκειται.

Ἀνάγνωθι καὶ τιτλ. νβ. κεφάλ. ιε. ἐν ᾧ φησίν.

Ἐάν τις ὡς ἐπὶ τυραννίδι ἐλεγχθεὶς δήμευσιν ὑπομείνῃ, οἱ μὲν ἔχοντες αὐτοῦ πράγματα, καὶ διάγοντες ἐν τῇ βασιλίδι πόλει, ἔσω δύο μηνῶν ὀφείλουσιν αὐτὰ προσαγγεῖλαι. οἱ δὲ μὴ διάγοντες ἐν τῇ βασιλίδι πόλει, ἔσω ὀκτὼ μηνῶν. εἰ δὲ μὴ τοῦτο ποιήσουσι, μετὰ τῶν πραγμάτων, τὸ τετραπλάσιον παρέχουσι.

ΠΕΡΙ ἘΓΚΛΗΜΑΤΙΚΩ͂Ν.

Τίτλου λϛ. κεφ. ιβ.

Σβέννυνται τὰ ἐγκλήματα τῇ τελευτῇ τοῦ κατηγορουμένου. χωρὶς τοῦ περὶ καθοσιώσεως, ἀπὸ τοῦ κεφαλαίου τῆς προδοσίας, καὶ τοῦ κατὰ βασιλέως ἐπιβουλῆς. ἐπὶ τούτων γὰρ ἐὰν μὴ καθαρισθῇ ἀπὸ τῶν κληρονόμων, δημεύεται ἡ κληρονομία. ἀπὸ δὲ τῶν λοιπῶν τοῦ νόμου κεφαλαίων, τῇ τελευτῇ σβέννυται τὸ ἔγκλημα.

Ἀνάγνωθι καὶ τίτ. νϛ. τοῦ τινος ἐν τῷ β. κεφ. φησίν.

Ὥσπερ ὁ τελευτήσας ἀπαλλάσσεται τοῦ ἐγκλήματος, οὕτως καὶ ὁ ἐνάγων αὐτὸν μετὰ τὴν τελευτὴν αὐτοῦ μὴ δυνάμενος ἐπεξελθεῖν τῷ ἐγκλήματι, † οὐκ ἐνάγεται. († ἐν ἰσχύ. τω.)

ΣΧΟΛΙΟΝ.

Ἀνάγνωθι καὶ βιβλ. να. τιτλ. γ. κεφάλ. ιβ. ὅπερ ἐξέθεμεν ἐν τῷ περὶ δεσποτείας. ἀνάγνωθι καὶ τὸ περὶ κατηγορούντων † ἐγκληματικῶν, καὶ τὸ περὶ καταδίκης. ἴσθι, ὅτι τὰ ἐγκλήματα τῇ εἰκοσαετίᾳ σβέννυνται. († ἐγκληματικῶς.)

ΠΕΡΙ ΜΟΙΧΕΙ'ΑΣ ΚΑΙ ΠΑ'ΣΗΣ ΤΗ͂Σ κατ' αὐτὴν ἐνοχῆς καὶ ἀγωγῆς.

Τίτλος λζ. κεφάλ. α.

Ὁ γήμας τὴν ἐπὶ μοιχείᾳ καταδικασθεῖσαν, ὑπόκειται τῷ περὶ μοιχείας ἐγκλήματι: οὐ μὴν ὁ παλλακευόμενος αὐτήν.

perduelles sunt, uel coniurationem faciūt, uel murum lædunt, uel per eum, non portam, ingrediuntur: tum qui nam horum sacrilegij, qui ue homicidij teneantur.

TIT. XXXVI. cap. I.

Lex maiestatis similis est legi de sacrilegio, & tenetur ea. (l. 1. D. ad leg. Iul. ma.)

XVII.

In † crimine maiestatis etiā accusatores torquentur, nisi manifesta indicia habeant. (Tit. 50. cap. 19. dicitur, etiam testes torqueri, si res exigat. hoc in titulo de quæstionibus positum inuenies. † l. 3. C. eod.)

XX.

*Rei * maiestatis etiam post mortē tenentur, & confiscatur eorum substantia.* (* l. penult. C. eod.)

Lege & tit. LI. cap. XXXIV. in quo dicitur:

Transfugæ, & ij, qui consilia nostra hostibus renūtiant, cōburuntur aut furca suspendūtur. (l. si quis. §. transfug. D. de pæn.)

Item cap. XXXVI.

Qui hostem fugientem sciens suscepit, deportatur: qui uero sciuit hostem esse, ac diu occultari passus est, relegatur. (l. Metrodorum. eod.)

LII.

Qui barbaros naues exstruere docet, capitali pœna tenetur. (l. ult. C. eod.)

Item tit. LII. cap. XV.

Si quis perduellionis crimine conuictus, publicationem bonorum sustineat, ij qui bona eius habent, si uersantur in regia urbe, intra duos menses: si non uersantur in regia urbe, intra octo menses ea deferre debent. quod si non fecerint, cum bonis quadruplum præstant. (l. ult. C. de bon. proscr.)

DE ACTIONIBVS CRIminalibus.

TIT. XXXVI. cap. XII.

Extinguūtur crimina morte rei, excepto crimine maiestatis, ex capite proditionis & insidiarum contra principē. Nam in his, nisi ab heredib. purgetur, hereditas publicatur. Ex alijs uero legis capitibus, morte crimē extinguitur. (l. ult. D. ad leg. Iul. maiest.)

Legito etiam tit. LVI. cap. II. in quo dicitur:

Sicut defunctus crimine liberatur, ita & accusator, qui post mortem eius exsequi crimē non potest, non tenetur.

SCHOLION.

Lege & lib. LI. tit. III. cap. XII. quod exposuimus in tit. de dominio Lege & tit. de accusantibus criminaliter, & de sententiam passis. hoc quidē sciendum, criminales actiones annis XX. extingui.

DE ADVLTERIIS, ET OMNIBVS modis, quibus adulterij se quis obligat, & quibus agitur.

TIT. XXXVII. cap. I.

Qui dānatā adulterij uxorē ducit, adulterij crimine tenetur, nō qui eā in cōcubinatu habet. (l. 1. D. de concub.)

VII.

L.2.D.ad leg. Iul. de adult.

Qui pro adulterio uxoris suæ quid accepit, hac lege tenetur: & qui in adulterio deprehensam non dimittit. non etiam is, qui patitur eam delinquere, uel cōtaminationi non indignatur. Non rectè adulter obijcit uiro, se illo perductore adulterium commisisse, nec posteaquam accusatus est, uiro lenocinij crimen referre potest. Vxor accusata, & obijciens uiro lenocinij præscriptionem, seipsam quidem non liberat, sed potest iudex in eum statuere, quasi lenonem, etiam sine accusatore. Extraneus autem adulterij accusatus, & opponens, lenonem eum fuisse, nec se relevat, nec maritum pœnæ subijcit.

ζ.

Ὁ λαβὼν ὑπὲρ μοιχείας τῆς αὐτοῦ γυναικὸς, ἐνέχεται τῷ νόμῳ· καὶ ὁ τὴν ἐπὶ μοιχείᾳ φωραθεῖσαν μὴ ἀποπεμψάμενος· οὐ μὴν ὁ ἀνεχόμενος ἁμαρτάνειν αὐτὴν, † εἰ μὴ ἀγανακτήσας ἐπὶ τῷ μύσει. † λ. οὐ καλῶς ὁ μοιχὸς ἀντίθησι τῷ ἀνδρὶ ὡς αὐτοῦ προαγωγοῦ γινομένου, τὴν μοιχείαν ἥμαρτεν· ὅτι μὴν μετὰ τὸ κατηγορηθῆναι, δύναται τοῦ ἀνδρὸς, ὡς προαγωγοῦ, ἀντικατηγορεῖν. ἡ δὲ γυνὴ κατηγορουμένη καὶ ἀντιτιθεῖσα τῷ ἀνδρὶ τὴν προαγωγείας παραγραφὴν, ἑαυτὴν μὲν οὐκ ἐλευθεροῖ· δύναται δὲ ὁ δικαστὴς ὁρίζειν κατ' αὐτοῦ ὡς προαγωγοῦ, καὶ χωρὶς κατηγόρου. ἐξωτικὸς δὲ περὶ μοιχείας κατηγορούμενος, καὶ ἀντιτιθεὶς τῷ ἀνδρὶ τὸ προαγωγὸν αὐτοῦ γενέσθαι, ἑαυτὸν οὐκ ἐλαφρύνει· οὔτε τὸν ἄνδρα ποινῇ ὑποβάλλει.

VIII.

Adulterium quidem dicitur etiam in uirginem aut uiduam stuprum, sed proprie adulterium est nuptæ, stuprum uirginis aut uiduæ.

η.

Λέγεται μὲν μοιχεία, καὶ ἡ πρὸς παρθένον ἢ χήραν φθορά· καὶ κυρίως δὲ μοιχεία μέν ἐστιν ἡ τῆς ὑπάνδρου· φθορὰ δὲ τῆς παρθένου καὶ χήρας.

X.

De lenonibus etiam dicitur cap. XI. & XII.

Qui sciens domum uel habitationem suam præbet, ut adulterium uel stuprum cum muliere uel masculo ibi fiat, & qui quid pro adulterio uxoris suæ acceperit, cuiuscumque condicionis sit, quasi adulter punitur.

ι.

Ὁ διδοὺς ἐν εἰδήσει τὸν οἶκον αὐτοῦ ἢ τὴν οἴκησιν ἐπὶ τὸ γενέσθαι ἐκεῖ μοιχείαν ἢ φθορὰν πρὸς ἄνδρα ἢ γυναῖκα· καὶ ὁ λαμβάνων τι ὑπὲρ μοιχείας τῆς αὐτοῦ γυναικὸς· οἱασδήποτε αἱρέσεως ἐστιν, ὡς μοιχὸς τιμωρεῖται.

περὶ προαγωγῶν ὁμοίως φησὶ καὶ ἐν τῷ ια. καὶ ἐν τῷ ιβ. κεφαλαίῳ.

XXIII.

Permittitur patri, nō etiam marito, omnem adulterum occidere, & multo magis contumelia adficere. Occidere autem, in domo, in qua ipse habitat, licet filia cum eo non habitet: & in domo generi, si in ipsa actione adulterij eam deprehendat. Sufficit autem, si eo tempore fuerit in potestate, quo occidit: licet tempore nuptiarum non fuerit in eius potestate. Alibi [pater] occidere, quam ubi habitat, uel in domo generi, non potest: nec in sua domo, in qua non habitat. Simul autem debet ambos occidere, non hunc hodie, illum post dies. Sed si dum occidit adulterum, filia fugerit, eo non dissimulante, ac persequutus post horas aliquot apprehenderit, in continenti uidetur occidere. Marito adulterum occidere licet domi suæ tantū, non tamen quemlibet: sed lenonem, & qui artem ludicram ante fecerit, uel qui in scenam prodierit cantādi aut saltandi caussa, & iudicio publico damnatum, nec restitutum, & libertum suum, uel uxoris, uel parentum, uel liberorum suorum, licet partem in eis habeant alij, & seruum. Iubet autem lex, ut is, qui prædictorum quem occiderit, nuptias soluat. Nihil autem interest, sui iuris an filiusfamilias sit maritus. Siue leno sit pater & maritus, siue sint alia ratione infames, siue ipsa mulier infamis, occidēdi ius habent, licet magi-

κγ.

Ἔξεστι τῷ πατρὶ, οὐ μὴν τῷ ἀνδρὶ, πάντα μοιχὸν φονεύειν, πολλῷ δὲ μᾶλλον καὶ ἐνυβρίζειν. φονεύειν δὲ, ἐν τῷ οἴκῳ, ἐν ᾧ μένει, κἂν μὴ συνοικεῖ αὐτῷ ἡ θυγάτηρ· καὶ ἐν τῷ οἴκῳ τοῦ γαμβροῦ, ἐὰν † αὐτῷ τῷ ἔργῳ τῆς μοιχείας αὐτὴν καταλάβῃ. † ἐν αὐτῷ. ἀρκεῖ δὲ αὐτὴν ὑπεξουσίαν εἶναι, ὅτε ἐφονεύετο· κἂν ἐν τῷ καιρῷ τοῦ γάμου μὴ ᾖ αὐτοῦ ὑπεξουσία. ἀλλαχοῦ δὲ φονεύειν, εἰ μὴ ἔνθα μένει, καὶ ἐν τῷ τοῦ γαμβροῦ, οὐ † δύναμαι, οὔτε ἐν ἰδίῳ οἴκῳ ἐν ᾧ μὴ μένει. † δύναται. ἅμα δὲ τοὺς δύο φονεύειν ὀφείλει, οὐ μὴν τὸν μὲν νῦν, τὸν δὲ μεθ' ἡμέρας. εἰ δὲ ἐν ὅσῳ φονεύσει τὸν μοιχὸν, ἔφυγεν ἡ θυγάτηρ, αὐτοῦ μὴ προσποιησαμένου· καὶ ἐπιδιώξας ἐκράτησε μετὰ τινὰς ὥρας, παραχρῆμα δοκεῖ φονεύειν. τῷ δὲ ἀνδρὶ ἔξεστιν ἐν μόνῳ τῷ ἰδίῳ οἴκῳ φονεύειν τὸν μοιχὸν, ἀλλ' οὐ πάντα· ἀλλὰ τὸν προαγωγὸν, καὶ τὸν προεπιδειξάμενον πρώην παιγνιώδη τέχνην, ἢ τὸν ἐν σκηνῇ προελθόντα ἐπὶ τῷ ᾆσαι ἢ ὀρχήσασθαι· καὶ τὸν ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθέντα καὶ μὴ ἀποκατασταθέντα· καὶ τὸν ἀπελεύθερον αὐτοῦ ἢ τῆς γυναικὸς, ἢ γονέων, ἢ παίδων αὐτοῦ, εἰ καὶ μέρος ἐπ' αὐτοῖς ἔχουσιν ἕτεροι, καὶ δοῦλον. κελεύει δὲ ὁ νόμος τὸν φονεύοντα τινὰ τῶν εἰρημένων, λύειν τὸν πρὸς τὴν γαμετὴν γάμον. ἀδιάφορον δέ ἐστιν, εἴτε αὐτεξούσιος, εἴτε ὑπεξούσιος ἐστὶν ὁ † πατήρ. † ἀνήρ. εἴτε προαγωγός ἐστιν ὁ πατὴρ καὶ ὁ ἀνήρ, εἴτε ἄλλως ἄτιμοι· εἴτε καὶ ἡ γυνὴ ἄτιμος, ἔχουσι † τοῦ φονεύειν· κἂν ἄρχων ἐστὶν ὁ

† δίκαιον τοῦ φον.

ἐστὶν ὁ μοιχὸς, ἐπὶ μέντοι τῶν γάμων ἐκείνων, ἐφ' ὧν δικαίῳ ἀνδρὸς δύναται κινεῖν.

κδ.

Ἐὰν ἀνὴρ εὕρῃ μοιχὸν, ὃν οὐκ ἔξεστι φονεῦσαι, ἢ οὐ θέλει· δύναται περικρατεῖν αὐτὸν ἐπὶ κ. ὥρας συνεχῶς, καὶ μάρτυρας εἰσάγειν τοὺς ὀφείλοντας ἐν τῇ κατηγορίᾳ μαρτυρῆσαι, ὡς ἐν τῇ μοιχείᾳ συνεσχέθη. εἰ δὲ ἀπολύσει αὐτὸν, οὐκέτι δύναται κρατεῖν αὐτόν. εἰ δὲ ἀποφύγῃ, δύναται ἐπανάγειν καὶ φυλάττεσθαι τὰς κ. ὥρας. τὰ αὐτὰ δὲ ὁ πατὴρ τῆς γυναικὸς δύναται ποιεῖν. συνεστῶτος τοῦ γάμου κατηγορεῖν ἕτερος οὐ δύναται τῆς γυναικὸς, εἰ μὴ πρότερον τοῦ ἀνδρὸς ὡς προαγωγοῦ κατηγορήσει. τὴν μέντοι παρὰ τοῦ ἀνδρὸς ἐγκαταλειφθεῖσαν κατηγορίαν, ἀνανεοῦν ἕτερος δύναται.

κη.

Ὁ τὴν γυναῖκα καταλαβὼν ἐπ' αὐτοφώρῳ μοιχευομένην, καὶ τὴν μὲν περικρατῶν, τὸν δὲ μοιχὸν ἀπολύων, ὡς προαγωγὸς τιμωρεῖται. καὶ ὁ τὴν ἐπὶ μοιχείᾳ, ἢ ἐπὶ φθορᾷ παρθένον ἢ χήραν καταδικασθεῖσαν λαμβάνων γαμετὴν, τούτῳ τῷ νόμῳ ὑποπίπτει· οὐ μὴν ὁ τὴν ἐξ ἑτέρου κεφαλαίου τῶν περὶ μοιχείας καταδικαζομένην. καὶ ὁ κέρδος διὰ μοιχείαν λαβὼν, εἴτε ἀνήρ ἐστιν, εἴτε ἄλλος. ὁ δὲ κατὰ χάριν ἀπολύων, οὐχ ὑπόκειται τῷ νόμῳ. πόρον δὲ λαμβάνει ἀπὸ μοιχείας τῆς αὐτοῦ γυναικὸς, ὁ λαμβάνων ἐπὶ τὸ πορνεῦσαι αὐτήν. εἰ δὲ πλημμελοῦσαν αὐτὴν ἀνέχεται, οὐ διὰ πόρον, ἀλλὰ διὰ ῥᾳθυμίαν ἢ ἀμέλειαν, ἢ ἀνεξικακίαν, ἢ ὠμότητα, οὐχ ὑποπίπτει τῷ νόμῳ, ἀλλὰ τυπτόμενος ἐξορίζεται.

λ.

σημείωσαι, ὅτι ἡ περὶ μοιχείας ἀγωγὴ ἐν τῷ ι. βιβλίῳ τοῦ κινεῖται, ἐν δὲ τῷ κθ. κεφ. φησὶν, ὅτι οὐ φυλάττεται τῷ χρόνῳ τούτῳ ὁ κατὰ βίαν γινομένη φθορὰ ἀνδρὶ ἢ γυναικί.

Ἐὰν [ὡς] κατηγορουμένης τῆς γυναικὸς μὴ δυνηθῇ καὶ τοῦ μοιχοῦ κατὰ τὸν αὐτὸν χρόνον κατηγορῆσαι, καὶ παρέλθῃ ἡ πενταετία· ἢ ἐὰν εἴσω τῆς πενταετίας αἰτιάσηταί τις καὶ μὴ ἐξέλθῃ, ἢ συμπαίξῃ· καὶ παρέλθῃ ἡ πενταετία, καὶ βούληται κατηγορῆσαι ἕτερος, ὑπεξαιρεῖται τῆς πενταετίας, ὁ εἰς τὴν πρώτην κατηγορίαν δαπανηθεὶς χρόνος. ἀδιάφορον εἴτε πρῶτον μοιχὸν φονεύσῃ, εἴτε τὴν θυγατέρα. εἰ δὲ μόνον τὸν ἕνα φονεύσει, ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ, εἰ μὴ τυχηρῶς συνέβη βαρέως τὸν ἕνα τραυματισθέντα διαφυγεῖν.

μδ.

Ἐάν τις καταλάβῃ ἐν νυκτὶ μοιχὸν, ὃν ἔξεστι φονεύειν ἀκινδύνως, καὶ τοῦτον φονεύσει, οὐ τιμωρεῖται. εἰ δὲ καὶ παῖδες αὐτοῦ † πεισθέντος φονεύσωσιν, ἀνεύθυνοί εἰσιν. εἰ δὲ μὴ κελεύοντος τοῦ νόμου τοῦτο ἐποίησε, συγγινώσκομεν αὐτῷ, ὅτι καὶ ἐν νυκτὶ ἥμαρτε, καὶ ὡς ἀπὸ πεπραγμένου ὀδυνηθεὶς, μόνον ἐξορίζεται.

† παιδίοντος.

με.

Ὁ μοιχὸς μετὰ πενταετίαν † εἴπερ ἁμαρτηθείσης ἡ μοιχεία λέγεται (ἥ τις συναπτῶς ἀριθμεῖται) κατηγορεῖσθαι οὐ δύναται.

† θαν.

μθ.

Περὶ τοῦ ἐγκλήματος τῆς μοιχείας συμφωνεῖν οὐκ ἔξεστιν· † καὶ ἴσον ἔγκλημα τοῦ κατηγόρου τοῦτο προδεδωκότος, καὶ τοῦ φεύγοντος τὴν τῆς ἀληθείας ζήτησιν οὐκ ἔστιν. ὅς τις

† πᾶν.

stratus sit adulter, in ijs scilicet nuptijs, in quibus iure mariti accusatio fieri potest.

XXIV.

Si maritus deprahendat adulterium, quem nolit, aut non liceat occidere: potest eum retinere XX. continuis horis, & testes inducere, futuros in accusatione testimonio, deprahensum in adulterio. Sin eum dimiserit, nō potest amplius eum retinere. Quod si euaserit, potest reducere, & custodire XX. horis. Eadem & pater mulieris facere potest. Constante matrimonio alius accusare mulierem non potest, nisi maritum lenocinij prius accusauerit. At derelictam a uiro accusationem alius restaurare potest.

XXVIII.

Qui uxorem deprahensam in ipso adulterio retinet, & adulterū dimittit, ut leno punitur. Et qui adultery uel stupri uirginē aut uiduam damnatam uxorem ducit, in hanc legē incidit: non etiā, qui ex alio capite de adulterys damnatam. Et qui pretiū pro adulterio accepit, siue maritus sit, siue alius. Qui gratis remittit, nō tenetur. Quaestum uero ex adulterio uxoris suae accipit, qui accipit ut ipsa adulteretur. Quod si eā delinquere patiatur, non ob quaestum, sed negligentiam, uel culpam, uel patientiā, uel crudelitatem, non incidit in legem, sed uerberatus relegatur.

XXX.

Si accusata sit mulier, & adulter eodem tempore non potuerit accusari, & quinquennium transierit, uel si intra quinquennium quis postuletur, & nō peragatur, uel collusio interueniat, & quinquennium transeat, aliusq; accusare uelit: eximitur quinquennio consumtum in priorem actionem tēpus. Nihil interest, adulterum prius occidat, an filiam. Quod si unum tantum occidat, tenetur lege de sicarijs; nisi forte contingat unum euadere, grauiter uulneratum.

Nota, quod accusatio adulterij fiat intra quinquenniū. Cap. 29. dicitur, non concludi hoc tempore stuprum per uim illatum mari uel feminæ.

XLIIII.

Si quis noctu deprahendat adulterum, quem impune licet occidere, & eum occiderit, non punitur. Sed & si filij eius ei obtemperantes occiderint, extra noxam sunt. Quod si non praecipiente lege hoc fecit, ignoscimus ei, quia & noctu deliquit, & facti dolore permotus. ideoque tantum relegatur.

l. Gracchus. C. lex iu.

XLV.

Adulter post quinquennium, quam commissum adulterium dicitur, quod quidem cōtinuo numeratur, accusari non potest.

XLIX.

De crimine adulterij pacisci non licet, ac par delictum accusatoris, praeuaricatoris, & fugientis inquisitionem ueritatis non est. Qui

raperet, uel damnum daret, licet ab alio homines coacti sint. Continentur autem & ij, qui cogunt, & ij qui coguntur. Intra annum uerum rei pretium quadruplatur, nō id quod interest.

III.

Etiam familiae nomine agitur, & non cogitur ostendere, qui ex familia sint, qui rapuerūt, uel damnum dederunt.

VI.

l. penul. D. eod. *Raptor oblatione rei ante litem pœna non liberatur.*

Refer huc lib. huius ex tit. VI. cap. XXXV. in quo dicitur:

Nota quod intra annum mouecatur. l. 13. C. de furt. l. 1. D. de incend. *Si quis ex incendio, uel naufragio quid abstulerit, aut minuerit: intra annum utilem in quadruplum tenetur, post annum in simplum, praeter pœnam iam * olim statutam.*

SCHOLION.

* Hoc est, ut etiam fisco tantum pendat, quantum accusatori: ut est lib. 43 tit. 3 cap. 31. & 42.

Huc etiam pertinet tit. XVIII. cap. II. & III. ubi dicitur:

l. 3. D. ad Iul. de ui publ. *Et qui ex incendio rapit aliquid, praeter materiam, & qui ad incendium armatus accesserit rapiendi caussa, uel prohibendi dominum res suas seruare, & qui cum armis possessorem deiecerit domo uel fundo, lege de ui publica tenentur. Eius condemnatio est in metallum perpetua relegatio.*

Et cap. XIII.

Idem est rapere, ac scientem rapta suscipere.

Item tit. XX. cap. I. cuius uerba sunt:

l. 1. D. de incend. l. in omn. C. de furt. *Qui ex incendio uel ruina rapit, aut dolo recipit, aut damnum dat, intra annum continuum, in quadruplum: post annum, in simplum tenetur. Competit autem haec actio in seruum, & in familiam. Competit & criminalis persequutio. Ex incendio uidetur accipere, qui occasione incendij capit, & ex adiacentibus aedibus. Nam & in bello amissum dicimus, quod occasione belli amissum est. Idem obtinet etiam in ruina.*

Et cap. V.

Quare & tit. 39. huius libri, cap. 6. 7. 8. de incendiarijs. l. si quis. D. eod. *Qui rem seruatam ex incendio & ruina, & alio loco positam furatur uel rapit: & fur, & raptor est, maxime si non ignorabat, unde esset.*

Item lege tit. LI. cap. XXVIII. in quo dicitur:

l. capitalium. §. grassatores D. de pœnis. *Grassatores, qui praeda caussa id faciunt, similes sunt latronibus: & si cum ferro id faciāt, & saepius, & in itineribus, capite puniuntur.*

σαι ἢ ζημιώσῃ, κἂν ὑφ' ἑτέρου συνήχθησαν. περιέχονται δὲ καὶ οἱ συνάγοντες καὶ οἱ συναχθέντες. ἔσω ἐνιαυτοῦ, τὸ ἀληθὲς τοῦ πράγματος τίμημα τετραπλασιάζεται: οὐ μὴν τὸ διαφέρον.

γ.

Καὶ ὀνόματι φαμιλίας κινεῖται: καὶ οὐκ ἀναγκάζεται δεῖξαι τίνες ἐκ τῆς φαμιλίας εἰσὶν οἱ ἁρπάσαντες ἢ ζημιώσαντες.

ϛ.

Ὁ ἅρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς, πρὸ τῆς δίκης παρέχων τὸ πρᾶγμα.

Ἀνάγνωθι καὶ βιβλίου τούτου τίτλον ϛ. κεφ. λε. ἐν ᾧ φησίν.

Ἐάν τις ἀπὸ ἐμπρησμοῦ ἢ ναυαγίου ἀφέληταί τι, ἢ μειώσῃ: ἐντὸς ἐνιαυτοῦ ὡρισμένου εἰς τετραπλάσιον κατέχεται. μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν, πρὸς τῇ ἤδη ὡρισμένῃ ποινῇ. ἐν ἐνιαυτῷ ἐν τετραπλῷ κινεῖται.

ΣΧΟΛΙΟΝ.

Τουτέστιν, ἵνα καὶ τῷ δημοσίῳ τόσον παράσχῃ, ὅσον τῷ ἐνάγοντι. ὡς βιβλίον μγ. τίτλῳ γ. κεφ. λα. καὶ μβ.

Ἀνάγνωθι καὶ τίτλον ιη. οὗ τινος ἐν τῷ β. καὶ γ. κεφαλαίῳ.

Καὶ ὁ ἁρπάζων τι ἐξ ἐμπρησμοῦ πλὴν † ὕλης, καὶ ὁ παραγινόμενος ἔνοπλος εἰς ἐμπρησμὸν ἐπὶ τῷ ἁρπάσαι, ἢ κωλύσαι τὸν δεσπότην σῶσαι τὰ ἴδια: καὶ ὁ μετὰ ὅπλων ἐκβαλὼν τὸν νομέα ἐκ τοῦ οἴκου ἢ ἀγροῦ: τῷ περὶ βίας † δημοσίῳ νόμῳ κατέχονται. ἔστι δὲ καὶ ἡ καταδίκη αὐτῆς, ἡ εἰς μέταλλον διηνεκὴς ἐξορία. † ὕλης. † δημοσίας.

Ἐν δὲ τῷ ιγ. κεφαλαίῳ.

Ὅμοιόν ἐστι τὸ ἁρπάσαι καὶ τὸ ὑποδέξασθαι τὰ ἁρπαγέντα ἐν εἰδόσει.

Ἀνάγνωθι καὶ τίτλον κ. οὗ τινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ὅτι ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως ἁρπάζων, ἢ κατὰ δόλον ὑποδεχόμενος, ἢ ζημιῶν, ἔσω μὲν συνεχοῦς ἐνιαυτοῦ, εἰς τὸ τετραπλοῦν: μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν ἐνέχεται. ἁρμόζει δὲ ἡ ἀγωγὴ, † ἡ κατὰ δούλου καὶ φαμιλίας. ἁρμόζει δὲ καὶ ἐγκληματικὴ ὑπεξέλευσις. καὶ ὅτι: ἀπὸ ἐμπρησμοῦ δοκεῖ λαμβάνειν, ὁ κατὰ πρόφασιν τοῦ ἐμπρησμοῦ λαμβάνων, καὶ ἐκ τῶν παρακειμένων οἴκων. καὶ ἐν πολέμῳ γὰρ ἀπολωλὸς λέγομεν, τὸ κατὰ πρόφασιν τοῦ πολέμου ἀπολλύμενον. ὁμοίως καὶ ἐπὶ καταπτώσεως. † καὶ κατὰ δούλου.

Καὶ ε. κεφάλ.

Ὁ τὸ σωθὲν ἀπὸ ἐμπρησμοῦ καὶ καταπτώσεως καὶ τεθὲν ἐν ἄλλῳ τόπῳ, κλέψας, ἢ ἁρπάσας: καὶ κλέπτης καὶ ἅρπαξ ἐστὶν, μάλιστα ἐὰν μὴ ἠγνόησε πόθεν ἦσαν. ζήτει καὶ τίτλον λθ. τοῦ αὐτοῦ βιβλίου, κεφ. ϛ. καὶ ζ. καὶ η. περὶ τῶν ἐμπρηστῶν.

Ἀνάγνωθι καὶ τίτλον να. κεφάλαιον κη. ἐν ᾧ φησίν.

Οἱ τὰς ἐφόδους ποιοῦντες διὰ τὸ πραιδεῦσαι, ἐοίκασι τοῖς λῃσταῖς. καὶ ἐὰν τοῦτο μετὰ σιδήρου ποιῶσι καὶ πολλάκις καὶ ἐν ταῖς ὁδοῖς, κεφαλικῶς κολάζονται. οἱ δὲ

οἱ δὲ λοιποὶ ἐξορίζονται ἢ ὑπερορίζονται.

Ἀνάγνωθι καὶ βιβλίον νγ. τίτλον γ. οὗ τινος ἐν τῷ κε. κεφαλαίῳ φησίν.

Ὁ ἀπὸ ναυαγίου ἢ πλοίου πορθηθέντος ἁρπάζων, ἢ κατὰ δόλον ὑποδεχόμενος, ἢ ζημιῶν· εἴσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν· μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν ἐνέχεται. ἁρμόζει δὲ ἡ ἀγωγὴ, κατὰ δούλου καὶ φαμιλίας. ἁρμόζει δὲ καὶ ἐγκληματικὴ ἐπεξέλευσις. χώραν δὲ τῷ νόμῳ ἐὰν κατὰ τὸν χρόνον, καὶ ἐν τόπῳ, ἐν ᾧ τὸ ναυάγιον γέγονεν, ἀφέληται. κατέχεται δὲ τῷ σικαρίοις, καὶ ὁ λαβὼν ἀπὸ ναυαγίου. ἐν δὲ τῷ μγ. κεφαλαίῳ. ὁ ἁρπάζων τι ἀπὸ ναυαγίου, καὶ ὁ βιαζόμενος ναύτας ἢ λαβὼν ἀπὸ ναυαγίου καὶ κρύψας, εἰς τὸ τρίτον τῆς οὐσίας δημεύεται. καὶ ὅτι συγκλητικὸς ἢ ἄρχων γίνεται, ἢ ἄλλην μετέρχεται τιμὴν, ἀλλὰ καὶ σφοδρῶς τιμωρεῖται.

τὸ δὲ σικαρίοις ἡ ποινὴ, νήσῳ περιορισμός ἐστι, καὶ πάσης τῆς οὐσίας ἀφαίρεσις.

ΠΕΡΙ ΣΤΑΣΙΩΤΩΝ, ἮΤΟΙ ΤΩΝ στάσεις καὶ θορύβους καὶ ὀχλαγώγια ποιούντων, καὶ τῶν διεγειρόντων αὐτοὺς † ὑποδεχομένων.

† ὑποδ.

Τίτλος ιζ. κεφ. γ.

Ἐάν τις κατὰ δόλον ἐν θορύβῳ ζημιώσῃ, εἴσω μὲν συνεχοῦς ἐνιαυτοῦ, εἰς τὸ διπλοῦν ἐνέχεται· μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. οὐ μόνος δὲ ὁ ἐν θορύβῳ ζημιώσας ἐνέχεται, ἀλλὰ καὶ ὁ ποιήσας δόλον ἐφ' ᾧ ἕτερον ζημιῶσαι· εἴτε παρῆν αὐτὸς τῷ θορύβῳ, εἴτε μή. καὶ ὁ ἐλθὼν εἰς τὸν θόρυβον † καὶ τοῦ δόλου καὶ τῆς ζημίας μετεσχὼν, ἐνέχεται.

† καὶ τοῦ δόλου καὶ τῆς ζημίας.

δ.

Ἐάν τις ἐπὶ τῷ γενέσθαι ζημίαν ὠθήσῃ τὸν δοῦλόν μου καὶ θορύβου γινομένου ἀπολέσῃ τι ὁ δοῦλος, ἐνέχεταί μοι ὠθήσας. εἰ δὲ † καὶ ἐπὶ τῷ ζημιῶσαι, ἀλλὰ δὲ ὕβρει τὸν ὄχλον συνήγαγεν ἐπὶ τῷ μαστιγῶσαι τὸν δοῦλον ἐπὶ αὐτῶν, ἐνέχεται τῇ παρούσῃ ἀγωγῇ ἐπὶ τῇ συμβάσῃ ζημίᾳ.

† ἐν ἄλλ.

Ἀνάγνωθι καὶ τίτλον ιη. κεφάλαιον β. ἐν ᾧ φησίν.

Καὶ οἱ βουλευσάμενοι θόρυβον, ἢ ἐπίστασιν ποιῆσαι, καὶ οἱ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους· καὶ ὁ ἔφηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος· καὶ οἱ ἐξ ἐφόδου ἀγροῖς ἐπιόντες καὶ ἁρπάζοντες πράγματα, τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται.

ΣΧΟΛΙΟΝ.

Ἡ καταδίκη τοῦ περὶ βίας δημοσίας ἐγκλήματος, ἡ ἐν μετάλλοις διηνεκὴς ἐξορία ἐστίν. ὁ δὲ καταδικασθεὶς τῷ περὶ βίας ἰδιωτικοῦ νόμῳ καὶ ἐκ τρίτου τῆς οὐσίας δημεύεται· καὶ ὅτι συγκλητικὸς, ὅτι ἄρχων γίνεται, ὅτι ἄλλης μετέρχεται τιμῆς.

Ἀνάγνωθι καὶ τίτλον κα. κεφάλαιον ιε. ἐν ᾧ φησίν.

Ὁ ποιήσας ὀχλαγώγιον, ἢ κατὰ δόλον παρασκευάσας γενέσθαι, ἐνέχεται. ἔστι δὲ ὀχλαγώγιον πολλῶν ἰχνῶν σύνοδος, ὅτε πολλῶν ἰχνῶν φωναὶ παρὰ τοὺς ἀγαθοὺς τῆς πόλεως τρόπους † εἰς αὐτὸ συντρέχουσιν εἰς

† ἐν ἄλλ.

Ceteri relegantur, uel deportantur.

Item lib. LIII. tit. III. cap. XXV. dicitur:

Qui ex naufragio, uel expugnata naui quid rapit, uel dolo recipit, uel damnum dat: intra annum in quadruplum, post annum in simplum tenetur. Et competit hæc actio in seruum, & in familiam. Competit & criminalis persequutio. Edicto locus est, si quis eo tempore ac loco, quo naufragium accidit, abstulerit. Tenetur & lege Cornelia de sicarijs, qui aliquid ex naufragio accepit. Item cap. XLIII. Qui rapit aliquid ex naufragio, uel uim nautis facit, uel sublatum aliquid ex naufragio celat: eius tertia bonorum pars publicatur, & neque senator uel magistratus fit, aliúmue honorem capit, & acriter punitur.

l. 1. cum seq. D. de incend.

Legis Corneliæ de sicarijs pœna est relegatio in insulam, & omnium bonorum ademtio. l. 3. §. penul. D. ad l. Cor. de sic. l. 1. D. ad l. Iul. de ui priuat.

DE SEDITIOSIS, HOC EST, EXcitantibus turbas, & tumultus, & conuicia facientibus, deque horum instigatoribus & susceptoribus.

TIT. XVII. cap. III.

Si quis dolo in turba damnum dederit, intra annum quidem continuum, in duplum: post annum uero, in simplum tenetur. Non is uero tantum, qui in turba damnum dedit, tenetur: sed & is, qui dolo fecit, ut alius quispiam damnum daret, siue turbæ præsens ipse fuerit, siue non. Et is, qui uenit in turbam, & doli ac damni particeps fuit, tenetur.

l. 4. D. ui bon. rapt.

IV.

Si quis damni dandi caussa pulsauerit seruum meum, & turba facta seruus aliquid amiserit: is, qui pulsauit, tenetur mihi. Si uero non damni, sed iniuriæ facienda caussa, turbam coëgit, ut coram eis seruum cæderet: hac actione damni, si quod inde contigit, tenetur.

Huc pertinet tit. XVIII. cap. II. ubi dicitur:

Qui consilium inierint turbæ uel seditionis faciendæ, & qui liberos uel seruos armatos habuerint, & pubes qui gladium in publico gesserit, & qui agros ex impreßione inuadunt, & bona rapiunt, lege de ui publica tenentur.

l. 3. D. ad l. Iul. de ui publ.

SCHOLION.

Pœna uis publicæ est in metallū perpetua deportatio. De pœna uis priuatæ paulo ante dictū, & exstat in l. 1. D. ad l. Iul. de ui priu.

Item tit. XXI. cap. XV.

Qui conuicium fecit, uel dolo curauit fieri, tenetur. Est autem cōuicium plurium quorumdam conuentus, quum multorum uoces aduersus bonos mores ciuitatis in idem concurrunt, ad

l. item apud. §. ait prætor. De iniur.

inuidiam & infamiam alicuius. Etiam absenti fit conuicium, quum quis ad domum uenit, uel ad stationem, uel tabernam. Et facit conuicium non tantum is, qui uociferatur: sed & qui concitauit alios, aut summisit, ut uociferentur.

Et cap. XXVIII.

Actio iniuriarum ex conuicio nec heredibus, nec in heredes datur.

Item tit. LI. cap. XXXIIII.

l. si quis aliquid. §. 2. D. de pœn. *Qui populum concitant ad seditionẽ uel turbam, pro dignitate uel furca suspenduntur, uel bestijs obijciuntur, uel deportantur.*

Lege item tit. LXI. cap. I. in quo dicitur:

l. 1. & 2. C. de sedit. *Quicumque suscipit plebem, ut quid faciat contra publicam disciplinam, grauißima pœna subijcitur. Qui adclamarunt alicui, & ex eo turbã concitarunt: nihil eorum, quæ postulant, consequantur: & pœnis subijciantur, quibus tumultus auctores tenentur.*

DE INIVRIIS.

TIT. XXI. cap. I.

Lege & nouel. 131. cap. 47. ubi dicitur de iniuria ecclesiæ, uel episcopo, uel clerico facta. *Vide lib. D. 47. tit. 10.*

Generaliter quidem iniuria dicitur, quod illegitimum est: specialiter autem contumelia & damnum, ut in Aquilia: & iniustitia, ut in eo, qui inique & iniuste pronuntiat. Iniuria aut re fit, aut uerbo: & uel in corpus, uel in dignitatem, uel in infamiam. In corpus, ut in eo qui pulsatur. In dignitatem, ut quum matrona comes abducitur. In infamiam, quum alicuius pudicitia adtentatur. Iniuriam uero patitur quis aut per se, aut per alium: ueluti filium, seruum, uxorem, nurum. Et cadauere iniuria adfecto, heredi eius fit iniuria. Sed & si quis uolentem filium meum uendiderit, uel iniuria adfecerit: ei quidem non competit actio iniuriarum, (quippe iniuria non est, quæ in uolentem fit) at mihi competit.

III.

Siue scieris, siue ignoraueris, te filium meum uel uxorem iniuria adficere: habeo nomine meo actionem iniuriarum. Et ex una iniuria tribus personis cõpetit actio iniuriarum. Vxori enim mea facta iniuria, & ipsa, & pater eius, & ego, habemus actionem. Et per unum alterius actio non consumitur. Viro autem iniuria adfecto, uxor non agit. Licet pro regula traditum sit, eos iniuriam pati, qui & facere poßint: tamen sunt quidam, qui iniuriam pati possunt, facere non possunt, ut furiosus & impubes, qui non est doli capax. Iniuria enim adfici & qui non sentit, potest. Nemo autem iniuriam facit, nisi ex adfectu, & qui scit se iniuriam facere, licet ignoret, cui fiat. Quare si ludens

φθόνον καὶ ἀτιμίας τινός. Καὶ τῷ ἀπόντι γίνεται ὀχλαγώγιον, ὅτε τὶς ἐπέλθῃ τῷ οἴκῳ, ἢ τῇ στατίωνι, ἢ τῷ ἐργαστηρίῳ. ὀχλαγώγιον ποιεῖ, οὐ μόνον ὁ κράζων, ἀλλὰ καὶ ὁ συγκαλεσάμενος ἄλλους ἢ ὑποβαλὼν ἐπὶ τὸ κράξαι.

κη.

Ἡ ἀπὸ τοῦ ὀχλαγωγίου περὶ ὕβρεως ἀγωγὴ, οὔτε κληρονόμοις, οὔτε κατὰ κληρονόμων δίδοται.

Ἀνάγνωθι καὶ τίτλον να. κεφάλαιον λδ.

Οἱ τὸν δῆμον ἐρεθίζοντες εἰς στάσιμον ἢ θόρυβον, πρὸς τὴν ἀξίαν αὐτῶν, ἢ φουρκίζονται, ἢ θηριομαχοῦσιν, ἢ περιορίζονται.

Ἀνάγνωθι καὶ τίτλον ξα. ἐν ᾧ φησίν.

Πᾶς ὁ ὑποδεχόμενος δῆμον ἐπὶ τῷ ποιῆσαι τί κατὰ τῆς κοινῆς εὐταξίας, βαρυτάτῃ ὑπόκειται τιμωρίᾳ. οἱ καταβοήσαντές τινος καὶ ἐκ τούτου θόρυβον κινήσαντες, μηδὲν μὲν κερδανέτωσαν ἐξ ὧν αἰτοῦσιν: ὑποβαλλέσθωσαν δὲ ταῖς τιμωρίαις, αἷς ἔσω οἱ θορύβους αἰτιῶντες ὑποβάλλονται.

ΠΕΡΙ ΥΒΡΕΩΣ.

Τίτλος κα. κεφάλ. α.

Γενικῶς μὲν ὕβρις λέγεται, τὸ παράνομον: ἰδικῶς δὲ ἡ περιφρόνησις καὶ ἡ ζημία, ὡς ἐπὶ τοῦ ἀκυιλίου: καὶ ἡ ἀδικία, ὡς ἐπὶ τοῦ ἀδίκως καὶ παρανόμως ψηφισαμένου. ἡ ὕβρις ἢ λόγῳ, ἢ ἔργῳ γίνεται: καὶ εἰς σῶμα, ἢ εἰς ἀξίαν, ἢ εἰς ἀτιμίαν. εἰς σῶμα, ὡς ἐπὶ τοῦ πληγέντος: εἰς ἀξίαν, ὡς ὅταν ὁ ἀκολουθῶν τῇ οἰκοδεσποίνῃ ἀφέλκηται: εἰς ἀτιμίαν, ὡς ὅταν ἀποπειρᾶται τῆς σωφροσύνης τινός. ὑβρίζεται δὲ τις, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἑτέρων, οἷον υἱῶν, δούλων, γυναικὸς, νύμφης. καὶ λειψάνου ὑβριζομένου, ὁ κληρονόμος αὐτοῦ ὑβρίζεται. εἰ δὲ καί τις βουλόμενον τὸν υἱόν μου πωλήσει ἢ ὑβρίσει, αὐτῷ μὲν οὐχ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. ὕβρις γὰρ οὐκ ἔστιν ἡ γινομένη εἰς τὸν βουλόμενον, ἐμοὶ δὲ ἁρμόζει.

ἀνάγνωθι τὸ τετραχό μα. κεφ. μζ. ἐν ᾧ φησὶ περὶ ὕβρεως εἰς ἐκκλησίαν ἢ πρὸς ἐπίσκοπον γενομένης ἢ κληρικόν.

γ.

Εἴτε ᾔδεις, εἴτε ἠγνόεις ὡς ἐμὸν υἱὸν ὑβρίζεις, ἢ γαμετήν μου, ἔχω ὀνόματί μου τὴν περὶ ὕβρεως ἀγωγήν. καὶ ἐπὶ μιᾷ ὕβρει τρισὶ προσώποις ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. τῆς γυναικὸς γάρ μου ὑβρισθείσης, καὶ αὐτὴ καὶ ὁ πατὴρ αὐτῆς, κἀγὼ ἔχομεν τὴν ἀγωγὴν, καὶ οὐκ ἀναιρεῖται διὰ τοῦ ἑνὸς ἡ τοῦ ἑτέρου. ὑβριζομένου δὲ τοῦ ἀνδρὸς, ἡ γυνὴ οὐκ ἐνάγει: κἂν τὰ μάλιστα κεκανόνισται ἐκείνους ὑβρίζεσθαι, τοὺς δυναμένους καὶ ὑβρίζειν. ὅμως εἰσί τινες ὑβριζόμενοι μὲν, μὴ δυνάμενοι δὲ ὑβρίζειν, ὡς ὁ μαινόμενος καὶ ἄνηβος, ὁ μὴ ὢν δόλου δεκτικός. ὑβρίζεσθαι μὲν γὰρ καὶ ὁ μὴ αἰσθανόμενος δύναται. οὐδεὶς δὲ ὑβρίζει, εἰ μὴ ἀπὸ διαθέσεως: καὶ ὁ γινώσκων ὡς ὑβρίζει, κἂν ἀγνοῇ † τίνι γίνεται ἡ ὕβρις. ὅθεν ἐὰν παίζων † τινὶ.

† ἢ ἀγνο.

† ἐνέχετ. ἢ ἀγωνιζόμενος κρούσῃς τινὰ, οὐκ † ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ: ὅτι μὴν ὁ τὸν ἐλεύθερον ὡς
† ἑκὼν τὸν. δοῦλον τύπτων: ὅτι † μὴν τὸν δοῦλον μου θέλων τύψαι, παρεστῶτά σε, τύψω ἄκων. ϛ.

Ἐπὶ τῆς περὶ ὕβρεως ἀγωγῆς καλῶς ὁ ἐνάγων ὅρκον ἐπιφέρει τῷ ἐναγομένῳ ὡς οὐχ ὕβρισεν.

θ.

Οὔτε αὐτεξουσίῳ υἱῷ κατὰ τοῦ πατρὸς, οὔτε ἀπελευθέρῳ κατὰ πάτρωνος ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγὴ, εἰ μὴ σφοδρῶς ὕβρισε, πλήξας τυχὸν ἢ τραυματίσας. ἐφεῖται γὰρ τοῖς πάτρωσι, μετρίως σωφρονίζειν τοὺς ἀπελευθέρους. τῷ δὲ ὑπεξουσίῳ παιδὶ, οὔτε ἀπὸ ὕβρεως τραχείας, ἡ περὶ ὕβρεως ἁρμόζει κατὰ τοῦ πατρός. ια.

Περὶ πάσης ὕβρεως ἔξεστι χρηματικῶς κινεῖν. ἡ τραχεῖα ὕβρις, ἢ ἀπὸ τοῦ προσώπου, ἢ αὐτοῦ τοῦ
† τόπου. πράγματος, ἢ τοῦ † τρόπου κανονίζεται: ἀπὸ προσώπου, ὅταν ἄρχοντι, ἢ πατρὶ γένηται: ἀπὸ τόπου, ὅταν ἐν θεάτρῳ, πάντων ὁρώντων: ἀπὸ τοῦ πράγματος, ὅταν τραῦμα δοθῇ, ἢ ὄψις πληγῇ. οὐ μό-
† πράγματος. νον τὸ μέγεθος τοῦ † πράγματος εἰσάγει τραχεῖαν ὕβριν, ἀλλὰ καὶ ὁ τόπος: ἐὰν τυχὸν ἐν ὀφθαλμῷ γένηται. καὶ τὸ σχίσαι τὴν ἐσθῆτά τινος, καὶ τὸ ἀποσπάσαι τὸν ἀκόλουθον, καὶ τὸ ποιῆσαι ὀχλαγωγίαν, καὶ τὸ ἐν
† μὴ σφοδρῶς. θεάτρῳ πλῆξαι, εἰ καὶ † σφοδρῶς: τραχεῖαν ὕβριν εἰσάγει: εἴτε αὐτεξουσίῳ γένηται, εἴτε ὑπεξουσίῳ. δούλου τραχεῖαν ὕβριν ποιήσαντος, εἰ μὲν πάρεστιν ὁ δεσπότης, ἐνάγεται: εἰ δὲ μὴ πάρεστιν, ὁ ἄρχων
† φραγγελλίζει. αὐτὸν † φραγγελλίζει. ιγ.

Οὐ μόνος ὁ τύψας ἢ ὑβρίσας, ἀλλὰ καὶ ὁ παρασκευάσας τοῦτο γενέσθαι, κατέχεται.

ιη.

Οὔτε κληρονόμοις, οὔτε κατὰ κληρονόμων ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή: κἂν δοῦλος ὑβρισθῇ τοῦ τελευτήσαντος παρόντος αὐτοῦ, εἰ μὴ κατήρχθη.

κε.

Ὁ πολλάκις ἀνατείνας τὴν χεῖρα καὶ μὴ τύψας, οὐ τιλίᾳ περὶ ὕβρεως ἀγωγῇ ἐνέχεται.

κθ.

† προσλαβών. Ὁ † προσβαλὼν γυναικὶ ἐνδεδυμένῃ σχῆμα δούλης, ἢ πόρνης, ἧττον μὲν ἁμαρτάνει: ὑπόκειται δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ: καὶ ὁ ἀποσπάσας τὸν ἀκόλουθον αὐτῆς, εἴτε δοῦλός ἐστιν, εἴτε ἐλεύθερος, ἀνὴρ ἢ γυνὴ, ἐν δημοσίῳ ἢ ἰδιωτικῷ τόπῳ. ἀκόλουθος δέ ἐστιν, ὁ ἀφορισθεὶς ἐπὶ τοῦ συνεχῶς ἀκολουθεῖν αὐτῇ, ὁποῖός ἐστι καὶ ὁ παιδαγωγός. ἀποσπᾷν δοκεῖ, οὐχ ὁ δεξάμενος, ἀλλ' ὁ ἀποτελέσας. ἀποσπᾷν δὲ οὐ
† ἤ. δοκεῖ μόνον † ὁ βιαζόμενος, ἀλλὰ ὁ συμβουλεύ-
* αὐτῶν. σας αὐτῷ καταλιπεῖν * αὐτό. καὶ ὁ † προσλαβὼν
† προσβάλλων. καὶ ὁ συνεχῶς μετὰ σιωπῆς ἐπακολουθῶν ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ. * προσβαλεῖν δέ ἐστι, τὸ ἀπα-
* προσβάλλειν. τηλοῖς ῥήμασιν ἀποπειρᾶσθαι τῆς ἄλλου σωφροσύνης. ὁ δὲ ῥήμασιν αἰσχρῶς χρώμενος, οὐ προσβάλλει μὲν, ὑπόκειται δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ. πρὸς τὴν ποιότητα τοῦ πράγματος καὶ τῶν προσώπων, ποιεῖται τὴν ζήτησιν καὶ τὴν ἐπέξελευσιν ὁ ἄρχων.

uel certās percusseris aliquem, iniuriarum non teneris. nec etiam is, qui liberū ut seruum cadit. Nec si seruum meum uolens cadere, adstātem te percussero inuitus. VI.

In actione iniuriarum rectè actor reo iusiurandum defert, ut iuret se iniuriam non fecisse.

VIIII.

Neque filio emancipato aduersus patrē, neq; liberto aduersus patronum competit actio iniuriarū, nisi atrox sit iniuria: ut si uerberauerit, uel uulnerauerit. Licet enim patronis mediocriter castigare libertos. At filio familias nec ex atroci iniuria cōpetit hac actio aduersus patrem.

XI.

*De omni iniuria licet agere ciuiliter. Atrox iniuria uel ex persona, uel ex ipsa re, uel loco definitur. Ex persona, quum magistratus uel patri fit. Ex loco, quum in theatro, cunctis uidētibus. Ex re, quū uulnus infertur, uel facies caditur. Nec solum magnitudo uulneris inducit atrocē iniuriam, sed & locus, ueluti si oculus uulneratus sit. Scindere uestem alicuius, & comitem abducere, & * conuicium facere, & in theatro cadere, licet non atrociter, atrocē iniuriam inducit, siue patrifamilias fiat, siue filiofamilias. Seruo atrocē iniuriam faciente, si dominus præsens est, tenetur: si abest, præses eū flagris cadit.* * ἐγκαλέσαι ποιῶν.

XIII.

Non solum qui percussit, uel iniuriam fecit, sed & qui curauit hoc fieri, tenetur.

XVIII.

Nec heredibus, nec in heredes competit actio iniuriarum, etiam si seruo defuncti fiat iniuria eo superstite, nisi contestata fuerit.

XXV.

Qui sæpe manū extulit, & nō percussit, utili iniuriarū actione tenetur. XXIX.

*Qui † appellat mulierē ancillæ uel meretricis habitu uestitam, minus peccat, tenetur tamen iniuriarū. Et qui abduxit ei comitē, siue seruus sit, siue liber, mas uel femina, in publico uel priuato loco. Comes autem est, qui destinatus est, ut frequenter eā sequatur, qualis est & pædagogus. Abducere autem uidetur, non qui cepit, sed qui perfecit. Nec abducere tantum is uidetur, qui uim facit: sed & qui persuadet ei, ut eā deserat. Et qui appellat, & qui frequenter cum silentio adsectatur, tenetur iniuriarū. Appellare autē, est * blādis uerbis alterius pudicitiā adtentare. Qui turpibus uerbis utitur, non appellat, tenetur tamē iniuriarum. Pro qualitate rei & personæ, rem examinat, & exsequitur Prætor.*

† ἢ προσβαλὼν legitur & προσλαβών.

* ἀπατηλοῖς, subdolis, ad fraudem compositis.

XXXII.

XXXII.

Qui alienum seruum cõtra bonos mores uerberat, uel ignorante domino de eo quæstionem habet, tenetur iniuriarum. Verberare dicitur & pugnum dare. Quæstio autem est, adhibere tormenta & dolorem corpori ad eruendam ueritatem. Item pedes ligno inijcere. Nuda uero interrogatio, & leuis territio, non pertinent ad iniuriarum actionem. Is etiam, qui iussu domini quæstionem habet, si modum excesserit, tenetur. Si uerberetur seruus, uel quæstio de eo habeatur, omni modo competit actio iniuriarum. Sin aliter ei fiat iniuria, non omnino: sed caussa cognita, ex qualitate iniuriæ, & persona serui. Quædã iniuriæ, a liberis factæ, leues & nullius pretij sunt: a seruis autem factæ, sunt atroces. Sicut ex alijs delictis seruorum, ita ex iniuria competit actio noxalis, & electionem habet dominus, ut uel eum uerberandum præstet, uel noxa dedat, uel præstet æstimationem litis.

Quid quæstio sit.

XXXIII.

Modum uerberum, ut uir bonus, iudex arbitrari debet. Si iussu domini seruus iniuriam fecerit, suo nomine tenetur, atq; etiam post libertatẽ ipsus tenetur. Nec enim in omnibus domino parere debet, nec iussu eius occidere. Quod si defendens dominum aliquid fecerit, non est sub querela, sed actori exceptio opponitur.

XXXVI.

Si seruus seruo fecerit iniuriam, perinde est ac si domino eius fecisset.

XLIII.

Si quis stuprauerit ancillã, uel alio quodam furandi consilio detinuerit eam, & iniuriarum & furti tenetur in duplum. Quod si eam immaturam stuprauerit, etiam Aquilia tenetur.

LI.

Qui contemnit actionem iniuriarum ob infamiam suam & egestatem, & ideo atrociorem iniuriam facit, acriter coercetur.

LIII.

Etiam ex lege Cornelia iniuriarum agitur ciuiliter, & æstimatur arbitrio iudicis.

LVII.

Qui appellat, si conuicium iudici fecerit, infamis fit. Qui per calumniam egit iniuriarum, uel relegatur, uel dignitate amouetur.

LX.

*De iniuria extra ordinem statuitur. & serui quidem flagellis cæsi dominis restituuntur, liberi * autem humiliores fustibus cæduntur, reliqui uel ad tempus relegantur, uel re aliqua interdicuntur.*

* Aut etiam multam pecuniariam soluunt, usque ad CL. aureos, taxante hanc iudice pro qualitate iniuriæ.

λβ.

Ὁ τὸν ἀλλότριον δοῦλον παρὰ τοὺς ἀγαθοὺς τρόπους μαστίζων, ἢ ἀγνοοῦντος τοῦ δεσπότου ἐξετάζων, ὑπόκειται τῇ περὶ ὕβρεως ἀγωγῇ. τυπῆσαι λέγεται καὶ τὸ κόνδυλω δοῦναι. κυαίστιον δέ ἐστι, τὸ ἐπαγαγεῖν βάσανον καὶ πόνον τῷ σώματι πρὸς κατάληψιν τῆς ἀληθείας, καὶ τὸ ἐμβαλεῖν τοὺς πόδας ξύλῳ. ἡ δὲ ψιλὴ ἐρώτησις, καὶ ἡ μετρία καταπτόησις, οὐκ ἀνήκει πρὸς τὴν περὶ ὕβρεως ἀγωγήν. καὶ ὁ κελεύσει δεσπότου ἐξετάζων, ἐὰν τὸ μέτρον παρεξέλθῃ, ὑπόκειται. ἐὰν τυπηθῇ δοῦλος ἢ ἐξετασθῇ, παντὶ τρόπῳ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. εἰ δὲ ἄλλως ὑβρισθῇ, οὐ πάντως, ἀλλὰ τῆς αἰτίας διαγινωσκομένης, ἐκ τῆς ποιότητος τῆς ὕβρεως καὶ τοῦ προσώπου τοῦ δούλου. τινὲς ὕβρεις ἀπὸ ἐλευθέρων γινόμεναι † ἐλαφραὶ καὶ οὐδενός εἰσιν: ἀπὸ δὲ δούλων, τραχεῖαι εἰσίν. ὥσπερ ἐπὶ ἄλλων ἁμαρτημάτων τῶν δούλων, οὕτως ἐπὶ τῆς ὕβρεως ἁρμόζει νοξαλία. καὶ ἐπιλογὴν ὁ δεσπότης ἔχει, ἢ δοῦναι αὐτὸν εἰς τὸ μαστιγωθῆναι, ἢ εἰς θεραπείαν τῆς ζημίας, ἢ δοῦναι τὴν ἀποτίμησιν τῆς δίκης.

τίτι καὶ κυαίστιον.

† ἐλαφραί εἰ.

λγ.

Τὸ μέτριον τῶν βασάνων, ὡς ἀνὴρ ἀγαθὸς ὁ δικαστὴς ὀφείλει δοκιμάζειν. ἐὰν κελεύσει τοῦ δεσπότου δοῦλος ὑβρίσῃ, ἰδίῳ ὀνόματι ἐνάγεται, καὶ μετ' ἐλευθερίαν αὐτός. οὔτε γὰρ ἐν πᾶσιν ὀφείλει τῷ δεσπότῃ πειθαρχεῖν, οὔτε κελεύσει αὐτοῦ φονεύειν. εἰ δὲ τῷ δεσπότῃ βοηθῶν ἐποίησέ τι, οὐκ ἔστιν ὑπὸ μέμψιν, ἀλλὰ παραγραφὴ ἀντίκειται τῷ κινοῦντι.

λϛ.

Δοῦλος δοῦλον ὑβρίζων, οὕτως ἐστὶν ὡσανεὶ τὸν δεσπότην αὐτοῦ ὕβρισεν.

μγ.

Ἐάν τις αἰσχρὸν ποιήσῃ δούλῃ, ἢ ἄλλῳ τινὶ κλοπιμαίῳ λογισμῷ κατάσχῃ αὐτήν, καὶ τῇ περὶ ὕβρεως ἀγωγῇ, καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν κατέχεται. εἰ δὲ † ἀκμὸν αὐτὴν οὖσαν διαπαρθενεύσει, καὶ τῷ ἀκυϊλίῳ ὑπόκειται.

περί δίκας.

† ἄκμον.

να.

Ὁ περιφρονῶν τῆς περὶ ὕβρεως ἀγωγῆς διὰ τὴν προσοῦσαν αὐτῷ ἀτιμίαν, καὶ ἀπορίαν, καὶ σφοδρότερον διὰ τοῦτο ἐνυβρίζων, σφοδρῶς τιμωρεῖται.

νγ.

Καὶ ἡ ἀπὸ τοῦ κορνηλίου νόμου περὶ ὕβρεως ἀγωγή, κινεῖται χρηματικῶς: καὶ ἀποτιμᾶται δοκιμασίᾳ τοῦ ἄρχοντος.

νζ.

Ὁ ἐκκαλούμενος ἐὰν ὑβρίσῃ τὸν δικαστήν, ἄτιμος ἐστὶν ὁ κατὰ συκοφαντίαν κινήσας περὶ ὕβρεως ἀγωγήν, ἢ ἐξορίζεται, ἢ τοῦ ἀξιώματος ἀποκινεῖται.

ξ.

Ἡ περὶ ὕβρεως ἀγωγὴ ἐξτραορδίνως νοεῖται: καὶ οἱ μὲν δοῦλοι † φραγγελιζόμενοι, τοῖς δεσπόταις ἀποδίδονται. οἱ * δὲ ἐλεύθεροι καὶ εὐτελεῖς ῥοπαλίζονται: οἱ δὲ ἄλλοι ἢ πρὸς καιρὸν ἐξορίζονται, ἢ τινὸς κωλύονται πράγματος.

† φραγγελλούμενοι.

* ὁ καὶ χρηματικὴν ποινὴν παρέχουσι μέχρι τῶν ρν. ν ν. παρὰ τοῦ δικαστοῦ τῷ περιόδῳ πρὸς τὴν ποιότητα τῆς ὕβρεως.

ξγ.

Μάχλω τίς ἐποίησε τινὶ· ὁ δὲ ὡς ὑβρισμένος καὶ λέγων, ὅτι φονέα ἐκάλεσεν, ἠπείλει [τινὶ] τὴν περὶ ὕβρεως ἀγωγήν. προσῆλθεν ἐκεῖνος τῷ βασιλεῖ λέγων, ὅτι οὐδὲ ὕβρισα· καὶ παρῆλθεν ὁ ἐνιαυτός. ὅρα οὖν τὸ κατὰ πόδα. ἐὰν ὑβριστικὸν συμβουλεῦσαι † μηδὲν εἰρηκέναι ἀποδεῖξαι δύνασαι, ἡ πίστις τῆς ἀληθείας πρὸς τὴν συκοφαντίαν βοηθεῖ. εἰ δὲ ἐν τῇ μάχῃ προπετῶς τῇ θερμότητι ὀλισθήσας, φόνου ὕβριν ἐπήγαγες, καὶ ἐξ ἐκείνης τῆς ἡμέρας ἐνιαυτὸς παρέδραμεν· * ὅπου ἡ τῆς ὕβρεως ἀγωγὴ ἐνιαυσιαίῳ χρόνῳ γέγραπται, διὰ τὸ τῆς ὕβρεως ὄνομα, ἐναχθῆναι οὐ δύνασαι.

† μᾶλλον, μηδὲν εἰρηκέναι ἀποδεῖξαι δύνασαι.

* σημείωσαι ὅτι ὁ περὶ ὕβρεως ἀγωγή, ἐντὸς ἐνιαυτοῦ κινεῖται.

ξη.

Ἐὰν ὑβρισθῶσιν ἰλλούστριοι, ἢ † ἔμπρακτοι, ἢ μόνον τῇ ἀξίᾳ τετιμημένοι, ἢ γυναῖκες αὐτῶν ἢ παῖδες, ἢ θυγατέρες, ἢ ἐὰν κατά τινος τούτων τῶν προσώπων κινεῖται ἡ περὶ ὕβρεως ἀγωγή, δύνανται καὶ διὰ ἐντολέως . . . . ἀλλὰ κατὰ τοῦ δεδωκότος αὐτόν.

† ἐμπρακτοι.

Ἀνάγνωθι καὶ βιβλίον γ. τίτλον α. κεφάλαιον μγ. ἐν ᾧ φησίν.

Εἴ τις τῶν θείων μυστηρίων καὶ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων ἐν ἁγίᾳ εἰσελθὼν ἐκκλησίᾳ, ἢ τῷ ἐπισκόπῳ, ἢ τοῖς κληρικοῖς, ἢ τοῖς ἄλλοις ὑπηρέταις τῆς ἐκκλησίας ὕβριν τι ἐπαγάγῃ, κελεύομεν τοῦτον βασάνους ὑπομεῖναι, καὶ εἰς ἐξορίαν πεμφθῆναι. εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια, καὶ τὰς θείας λειτουργίας ταράξει, ἢ ἐπιτελεῖσθαι κωλύσει, κεφαλικῶς τιμωρείσθω. † τούτου αὐτοῦ καὶ ἐπὶ ταῖς λιταῖς, ἐν αἷς οἱ ἐπίσκοποι, ἢ κληρικοὶ εὑρίσκονται, φυλαττομένου· ἵνα εἰ μὲν ὕβριν μόνον ποιήσει, βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ· εἰ δὲ καὶ τὴν λιτὴν διασκεδάσει, κεφαλικὸν κίνδυνον ὑπομείνῃ.

† τὸ αὐτό.

ΠΕΡΙ' Ε'ΚΤΡΩΣΑ'ΣΗΣ Ε'ΠΙ'ΤΗΔΕΣ εἴτε ἐπὶ χρήμασιν, εἴτε διὰ μῖσος τοῦ ἀνδρός.

Τίτλ. κβ κεφάλ. δ.

Ἡ ἐπίτηδες ἐκτρώσασα, τυπτομένη ἐξορίζεται.

Ἀνάγνωθι καὶ τίτλον να. κεφάλαιον λε. ἐν ᾧ φησίν.

Ἡ ἐπὶ χρήμασιν ἐκτρώσασα, κεφαλικῶς τιμωρεῖται. ἡ δὲ μετὰ τὸ διαζύγιον πρὸς μῖσος τοῦ ἀνδρὸς τοῦτο ποιήσασα, προσκαίρως ἐξορίζεται.

ΠΕΡΙ' ΠΡΟΔΙΔΟ'ΝΤΩΝ Α'ΛΛΟ'τρια δικαιώματα.

Τοῦ αὐτοῦ τίτλου κβ. κεφάλ. η.

Καὶ ὁ προδεδωκὼς ἀλλότρια δικαιώματα, σωφρονίζεται διὰ τοῦ ἄρχοντος. ἔσθ' ὅτε πρὸς τὴν συνήθειαν τῆς ἐπαρχίας ἡ ἐπεξέλευσις γίνεται.

ΠΕΡΙ' ΤΥΜΒΩΡΥ'ΧΩΝ.

Τίτλος κγ. κεφάλ. α. καὶ γ.

LXIII.

Rixam fecit quis alicui. at is tamquam accepta iniuria dicens, Homicidam me uocauit, minabatur se acturum iniuriarum. Adijt ille principem, dicens se iniuriam non fecisse, sed & annũ præteryse Vide igitur * τὸ κατὰ πόδα. *Si te nihil iniuriosum animo cogitasse, neq; dixisse, probare potes: fides ueri a calunia te defendit. Si uero in rixa temere calore prolapsus, homicidij cõuiciũ obiecisti, & ex eo die annus excessit:* † *quum actio iniuriarũ annuo tẽpore circumscribatur, ob iniuriæ nomen cõueniri non potes.* — l. si non conuiciũ. C. de iniu.

* librum iuris intelligit, sic factum, ut Iustinianus antea præceperat.

† Nota, intra annum iniuriarum agi.

LXVIII.

Si iniuria fiat illustribus, uel in actu constitutis, uel dignitate tantum honoratis, uel uxoribus eorum, uel filijs, uel filiabus, uel si aduersus aliquam huiusmodi personam agatur iniuriarum: possunt & per procuratorem litigare, sententia ferenda non in procuratorem, sed in eum, qui procuratorem dedit. — l. ult. C. eod.

Huc pertinet lib. III. tit. I. cap. XLIII. in quo dicitur:

Eum, qui quum diuina mysteria & alij sacri cultus peraguntur, sacram ecclesiam ingressus, uel episcopo, uel clericis, uel alys ecclesiæ ministris quippiam intulerit iniuriæ, uerberari iubemus & exsilio multari. Sin & ipsa diuina mysteria, cultusq; diuinos turbauerit, aut celebrari prohibuerit, capite punitor. Idem & in supplicationibus, quibus episcopi uel clerici intersunt, obseruandum: ut, siquidem iniuriam tantum fecerit, uerberibus & exsilio plectatur: sin autem supplicationem ipsam disturbauerit, capitis periculum sustineat. — l. 10. C. de episc. & cler.

DE EA, QVAE PARTVM ABEgit data opera, siue accepta pecunia, siue odio mariti.

TIT. XXII. cap. IIII.

Quæ data opera partum abegit, uerberata in exsilium mittitur. — l. Diuus. D. de extraord. crim.

Refer huc tituli LI. cap. XXXV. in quo dicitur:

Quæ accepta pecunia partum abegit, capite punitur. Quæ uero post diuortium odio mariti id fecit, temporali exsilio coërcetur. — l. Cicero. D. de pœnis.

DE HIS, QVI PRODVNT ALIEna instrumenta.

Eod. XXII. tit. cap. VIII.

Qui prodidit aliena instrumenta, castigatur a præside. Interdum & pro more prouinciæ fit exsequutio. — l. sæcculariij. §. fin. ll præter. D. extraord. crim.

DE SEPVLCRORVM VIOlatoribus.

TIT. XXIII. cap. I. & III.

Sepulcri

Ἀνάγνωθι καὶ τίτλον μα. κεφάλαιον β. καὶ δ. καὶ ε. ἐν ᾧ φησὶν, ὅτι οὐκ ἔξεστι συνθάπτειν τοῖς τεθνεῶσι χρήματα: καὶ περὶ τῶν ταῦτα ἀφαιρουμένων.

Ἀνάγνωθι βιβλίον νθ. τίτλον α. καὶ β. καὶ γ. καὶ δ.

ΠΕΡΙ ΔΙΑΣΕΙΣΜΩΝ.

Τίτλος κδ.

Ὅτι ἐὰν πλασάμενός τις κέλευσιν ἄρχοντος, διασείσῃ τινά: καὶ ἀναδίδωσιν ὅπερ ἔλαβε, καὶ σωφρονίζεται. τὸ περὶ τοῦ διασεισμοῦ δικαστήριον, οὐκ ἔστι ποινάλιον. εἰ μέν τοι τὶς ἀπειλήσας ἔγκλημα, λάβῃ χρήματα: ὑπόκειται τῷ κορνηλίῳ ἐκ τοῦ κεφαλαίου τοῦ διαγορεύοντος περὶ τῶν συνιόντων εἰς κατηγορίαν τινὸς ἀναιτίου, ἢ λαβόντων χρήματα ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, ἢ διὰ τὸ μαρτυρῆσαι, ἢ μὴ καταμαρτυρῆσαι.

Ἀνάγνωθι καὶ τίτλον μγ. κεφάλαιον ιβ. θεμ. β.

ΠΕΡΙ ΑΠΕΛΑΤΩΝ.

Τίτλος κε. κεφ. α.

Κυρίως ἀπελάτης λέγεται, ὅστις θρέμματα ἀπὸ βοσκῆς ἢ βουκολίων ὑποσύρει, ἢ ἀπὸ τῶν ἀγελῶν ἵππους. ὁ γὰρ βοῦν καὶ ἵππον πλανώμενον λαβὼν, οὐκ ἔστιν ἀπελάτης, ἀλλὰ κλέπτης. εἰ γάρ τις χοῖρον ἢ αἶγα ἀπελάσῃ, οὐχ οὕτως σφοδρῶς τιμωρεῖται, ὡς ὁ τέλειον ζῶον ἀπελαύνων.

γ.

[† ὁ ἀπελ.] Πρὸς τὸν ἀριθμὸν τῶν ἀπελαυνομένων ἢ κλέπτης ἐστί τις, † ἀπελάτης. δέκα γὰρ πρόβατα ποιοῦσιν [† γράφεται καὶ, ἀπελάτην.] † ἀγέλην, καὶ χοῖροι πέντε. εἷς δὲ βοῦς καὶ ἵππος ἀπελαθεὶς, εἰσάγει τοῦτο τὸ ἔγκλημα. καὶ ὁ ἀπὸ ἀγέλης, ἢ ὕλης δεδαμασμένον ἄλογον ἀπελαύνων, σφοδρότερον τιμωρεῖται. καὶ ὁ πολλάκις ἀπελάσας, εἰ καὶ ἓν ἢ καὶ δεύτερον θρέμμα, ἀπελάτης ἐστί. καὶ ὅτι: οἱ τοὺς ἀπελάτας ὑποδεχόμενοι ἐπὶ δέκα ἔτη τῆς ἐπαρχίας ἐξορίζονται.

δ.

Οἱ ἀπελάται ἅπαξ μὲν τοῦτο πλημμελοῦντες τυπτέσθωσαν· ἐκ δευτέρου διαπρατ τόμενοι ἐξοριζέσθωσαν. εἰ δὲ καὶ τρίτον φωραθεῖεν τὸ τοιοῦτον κατατολμῶντες, χειροκοπείσθωσαν: τῆς ἀπελαθείσης ἀγέλης δηλονότι τῇ ἰδίᾳ δεσποτείᾳ παρ' αὐτῶν [† ἐπι.] ἀποκαθισταμένης. καὶ † ὅτι δύναταί τις κινῆσαι κατὰ τοῦ ἀπελάτου καὶ ἐγγράφως, καὶ χωρὶς ἐγγραφῆς.

ΠΕΡΙ ΥΠΟΦΘΟΡΑΣ ἈΝΤΙΔΙΚΩΝ, καὶ τίνες δύνανται αὐτοὺς ὑποφθείρειν, καὶ τίνες οὐ δύνανται.

Τίτλος κϛ. κεφάλ. ϛ.

Ἀντὶ ἐλεγχθέντος ἐστὶν ὁ τὸν κατήγορον ὑποφθείρας, χωρὶς τῶν δι' αἵματος ἐχόντων τὴν καταδίκην.

Ἀνάγνωθι καὶ τίτλ. νγ. κεφάλ. α. ἐν ᾧ φησίν.

Ἐν τοῖς ἔχουσι θάνατον τὴν καταδίκην, ἔξεστι

Huc pertinet huius lib. tit. XLV. cap. II. & IIII. & V. in quo dicitur, quod pecuniam cum mortuis sepelire non liceat. Loquitur & de ijs, qui eas auferunt.

Refer huc & lib. LIX. tit. I. & II. & III. & IIII.

DE CONCVSSIONIBVS.

TIT. XXIIII.

Si quis simulans iussum præsidis aliquem concusserit, & quod accepit restituit, & castigatur. Concussionis iudicium non est pœnale. At si quis crimen minatus, pecuniam acceperit: tenetur Cornelia, ex eo capite, quo cauetur de ijs, qui coierint in accusationem innocentis, aut pecuniam acceperint ob accusandum uel non accusandum, ob dicendum testimonium, uel non dicendum. [L. 1. & 2. D. de concuss.]

Legito & tit. XLIII. cap. XII. them. II.

DE ABIGEIS.

TIT. XXV. cap. I.

Proprie abigeus dicitur, qui pecora ex pascuis uel armentis subtrahit, uel ex gregibus equos. qui enim bouem aut equum errantem abduxerit, non est abigeus, sed fur. Si quis porcum uel capram abduxerit, non tam grauiter plectitur, quam qui perfectum animal abigit. [L. 1. C. hoc tit.]

III.

*Pro numero abactorum aut fur quis est, aut abigeus. Nam decem oues * gregem faciunt, & porci quinque. Vnus autem bos & equus abactus hoc crimen inducit. Et qui ex grege uel silua domitum pecus abigit, acrius punitur. Qui sæpius abegit, licet unum uel alterum pecus, abigeus est. Qui abigeos recipiunt, in annos X. prouincia relegantur.* [L. 3. D. eod.] [* al. abigeum, legendo ἀπελάτην pro ἀγέλην] [De pœna.]

IV.

Abigei semel quidem hoc admittentes, uerberantor: iterum uero committentes, relegantor: sin tertium idem ausi deprahendantur, manus amputantor, uidelicet abacto grege suo domino ab eis restituendo. Item [traditur hoc,] posse quem agere in abigeum & cum inscriptione, & sine inscriptione. [l. un. C. hoc tit.]

DE ADVERSARIORVM CORRVPTIONE, & quibus liceat eos corrumpere, quibus non liceat.

TIT. XXVI. cap. VI.

Pro conuicto est, qui accusatorē corrupit, exceptis ijs, quæ sanguinis condemnationē habēt. [L. 1. D. de præuar.]

Huc pertinet tit. LIII. cap. I. in quo dicitur:

In his, quæ mortis condemnationē continent, [L. 1. D. de bon. eor. qui ant. sent.]

reo aduersarium corrumpere licet. Et caput secundum.

Item lib. LVI. hæc reperies.

L. eius qui. D. de iu. fis. *Qui corrupit delatorem, pro uicto est. Nam in fiscalibus caussis id obtinet. hac autem pœna in heredes eius non competit. Nec enim ipse, nisi condemnatus fuerit, de hoc tenetur. Ceterum delatore per corruptelam uicto, recte fiscus litem restaurat.*

DE RECEPTATORIBVS, QVI LAtrones uel alios criminibus obnoxios recipiunt, nec in iudicium proferunt.

TIT. XXVII. cap. I.

L. 1. & 2. D. de rec. *Receptatores latronum ut latrones puniuntur. Et qui, quum possent latrones apprehendere, pecunia accepta, uel parte surreptorum, dimiserunt, perinde puniuntur. Qui uero cognatum uel adfinem latronem custodiuit & conseruauit, medio quodam modo punitur.*

II.

Qui latrones receperit, & eos in iudicium non protulerit, publicator, uel pro qualitate personæ, prout iudici uidebitur, punitor.

DE EFFRACTORIBVS.

TIT. XXVIII. cap. I.

L. 1. D. h. t. *Nocturni effractores fustibus cæsi in metallum dantur, diurni fustibus cæsi in opus perpetuum uel temporarium dantur.*

DE IMPOSTORIBVS SIVE STELlionibus & subdolis, qui rem alij obligatam uenditurue, tamquam suam & non obligatam, ad alium transferunt: qui & stellionatus crimine tenentur, ut antibadiastæ.

TIT. XXX. cap. I.

D. de crim. stell. *Stellionatus crimen neque pœnalibus iudicijs, neque pecuniarijs actionibus continetur, neque famosum est: sed extraordinariam persequutionem habet.*

IV.

L. ult. C. eod. *Qui obligat pluribus easdem res, crimine stellionatus tenetur: quo tamen crimine liberatur, si paratus sit omnibus soluere.*

DE PERIVRIS.

Tit. eod. cap. III.

Legito & nouel. LXXVII. L. ult. D. de crim. stell. *De periurio illius, qui iurauerit in instrumento, suum esse pignus, quod obligat; hoc crimen competit, & ad tempus exsulat.*

Legito & lib. XXII. tit. V. cap. X. them. V. in quo dicitur:

L. 13 §. ult. D. de iureiur. *Qui per principem in re pecuniaria iurauerit, & peierauerit; fustibus castigatur.*

τῷ ἐναγομένῳ ὑποφθείρειν τὸν ἀντίδικον. καὶ κεφάλαιον δεύτερον.

Ἀνάγνωθι καὶ βιβλ. νς. ἐν ᾧ φησίν.

Ὁ ὑποφθείρας τὸν μηνυτὴν, αὐτὸς ἡττηθείς ἐστι. τοῦτο γὰρ κρατεῖ ἐπὶ τῶν τοῦ δημοσίου δικῶν. ἡ δὲ τιμωρία αὕτη κατὰ κληρονόμων αὐτοῦ οὐχ ἁρμόζει. ὅτι γὰρ αὐτὸς, εἰ μὴ καταδικασθῇ, περὶ τούτου ὑπόκειται. ἐξ ὑποφθορᾶς δὲ ἡττηθέντος τοῦ μηνυτοῦ, καλῶς ὁ δημόσιος ἀνανεοῖ τὴν δίκην.

ΠΕΡΙ ΥΠΟΔΕΚΤΩΝ ΤΩΝ ΥΠΟΔΕχομένων λῃστὰς ἢ ἑτέρους ὑπευθύνους, καὶ μὴ προσαγόντων αὐτοὺς τῷ δικαστηρίῳ.

Τίτλος κζ. κεφ. α.

Οἱ ὑποδοχεῖς τῶν λῃστῶν, ὡς λῃσταὶ τιμωροῦνται. καὶ οἱ δυνάμενοι κρατῆσαι τοὺς λῃστὰς, καὶ ἀπολύσαντες χρήματα λαβόντες, ἢ μέρος τῶν λῃστευθέντων, ὁμοίως τιμωροῦνται. ὁ δὲ συγγενῆ ἢ ἀγχιστέα λῃστὴν φυλάξας καὶ διασώσας, μέσως πως τιμωρεῖται.

β.

Ὁ ὑποδεξάμενος λῃστὰς, καὶ μὴ προσαγαγὼν αὐτοὺς τῷ δικαστηρίῳ, δημευέσθω, ἢ τιμωρείσθω κατὰ τὴν ποιότητα τοῦ προσώπου, ὡς ἂν ὁ δικαστὴς συνειδῇ.

ΠΕΡΙ ΤΟΙΧΩΡΥΧΩΝ.

Τίτλος κη. κεφάλ. α.

Οἱ νυκτερινοὶ τοιχωρύχοι, ῥοπαλιζόμενοι μεταλλίζονται: οἱ δὲ ἡμερινοὶ ῥοπαλιζόμενοι, διηνεκῶς ἢ προσκαίρως εἰς ἔργον βάλλονται.

ΠΕΡΙ ΚΑΚΟΤΡΟΠΩΝ ΗΤΟΙ ΠΕριέργων καὶ δολίων τῶν τὸ ἑτέρῳ ὑποκείμενον ἢ πραθὲν ὡς ἴδιον καὶ ἀνεύθυνον πρὸς ἕτερον μεταφερόντων. οἵτινες καὶ τῷ στελλιονάτους ὑπόκεινται ἐγκλήματι, ὡς † ἀντιβιδιασταί. † ἀντιβαδιασταί.

Τίτλ. λ. κεφάλ. α.

Τὸ κατὰ τῶν περιέργων ἔγκλημα, οὔτε τοῖς ποιναλίοις δικαστηρίοις, οὔτε ταῖς χρηματικαῖς ἀγωγαῖς περιέχεται, οὔτε ἀτιμωτικόν. ἐξτραορδιναρίαν δὲ ἐπεξέλευσιν ἔχει.

δ.

Ὑποτιθέμενος τοῖς πολλοῖς τὰ αὐτὰ πράγματα, κατέχεται τῷ στελλιονάτου ἐγκλήματι. ἕτοιμος δὲ ὢν πᾶσι καταβάλλειν, ἀπαλλάσσεται τοῦ ἐγκλήματος.

ΠΕΡΙ ΕΠΙΟΡΚΩΝ.

Τοῦ αὐτοῦ τίτλ. κεφάλ. γ.

Περὶ τῆς ἐπιορκίας τοῦ ὀμόσαντος ἐν συμβολαίῳ ἐνεχυραστικὸν αὐτοῦ εἶναι ὅπερ ὑποτίθεται, τὸ παρὸν ἔγκλημα ἁρμόζει, καὶ πρὸς καιρὸν ἐξορίζει. ἀνάγνωθι καὶ νεαρὰν οζ.

Ἀνάγνωθι καὶ βιβλίον κβ. τίτλον ε. κεφάλαιον ι. θεμ. ε. ἐν ᾧ φησίν.

Ὁ ἐπὶ χρήμασι κατὰ τοῦ βασιλέως ὀμόσας, καὶ ἐπιορκήσας, ῥοπαλίζεται.

Καὶ κε-

Καὶ κεφάλ. μδ.

Οὐδεὶς κατὰ θεοῦ ὀμόσας κινδυνεύει. ἱκανὸς γὰρ ὁ ὅρκος ἔχειν τιμωρὸν τὸ θεῖον, εἰ κατὰ τοῦ θεοῦ γέγονεν. εἰ δὲ κατὰ βασιλέως κατά τινα θερμότητα ὤμοσέ τις, συγχωρεῖται.

ΠΕΡῚ ὙΠΕΥΘΎΝΩΝ ΕἸΣ ΦΥΛΑΚῊΝ βαλλομένων, ἢ ἐγγυητὰς διδόντων.

Τίτλου λε. κεφ. α.

Ὁ ἄρχων διασκοπείτω πότερον ὁ κατηγορούμενος ὀφείλει φυλακῇ ἐμβάλλεσθαι, ἢ στρατιώταις παραδίδοσθαι, ἢ ἐγγυηταῖς, ἢ ἑαυτῷ καταπιστεύεσθαι. τοῦτο δὲ γίνεται ἐκ τῆς ποιότητος τοῦ ἐγκλήματος, ἢ διὰ τὴν τιμὴν, ἢ διὰ τὴν εὐπορίαν τοῦ ἐναγομένου, ἢ τὴν ἀξίαν αὐτοῦ, ἢ διὰ τὸ μηδὲν αὐτὸν ἡμαρτηκέναι.

γ.

Ὁ ἔχων ἐγγύας, οὐ δεσμεῖται, εἰ μὴ βαρύ ἐστι τὸ παρ' αὐτοῦ ἁμαρτηθὲν, ὡς μήτε ἐγγυηταῖς, μήτε στρατιώταις αὐτὸν ὀφείλειν παραδοθῆναι.

δ.

Ὁ ἐγγυησάμενος τὸν κατηγορηθέντα, χρηματικὴν δίδωσι ποινὴν, μὴ παραστήσας αὐτόν. εἰ δὲ κατὰ δόλον οὐ παρίστησι, καὶ ἐξτραορδινάριον καταδικάζεται.

ΠΕΡῚ ΦΥΛΑΚΤΩ͂Ν ΚΑῚ ΦΥΛΆΚΩΝ, καὶ φυλακῆς: καὶ τίνες ὑποβάλλονται τιμωρίαις: οἱ ἀποδιδράσκοντες τῆς φυλακῆς, καὶ οἱ φύλακες αὐτῶν. καὶ περὶ τοῦ μὴ εἶναι φυλακὴν ἰδιωτικήν.

Τοῦ αὐτοῦ τίτλου κεφάλ. ιβ.

Οἱ ἀποφυγόντες τὴν φυλακὴν, εἴτε κλάσαντες αὐτὴν, ἢ τοῖς λοιποῖς συμπνεύσαντες, κεφαλικῶς κολάζονται. εἰ δὲ κατὰ ῥᾳθυμίαν τῶν φυλάκων ἀπέφυγον, μετριώτερον τιμωροῦνται.

ιδ.

Ἐὰν συμπνεύσαντες οἱ δέσμιοι ῥήξωσι τὰ δεσμὰ καὶ τὴν φυλακὴν, καὶ ἀποφύγωσιν, εἴτε ἀνεύθυνοι ἦσαν, τιμωροῦνται, εἴτε ὑπεύθυνοι, πλέον κολάζονται, ἢ τὸ ἔγκλημα ἀπῄτει ἐφ' ᾧ συνεσχέθησαν. οἱ δὲ τὴν συσκευὴν διελέγξαντες, ἀπολύονται.

κα.

Ὁ κατασχεθεὶς, μὴ ἐπὶ πολὺν χρόνον μενέτω ἐν τῇ φυλακῇ. χρὴ γὰρ αὐτὸν, ἢ συντόμως ἀπολυθῆναι, ἢ συντόμως τιμωρηθῆναι. κελεύομεν οὖν τὸν ὑπομνηματογράφον ἀφ' οὗ ἐμβληθῇ τις ἐν τῇ φυλακῇ καθ' ἑκάστην ἡμέραν ἕως λ. ἡμέρας προσφέρειν τῷ ἄρχοντι τὴν γνῶσιν τῶν ἐγκεκλεισμένων, ἐν ᾗ δεῖ περιέχεσθαι καὶ τὴν ποιότητα τῶν ἁμαρτημάτων. εἰ δὲ † μετὰ ταῦτα γένηται, ἡ μὲν τάξις κ. λιτρῶν χρυσίου προστιμηθήσεται: ὁ δὲ ἐκπίπτων τῆς ἀξίας ι. χρυσίου λιτρῶν τοῖς ἡμετέροις εἰσαχθῆναι θησαυροῖς. οὐδένα χρὴ ἐμβάλλεσθαι φυλακῇ χωρὶς κελεύσεως τῶν μεγάλων ἀρχόντων τῆς βασιλίδος πόλεως: ἐν δὲ ταῖς ἐπαρχίαις τῶν ταύτας ἰθυνόντων, ἢ τῶν κατὰ τόπον ἐκδίκων. χρὴ δὲ τὸν ἐπίσκοπον κατὰ τετράδα καὶ παρασκευὴν

† μὴ ταῦτα.

Et cap. XLIIII.

Nemo qui per Deum iurauerit, periculum subit. Nam satis est, iusiurandum Deum habere uindicem, si per Deum conceptum fuerit. Sin aliquis per principem calore quodam iurauerit, ueniam consequitur. l.2.C.eod.

DE REIS, QVI MITTVNTVR IN carcerem, uel dant fideiussores.

TIT. XXXV. cap. I.

Præses æstimat, utrum reus debeat in carcerẽ mitti, an militibus tradi, uel fideiussoribus, uel sibi committi. hoc autem fit ex qualitate criminis, uel propter honorẽ, uel propter diuitias rei, uel dignitatem, uel propter innocentiam. D.lib.48.tit.3.

III.

Qui fideiussores habet, non conijcitur in uincula: nisi graue scelus admiserit, ut neque fideiussoribus, neque militibus debeat tradi.

IIII.

Qui fideiussit pro reo, nisi exhibeat, pecuniariam pœnã præstat. Sin uero dolo non exhibeat, etiam extra ordinem condemnatur.

Qui in necem hominum dæmones inuocant, gladio plectuntur.

DE DIVINATORIBVS.

TIT. XXXIX. cap. XXXI.

C. eod.

Ne quis eum consulat, qui artem diuinandi profitetur. Chaldæi uero & magi se in diuinationibus consulendos ne præbeant, sed & capitis, & gladij pœna subijciantur.

DE FALSIS, ET IIS, QVI HOC crimine tenentur.

TIT. XLI. cap. I.

l. 1. D. ad leg. Corn. de fals.

Qui fecit falsas testationes, aut testamenta, uel edidit, uel subiecit legenda, lege de falsis tenetur. Item qui pecuniã accepit, aut pactus est, aut societatem coiuit ob instruendam aduocationem, uel testimonium aduersus innocentes. Item qui pecuniam accepit ob accusandum, uel non accusandum: ob testimonium dicendum, uel non dicendum. Falsi & quasi falsi pœna est in insulam deportatio, & plena publicatio: in seruos autem, ultimum supplicium.

Pœna falsi.

XLVII.

l. querela. C. eod.

Falsi crimen non excluditur, nisi XX. annorum tempore, sicut & alia fere omnia crimina.

LIII.

Ex falso possessionem nemo sibi parare potest. Ideo dicentibus se esse dominos potest quis obijcere falsi accusationem, dicens eos ex falsis instrumentis sibi dominium rei parare.

LVI.

Quum constat de crimine falsi, si ex eo maximum quid committatur, capitis supplicio falsarius adficitur: sin minus, in insulam deportatur.

LVII.

Si prolato in lite instrumento, ueluti testamento, uel quo alio, id aliquis reprehendat, quasi falsum: non oportet statim crimen intendi, sed dari spatium, ut criminaliter uel ciuiliter siue pecuniariter experiatur. Constat uero, ciuilis accusationis leuiorem examinationem esse. Iubet constitutio, ut sit cuilibet facultas ciuiliter uel criminaliter arguendi falsi. Ait etiam, in omni instrumento requiri

ΠΕΡΙ ΓΟΗΤΩΝ.

Τίτλ. λθ. κεφ. κη.

Τὸν † ἐπιδεξάμενον γοητείαν, ἕλκουσαν εἰς ἔρωτα τοὺς σώφρονας λογισμοὺς, ἢ κατὰ σωτηρίας ἀνθρώπων μηχανησάμενον, δημεύσει καὶ ἐξορίᾳ τιμωρεῖσθαι.

† ἐπιδεξάμενον.

Καὶ κεφάλ. λα.

Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι, ξίφει τιμωρείσθωσαν.

ΠΕΡΙ ΜΑΝΤΕΩΝ.

Τίτλ. θ. κεφ. κθ.

Μηδεὶς ἐρωτάτω τινὰ μαντικὴν ἐπαγγελλόμενον. οἱ δὲ χαλδαῖοι καὶ οἱ μάγοι, μηδὲ ἐν αὐτῆς τῆς μαντείας ἑαυτοὺς παρεχέτωσαν: ἀλλὰ καὶ κεφαλικῇ καὶ τῇ διὰ σιδήρου τιμωρίᾳ ὑποκείσθωσαν.

ΠΕΡΙ ΠΛΑΣΤΩΝ, ΚΑΙ ΤΩΝ ΕΥθυνομένων τῷ τοιούτῳ ἐγκλήματι.

Τίτλος μα. κεφάλ. α.

Ὁ ποιήσας ἐν μαρτυρίᾳ πλαστὰ, ἢ διαθήκας, ἢ ἐκδεδωκὼς ἢ ὑποβαλὼν εἰς ἀνάγνωσιν: τῷ περὶ πλαστογραφίας νόμῳ ὑπόκειται. καὶ ὁ χρήματα λαβὼν ἢ συμφωνήσας, ἢ κοινωνίαν ποιήσας ἐπὶ τῷ συνθεῖναι συνηγορίαν ἢ μαρτυρίαν κατὰ τῶν ἀνευθύνων. καὶ ὁ λαβὼν χρήματα ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι, μαρτυρῆσαι, ἢ μὴ μαρτυρῆσαι. ἡ τοῦ πλαστοῦ καὶ τοῦ ὡσανεὶ πλαστοῦ τιμωρία, περιορισμός ἐστι καὶ τελεία δήμευσις: κατὰ δὲ δούλων, ἐσχάτη.

περὶ δὲ τοῦ πλαστοῦ ποινῆς.

μζ.

Τὸ τοῦ πλαστοῦ ἔγκλημα, χρόνῳ οὐκ ἐκβάλλεται, εἰ μὴ ἄρα κ. ἐνιαυτοῖς, ὥσπερ καὶ τὰ ἄλλα πάντα σχεδὸν τὰ ἐγκλήματα.

νγ.

Ἀπὸ πλαστοῦ, νομὴν οὐδεὶς δύναται αὐτῷ κατασκευάσαι. διὰ τοῦτο κατὰ τῶν λεγόντων ἑαυτοὺς εἶναι δεσπότας, δύναταί τις τὴν περὶ τοῦ πλαστοῦ κατηγορίαν κινῆσαι, λέγων αὐτοὺς ἀπὸ πλαστῶν δικαιωμάτων κατασκευάζειν ἑαυτοῖς τὴν δεσποτείαν τοῦ πράγματος.

νϛ.

Ἡνίκα δὲ συστῇ τὸ τῆς πλαστογραφίας ἔγκλημα, εἰ μὲν μέγιστόν τι ἐκ τούτου ἁμαρτάνεται, ἀποτιμνέτω αὐτὸν, † ἢ περιοριζέτω.

† ὁ δικαστὴς, τὸν πλαστὸν, περιοριζέτω.

νζ.

Ἐὰν προσενεχθέντος ἐπὶ τῇ δίκῃ συμβολαίου τινὸς, οἷον διαθήκης ἢ τινος ἑτέρου, ἐπιλαμβάνηταί τις αὐτοῦ ὡς πλαστοῦ: οὐ χρὴ εὐθὺς τὸ ἔγκλημα κινεῖσθαι: ἀλλὰ δίδοσθαι προθεσμίαν, ἵνα ἐγκληματικῶς ἢ χρηματικῶς κινήσῃ. δῆλον δὲ ὅτι ἡ χρηματικὴ κατηγορία, πρᾳότερον ἐξετάζεται. ἡ διάταξις κελεύει ἐξουσίαν ἔχειν ἕκαστον, ἢ χρηματικῶς, ἢ ἐγκληματικῶς διελέγξαι τὸ πλαστόν. φησὶ δὲ ὅτι ἐπὶ παντὸς συμβολαίου ζητοῦμεν πρό-

τερον

πρὸς τὰς ἀποδείξεις ἐκ τοῦ προσενηνοχότος, καὶ μετὰ ταῦτα ἐκ τοῦ λέγοντος πλαστὸν εἶναι τὸ συμβόλαιον.

Ἀνάγνωθι καὶ βιβλίον ια. τίτλ. β. κεφάλαιον η. ἐν ᾧ φησιν, ὅτι καὶ χωρὶς ἐγγραφῆς δύναταί τις κινεῖν τὸ περὶ τοῦ πλαστοῦ συμβολαίου.

ΠΕΡῚ ὙΠΟΒΟΛΙΜΑΊΟΥ ΤΟΚΕΤΟΥ͂.

Τοῦ αὐτοῦ τίτλου κεφ. λ.

Οὐ πάντες περὶ ὑποβολιμαίου τοκετοῦ κινοῦσιν, ἀλλὰ μόνοι γονεῖς, καὶ οἷς διαφέρει.

Καὶ κεφάλ. λϛ.

Ἡνίκα γυνὴ λέγεται ὑποβολιμαῖον παιδίον προσποιήσασθαι τεκεῖν, δύναται κινηθῆναι κατ' αὐτῆς τὸ ἔγκλημα τὸ περὶ τοῦ πλαστοῦ καὶ πρὸ τοῦ ἡβῆσαι τὸν παῖδα. οὐδὲ γὰρ † ἀπίθανόν ἐστιν ἐκείνην ἐν τῷ ἐγκλήματι ἐξεταζομένην, ἐπίτηδες προδιδόναι τὴν δίκην.

† πιθανόν ἐστιν.

ΠΕΡῚ ΤΩ͂Ν ἈΠΟΛΛΥ͂ΝΤΩΝ ὩΣ ἀχαρίστων καὶ ἀναξίων τὸν ἐκδοθέντα αὐτοῖς κλῆρον ἢ λεγάτον ἢ καὶ τὰ παρανόμως αὐτοῖς καταλειφθέντα ἢ δωρηθέντα.

Τίτλου μβ. κεφ. α.

Ὅτι ὁ τὸν ἴδιον πάτρωνα τελευτήσαντα καταμηνύσας ὡς ἀθέμιτα πραγματευσάμενον, ἐκπίπτει τοῦ ληγατευθέντος αὐτῷ, εἰ καὶ ἔπαθλον ἔλαβεν.

β.

Δημεύεται ἡ κληρονομία, ὅταν ὁ παρῃτημένος τῆς αἰτήσεως τὴν ἐναντίωσιν τῆς διαθήκης, ὑπεισέλθῃ τὴν τοῦ ἀδελφοῦ κληρονομίαν ἀπὸ τῆς ὀρφανικῆς αὐτοῦ ὑποκαταστάσεως: ἢ ὅτι χειρίζων τις ὀφφίκιον ἐν ἐπαρχίᾳ, παρανόμως ἐξ αὐτῆς † ἀγάγηται: ἢ ἐπίτροπος τὴν ἐπιτροπευθεῖσαν. δημεύεται γὰρ τὸ ἐκ διαθήκης αὐτῆς αὐτῷ προσπορισθέν. ἐκ δὲ τοῦ ἐναντίου, αὐταὶ παρ' αὐτῶν καταλειφθέντων αὐταῖς, οὐκ ἐκπίπτουσιν.

† γυναῖκα.

θ.

Ἐὰν ἔχθρα κεφαλικὴ μεταξὺ τοῦ ληγαταρίου καὶ τοῦ διαθεμένου γένηται: ἢ φανερῶς αὐτὸν ὑβρίσῃ, ὡς † δῆλον εἶναι τὸν διαθέμενον μὴ θέλειν λαβεῖν αὐτὸν τὸ λεγάτον, οὐκ ἀπαιτεῖται. καὶ ὁ περὶ καταστάσεως κινῶν, ἐκπίπτει τῶν ἐν τῇ διαθήκῃ, † ἐφ' οὗ χώρα τῷ δημοσίῳ.

† δῆλον. † ἐφ' ὧν.

ιγ.

Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς, ἀγάγωμαι αὐτήν: εἰ καὶ μὴ αὐτὴ κατεδικάσθη, οὔτε ὁ γάμος ἔρρωται, ἀλλ' εἰ καὶ κληρονόμον αὐτὴν γράψω, ἢ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία.

κ.

Καὶ ὁ ἀνὴρ μὴ ἐκδικῶν τὸν θάνατον τῆς γυναικὸς, ἀφαιρεῖται τὴν προῖκα: καὶ ὁ πάτρων μὴ ἐκδικῶν τὸν ἀπελεύθερον, ἐκπίπτει τοῦ ἁρμόζοντος αὐτῷ πατρωνικοῦ μέρους. ἐπειδὴ πάντας τοὺς κληρονόμους, καὶ τοὺς ἐν τάξει † κληρονόμους, καθήκοντας εἶναι δεῖ περὶ τὴν ἐκδίκησιν τοῦ τελευτήσαντος.

† κληρονόμων legendum.

prius probationes ab eo, qui protulit; deinde ab eo, qui dicit falsum instrumentum esse.

Legito etiam lib. XI. tit. II. cap. VIII. in quo dicitur, posse quem etiam sine inscriptione falsi instrumenti accusationem instituere.

DE SVPPOSITO PARTV.

Eod. tit. XLI. cap. XXX.

Non omnes de supposito partu agunt, sed soli parentes, & ij, quorum interest. l. 30. D ad leg. Cor. de fals.

Et cap. XXXVI.

Quum mulier dicitur, suppositum se puerum peperisse: potest in eam intendi crimen falsi, etiam ante pubertatem pueri. Nec enim uerisimile est, eam in crimen deductam data opera caussam prodere. L. 1. C. eod.

DE IIS, QVIBVS VT INGRATIS & indignis aufertur relicta hereditas, uel legatum, uel etiam illa, quæ eis illicite relicta donatáue sunt.

TIT. XLII. cap. I.

Qui defunctũ patronum suum defert, quasi mercis illicitæ negotiatorem, amittit legatum, quamuis & præmium accepit. D. de his, quæ ut indig. aufer.

II.

Publicatur hereditas, quum præteritus filius petita bonorum possessione contra tabulas, adierit fratris hereditatem ex substitutione pupillari: uel quum quis administrans officiũ in prouincia, illicite ex ea duxerit uxorem, uel tutor pupillam. Publicatur enim, quod ex testamento eius ei adquiritur. Ex contrario autem ipsæ relicta sibi ab eis non amittunt.

IX.

Si inimicitiæ capitales inter legatarium & testatorem interuenerint, uel palam eum contumelia adfecerit, ita ut manifestum sit, nolle testatorem ei præstari legatum, nõ patitur. Sed & si de statu eius egerit, amittit testamento relicta, in quibus fisco locus est.

XIII.

Si in adulterio mulieris damnatus, eam duxero, quamuis non damnatam, matrimonium non ualet: sed & si heredem eam scripsero, uel ipsa me, hereditas publicatur.

XX.

Viro, qui mortem uxoris non uindicat, dos aufertur. Patronus quoque non uindicans libertum, patroni iure competentem sibi partem amittit. Quippe omnes heredes, & eos, qui heredum loco sunt, officiose agere circa defunctι uindictam conuenit.

Huc pertinet lib. XXXV. tit. XVI. cap. XV. in quo dicitur:

l. si sequens. §. 1. D. de S.C. Sillan.

Heredi ex parte instituto, si legatum quoque sit, nec uindicauerit, tam hereditas, quam legatum auferuntur. Potest autẽ omnibus, qui quocumque modo heredes sunt, auferri: tametsi patroni fuerint.

Item cap. XXI. & XXIIX. in quo dicitur:

l. 1. C. hoc tit.

Heredes si necem testatoris occisi non uindicarint, res atque fructus reddunt. Nam bonæ fidei possessores soli fructus lucrantur. At hi tales non sunt, quando scientes debitum pietati officium omiserunt.

Item lege cap. XXX. usque ad XXXIIX. In XXXV. quidem dicitur:

l. alia. C. hoc t.

Qui falsi accusationem instituit, si ex sententia uictus fuerit, perdit quod ei relictum est in illo testamento. At qui actione inchoata destiterit, nihil amittit.

Lege & lib. VII. tit. V. cap. XCII. in quo dicitur:

Si quo occiso, prius hereditatẽ adierit heres, quã cædem uindicauerit, publicatur hereditas.

Item lib. XLIIII. tit. I. cap. CX. dicitur:

Si quis illicite duxerit eam, cuius tutor fuerit: ipse quidem ex eius testamento nihil capere potest, at illa ex ipsius testamento accipit.

Item lib. LVI. tit. II. cap. XXIV.

l. quum mariti. D. de iur. fisc.

Quum maritus necem uxoris non uindicat, dos, quantum eius interest, publicatur.

Item lib. VII. tit. LI. cap. XVI.

l. 3. D. de his, quæ pro non script.

Pro non scripto est, quod in testamento reis pœna relinquitur.

DE MONETARIIS, ET * CIRcumcisoribus.

TIT. XLIV. cap. VIII.

* Græc. παραψαλιστάς, qui forficibus numos circũcidunt & uitiãt.

l. ad leg. Cor. de fals.

Eis, qui numos radunt, uel circumcidunt, uel fingunt, manus abscinduntor. Lege tenetur & qui auro miscuerit aliquid uitij, uel adulterinos argenteos numos fecerit: & qui potuit hoc prohibere, nec prohibuit: & qui dolo malo stanneos uel plumbeos numos uendit aut emit.

Refer huc & tit. LX. cap. I. in quo dicitur:

l. 1. C. de fal. mon.

Qui falsam monetam facit, una cum ministris manus amittat. Dominus autem fundi, uel domus, in quo hæc facta sunt, si uideatur admissa rei conscius, deportationi ac publicationi bonorum omnium subijciter. Sin eo factum sit ignorante, domus uel fundus publicator: actor autem fundi, siue colonus, siue ser-

Ἀνάγνωθι βιβλ. λε. τίτ. ιϛ. κεφ. ιε. ἐν ᾧ φησίν.

Τοῦ μερικοῦ κληρονόμου λεγάτῳ τιμηθέντος καὶ μὴ ἐκδικήσαντος: καὶ ἡ κληρονομία καὶ τὸ λεγάτον ἀφαιρεῖται. κατὰ πάντων δὲ τῶν ὁπωσοῦν κληρονομούντων ἔστιν ἡ ἀφαίρεσις, κἂν ὦσι πάτρωνες.

Καὶ κεφάλ. κα. καὶ κη. ἐν ᾧ φησίν.

Οἱ οἱ κληρονόμοι μὴ ἐκδικήσαντες τὸν φόνον τοῦ βιαίως τελευτήσαντος κληροδότου, ἀποδιδοῦσι τὰ πράγματα καὶ τοὺς καρπούς. οἱ γὰρ καλῇ πίστει νομεῖς, μόνοι τοὺς καρποὺς κερδαίνουσιν. οὗτοι δὲ οὐκ εἰσὶν: ἐπειδὴ εἰδότες παρέλειψαν τὸ πρέπον τῇ εὐσεβείᾳ πρᾶγμα.

Ἀνάγνωθι καὶ κεφ. λ. μέχρι τοῦ λη. κεφαλαίου.

Ἐν δὲ τῷ λε. κεφαλαίῳ φησίν.

Οἱ ὁ τὸ πλαστὸν κινήσας, καὶ ἐξ ἀποφάσεως ἡττηθεὶς, ἀπόλλυσι τὸ καταλειφθὲν αὐτῷ ἐν ἐκείνῃ τῇ διαθήκῃ. ὁ δὲ ἀρξάμενος κινεῖν, ἀποστὰς οὐδὲν ἀπόλλυσιν.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον ε. κεφάλαιον ϛβ. ἐν ᾧ φησίν.

Ἐὰν βιαίως τινὸς τελευτήσαντος, ὁ κληρονόμος ὑπεισέλθῃ τῇ κληρονομίᾳ πρὶν ἢ τὸν φόνον ἐκδικήσει, δημεύεται ἡ κληρονομία.

Ἀνάγνωθι καὶ βιβλίον μδ. τίτλον α. κεφάλαιον ρι. ἐν ᾧ φησίν.

Ἐάν τις παρανόμως ἀγάγηται τὴν ἐπιτροπευθεῖσαν παρ' αὐτοῦ: λαβεῖν μὲν αὐτὸς ἐκ τῆς διαθήκης αὐτῆς οὐ δύναται: αὐτὴ δὲ ἐκ τῆς αὐτοῦ λαμβάνει.

Ἀνάγνωθι καὶ βιβλίον νϛ. τίτλον β. καὶ κεφάλαιον κδ. ἐν ᾧ φησίν.

Τοῦ ἀνδρὸς μὴ ἐκδικοῦντος τὸν φόνον τῆς γυναικὸς, ἡ προὶξ καθ' ὅσον αὐτῷ διαφέρει δημεύεται.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον να. κεφάλαιον ιϛ. ἐν ᾧ φησίν.

Ἀντὶ μὴ γεγραμμένου ἐστὶ τὸ καταλιμπανόμενον ἐν διαθήκῃ τοῖς ὑπευθύνοις τιμωρίας.

ΠΕΡΙ ΧΑΡΑΚΤΩΝ ΚΑΙ ΠΕΡΙ παραψαλιστῶν.

Τίτλος μδ. κεφάλ. η.

Οἱ τὰ νομίσματα ξέοντες, ἢ περικόπτοντες, ἢ χαράσσοντες, χειροκοπείσθωσαν. ὑπόκειται τῷ νόμῳ καὶ ὁ ἐπιμίξας ἐπίψογόν τι τῷ χρυσῷ ἢ νόθους ἀργυροῦς νούμμους ποιήσας: καὶ ὁ δυνάμενος τοῦτο κωλῦσαι καὶ μὴ κωλύσας: καὶ ὁ κατὰ δόλον κασσιτερίνους ἢ μολιβδίνους νούμμους πωλῶν ἢ ἀγοράζων.

Ἀνάγνωθι καὶ τίτλον ξ. οὗτινος ἐν τῷ α. κεφαλαίῳ φησίν.

Ὁ πλαστὴν μονήταν ποιῶν, μετὰ τῶν ὑπουργησάντων αὐτῷ, χειροκοπείσθω. ὁ δὲ δεσπότης τοῦ ἀγροῦ ἢ τοῦ οἴκου, ἐν ᾧ ταῦτα γέγονεν, ἐὰν φανείη συνειδὼς τῷ γινομένῳ: περιορισμῷ, καὶ δημεύσει τῆς ὅλης αὐτοῦ περιουσίας ὑποβληθήτω: εἰ δὲ ἀγνοοῦντος αὐτοῦ τοῦτο γέγονεν, ἡ οἰκία ἤτοι ὁ ἀγρὸς δημευέσθω. ὁ δὲ τοῦ ἀγροῦ διοικητὴς εἴτε γεωργὸς, εἴτε δοῦλος, εἴτε

λος, ἤτι ἔνοικος, ἔτι πάροικος, ὑπηρετήσας τῷ ἁμαρτήματι: μετὰ τοῦ ἁμαρτήσαντος, χειροκοπείσθω. εἰ δὲ ὁ δεσπότης ἐξ ἀρχῆς ἀγνοῶν, μετὰ ταῦτα δὲ μαθὼν καταμηνύσοι, αὐτὸς μὲν οὐ ζημιωθήσεται: ὁ δὲ τοῦ πράγματος αὐτουργὸς, μετὰ τῶν ὑπηρετῶν χειροκοπείσθω. οὐδένα χρὴ παρὰ βασιλέως ἐξαιτεῖν ἐπὶ τῷ ἐκτυποῦν νόμμας: καὶ ὁ τοῦτο τυγχάνων, μὴ μόνον τὸν καρπὸν τῆς ἰδίας αἰτήσεως ἀπολλυέτω: ἀλλὰ καὶ τὴν τιμωρίαν, ἧς ἄξιος νομίζεται, ὑποδεχέσθω ὡς παραχαράκτης.

ΠΕΡΙ ΤΩΝ ΔΗΜΟΣΙΑ ΧΡΗΜΑΤΑ ὑφελομένων, ἢ εἰς ἰδίας χρείας τρεψάντων, ἢ ὅλως νοσφισαμένων, ἢ δόλον ἐν αὐτοῖς ποιησάντων, ἢ ἐν τῷ ἄρχειν κλοπήν τινα πεπραχότων.

Τίτλος με. κεφάλ. α.

[margin: ὑφῄρηται ἢ εἰς ἴδιον ἐτράπη.]

Ἡ ποινὴ τοῦ [δὲ] πεκουλάτους, περιορισμός ἐστι. καὶ ἐπάγει πάσης τῆς προτέρας καταστάσεως ἐναλλαγὴν καὶ ἀπώλειαν τῆς οὐσίας. κινεῖται δὲ κατὰ τοῦ ὑφελομένου ἐκ τῶν ἱερῶν, ἢ μνημείων, ἢ δημοσίων χρημάτων, ἢ τρέψαντος πρὸς ἰδίας χρείας πλὴν τῶν ἀπὸ νόμου ἐπιτετραμμένων. καὶ τοῦ μίξαντος τῷ δημοσίῳ χρυσῷ ἢ ἀργύρῳ χαλκὸν, ἢ ἑτερόν τι βλάπτον αὐτόν.

γ.

Τῷ δὲ ῥεσιδούοις κατέχεται ὁ δημόσια χρήματα λαβὼν εἴς τινα χρείαν, καὶ μὴ περὶ αὐτὴν δαπανήσας, ἀλλ' εἰς ἑτέραν παρακατασχὼν.

η.

Ἡ κατὰ τῶν ὑφελομένων δημόσια ἢ ἱερὰ χρήματα καταδίκη, τουτέστιν ὁ περιορισμὸς, μετὰ πενταετίαν τοῦ ἁμαρτηθέντος οὐ κινεῖται.

ις.

Ἐὰν ἄρχοντες ἐν καιρῷ τῆς ἀρχῆς δημόσια χρήματα κλέψωσι, καὶ αὐτοὶ κατεχέσθωσαν κεφαλικῇ τιμωρίᾳ, καὶ οἱ ὑπουργήσαντες αὐτοῖς ἐν τῷ πράγματι καὶ ὑποδεξάμενοι παρ' αὐτῶν ὑποκλαπέντα.

ΠΕΡΙ ΙΕΡΟΣΥΛΙΑΣ.

Τοῦ αὐτοῦ τίτλου κεφάλ. β. καὶ δ. καὶ ς. καὶ η. καὶ ια. ἐν ᾧ φησιν.

Ὁ ἐν θυσιαστηρίῳ εἰσιὼν ἐν ἡμέρᾳ ἢ νυκτὶ, καὶ τῶν ἐν αὐτῷ ἱερῶν τι ἀφαιρούμενος, τυφλούσθω. ὁ δὲ ἔξω τοῦ θυσιαστηρίου ἐκ τοῦ ἄλλου ναοῦ ἀφελόμενος, τυπτόμενος καὶ κουρευόμενος, ἐξοριζέσθω.

ΠΕΡΙ ΚΟΛΑΚΩΝ.

Τίτλος μς. κεφάλ. α.

[margin: † τὸν δῆμον κολακεύσας, μὴ.]

Ἐὰν τις στρατηγὸς ἢ ἱερεὺς ἔν τινι πόλει † τῇ φροντίδι τοῦ βασιλέως γένηται, καταδικάζεται εἰς ρ. ΝΝ. καὶ ἀτιμοῦται. καὶ ἐὰν διελέγξῃ ἕτερον, ἀποκαθίσταται μέν: τὴν δὲ ποινὴν οὐκ ἀναλαμβάνει.

uus, siue inquilinus, siue incola, qui ministeriū huic crimini prabuit, cum eo qui fecit, manus amittat. Quod si dominus ignorans ab initio, postea cognitam rem detulerit: ipse quidem non laedetur, sed fa inoris auctori cum ministris manus abscinduntor. Neminem oportet a principe petere, numos ut sibi formare liceat: & qui hos impetrauerit, non modo fructum sua petitionis amittat; sed etiam pœnam, qua dignus censetur, quasi moneta adulterator excipiat.

DE IIS, QVI PECVNIAM PVBLIcam abstulerūt, uel in rem suam uerterunt, uel prorsus alienarunt, uel eam dolo malo tractarunt, uel furtum aliquod administrationis tempore commiserunt.

TIT. XLV. cap. I.

Pœna peculatus deportatio est, & inducit totius prioris status mutationem, & amißionem bonorum. Ea uerò agitur aduersus eum, qui ex sacris, uel monumentis, uel publicis pecunys aufert, uel in rem suam uertit, prater ea, qua lege concessa sunt: uel in eum, qui auro publico uel argento as miscet, uel quid aliud, quo peius fiat.

[margin: De pœna peculatus. D. ad leg. Iul. peculat.]

III.

Lege uero de residuis tenetur, qui pecuniam publicam accepit in usum aliquem, nec in eum impendit, sed in alium retinuit.

VIII.

Condemnatio eorum, qui publicā uel sacram pecuniam abstulerunt, hoc est, in insulam deportatio, post quinquennium, ex quo crimen admissum est, non infertur.

XVI.

Si magistratus administrationis tempore publicam pecuniam surripuerint, tam ipsi capitali pœna tenentor, quam qui eis in ea re ministerium prabuerunt, & qui ab eis subrepta susceperunt.

[margin: l. un. C. de crim. pecul.]

DE SACRILEGIO.

Lege tit. eiusd. cap. II. IIII. VI. VIII. & XI. cuius uerba sunt:

Qui sacrarium ingressus, interdiu uel noctu, sacrorum aliquid inde aufert, excacator: qui uero extra sacrarium e templo reliquo aufert, uerberatus & tonsus exsilio multator.

DE AMBITVS REIS.

TIT. XLVI. cap. I.

Si quis in aliquo municipio, populi fauore per adsentationem captato, non principis cura, magistratus aut sacerdos fiat: C. aureis, cum infamia, punitur. Et si alium conuicerit, in integrum quidem restituitur, sed multam non recipit.

[margin: l. un. D. de leg. Iul. ambit.]

DE PLAGIARIIS.

TIT. XLIIX. cap. III.

D. ad leg. Fab. de plag. *Qui seruum alienum suscepit & celauit, non euitat pœnam per caussam litis, quam de proprietate acturus sit: sed praestat eum cum alio simili, uel XX. aureis. quoties autem eum susceperit, toties augetur pœna.*

IV.

Si fugitiui apud me inueniātur, qui seruitia sua mihi locauerint, ut pascerētur: non sum plagiarius, praesertim si & apud alios id fecerint.

XII.

L. eum qui. C. eod. *Qui mancipiū alienū celat, lege de plagiarijs tenetur.*

XIII.

Qui emit a plagiario, si delicti socius non sit, nullo quidem crimine tenetur: sed doli tamen actione tenetur.

XVIII.

l. 15. C. eod. *Qui liberum sciens inuitum uendit, plagiarius est. ac si quidē seruus est aut libertinus, uerberato ac tonso manus abscinduntor: sin liber, manus ei dumtaxat abscinduntor. Similiter illi manus abscinduntor, qui liberum sciens emit, uel donauit, uel in dotem dedit, uel permutauit.*

Lege etiam tit. de corruptione ac sollicitatione seruorum.

Pertinet huc & lib. VII. titulus V. caput LXXVIII. cuius haec uerba sunt:

l. 1. D. eod. *Qui sciens liberum uendit, in plagiariorum crimen incidit.*

DE ABSENTIBVS, ET REQVIRENDIS, UT CRIMINIS REIS.

TIT. XLIX. cap. I.

l. 1. D. de requ. reis. *Absens qui nō dānatur magno crimine, puta quod infert pœnā capitalē, uel in opus metalli: sed fit requirēdus, edicto proposito, ut eo cognito ueniat, ac se purget. Fiunt autē & litterae a praeside ad praesidem prouinciae, in qua requirendus degit, ut ei per eum innotescat. Ex quo uero innotuit, annum habet ad se purgandum, ac si intra annū ueniat, ac satisdet, aut moriatur: bona eius non publicantur, sed heredibus competunt.*

SCHOLION.

l. 2. & 3. D. eod. Scire debes, si per annos XX. bona requirendi fiscus non occupauerit, eum praescriptione uel ab ipso, uel ab ipsius heredibus submoueri. Nam omnis quaestio fiscalis intra XX. annos extinguitur, uel praescriptione submouetur.

V.

l. 1. & 2. C. h. t. *Grauissimorū criminum reus, si absit, nō damnatur absēs, sed fit regrēdus: ac si intra annū redierit, & docuerit se innocētē, recipit res suas, arbitrio iudicis obsignatas. Quare deinceps, etsi necdū se illato crimine purgauerit, nihilo minus si moriatur, in heredes suos bona sua trāsmittit.*

ΠΕΡῚ ἈΝΔΡΑΠΟΔΙΣΤΩ͂Ν.

Τίτλ. μη. κεφάλ. γ.

Ὁ τὸν ἀλλότριον δοῦλον ὑποδεξάμενος καὶ ἀποκρύψας, οὐκ ἐκφεύγει τὴν ποινὴν προφάσει τοῦ δικάζεσθαι περὶ τῆς αὐτοῦ δεσποτείας: ἀλλὰ δίδωσιν αὐτὸν μετὰ ἑτέρου ὁμοίου, ἢ τὰ κ. ΝΝ. ὁσάκις δὲ αὐτὸν ὑποδέξεται, τοσαυτάκις αὔξεται ἡ ποινή.

δ.

Ἐὰν φυγάδες εὑρεθῶσι παρ' ἐμοὶ, μισθώσαντές μοι τὰς δουλείας αὐτῶν ἐπὶ τῷ τρέφεσθαι, οὐκ εἰμὶ ἀνδραποδιστής: μάλιστα εἰ καὶ παρ' ἑτέροις τοῦτο ἐποίησαν.

ιβ.

Ὁ τὸν ἀλλότριον δοῦλον κρύπτων, τῷ περὶ ἀνδραποδισμοῦ νόμῳ κατέχεται.

ιγ.

Ὁ ἀγοράσας παρὰ τοῦ ἀνδραποδιστοῦ, μὴ κοινωνήσας τῷ πλάσματι, οὐδενὶ ἐγκλήματι κατέχεται. τῇ δὲ περὶ δόλου ἀγωγῇ ἐνέχεται.

ιη.

Ὁ τὸν ἐλεύθερον ἐν εἰδήσει μὴ βουλόμενον πιπράσκων, ἀνδραποδιστής ἐστι. καὶ εἰ μὲν δοῦλός ἐστιν, ἢ ἀπελεύθερος, τυπτόμενος καὶ κουρευόμενος χειροκοπείσθω: εἰ δὲ ἐλεύθερός ἐστι, χειροκοπείσθω μόνον. ὁμοίως χειροκοπείσθω καὶ ὁ τὸν ἐλεύθερον εἰδὼς ἀγοράσας ἢ δωρησάμενος: ἢ εἰς προῖκα δοὺς ἢ καταλλάξας.

Ἀνάγνωθι καὶ τὸν περὶ διαφθορᾶς ἢ ὑποκλοπῆς τῶν δούλων.

Ἀνάγνωθι βιβ. ζ. τιτ. ε. κεφάλ. οη. ἐν ᾧ φησίν.

Ὁ ἐν εἰδήσει πιπράσκων τὸν ἐλεύθερον, τῷ τῶν ἀνδραποδιστῶν ὑποπίπτει ἐγκλήματι.

ΠΕΡῚ ἈΠΌΝΤΩΝ ΚΑῚ ἈΝΑΖΗΤΟΥΜΈΝΩΝ, ὡς ἐπὶ ἐγκλήματι κατηγορουμένων.

Τίτλ. μθ. κεφάλ. α.

Ὅτι, ἀπὼν τις, οὐ καταδικάζεται μεγάλῳ ἐγκλήματι, τυχὸν ἐπάγοντι ποινὴν κεφαλικὴν, ἢ εἰς ἔργον μετάλλου: ἀλλὰ γίνεται ἀναζητούμενος, προγράμματος προτιθεμένου, ἵνα τοῦτο γνοὺς, ἔλθῃ καὶ ἑαυτὸν καθάρῃ. γίνονται δὲ καὶ γράμματα παρὰ τοῦ ἄρχοντος πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας, ἐν ᾗ διάγει ὁ ἀναζητούμενος: καὶ δι' αὐτοῦ ἐν εἰδήσει γίνεται. ἀφ' οὗ δὲ γνῷ, τὸν ἐνιαυτὸν ἔχει πρὸς τὸ ἑαυτὸν καθάραι. καὶ ἐὰν εἴσω τοῦ ἐνιαυτοῦ ἔλθῃ, καὶ ἀσφαλίσηται, ἢ ἀποθάνῃ, οὐ δημεύεται ἡ οὐσία αὐτοῦ: ἀλλὰ τοῖς κληρονόμοις ἁρμόζει.

ΣΧΟΛΙΟΝ.

Ὀφείλεις εἰδέναι, ὅτι ἐὰν ἐπὶ κ. ἔτη ὁ δημόσιος μὴ κατάσχῃ τὰ τοῦ ἀναζητουμένου πράγματα, ἐκβάλλεται παραγραφῇ παρ' αὐτοῦ ἢ διαδόχων. πᾶσα γὰρ δημοσία ζήτησις, κατὰ κ. ἔτη σβέννυται, ἢ [illegible] παραγραφῇ.

ε.

Ὁ ἐπὶ βαρυτάτοις ἐγκλήμασιν ἐνεχόμενος, καὶ ἀπολιμπανόμενος, οὐ καταδικάζεται ἀπὼν, ἀλλὰ γίνεται ἀναζητούμενος. καὶ ἐὰν ἐντὸς ἐνιαυτοῦ παραγένηται, καὶ ἀποδείξῃ ἑαυτὸν ἀνεύθυνον, παραλαμβάνει τὰ ἴδια πράγματα κρίσει τοῦ δικαστοῦ σφραγισθέντα. ὅθεν καὶ μετὰ ταῦτα, εἰ καὶ μηδέπω ἐκάθηρεν ἑαυτὸν τοῦ ἐπιφερομένου ἐγκλήματος, ὅμως ἐὰν τελευτήσῃ, εἰς τοὺς κληρονόμους τοὺς ἰδίους παραπέμπει τὴν ἰδίαν οὐσίαν.

ὅτις δὴ-

εἴ τις δήποτε ἐξ ἐκείνης τῆς ἡμέρας, ἐξ ἧς ὑπεύθυνος γέγονεν, ἐν δικαστηρίῳ αἰτιαθεὶς, ἐντὸς ἐνιαυτοῦ διαστήματος μὴ βουληθῇ παραγγυῆσαι ἐν τῷ δικαστηρίῳ, καὶ τὰ πράγματα τῷ δημοσίῳ διεκδικηθῶσι: καὶ μετὰ ταῦτα, εὑρεθεὶς ὑπεύθυνος, ἐὰν καταληφθείς, αὐστηροτέρᾳ ἀποφάσει ὑποβαλλέσθω. εἰ δὲ καὶ ἐλέγχοις φανεροῖς καὶ ἀποδείξει διαυγεῖ τὴν ἀθωότητα τὴν ἰδίαν καθάραι σπουδάσει, μηδὲν ἧττον αἱ ὑποστάσεις αὐτοῦ παρὰ τῷ δημοσίῳ μενέτωσαν.

Ἀνάγνωθι καὶ βιβ. θ. τίτ. α. κεφ. ρμε. ἐν ᾧ φησίν.

Ἐάν τις ἐπὶ ἐγκλήματι γενόμενος ἀναζητούμενος τελευτήσει: τὰ πράγματα αὐτοῦ τοῖς κληρονόμοις αὐτοῦ διαφέρουσιν.

ΠΕΡΙ ΖΗΤΗΣΕΩΝ ΗΤΟΙ ΕΞΕΤΑσεων, καὶ πότε καὶ τίνας δεῖ ἐμβασανίως ἐξετάζεσθαι.

Τίτλος ν. κεφάλ. α.

Οὐ δεῖ τῆς ζητήσεως ἀπὸ βασάνων ἄρχεσθαι. τότε γὰρ οἱ δοῦλοι βασανίζονται, ὅτι καὶ ὕποπτός ἐστιν ὁ κατηγορούμενος, καὶ ὕπεισι τεκμήρια, ὥστε μόνην τὴν δούλων ἐλλείπειν κατάθεσιν. πρῶτοι δὲ βασανίζονται οἱ ὕποπτοι, καὶ δι᾽ ὧν δυνατὸν γνωσθῆναι τὸ ἀληθές. οὐ δεῖ δὲ φέρεσθαί τινας ἀπὸ τοῦ οἴκου τοῦ κατηγόρου πρὸς ζήτησιν. δ.

Οὐ δεῖ πιστεύειν ταῖς καταθέσεσι τῶν κρινομένων, εἰ μὴ ἀπόδειξις διδάσκει τὸν δικαστήν. οὐκ ἀκούεται ὁ κατήγορος ἀποθέσθαι θέλων τὸ τίμημα τοῦ δούλου, ὥστε βασανισθῆναι αὐτὸν κατὰ τοῦ δεσπότου. ζητήσεως οὔσης περὶ δημοσίων συντελειῶν, καὶ οἰκέται βασανίζονται: ἐπειδὴ καὶ συνειδότες τῇ κατὰ τοῦ δημοσίου περιγραφῇ, εἰς κεφαλὴν τιμωροῦνται. οὐ δεῖ τὸν ἐξετάζοντα ὀνομαστὶ ἐπερωτᾶν, εἰ ὁ δεῖνα φόνον ἐποίησε (τοῦτο γὰρ ὑποβαλεῖν ἐστιν) ἀλλὰ τίς τὸν φόνον ἐποίησε. διὰ τὴν ἰταμότητα ἢ τὴν δειλίαν τῶν βασανιζομένων, οὔτε πάντοτε δεῖ πιστεύειν ἢ ἀπιστεῖν ταῖς καταθέσεσιν αὐτῶν, οὔτε ταῖς τῶν ἐχθρῶν, ἀλλὰ τῆς αἰτίας διαγνωσκομένης. ε.

Οἱ συλληφθέντες κατὰ τῶν αὐτοὺς παραδεδωκότων, οὐκ εὐχερῶς πιστεύονται λέγοντες, ἀλλὰ τῆς αἰτίας διαγνωσκομένης. ὁ αὐθαιρέτως ὁμολογήσας περὶ ἁμαρτήματος, εὐχερῶς οὐ πιστεύεται. πολλάκις γὰρ ἢ φόβῳ ἢ ἑτέρᾳ αἰτίᾳ καθ᾽ ἑαυτοῦ πλάττεται. ὅθεν ἐὰν δοῦλος φοβούμενος ὑποστρέψαι πρὸς τὸν δεσπότην, πλαστῶς καθ᾽ ἑαυτοῦ εἴπῃ, καὶ μετὰ καταδίκην ἀληθείας διαγνωσκομένης, ἐλευθεροῦται τῆς ποινῆς, καὶ διὰ τῆς τάξεως πιπράσκεται, ἐφ᾽ ᾧ μὴ ὑποστρέψαι πρὸς τὸν δεσπότην, καὶ τὸ τίμημα δίδοται τῷ δεσπότῃ. δοῦλος δὲ ἄλλως καταδικαζόμενος, ἐὰν ἀποκατασταθῇ, τῷ δεσπότῃ διαφέρει. θ.

Ὁ ἥττων τῶν δεκατεσσάρων ἐτῶν, οὐχ ὑφίσταται ἐμβάσανον ζήτησιν. πάντες οἱ καλούμενοι πρὸς μαρτυρίαν ἐν † τῷ πρὸς βασιλέα φερομένῃ καθοσιώσει, τοῦ πράγματος ἀπαιτοῦντος βασανίζονται. οὔτε ὁ τοῦ πατρὸς δοῦλος κατὰ τοῦ υἱοῦ, οὔτε ὁ τοῦ υἱοῦ, κατὰ τοῦ πατρὸς βασανίζεται.

† τῇ.

Quicumque ex eo die, quo reus fuerit in iudicio petitus intra anni spatium noluerit adesse iudicio: eius & res fisco uindicentur, & si postea repertus, nocens fuerit deprahensus, seueriori sententia subiugetur. Sed & si argumentis euidentibus, & probatione dilucida, suã innocentiam purgare cupiuerit: nihilo minus facultates eius penes fiscum remaneant.

Refer huc lib. IX. tit. I. cap. CXLV. cuius uerba sunt:

Si quis ob crimen requirendus factus, mortuus fuerit: eius bona ad heredẽ ipsius pertinẽt.

DE QVAESTIONIBVS, ET QVANdo, quósue per tormenta subijci quæstionibus oporteat.

TIT. L. cap. I.

Quæstionem a tormentis incipere non oportet. Tunc enim serui torquentur, quum & suspectus est reus, & argumenta sunt talia, ut sola seruorum depositio desit. Primi uero torquentur suspecti, & a quibus uerum sciri potest. Non oportet ullos ad quæstionem produci ex domo accusatoris. D. hoc tit.

IIII.

Reorum confessionibus fides habenda non est, nisi probatio iudicem instruat. Non auditur accusator, qui uult deponere serui pretiũ, ut is torqueatur aduersus dominum. Si quæstio sit de publicis tributis, etiam serui torquẽtur: quoniam & fraudis fisco factæ conscij, capite puniuntur. Qui quæstionem habet, nominatim interrogare non debet, an ille homicidium fecerit: (hoc enim est suggerere) sed quis homicidium fecerit. Propter ferociam, uel formidinem eorum, qui quæstioni subijciuntur, neque semper eorum est habenda, uel non habenda fides; neque inimicorũ depositionibus: sed ubi caussa cognita fuerit.

V.

Non facile fides habetur adprahensis in eos, qui eos tradiderunt: sed caussa cognita. Ei qui ultro de maleficio fatetur, non facile creditur. nam sæpe uel metu, uel alia de caussa in se crimina fingit. Itaque si seruus metu ad dominum reuertendi, falso in se dixerit; & post condemnationem ueritate cognita, pœna liberatur, & per officium distrahitur, ne redeat ad dominum, & pretiũ domino datur. Seruus autem alio quo modo dãnatus, si restituatur, ad dominũ pertinet.

IX.

Minor XIV. annis tormentorum quæstioni nõ subijcitur. Omnes qui in maiestatis crimine, quod ad principem pertinet, in testimonium uocantur, re exigente torquentur. Neq; patris seruus in filium, neq; filij in patrem torquetur.

XVI. Qui

XVI.

Qui de se confessus est, in alium non torquetur. Quum plures eiusdem malefici rei sunt, a timidioribus & iis, qui tenerioris aetatis sunt, inchoare quaestionem oportet. Quando reus euidentibus argumentis conuincitur, etiam secundo torqueri potest: maxime si in tormenta animum corpusq́ durauerit.

XVII.

Deficientibus argumentis reum torqueri non debet, sed accusator, quod intendit, probet. Testes non semper conuincendi mendacij sui, aut ueritatis gratia torquentur: nisi cum facto interfuisse dicuntur. Seruo tametsi ultro contra dominum dicat, non creditur. Contra eum quoque, qui dominus fuit, & seruum uendidit, seruus non torquetur: neq́ si dominus eum offerat ad quaestionem, in eum interrogari debet.

XIIX.

Ante diem unum praedicere oportet, futuram cognitionem, ne rei subito casu perterrefiant. Quamuis uel maxime possunt, quocumq́ tempore, defensionem postulare. adeo ut & differatur, & proferatur quaestio.

Et cap. XXXIII. them. III.

l. 15. C. hoc tit. *Quoties de suo facto seruus interrogatur, etiamsi prosit interrogatio domino, uel noceat, eam admittimus.*

Legito & illa, quae dicta sunt in tit. de seruis, qui per tormenta examinantur.

DE POENIS.

TIT. LI. cap. I.

D. de poen. *Res condicio spectari debet, non quam habet tempore sententiae, sed quam habuit tempore delicti. proinde si quis seruus crimen commiserit, & manumissus condemnetur: ut seruus punitur, & e contrario.*

II.

Qui de publico uel priuato crimine extra ordinem cognoscunt, eum qui pecuniariam poenam praestare non potest, extra ordinem coërcent. Capitalis condemnatio est, quae mortem, uel seruitutem poena, uel ciuitatis amissionem infert.

III.

Praegnas ante, quam pariat, neque punitur, neq́ torquetur.

V.

In omnibus criminibus quaerendum est, consulto an casu crimen admissum sit: & ita uel secundum legem, uel mitior poena inferenda est.

ις.

Ὁ ὁμολογήσας περὶ ἑαυτοῦ, καθ' ἑτέρου οὐ βασανίζεται. πολλῶν τὸ αὐτὸ ἁμαρτησάντων, ἐκ τῶν δειλοτέρων καὶ ἁπαλωτέρας ἡλικίας ὄντων, ἄρχεσθαι δεῖ τῆς ζητήσεως. ὅτε προφανέσι τεκμηρίοις ἐλέγχηται ὁ κατηγορούμενος, καὶ δευτέραν δύναται βασανίζεσθαι: μάλιστα ἐὰν καὶ τῇ ψυχῇ καὶ τῷ σώματι αὐτοῦ, τὴν βάσανον ὑποφέρει.

ιζ.

Μὴ ὄντων τεκμηρίων, οὐ δεῖ τὸν κατηγορούμενον βασανίζεσθαι: ἀλλ' ὁ κατήγορος ὅπερ ἐπιτείνει, δεικνύτω. οἱ μάρτυρες οὐκ ἀεὶ βασανίζονται πρὸς ἔλεγχον τοῦ ψεύδους ἢ τῆς ἀληθείας αὐτῶν, εἰ μὴ ὅτι παρεῖναι λέγονται τῇ ὑποθέσει. ὁ δοῦλος κἂν αὐθαιρέτως λέγῃ κατὰ τοῦ δεσπότου, οὐ πιστεύεται. οὐδὲ κατὰ τοῦ γενομένου δεσπότου καὶ πωλήσαντος αὐτὸν, ὁ δοῦλος βασανίζεται. οὐδὲ εἰ ὁ δεσπότης αὐτὸν ἐπὶ τὸ βασανισθῆναι προφέρει, δεῖ κατ' αὐτοῦ ἐρωτᾶσθαι.

ιη.

Πρὸ μιᾶς ἡμέρας δεῖ λέγεσθαι μέλλειν ἐξέτασιν γίνεσθαι: ἵνα μὴ οἱ κατηγορούμενοι τῷ αἰφνιδίῳ καταπλήσσωνται. εἰ καὶ τὰ μάλιστα δύνανται ἐν παντὶ καιρῷ διεκδίκησιν αἰτεῖν, καὶ ὑπερτίθεται καὶ ἐπεκτείνεται ἡ ζήτησις.

λγ. κεφαλαίῳ, θεμ. γ.

Ὁσάκις δοῦλος ἐρωτᾶται περὶ ἰδίας πράξεως, εἰ καὶ συμβάλλεται τῷ δεσπότῃ, ἢ βλάπτει αὐτὸν ἡ ἐπερώτησις, δεχόμεθα † αὐτόν. † αὐτήν.

Ἀνάγνωθι καὶ τὰ εἰρημένα ἐν τῷ περὶ δούλων ἐμβασάνως ἐξεταζομένων.

ΠΕΡΙ ΠΟΙΝΩΝ.

Τίτλος να. κεφάλ. α.

Τοῦ κρινομένου τὴν αἵρεσιν δεῖ σκοπεῖν, οὐχ οἵαν ἔχει ἐν τῷ καιρῷ τῆς ἀποφάσεως, ἀλλ' οἵαν εἶχεν ἁμαρτάνων. ὅθεν ἐάν τις δοῦλος ἁμάρτῃ, καὶ ἐλευθερωθεὶς καταδικασθῇ, ὡς δοῦλος τιμωρεῖται. καὶ ἐκ τοῦ ἐναντίου.

β.

Οἱ δημόσιον, ἢ ἰδιωτικὸν ἔγκλημα ἐξτραορδινὲμ διαγινώσκοντες, τὸν μὴ δυνάμενον δοῦναι χρηματικὴν ποινὴν, ἐξτραορδινὲμ κολάζουσι. κεφαλικὴ καταδίκη ἐστὶν ἡ θάνατον, ἢ ὑπεύθυνον ποινῆς ἢ πολιτείας ἔκπτωσιν ἐπάγουσα.

γ.

Ἔγκυος πρὶν ἢ τέκῃ, οὐ τιμωρεῖται. οὐδὲ βασανίζεται.

ε.

Ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν ἐκ προνοίας τις ἢ κατὰ τύχην ἥμαρτε: καὶ οὕτως ἢ πρὸς τὸν νόμον, ἢ † πρᾳοτέραν ἐπιφέρειν τιμωρίαν. † πρᾳοτέραν.

ϛ.

Τῶν ποινῶν αἱ μὲν θάνατον ἐπάγουσιν, αἱ δὲ δουλείαν, αἱ δὲ πολιτείας ἔκπτωσιν, αἱ δὲ ἐξορίαν, αἱ δὲ σωφρονισμὸν εἰς σῶμα, (τουτέστι πληγὰς ἢ δεσμὰ) ἢ ζημίαν σὺν ἀτιμίᾳ, ἢ στέρησιν ἀξίας, ἢ τινὸς πράγματος κώλυσιν. μόνῳ δὲ ξίφει καὶ οὐχ ἑτέρῳ ὀργάνῳ ἢ φαρμάκῳ δεῖ φονεύειν.

κε.

Ἐσχάτη τιμωρία ἐστὶ τὸ φουρκισθῆναι, καὶ καυθῆναι, καὶ ἀποκεφαλισθῆναι, καὶ τὸ μεταλλισθῆναι, καὶ περιορισθῆναι. ταῦτα γὰρ πλησιάζει καὶ μιμεῖται θάνατον. τὸ δὲ προσκαίρως ἢ διηνεκῶς ἐξορισθῆναι, ἢ ἄλλως ὑποστῆναι ποινὴν, οὐκ ἔστι κεφαλικόν.

κϛ.

Μόνοι οἱ εὐτελεῖς ἐλεύθεροι ῥοπαλίζονται.

λζ.

Διὰ τῆς ἑρμηνείας τῶν νόμων, πραΰνεσθαι δεῖ τὰς τιμωρίας, οὐ μὴν τραχύνεσθαι.

μδ.

Οὐδέποτε συγχωρεῖται διὰ τὴν ἡλικίαν ἡ τιμωρία τοῦ ἁμαρτήματος: μόνον ἐὰν ἐστὶ πλησιάζων † τῇ ἥβῃ τις, ὅτι αἰσθάνεται τῶν παρ' αὐτοῦ ἁμαρτανομένων.

† τῇ ἥβῃ τις.

νγ.

Ἡνίκα ὁ κατηγορούμενος ἐπὶ φόνῳ ἢ ἄλλῳ τινὶ † τούτῳ ἐγκλήματι δι' ἐναργῶν ἀποδείξεων ἐλεγχθῇ, μὴ ὑπερτιθέσθω ὁ ἄρχων τὴν κατ' αὐτοῦ τιμωρίαν. εἰ δὲ καὶ ἐν τῷ μεταξὺ ἱκετεύσῃ, ἄχρηστός ἐστιν ἡ δέησις.

† τοιούτῳ.

νε.

Θεσπίζομεν ἐκεῖσε εἶναι τὴν τιμωρίαν, ὅπου καὶ τὸ ἁμάρτημά ἐστι: τοὺς δὲ συγγενεῖς, τοὺς ἐγνωσμένους, τοὺς οἰκειακοὺς, μακρὰν ἀπὸ τῆς συκοφαντίας ἐκβάλλομεν, οὓς ἐνόχους ὑπευθύνους ἡ τοῦ μύσους κοινωνία μὴ ποιεῖ. οὐδὲ γὰρ ἡ συγγένεια ἢ ἡ φιλία ἄδικον ἔγκλημα προσδέχονται. τὰ οὖν ἁμαρτήματα τοὺς ἰδίους κατεχέτω αὐθέντας. καὶ μηδὲ περαιτέρω προέλθῃ φόβος, εἴπερ εὑρίσκεται τὸ ἁμάρτημα: τοῦτο ἑκάστοις δικασταῖς † ἐμβασανιζέσθω.

† ἐμφανιζέσθω.

Ἀνάγνωθι καὶ βιβλ. ϛ. τιτλ. ιθ. κεφάλ. ια.

ΠΕΡῚ ἘΓΚΎΟΥ, ὍΤΙ ΟΥ̓ ΤΙΜΩρεῖται, οὐδὲ βασανίζεται πρὶν ἢ τέκῃ.

Τοῦ αὐτοῦ τιτλ. κεφάλ. γ.

Ἔγκυος πρὶν ἢ τέκῃ, οὐ τιμωρεῖται, οὐδὲ βασανίζεται.

ΠΕΡῚ ἘΞΟΡΊΣΤΩΝ.

Τίτλου ια. κεφάλ. γ. θεμ. β.

Οἱ μὴ πειθαρχοῦντες τῇ ἐξορίᾳ, ἀλλ' ἢ ἐν ἑτέροις εὑρισκόμενοι τόποις, ἢ μὴ ἀπιόντες εἰς τὴν ἐξορίαν: ἀντὶ μὲν ἐξορίας προσκαίρου, διηνεκῆ ὑφίστανται: ἀντὶ διηνεκοῦς ἐξορίας, περιορισμόν: ἀντὶ δὲ περιορισμοῦ, κεφαλικὴν τιμωρίαν.

VI.

Pœnarum alia mortem inferunt, alia seruitutem, alia ciuitatis amißionem, alia relegationem, alia castigationem corporalem, hoc est, uerbera uel uincula, uel damnum cum infamia, uel dignitatis depositionem, uel actus alicuius prohibitionē. Solo autem gladio, non alio instrumento, neque ueneno, adimenda est uita.

XXV.

Extremum supplicium est, furca suffigi, & comburi, & capitis amputatio, & in metallum damnatio, & in insulam deportatio. Nam hæc morti proxima sunt, ac eam imitantur. Verum ad tēpus, aut perpetuo relegari, aliam'ue quam pœnam sustinere, non est capitale.

XXVI.

Soli tenuiores liberi homines fustibus caduntur.

XXXVII.

Interpretatione legum mollire pœnas debemus, non asperare.

XLIV.

Numquam propter ætatem pœna delicti remittitur, si modo quis proximus sit pubertati, quum sentit ea, quæ ab ipso delinquuntur. l.7.C.hosti.

LIII.

Quum reus homicidij, uel alterius eiusmodi criminis, manifestis probationibus conuictus fuerit: præses pœnam ne differto. Quod si etiam interim supplicauerit, inutilis est supplicatio.

LV.

Sācimus ibi esse pœnam, ubi & delictum est. Propinquos autem, notos, domesticos, procul a calumnia submouemus, quos sceleris societas reos non facit. Nec enim cognatio, uel amicitia, nefarium crimen admittūt. Igitur peccata suos teneant auctores, nec ulterius progrediatur metus, quam reperiatur delictum. Hoc singulis iudicibus intimetur.

Legendus etiam lib. VI. tit. XIX. cap. XI.

DE PRAEGNATE, QVOD ANTE, quam pariat, nec quæstioni subijciatur, nec puniatur.

Eiusd. tit. cap. III.

Prægnas ante, quam pariat, non punitur, nec de ea quæstio habetur. l.3.D.eod.

DE RELEGATIS.

Tit. eiusd. cap. III. them. II.

Qui non obtemperant relegationi, sed uel alijs in locis inueniuntur, uel non abeunt in exsilium, pro temporaria quidem relegatione perpetuam sustinent: pro perpetua relegatione, deportationem in insulam: pro deportatione in insulam, capitalem pœnam. l.4.D.de pœn.

Et cap. XXX.

L.28.§.in exfulib.D.eod.

Ad tempus relegatus, si fugerit, perpetuo relegatur: relegatus autem perpetuo, in metallum damnatur: damnato in metallum, si fugiat, caput amputatur. Itidem qui e custodia temporali aufugit, perpetuo custoditur: qui uero perpetuam custodiam refugit, in metallum damnatur: qui e metallo euasit, ultimo supplicio adficitur.

Refer huc & XLV. cap. & LVI. & LX.

L.1.& 2.D.de interd.& releg.

Item tit. LIIII. in cuius I. cap. dicitur, relegatum non proscribi: deportatum manumittere non posse.

DE HIS, QVI DAMNANTVR in metallum.

TIT. eiusd. cap. IX. & XI.

L.8.§.in calcariam.D.eod.

Pœna metalli est, si quis damnatur ut calcem faciat, uel sulphur fodiat.

Item cap. LII.

L.17.C.h.t.

*Si quis fuerit in metallũ, pro criminũ deprahensorum qualitate, damnatus: eius facies minime inscribatur, quum & in manibus, & in furis possit pœna damnationis una inscriptione
» comprahendi: quo facies, quæ ad similitudinem
» pulcritudinis cælestis est figurata, minime ma-
» culetur.*

DE LATRONIBVS.

TIT. eiusd. cap. XXX. them. II.

L.28.§.famosi.D.eod.

Famosi latrones in ijs locis, quibus latrocinati sunt, furca figuntur.

DE IIS, QVI IN INSVLAM deportantur.

TIT. eiusd. cap. XLV.

Lege etiã cap. II. them. III. eiusd. tit.

L.1.C.de pan.

Deportatorum quidem bona, si pœnam irrogarint ij, qui deportandi ius habent, ad fiscum pertinent: quum & tacita publicatio pœnam hanc comitetur. At relegatorum bona, in eorum dominio manent.

Refer huc & tit. LIV. cap. IV. cuius hæc uerba sunt:

L.6.D.de interd.& releg.

Præfectus urbi deportare potest, non etiam præsides prouinciarum: sed quoties aliquem deportandum putant, ad plenum omnia, quæ ad eum pertinent, & suam opinionem principi referre debent, qui æstimet, an sequenda sit præsidis sententia. medio tempore, dum princeps rescribit, in custodiam conijcitur.

XV.

L.15.D.eod.

Deportatus a præside, sine principe, & heres existere potest, & legata ex testamento capit.

Deportati nec hereditatem, nec legatum capiunt. Relinquuntur tamen eis testamento, quæ

Καὶ κεφάλ. λ.

Ὁ πρὸς καιρὸν ἐξοριζόμενος, ἐὰν ἀποφύγῃ, διηνεκῶς ἐξορίζεται. ὁ δὲ διηνεκῶς ἐξορισθεὶς, μεταλλίζεται. ὁ δὲ μεταλλισθεὶς ἀποφεύγων, ἀποκεφαλίζεται. καὶ ὁ πρόσκαιρον φυλακὴν φυγὼν, διηνεκῶς φυλάττεται, ὁ δὲ διηνεκῆ φεύγων, μεταλλίζεται. ὁ δὲ μέταλλον φυγὼν, ἐσχάτως τιμωρεῖται.

Καὶ κεφάλαιον με. καὶ νϛ. καὶ ξ. καὶ τίτλον νδ. οὗτινος ἐν τῷ α. κεφαλαίῳ φησίν: ὁ ἐξόριστος οὐ δημεύεται: ὁ περιορισμένος ἐλευθεροῦν οὐ δύναται.

ΠΕΡΙ ΜΕΤΑΛΛΙΖΟΜΕΝΩΝ.

Τοῦ αὐτοῦ τίτλου κεφ. θ. καὶ ια.

Ποινὴ μετάλλου ἐστὶ τὸ καταδικασθῆναι τινὰ ἄσβεστον ποιεῖν, ἢ θεῖον ὀρύττειν.

Καὶ κεφάλ. νβ.

Ὅστις εἰς μέταλλον εἴη κατὰ τὴν τῶν ἐγκλημάτων τῶν καταληφθέντων ποιότητα καταδικασθεὶς, μηδαμῶς ἡ αὐτοῦ ὄψις ἐπιγραφέσθω. ἐπείπερ ἐν ταῖς χερσὶ καὶ ἐν ταῖς κνήμαις δύναται ἡ τιμωρία τῆς καταδίκης μιᾷ γραφῇ περιέχεσθαι: ὥστε ἡ ὄψις, ἥτις πρὸς μίμησιν τῆς ὡραιότητος τῆς οὐρανίας ἐστὶ † πεπλασμένη, μηδαμῶς σπιλωθῇ. † πεπλασμένα.

ΠΕΡΙ ΛΗΙΣΤΩΝ.

Τίτλου να. κεφάλ. λ. θεμ. β.

Οἱ περιβόητοι λῃσταὶ, ἐν οἷς ἐλῄστευσαν τόποις φουρκίζονται.

ΠΕΡΙ ΤΩΝ ΠΕΡΙΟΡΙΖΟΜΕΝΩΝ.

Τοῦ αὐτοῦ τίτλου κεφάλ. με.

Τῶν μὲν περιοριζομένων τὰ πράγματα ἐὰν οἱ δυνάμενοι περιορίζειν ἐπαγάγωσι τὴν τιμωρίαν, τῷ δημοσίῳ διαφέρουσιν. ἐπειδὴ καὶ σιωπηρὰ δήμευσις ἐπακολουθεῖ τῇ τιμωρίᾳ. τὰ δὲ πράγματα τῶν ἐξορίστων ὑπὸ τὴν δεσποτείαν αὐτῶν μένουσιν.

Ἀνάγνωθι καὶ τίτλον νδ. οὗτινος ἐν τῷ δ. κεφαλαίῳ φησίν.

† Οἱ ἔπαρχοι τῆς πόλεως * δύνανται περιορίζειν, οὐ μὴν οἱ τῶν ἐπαρχιῶν ἄρχοντες. ἀλλ᾽ ὁσάκις νομίσουσιν ὀφείλειν περιορισθῆναι τινὰ πλείως τὰ περὶ αὐτοῦ καὶ τὴν οἰκείαν γνώμην ἀναφέρουσι βασιλεῖ: καὶ αὐτὸς δοκιμάζει εἰ δεῖ τῇ ψήφῳ τοῦ ἄρχοντος ἀκολουθῆσαι. ἐν ὅσῳ δὲ ὁ βασιλεὺς ἀντιγράφει, ἐν φυλακῇ βάλλεται. † ὕπαρχοι. * δύναται.

ιε.

Ὁ χωρὶς βασιλέως ὑπὸ ἄρχοντος περιορισθεὶς καὶ κληρονομεῖ, καὶ δωρεὰς κατὰ διαθήκας λαμβάνει.

Οἱ περιοριζόμενοι, οὐδὲ κληρονομίαν, οὐδὲ λεγάτον λαμβάνουσι. καταλιμπάνονται δὲ αὐτοῖς ἐν διαθήκῃ τὰ

θήκῃ τὰ

θήκη τὰ πρὸς ἀποτροφὴν καὶ τὰς ἄλλας ἀναγκαίας χρείας ἀρκοῦντα.

Ανάγνωθι καὶ βιβλίον κη. τίτλον ζ. κεφάλαιον κβ.

ΣΧΟΛΙΟΝ.

[illegible]

ΠΕΡΙ ΔΗΜΕΥΟΜΕΝΩΝ.

Τίτλ. νβ. κεφ. α.

ἀνάγνωθι καὶ τ περὶ ἀπαλ[illegible] ὡς ἀναξίων τὰ [illegible] αὐτοῖς.

Οτι ζωὴ ἡ πολιτεία διὰ ψήφου ἀφαιρεῖται, παρακολουθεῖ ἡ δήμευσις.

ιδ.

Εὰν ὁ ἀνὴρ δημευθῇ, τὰ πράγματα τῆς γυναικὸς οὐ συναποφέρονται· ὁμοίως δὲ καὶ ἡ προίξ. εἰ δὲ ἔλαβέ τι παρὰ τοῦ ἀνδρὸς, ἢ πρὸ τῶν γάμων δωρεὰν, ἢ ἐν τοῖς γάμοις, ἑαυτῇ κατεχέτω. ἐὰν δὲ ὡς χρεώστου ὁ ἀνὴρ ἐδημεύθη, εἰ τι εὑρεθῇ ἡ γυνὴ παρ' αὐτοῦ λαβοῦσα πρὶν ἄρξεται διοικεῖν, τοῦτο ἐχέτω αὐτή· εἰ τι δὲ μετὰ ταῦτα ἢ αὐτὴ ἔλαβεν, ἢ οἱ παῖδες οἱ αὐτεξούσιοι, τοῦτο παρεχέσθω τῷ δημοσίῳ.

ιε.

Εάν τις ὡς ἐπὶ τυραννίδι ἐλεγχθεὶς δήμευσιν ὑπομείνῃ, οἱ μὲν ἔχοντες αὐτοῦ πράγματα, καὶ διάγοντες ἐν τῇ βασιλίδι πόλει, εἴσω δύο μηνῶν ὀφείλουσιν αὐτὰ προσαγγεῖλαι. οἱ δὲ μὴ διάγοντες ἐν τῇ βασιλίδι πόλει, εἴσω ὀκτὼ μηνῶν. εἰ δὲ μὴ τοῦτο ποιήσουσι, μετὰ τῶν πραγμάτων τὸ τετραπλάσιον παρέχουσι.

Ανάγνωθι καὶ τίτλον νδ. κεφάλαιον ιζ. θεμ. β. καὶ τίτλον ξζ. ἐν ᾧ φησίν.

Μηδενὶ τῶν δικαστῶν ἐξέστω (ὑπεξῃρημένων ἐκείνων οἵτινες ἐν τῇ ἄκρᾳ τῆς διοικήσεως εἰσὶ κείμενοι ἐξουσίᾳ) τῆς δημεύσεως τῷ χειμῶνι πάσης τῆς ὑποστάσεως † τύπτειν, εἰ μὴ εἰς τὰς ἡμετέρας ἀκοὰς τοῦτο αὐτὸ ἀνενεχθῇ.

† τινὰ τύπτειν.

Ανάγνωθι καὶ βιβλίον ϛ. τίτλον ιθ. κεφάλαιον ιβ. ἐν ᾧ φησίν.

σημείωσαι, ὅτι αὕτη ἡ νεαρὰ ὡς μεταγενεστέρα κρατεῖ.

Ετι θεσπίζομεν, τοὺς ἐπὶ ἐγκλήμασι κατηγορουμένους, ἐφ' ὧν οἱ νόμοι δήμευσιν ἢ θάνατον ὁρίζουσιν, ἐὰν ἐλεγχθῶσιν ἢ κατακριθῶσιν, τὰς αὐτῶν περιουσίας μὴ γίνεσθαι κέρδος τοῖς ἄρχουσιν, ἢ τῇ αὐτῶν τάξει, ἀλλὰ μηδὲ κατὰ τοὺς παλαιοὺς νόμους τῷ δημοσίῳ αὐτὰς † προσκυροῦσθαι. ἀλλ' εἰ μὲν ἔχοιεν κατιόντας, αὐτοὺς ἔχειν τὴν † ἐξουσίαν χωρὶς τῶν διὰ τοῦ τοιούτου ἁμαρτήματος αὐτοῖς προσγενομένων. εἰ δὲ μὴ ὑπάρχοιεν κατιόντες, ἀλλ' ἀνιόντες, ἄχρι τρίτου βαθμοῦ αὐτοὺς ἔχειν. εἰ δὲ γαμετὰς ἔχουσιν οἱ οὕτω καταδικασθέντες, πᾶσι τρόποις κελεύομεν ταύτας καὶ τὴν προῖκα, καὶ τὴν γαμικὴν δωρεὰν λαβεῖν. εἰ δὲ καὶ δίχα προικὸς τοῖς τοιούτοις προσώποις

† προσκυροῦσθαι.

† οὐσίαν.

ad uictum, & alios usus necessarios sufficiunt.

Legito & lib. XXVIII. tit. VII. cap. XXII.

SCHOLION.

Lege lib. XLIV. tit. III. cap. I. in cuius them III. dicitur, in insulā deportatos nec legata dare posse: quum sint ἀπόλιδες, hoc est, ciuitate careant. Lege & cap. VII.

DE IIS, QVORVM BONA PVblicantur.

TIT. LII. cap. I.

*Quum * per sententiam uita uel ciuitas adimitur, publicatio sequitur.*

Legito & tit. de ijs, quibus ut indignis auferuntur relicta.

* l. 1. D. de bon. dam.

XIV.

Si † mariti bona publicata fuerint, res uxoris simul non auferūtur. Similiter uero & dos. Sed etsi quid a uiro consequuta sit, uel ante nuptias donatione, uel constāte matrimonio, sibi retineat. Quod si mariti quasi debitoris bona publicata sint, & aliquid ab eo mulier acceperit ante, quam inciperet actum gerere, id ipsa sibi habeat. Sin uero postea quid acceperint, uel ipsa, uel emancipati filij: hoc fisco præstator.

† l. 9. C. h. t.

XV.

Si quis perduellionis crimine conuictus, publicationem bonorum sustineat: ij, qui bona eius habent, si uersantur in regia urbe, intra duos menses: si non uersantur in urbe regia, intra octo menses ea deferre debent. quod si non fecerint, cum bonis quadruplum præstant.

debet esse l. ult. C. h. t.

Refer huc & tit. LIV. cap. XVII. them. II. Item tit. XLVII. in quo dicitur:

Nulli iudicum liceat, exceptis ijs, qui in summa sunt administrationis potestate positi, proscriptionis tempestate totius substantiæ ferire aliquem, nisi nostras ad aures hoc ipsum relatum fuerit.

l. un. C. ne sine iuss. princ.

Item legendus lib. VI. tit. XIX. cap. XII. cuius hæc uerba sunt:

*Præterea * sancimus, ut illorum bona, qui talium criminum rei sunt, quibus leges proscriptionem uel mortem definiunt, si quidem conuincantur aut condemnentur, præsides uel eorum officia non lucrentur, nec etiam secundum priscas leges fisco applicentur: sed si descendentes habeant, ut ij bona istæc obtineant, exceptis ijs, quæ per eiusmodi delictum eis accesserunt. Si nulli sint descendentes, sed adscendentes: ut & illi ad tertium usque gradum ea habeant. Quod si uxores habent, qui sic damnati sunt, omnibus modis iubemus, ut hæc tam dotem, quam donationē propter nuptias capiant. Si uero etiam sine dote talibus personis iuncta*

Nota, nouellā hanc, ceu tempore posteriorem, ualere.

* Nouell. 134. §. ult.

fuerunt,

*fuerunt, * definitam legibus nostris portionem ex uniuersis damnati bonis accipiant, siue liberos habeant, siue non. Quod si neminem prædictorum habeat is, qui deliquit: fisco bona eius applicari nolumus. In ijs tamen, qui maiestatis damnantur, leges ueteres seruari iubemus.*

*SCHOLION.

Nouella 117. §. 5. quia uero legem. Nimirum propter regulam, cuius hæc uerba sunt: Egenis mulieribus partem quartam bonorum mariti damus. Itaq; definitam dicit, hoc est, quartam partem, usque ad tres liberos. Si uero plures fuerint liberi, unius & ipsa filij partem accipit, non tamen excedentem C. libras * temporis quantitate.

* pro χρόνου scribendum χρυσοῦ auri.

Legito etiam lib. VII. tit. V. cap. XCII. Item lib. XIV. tit. I. cap. XXII. them. V. in quo hæc uerba exstant.

l. 22. §. is cuius D. mand. *Is, cuius bona publicata sunt, si mandet alicui, ut ea emat a fisco: habet in eum mandati actionem. Nam quidquid adquiritur postea, quam bona publicata sunt, fiscum non sequitur.*

Item lib. XXX. tit. I. cap. LXXVII. cuius uerba sunt:

l. 24. C. de donat. int. uir. & ux. *Si quis reus criminis, punitus proscriptusque fuerit: uxoris eius bona molestari non debent, sed habeat ea res suas uniuersas, tam paternas, quam maternas, cum ijs, quæcumque donatione mariti ad eam peruenerunt. Et hæc quidem ita sunto, si mortem ei pœna irrogauerit. Nam donatoris prius defuncti morte donatio confirmatur. At si maritus dumtaxat deportatus fuerit, constante scilicet matrimonio, maneat in pendenti donatio. quia nec matrimonium deportatione mariti est dissolutum. Quod si maritus ita mortuus fuerit, ut in donatione adquieuerit: tunc ius mulieris esto, fisco nullam communionem habente.*

DE APOSTATIS AB ORTHODOXA fide deficientibus.

TIT. LIV. cap. XX.

l. 1. C. h. t. *Qui ex Christiano factus est Iudæus, proscribitor.*

Item cap. XXI. & XXII.

l. 3. eod. *Qui sanctum baptisma prodidit, testimonium non dicit, nec testamentum facit, nec alij succedit. nam esse apostata intelligitur.*

Et cap. XXIII.

l. 4. eod. *Qui fidem orthodoxam fallit, neque testator, neque donato, neque uenditione imaginaria fertor in fraudem legis: sed ei ab intestato Christiani tantum cognati succedunto.*

συνάψωσιν: * τὴν ἀπὸ τῶν ἡμετέρων νόμων ὁρισθεῖσαν μοῖραν ἐκ τῆς ὅλης οὐσίας τοῦ κατακριθέντος λαμβάνειν, εἴτε τέκνα ἔχουσιν, εἴτε μή. εἰ δὲ μηδένα τῶν προειρημένων ἔχει ὁ πλημμελήσας: τῷ δημοσίῳ προσκυροῦσθαι τὴν ἐκείνου περιουσίαν βουλόμεθα. ἐπὶ μέν τοι τοῖς † καθοσιώσει κατακρινομένοις τοὺς παλαιοὺς νόμους φυλάττεσθαι κελεύομεν.

† ἐπὶ καθοσιώσει.

*ΣΧΟΛΙΟΝ.

Διὰ τὸν κανόνα τὸν λέγοντα, ταῖς ἀπόροις γυναιξὶ τὸ δ. δίδομεν τῆς τοῦ ἀνδρὸς περιουσίας. διὸ καὶ ὡρισμένην εἶπε, τουτέστι τὴν δ. μοῖραν, ἄχρι παίδων γ. εἰ δὲ πλείονες ὦσιν οἱ παῖδες, ἑνὸς καὶ αὐτὴ παιδὸς μοῖραν λαμβάνει: πλὴν μὴ ὑπερβαίνουσαν ρ. λιτρῶν τοῦ χρόνου ποσότητα.

Ἀνάγνωθι καὶ βιβλίον ζ. τίτλον ε. κεφ. ϛβ. καὶ βιβλίον ιδ. τίτλον α. κεφ. κβ. θεμ. ε. ἐν ᾧ φησίν.

Ὁ δημευθεὶς ἐντελλόμενός τινι ἀγοράσαι τὰ αὐτοῦ παρὰ τοῦ δημοσίου, ἔχει κατ' αὐτοῦ τὴν περὶ ἐντολῆς ἀγωγήν. τὰ γὰρ ἐπικτώμενα τῷ δημευθέντι, οὐ λαμβάνει ὁ δημόσιος.

Ἀνάγνωθι καὶ βιβλίον λ. τίτλον α. κεφάλαιον οζ. ἐν ᾧ φησίν.

Ἐάν τις ἁλοὺς ἐπὶ ἐγκλήματι τιμωρηθῇ καὶ δημευθῇ, μὴ ἐνοχλείσθω ἡ ἐκείνου γαμετῆς ἡ οὐσία, ἀλλ' ἐχέτω πάντα τὰ πράγματα τὰ ἴδια, καὶ πατρῷα καὶ μητρῷα, καὶ ὅσα ἀπὸ δωρεᾶς τοῦ ἀνδρὸς εἰς αὐτὴν περιῆλθε. ταῦτα μὲν, ἐὰν θάνατον ἐπήγαγεν αὐτῷ ἡ τιμωρία. τῇ γὰρ προτελευτῇ τοῦ δωρησαμένου, ἡ δωρεὰ βεβαιοῦται. εἰ μέν τοι γε περιορισθῇ μόνον ὁ ἀνὴρ, περίεστι δὲ ὁ γάμος: μενέτω ἐκκρεμαμένη ἡ δωρεά. ἐπειδὴ [δὲ] οὐδὲ ὁ γάμος λέλυται τῷ τοῦ ἀνδρὸς περιορισμῷ. καὶ ἐὰν τελευτήσῃ ὁ ἀνὴρ ἐφησυχάσας τῇ δωρεᾷ: τότε τὸ δίκαιον ἐχέτω ἡ γυνὴ μὴ ἐπὶ κοινωνοῦντος τοῦ δημοσίου.

ΠΕΡΙ ἈΠΟΣΤΑΤΩ͂Ν ἈΦΙΣΤΑΜΕ΄ΝΩΝ τῆς ὀρθοδόξου πίστεως.

Τίτλος νδ. κεφ. κ.

Ὁ ἀπὸ χριστιανῶν ἰουδαῖος γενόμενος, δημευέσθω.

Ἀνάγνωθι καὶ κεφάλαιον κα. καὶ κβ. ἐν ᾧ φησίν.

Ὅτι ὁ προδιδοὺς τὸ ἅγιον βάπτισμα, οὐ μαρτυρεῖ, οὔτε διατίθεται, οὔτε ἄλλον διαδέχεται. ἀποστάτης γὰρ νοεῖται.

Ἀνάγνωθι καὶ κεφάλαιον κγ.

Ὁ † τὴν ὀρθόδοξον πίστιν κλέπτων, μήτε διατιθέσθω, μήτε δωρείσθω, μήτε διὰ πράσεως ὑποκριτικῶς εἰς ἀπάτην τοῦ νόμου φερέτω. διαδεχέσθωσαν δὲ αὐτὸν ἐξ ἀδιαθέτου μόνοι χριστιανοὶ συγγενεῖς.

† τὸν.

ΠΕΡΙ

ΠΕΡΙ ἉΡΠΑΓΗ͂Σ ΠΑΡΘΕ΄ΝΩΝ ΤΕ, καὶ χηρῶν, καὶ καθιερωμένων, καὶ μεμνηστευμένων, εὐγενῶν τε καὶ ἀπελευθέρων, καὶ δούλων: εἴτε μεθ' ὅπλων ἡ ἁρπαγὴ γένοιτο, εἴτε χωρὶς ὅπλων. καὶ τῶν συναγωνισαμένων αὐτοῖς κατὰ οἱονδήποτε τρόπον ἐν τῇ τοιαύτῃ ἁρπαγῇ.

Τίτλος νη. κεφ. α.

Οἱ ἁρπάσαντες γυναῖκα, ἢ μεμνηστευμένην, ἢ ἀμνήστευτον, ἢ χήραν, εἴτε εὐγενής ἐστιν, εἴτε δούλη, εἴτε ἀπελευθέρα, καὶ μάλιστα ἐὰν τῷ θεῷ ὦσιν αἱ γυναῖκες καθιερωμέναι, νομίμως τιμωρείσθωσαν. τουτέστιν οἱ μὲν μεθ' ὅπλων, ἤτοι ξιφῶν ἢ ῥοπάλων τὴν ἁρπαγὴν ποιήσαντες, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν: οἱ δὲ συνυπουργοῦντες αὐτοῖς ἢ συνειδότες, ἢ ἑκόντες ὑποδεξάμενοι, ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες, τυπτόμενοι καὶ κουρευόμενοι, ῥινοκοπείσθωσαν. εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο: ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας, χειροκοπείσθω: † οἱ δὲ βοηθήσαντες τοῖς τοιούτοις ἐν τῇ ἁρπαγῇ, ἢ συνειδότες, ἢ ὑπηρετήσαντες, ἢ ἑκόντες ὑποδεξάμενοι, ἢ οἱανδήποτε σπουδὴν αὐτοῖς εἰσενέγκοντες, τυπτόμενοι καὶ † κουρευόμενοι ἐξοριζέσθωσαν. ἐὰν οὖν ἐν αὐτῇ ἁρπαγῇ εἷς ἐκ τούτων καταληφθῇ, ἢ παρὰ τῶν πατέρων τῶν γυναικῶν, ἢ παρὰ τῶν ἀδελφῶν, ἢ τῶν ἐπιτρόπων, ἢ κουρατώρων, ἢ πατρώνων, ἢ δεσποτῶν † ἐλεγχθέντες, φονευέσθωσαν αὐτοχειρί: μάλιστα ἐὰν καὶ γεγαμημένας γυναῖκας ἐπειράθησαν ἁρπάσαι. τὸ δὲ αὐτὸ λέγομεν, εἰ καὶ μνηστὴν τις ἰδίαν ἥρπασεν. εἰ δὲ δυνηθῶσιν οἱ τοιοῦτοι φυγεῖν, καὶ οἱ ἐν Κωνσταντινουπόλει καὶ οἱ ἐν πάσῃ χώρᾳ ἄρχοντες καὶ στρατηλάται ἐκδικείτωσαν τὸ γενόμενον: κατέχοντες αὐτούς, καὶ τιμωρούμενοι, καὶ μὴ συγχωροῦντες αὐτοῖς ἐκκαλέσασθαι. καὶ εἰ μὲν δοῦλαι εἰσὶν αἱ ἁρπαγεῖσαι, ἢ ἀπελευθέραι, οἱ ἁρπάσαντες μὲν ὑποκείσθωσαν τῇ τοῦ νόμου ποινῇ. οὐ μέντοι μὲν καὶ οἴκοθεν ζημιούσθωσαν. εἰ δὲ καὶ εὐγενεῖς εἴησαν, τὰ πράγματα τῶν ἁρπασάντων καὶ τῶν βοηθησάντων αὐτοῖς, τῆς δεσποτείας αὐτῶν γινέσθωσαν προνοίᾳ τῶν ἀρχόντων καὶ τῶν γονέων εἰς προῖκα, ἢ ἐὰν μὴ βουληθῶσι γαμῆσαι, κατέχειν ταῦτα τὰ πράγματα. μὴ ἐξέστω δὲ τῇ γυναικὶ αὐτὸν τὸν ἁρπάσαντα ἄνδρα λέγειν: μηδὲ τοῖς γονεῦσιν αὐτῆς τοῦτο αὐτῇ κελεύειν. αἱ δὲ τιμωρίαι τῆς διατάξεως πᾶσαι, ἔστωσαν κατὰ τῶν ἁρπασάντων καὶ τῶν βοηθησάντων αὐτοῖς ἐν τῇ ἁρπαγῇ. οἱ μέντοιγε συνειδότες καὶ οἱ ὑπηρετήσαντες, καὶ οἱ ὑποδεξάμενοι † οἱανδήποτε σπουδὴν αὐτοῖς εἰσενεγκόντες, τῇ εἰρημένῃ τιμωρίᾳ ὑποκείσθωσαν: εἴτε βουλομένων τῶν γυναικῶν, εἴτε μὴ βουλομένων ἡ ἁρπαγὴ γένοιτο. καὶ οἱ γονεῖς δὲ τῆς γυναικὸς ἐὰν ἀνεξικακήσωσι, περιορίζέσθωσαν. εἰ δὲ καὶ δοῦλος εὑρεθῇ ἐν τῷ πράγματι, † καὶ ἔστω, πασῶν τῶν ἄλλων τιμωριῶν σχολαζουσῶν.

Marginal notes: † οἱ δὲ. — † κουρευόμενοι. — † ἐλεγχθέντες. — † καὶ οἱανδ. — † καιέσθω.

DE RAPTV VIRGINVM, ET VIduarum, & sanctimonialium, & desponsarum, tam ingenuarum, quam libertinarum & ancillarum: siue cum armis raptus fiat, siue absque armis. tum de his, qui eos quocumque modo in raptu adiuuerunt.

TIT. LVIII. cap. I.

tum non habeāt: cum legitima cognitione, qua
interueniente scriptura fiat, aut omittant aut
acceptent contractum. qua in re si negligentes
sese gesserint, de suo prastēt eis omne lucrum &
omne commodum, quod percepturi fuerant, si
mature contractum hi celebrare perrexissent.
Atq. hac in cognatis & adiacentibus qui uecti- V.
gal una pensitāt. Quin & in uniuersitate uico-
rum, qui dicuntur, & agrorū multo magis obti-
neat, ut & illorum habitatores ius inter se pra-
lationis habeant. At si repudiarint omnes, qui- VI.
bus est concessa prarogatiua, uel probetur eos pe
cuniarij damni, uel insidiarum corpori structa-
rum, & infamia atrocis exstitisse auctores illi,
qui rem alienat, eiusq. familia, ac data quidem
opera, per se, uel per homines ad se pertinentes:
tales eo inuito, qui eiusmodi perpessus est, nullo
modo ad ipsius pradium peruenire uolumus. Oc VII.
casione tamen dotis, aut donationis propter nu-
ptias, aut ex testamento, aut permutatione, aut
simplicis mortisue caussa donationis nomine tā
propinquis, quam extraneis omnes alienēt: mo-
do ne quis per simulationem re clam ijs uendita
uel locata, qui nullum pralationis ius habēt; pa
lam se donare uel legare, uel quid aliud eorum,
qua commemorata sunt, pra se ferat. Nam pro-
pterea qui ius pralationis habent, tam ab eo qui
dedit, quam qui accipit, iusiurandum exigere
possunt. Si uero ij, qui alienant, in fraudem le- VIII.
gis nostra aliud quid agere fuerint ausi, et aliud
aperte pra se tulerint; si quidem post iusiurandū
conuicti fuerint, tam ipsi quam qui adeo frau-
dulenter cum eis contraxerunt, & periurij pœ-
nas sustinebūt, & alter fundo, alter pretio clam
numerato excidet; utrisque fisco inferendis, ut a
fisco res ijs, qui proximi sunt, uenumdentur. Sin
ante prastitum iusiurādum tale quid egisse de-
prahēsi fuerint, & quod actum fuerit irritum
erit, & fundum qui semel nequiter alienare co-
natus est, uel inuitus ijs uēdere cogetur, quibus
ius prarogatiua concessimus. Potentibus autem
de cetero interdicimus, ne per modum adoptio-
nis, aut simplicis, aut mortis caussa donationis,
aut ex testamento, aut nomine solius usufru-
ctus, aut alicuius patrocinij uel auxilij, quid-
quam ab humilioribus accipiant, nisi forte co-
gnati eorum fuerint. Nec item nouas emtiones,
aut locationes, aut permutationes in uicis uel
agris, in quibus proprios fundos nullos habent,
instituant. Potentes autem intelligantur, qui
tametsi non per se ipsos, tamen per aliorum po-
tentiam, quibus cum fiducia familiares sunt,

satis uirium ad terrendos alienātes habent, uel ad efficiēdum, ut de beneficio sibi promisso certi sint. Si qua uero ex personis potentibus aliquid eiusmodi perpetrare conata fuerit, & fundo spoliabitur, & eiusdem pretiū ab ea fiscus exiget.

EIVSDEM NOVELLAE ARGVmentum & epitome, de libro Michaeli Proconsulis Ataliensis.

Si de praelatione lis instituta fuerit, puta uenditione a persona pari erga parem facta, sancinit [hic imperator]; ut primum uocentur promiscue coniūcti cognati, deinde connexi consortes, & post eos ij, qui dumtaxat permisti sunt, licet alioqui sint extranei. Secundum hos qui adiacēt, sub eodem titulo uectigal pendētes. Postea simpliciter ex aliqua parte coniuncti. Et uectigal sub eodem titulo pendentes uocauit eos, qui sub eodē censitore descripti sunt. Occasione tamē dotis, aut donationis propter nuptias, aut simplicis, aut mortis caussa donationis, aut ex testamento, aut permutationibus, aut transactione, alienandi licentiam concessit, nec aduersus hos agi nomine praelationis uoluit. Quod si quis intercedere simulationem suspicatur, quasi palam quidem fiat donatio, clam uero uenditio, uel locatio: licet, inquit, ei qui est in consortio, contrahentibus iuramentum deferre.

SCHOLION LEVNCLAI.

Exemplaria quaedam Constantino, quaedā Romano seniori nouellā hanc adtribuunt. Sed sciendum est & hanc, & alias quasdā constitutiones factas esse, quū Constātinus quidē esset imperator, socer autē ipsius Romanus dignitatē eam obtineret, ut imperatoris pater appellaretur. Iccirco Cedrenus etiā legem hanc a Cōstantino scriptā ait.

CONSTANTINI NOVELLA II.

DE POTENTIBVS IN PRAEDIA pauperum succedentibus.

Ex multis cognouit diuinitus constituta maiestas nostra, potentes & locupletiores in prouincia Thracensi, contemta imperiali lege, ipsoque iure naturali, & mādato nostro, non desinere in praedia succedere titulo emtionū, & donationū, & hereditatum: atq; occasione huiusmodi miseros per tyrannidē opprimere pauperes, & sedibus suis expellere. Propterea de cōmuni deliberatione legē atq; decretū commune hanc in sententiā in omnibus prouincijs nostris ferimus ac san-
1. *cimus. Nā licet imperiali constitutione arcerentur tam persona quam domus, augusta pariter & religiosa, quo minus emerent a uicorum uniuersitate, uel a personis singulis; & aliter quidem de ijs, quae ante cōstitutionem latam a praeterita prima indictione contigerant statueretur; grauius autem post legem promulgatam:*

ἱκανοί εἰσιν ἐκφοβῆσαι τοὺς ἐκποιητὰς, ἢ πρὸς εὐεργεσίας ὑπόσχεσιν τὴν πληροφορίαν αὐτοῖς παρασχεῖν. εἰ δέ τις τῶν εἰρημένων δυνατῶν προσώπων τοιοῦτόν τι ἐγχειρήσει διαπράξασθαι, καὶ τοῦ κτήματος στερηθήσεται, καὶ τὴν ἀποτίμησιν αὐτοῦ * τῷ δημοσίῳ εἰσπραχθήσεται. * ἐκ τοῦ δημοσί.

ΤΗΣ ΑΥΤΗΣ ΝΕΑΡΑΣ ΥΠΟΘΕΣΙΣ καὶ ἐπιτομὴ, ἐκ τῶν Μιχαὴλ τοῦ ἀνθυπάτου Ἀτταλειάτου.

Εἰ περὶ προτιμήσεως κινηθῇ δικαστήριον, τυχὸν ἀπὸ ἴσου προσώπου πρὸς ἴσον τῆς πράσεως γινομένης, ἐθέσπισεν· ἵνα πρῶτον κληθῶσιν οἱ ἀναμὶξ συγκείμενοι συγγενεῖς. † εἶτα οἱ οὕτως συμπλεκόμενοι κοινωνοί. καὶ μετὰ τούτους οἱ μόνον ἀναμεμιγμένοι, κἂν ξένοι τυγχάνωσιν. ἔπειτα οἱ συμπαρακείμενοι ὁμοτελεῖς. μετέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συναπτῶς ἑνωμένοι. ὁμοτελεῖς δὲ ἐκάλεσε τοὺς ὑπὸ τὸν αὐτὸν ὑποτεταγμένους ἀναγραφομένους. κατὰ πρόφασιν μέντοι προικὸς, ἢ προγαμιαίας δωρεᾶς, ἢ ἁπλῶς, ἢ θανάτου αἰτίᾳ δωρεᾶς, ἢ ἐκ διαθήκης, ἢ ἀνταλλαγῶν, ἢ διαλύσεως, ἄδειαν δέδωκε τὴν ἐκποίησιν γίνεσθαι, καὶ μὴ προτίμησιν κινεῖσθαι κατ' αὐτῶν. εἰ δὲ ὑπολαμβάνει τις προσποίησιν, οὕτω μὲν χαρίζεσθαι φανερῶς, λαθραίως δὲ πράσιν γίνεσθαι, ἢ μίσθωσιν: ἔξεστι φησὶ τῷ ἀνακοίνωσιν ἔχοντι ὅρκῳ καθυποβάλλειν τοὺς συναλλάττοντας. † ἴσως οἱ.

ΣΧΟΛΙΟΝ ΤΟΥ ΛΕΩΓΚΛΑΙΟΥ.

Τὰ μὲν τῶν ἀντιγράφων ὡς Κωνσταντίνου, τὰ δὲ ὡς Ῥωμανοῦ τοῦ γέροντος τὴν νεαρὰν ταύτην ἀναφέρουσιν. ἀλλ' ἰστέον καὶ ταύτην, καὶ ἄλλας τινὰς νομοθεσίας γενέσθαι, τοῦ μὲν Κωνσταντίνου βασιλεύοντος, τοῦ δὲ πενθεροῦ αὐτοῦ Ῥωμανοῦ τὸ τοῦ βασιλεοπάτορος λαχόντος ἀξίωμα. διὸ καὶ ὁ Κεδρηνὸς τοῦτον τὸν νόμον παρὰ τοῦ Κωνσταντίνου γεγράφθαι φησίν.

ΝΕΑΡΑ Β ΚΩΝΣΤΑΝΤΙΝΟΥ.

ΠΕΡΙ ΤΩΝ ΔΥΝΑΤΩΝ, ΤΩΝ ΥΠΕΙΣΕΛΘΟΝΤΩΝ εἰς κτῆσιν πενήτων.

Παρὰ πολλῶν ἀνέμαθεν ἡ ἐκ θεοῦ βασιλεία ἡμῶν, ὡς οἱ ἐν τῷ θέματι τῶν Θρακησίων δυνατοὶ καὶ ὑπερέχοντες καταφρονήσαντες καὶ τῆς βασιλικῆς νομοθεσίας, καὶ αὐτοῦ τοῦ φύσει δικαίου, καὶ τῆς ἡμετέρας προστάξεως, οὐ παύονται ἐπεισερχόμενοι ἐν τοῖς χωρίοις ἕνεκεν ἀγορῶν, καὶ δωρεῶν, καὶ κληρονομιῶν: καὶ τῇ τοιαύτῃ προφάσει τοὺς ἐλεεινοὺς τυραννοῦντες πτωχοὺς, καὶ τῶν ἰδίων ποιοῦντες μεταναστάς. διὰ τοῦτο ἐκ κοινῆς διασκέψεως νόμον καὶ δόγμα κοινὸν ἐντιθέμεθα καὶ ἐκτυπούμεθα ἐν ὅλοις ἡμῶν τοῖς θέμασιν, οὕτως. a.
τῶν γὰρ ἀπὸ τῆς βασιλικῆς νομοθεσίας εἰργομένων ἀγοράζειν προσώπων καὶ οἴκων, βασιλικῶν τε καὶ εὐαγῶν, ἀπὸ τῆς τῶν χωρίων ὁμάδος, ἢ τοῦ καθέκαστον, καὶ ἄλλως μὲν τῶν πρὸ τῆς νομοθεσίας ἀπὸ τῆς παρελθούσης πρώτης. ἰνδικτιῶνος προχωρουμένων, βαρυτέρως δὲ μετὰ τὴν νομοθεσίαν:

ἀλλ' οὐδὲ οὕτως οἱ πλείονες τῶν δυνατωτέρων ἀπέχοντο τῶν πρὸς τοὺς πένητας ὀλεθριωτάτων συναλλαγμάτων, ὡς καὶ τοὺς δικαστὰς ἀνάγκῃ μᾶλλον, ἀλλὰ μὴ προαιρέσει ἐκβιασθέντας, ἄλλοτε ἄλλας περὶ τούτων οἰκονομίας ἐκφέρειν τὰς ἀποφάσεις. ὅθεν κοινὴ περὶ τῶν τοιούτων ἀπόφασις μετὰ βασιλικῆς ἡμῶν ἐπικρίσεως γέγονεν, ὥστε ἀναμφιβόλως καὶ ἀνυπερθέτως πάντας ἀπελαθῆναι τοὺς ἀπὸ τῆς εἰρημένης νομοθεσίας ἀγοράζειν κωλυομένους, μηδένα λόγον μηδὲ περὶ δαπανημάτων ἀπαιτήσεως ἔχοντας. ὅσοι δηλαδὴ ἐκ τῆς ἡμέρας τῆς αὐτοκρατορικῆς ἡμῶν ἀναρρήσεως κατετόλμησαν ὑπεισελθεῖν ἐν χωρίοις ἢ ἀγριδίοις, ἢ εἰς κτῆσιν πενήτων ἀκίνητον.

ι. περὶ δὲ τῶν ἀπὸ τῆς πρώτης ἰνδικτιῶνος, ἤτοι ἐκ τοῦ καιροῦ τοῦ λιμοῦ μέχρις ἡμέρας τῆς ἡμετέρας ἀναγορεύσεως, ἀδιαφόρως μίαν καὶ τὴν αὐτὴν ἀπόφασιν ἐνταῦθα διωρισμένην ἐνεργεῖν, ὥστε πᾶσαν δωρεάν, καὶ κληρονομίαν, καὶ τὰς ἐπινενοημένας πρὸς περιγραφὴν τούτου τοῦ νόμου ἐπικυρωτικάς τε καὶ διαλύσεις μεταξὺ τῶν ἤδη κεκωλυμένων ἀργεῖν καὶ αὐτὰ μηδὲ γινομένων νομίζεσθαι, μηδὲ τῶν ἐπὶ ταύτης καταβληθέντων οἱανδήποτε ἀνάπραξιν τῶν πεπρακότων εὐλαβουμένων. ἔτι δὲ καὶ τὰς ἀνταλλαγὰς ἀνατρέπεσθαι, ἀναλαμβάνοντος ἑκάστου τὸ ἀπ' ἀρχῆς ἴδιον. εἰ μή τι ἄρα τοῦτο οὐ βούλεται ὁ πτωχός, ἅτε πρὶν ἀνακεκοινωμένος ὤν, καὶ οὐ μόνον ἰδίᾳ τὴν ἑαυτοῦ κατάσχεσιν ἀφορίσας διὰ τὸ ἀνενόχλητον, ἀλλὰ καὶ τὸ κρεῖττον ἀντιλαβών. περὶ δὲ τῶν διαπράσεων, ἀνατρέπεσθαι μὲν καὶ ταύτας, παραχρῆμα τῶν διαπραθέντων πρὸς τοὺς πεπρακότας ἀναδιδομένων, ἔτι δὲ καὶ πρὸς τοὺς συγκληρονόμους καὶ συντελεστάς, κατὰ τὴν πρώτην νομοθεσίαν. περὶ δὲ τῶν τιμημάτων, σκοπεῖσθαι τὰ πρόσωπα καὶ τὰ πράγματα. καὶ εἰ μὲν δυνατὸς ἦν ἢ προσῳκειωμένος δυνατῷ ὁ ἠγορακώς, εἴτε πολιτικῷ, εἴτε ἐκκλησιαστικῷ, τυχὸν ἐπισκόπῳ, ὁ δὲ πωλήσας τῶν ἀπόρων ἐστίν, ὡς μηδὲ ν NN εὐπορεῖν, σχολάζειν τὴν ἀπόδοσιν τοῦ τιμήματος. εἰ δὲ ὑπὲρ τὰ ν NN εὐπορεῖ, καὶ οὕτως ἀνεξικάκως μετὰ προθεσμίαν τριετίας ἀποδώσει τὸ τίμημα, τῶν αὐτῶν ἀπολαύων μετὰ τῆς ὁμάδος προνομίων, κἂν σχολάριος ἐστίν, ἢ σεκρέτοις ὑπηρετούμενος. εἰ δὲ ὁμὰς ἦν ἡ πωλήσασα, ἀπορεῖ δὲ πρὸς τὴν † ἀνάδοσιν, ἐχέτω πρὸς τοῦτο τοσούτων χρόνων προθεσμίαν, δι' ὅσων ἂν ὁ δικάζων ἀπὸ τῶν μελλόντων καρπῶν συλλογίσηται δύνασθαι εὐλυτωθῆναι τὸ τίμημα. εἰ δὲ ὁπωσοῦν δείκνυται ὁ πωλήσας, ἢ οἱ πωλήσαντες ἐν τῇ πράσει βίαν ἢ δόλον ὑποστάντες, ἢ πρὸ τῆς πράσεως ὑπὸ τοῦ ἀγοραστοῦ ἢ τῆς φαμιλίας αὐτοῦ ἀδικούμενοι καὶ καταδυναστευόμενοι, μηδὲν ἀναδιδότωσαν, κἂν ὁ ἀγοραστὴς οὐκ ἦν τῶν δυνατωτέρων. τὰ δὲ εὐτελέστερα τῶν μοναστηρίων,

† ἀπόδοσιν.

tamen ne sic quidem plerique potentiorum a perniciosissimis contractibus cum egenis abstinebant, ita ut etiam iudices necessitate potius, quam voluntate coacti, alias alia decreta sententiasque proferrent, quibus haec moderarentur. Quamobrem publicum de his decretum cum imperiali determinatione nostra factum est, ut citra dubitationem & moram omnes expellantur, qui a lata constitutione, quam diximus, emere prohibentur; ita quidem, ut nec impensarum repetitionem habeant. quotquot scilicet ab imperialis nostrae renuntiationis die in vicos, aut agros, aut praedia pauperum succedere fuerunt ausi.

De ijs autem, quae acciderunt a prima indictione, sive a tempore famis, usque ad diem nostrae renuntiationis; citra discrimen unum & idem decretum heic sancitum valeat, ita ut omnis donatio, & hereditas, & ad legis huiusce fraudem excogitata confirmatoria, atque transactiones inter personas iam prohibitas cessent, ac ne quidem pro factis habeantur: non metuentibus ijs, qui vendiderunt, ullam eorum, quae hoc nomine soluta sunt, repetitionem. Praeterea facta permutationes rescindantur, recipiente quolibet id, quod ante ipsius erat. nisi forte nolit id fieri pauperior, ut cui prius esset cum altero consortium, quique non tantum possessionem suam peculiariter segregaverit quietis caussa, verumetiam potiorem partem receperit. Quod distractiones attinet, hae quoque rescindantur, & venditae res statim venditoribus restituantur, itidemque coheredibus, & sub eodem titulo vectigal pendentibus, iuxta primam constitutionem. Pretia quod attinet, tam persona, quam res ipsae considerentur. ac si quidem ex potentibus erat emtor, aut familiaritate coniunctus alicui potenti, sive politico, sive ecclesiastico, puta episcopo; venditor autem adeo inops est, ut ne quinquaginta quidem aureos habeat in bonis: pretij restitutio locum non habeat. Sin amplius quam quinquaginta solidos habet, sane post praestitutum triennij spatium haud gravate pretium restituet, ijsdem cum universitate privilegijs utens fruens; licet scholaris sit, aut secretis inserviat. Quod si distractio facta sit ab universitate, cui pretium ob inopiam restituere difficile sit; tot annorum spatium ad solutionem habeat, quot annis iudex de futuris fructibus pretium facile restitui posse computatione facta collegerit. Quod si probet venditor, aut venditores, in venditione quocunque modo vim dolumve malum intercessisse, vel ante venditionem factam, ab emtore, vel eius familia, se per iniuriam laesos, aut oppressos potentia: nihil restituant, licet emtor ex numero potentiorum non erat. Humiliora vero monasteria, 11.

& omnes inde usque a spatharijs degentibus in hac urbe, quæ diuinitus custoditur, itemque magistratus inferiores, si quid emerint absque ui & iniuria quacumque, nec patrocinijs potentiorum defensi; non pretia dumtaxat recipiunto, uerumetiam lucrosas impensas. puta quæ factæ sunt in consitiones uinearum, & aquariarum molarum exstructionem. Poterunt & materias ædificiorum suorum tollere, modo ne statum priorem lædant: nisi forte pro ijs impensam factam recipiunt. Quod si ob inopiam reddi eis, quæ debentur, nequeant; ad tot annorum spatium sequestrentur ea, quæ alienata sunt: donec ex futurorum liquidorum fructuum perceptione debitum pretium, uel impensa facta, ceu dictum est, colligi possit. Vel ipsum prædium potius ab eo possideatur, qui alienauit; uerum in collectione fructuum cura simul & cautio adhibeatur, ut ipsi fructus ad satisfaciendum ei, qui contraxit, seruentur. atque hac in parte facultatem habebit, ut & ipse prouideat, ne fructus amittantur. ac si quidem is, qui alienauit, aliunde sibi prospicere potest; uniuersi fructus illi tradantur, quo cum contractum fuit. Sin autem, retineatur ab eo, qui alienauit, quantum ad usum ipsius necessarium, agrique cultionem requiritur: reliquum totum restituatur illi, qui cum eo contraxit.

III. Quod si ab illustrioribus uniuersitatis ad pares, uel paulo dignitatibus inferiores, uelut a scholaribus ad milites, uel ab humilioribus ad paulo superiores, uelut ab expertibus militiæ municipibus ad scholares uel secretis inseruientes, alienatio facta, uel adhuc futura sit; inconcussa maneat. Similiter & si ob incumbentem a fisco necessitatem, aut quod fortassis alio in loco dotem filiæ suæ constituere uelit, aliunde quis soluere nequeat id, quod fisco debet, aut quod impositum ei onus est, aut promissam in rebus soli dotem: hac ipsa quoque de caussa fieri alienatio poterit earum rerum, quæ soli sunt; sed dumtaxat ad conuicanos, aut necessario ad ea prædia, quæ sub eadem metrocomia sunt, id est, sub eadem comitura. Quapropter eodem modo & potenti persona uendente, uel aliter alienante, optimum factu uisum est præferri uicanos, quatenus consortes sunt, uel pascuis eius, aut aquis, aut montibus carere nequaquam possunt. Ac pro emtore quidē hoc intelligitur, ut si certū dūtaxat aliquid retinere uelit, & ea, quæ consortij sunt, alienare; potestatē hoc agendi habeat. At licet prædij, quod alienatur, aliqua pars ab alijs separata peculiariter existat;

καὶ ὅσοι ἀπὸ σπαθαρίων τῶν ἐν τῇ θεοφυλάκτῳ πόλει διατριβόντων, καὶ κατωτέρω ἀρχόντων ἔτυχον ἀγοράσαντες, χωρὶς οἱασδήποτε βίας καὶ ἀδικίας, μηδὲ προστασίαις δυνατωτέρων διαφεντευόμενοι, μὴ μόνον τὰς τιμὰς ἀναλαμβανέτωσαν, ἀλλὰ καὶ τὰς ἐπικερδεῖς δαπάνας. οἷον εἰς ἀμπελώνων καταφυτεύσεις, καὶ ὑδρομύλων κατασκευήν. δυνάσθωσαν δὲ καὶ τὰς ὕλας τῶν ἰδίων οἰκημάτων περιαιρεῖν, μετὰ τοῦ μὴ βλάψαι τὴν προτέραν κατάστασιν, εἰ μὴ τὴν ὑπὲρ τούτων δαπάνην λαμβάνουσιν. ἀπορίας δὲ οὔσης πρὸς τὴν ἀναστροφὴν τῶν χρεωστουμένων, μεσεγγυᾶσθαι τὰ προεκποιηθέντα ἐπὶ * τοσούτων διάστημα χρόνων, μέχρις οὗ ἀπὸ τῆς μελλούσης καθαρᾶς ἐπικαρπίας τὸ ὀφειλόμενον τίμημα, ἢ τὸ εἰρημένον ἀνάλωμα † δυνάσθῃ ἐπισυνάγεσθαι. ἢ μᾶλλον κατέχεσθαι μὲν τὸ κτῆμα παρὰ τοῦ ἐκποιησαμένου, εἰς δὲ τὴν συγκομιδὴν τῶν καρπῶν γίνεσθαι πρόνοιαν καὶ παραφυλακὴν πρὸς τὸ φυλαχθῆναι αὐτοὺς εἰς * ἀποπλήρωσιν τοῦ συναλλάξαντος. ἐξουσίαν ἔχοντος καὶ αὐτοῦ τούτων προνοεῖσθαι, εἰς τὸ μὴ † ἀποβάλλεσθαι τοὺς καρπούς. καὶ εἰ μὲν εὐπορεῖ ἑτέρωθεν ὁ ἐκποιησάμενος διοικεῖσθαι, πάντας ἀναδίδοσθαι πρὸς τὸν συναλλάξαντα. εἰ δὲ μή, τὸ ἀρκοῦν ἐξ αὐτῶν πρὸς τὴν ἀναγκαίαν χρείαν καὶ γεωργίαν τοῦ ἀγροῦ παρακρατεῖσθαι παρὰ τοῦ ἐκποιησαμένου: τὸ δὲ λοιπὸν ἅπαν, εἰς τὸν μετ' αὐτοῦ συναλλάξαντα ἀποκαθίστασθαι. εἰ δὲ ἐκ τῶν περιφανεστέρων τῆς ὁμάδος πρὸς ἴσους, ἢ ὀλίγον ὑποβεβηκότας ἐν ἀξιώμασι, τυχὸν σχολαρίων πρὸς στρατιώτας, ἢ ἐκ τῶν εὐτελεστέρων πρὸς τοὺς * μικρὸν ὑπερέχοντας, οἷον ἀπὸ τῶν ἀστρατεύτων πολιτῶν πρὸς σχολαρίους ἢ σηκρετικοὺς ἐκποίησις γέγονεν ἢ γενήσεται, μενέτω ἀπαρασάλευτος. ὁμοίως δὲ καὶ διὰ ἀνάγκην ἐπικειμένην ἐκ τοῦ δημοσίου, ἢ τυχὸν διὰ τὸ ἐν ἄλλῳ τόπῳ βούλεσθαι προικίσαι θυγατέρα ἰδίαν, ἑτέρωθεν οὐκ ἔχει τις ἀποδοῦναι τὸ πρὸς τὸν δημόσιον ὄφλημα, ἢ τὸ ἐπιτεθὲν βάρος, ἢ τὴν ὑποσχεθεῖσαν προῖκα ἐν κινητοῖς· καὶ διὰ ταύτην τὴν αἰτίαν δύνασθαι ἐκποίησιν γενέσθαι ἐκ τῶν ἀκινήτων, μόνον μέντοι πρὸς τοὺς συγχωρίτας, ἢ ἐξ ἀνάγκης πρὸς τὰ ὑπὸ τὴν αὐτὴν μητροκωμίαν χωρία, ἤτοι ὑπὸ τὴν αὐτὴν κομητοῦραν. διὰ τὸν αὐτὸν οὖν τρόπον, καὶ δυνατοῦ προσώπου πιπράσκοντος, ἢ ἄλλως ἐκποιουμένου, συνεωράθη προτιμᾶσθαι τοὺς χωρίτας, ἐν οἷς εἰσιν ἀνακεκοινωμένοι, ἢ χωρὶς τῆς ἐκείνου νομῆς, ἢ τῶν ὑδάτων, ἢ τῶν ὀρέων οὐ † δύνανται διοικεῖσθαι. ὑπὲρ δὲ τοῦ ἀγοραστοῦ νοεῖται, ἵν' ἐὰν θέλῃ τοῦτο μόνον παρακρατεῖν, τῶν δὲ ἀνακεκοινωμένων ἐκστῆναι, ἔχῃ ἐξουσίαν. εἰ δὲ ἐκ τοῦ ἐκποιουμένου κτήματος ἔστι τι καὶ ἰδιοσύστατον,

ἢ τὸ

* τοσοῦτον διάστημα χρόνον, μέχρις οὗ ἂν.
† δύνηται.
* ἀναπλήρωσιν.
† ἀπόλλυσθαι.
γρ.
* μικρόν τι.
† δύνανται.

ἢ τὸ ὅλον ἀναγκάζονται ἀγοράσαι, ἢ τοῦ ὅλου ἐξίστασθαι. ἐχέτωσαν δὲ καὶ προθεσμίαν μηνῶν δ' εἰς ἐπισυνάξιν τοῦ τιμήματος, ὁπόσον ἕτερος δίδωσιν, ἢ μᾶλλον ὁπόσου διατιμᾶται, εἴπερ τοῦτο οἱ ἐξωνούμενοι πένητες ἐπιλέξωνται. τούτων οὕτως παρὰ τῆς βασιλείας ἡμῶν δογματισθέντων καὶ νομοθετηθέντων, κελεύομέν σοι ὑπαναγνῶναι πᾶσι τοῖς ἐν τῷ θέματι τὴν τοιαύτην ἡμῶν ἐκφώνησιν καὶ νομοθεσίαν, ἀπό τε δυνατῶν προσώπων καὶ ἕως ἐσχάτου καὶ τελευταίου: καὶ κατὰ τὴν ταύτης περιοχὴν καὶ δύναμιν καὶ ἐξετάζειν καὶ διοικεῖν περὶ τῶν πτωχῶν καὶ τῶν δυνατῶν, ὁρισθείσης εἰς μῆνα μάρτιον, ἰνδικτιῶνος ε.

tamen emtores aut totum emere coguntur, aut toto cedere. Ceterum quatuor mēsium diem habeant ad collectionem pretij, quantum quidem alius daret, uel potius quāti sit æstimatio, si quidem hoc pauperes, qui emūt, optauerint. His in hunc modum ab imperio nostro decretis atq; constitutis, præcipimus tibi, ut omnibus in prouincia promulgationem huiusmodi legemque nostram, a personis potentibus ad extremum & ultimum usque, legi cures: ac prout in ea continetur, iuxtaque uim eius, de pauperibus atque potentibus inquiras & ordines. quæ sancita est mense Martio, indictione V.

ΝΕΑΡΑ` Γ ΚΩΝΣΤΑΝΤΙ´ΝΟΥ.

ΠΕΡΙ` † ΣΤΡΑΤΙΩΤΩ͂Ν.

† στρατευτικῶν.

Ὥσπερ ἐν σώματι κεφαλὴ, οὕτως ἐν πολιτείᾳ ,, στράτευμα. ὧν οὕτως ἢ ἑτέρως ἐχόντων, ἀνάγκη ἐν ,, τὸ πᾶν συμβάλλεσθαι. καὶ ὃς μὴ ταῦτα ὑπὸ πολλὴν τίθεται πρόνοιαν, περὶ τὴν * οἰκείαν σφάλ- ,, λεται σωτηρίαν. εἴπερ οἰκείαν οἴεσθαι χρὴ τὸ κοινόν. καὶ ἐπειδὴ τῷ χρόνῳ τὰ τῶν στρατιωτῶν ἀρρωστήσαντα, ὅθεν αὐτῶν καὶ ἡ τοῦ εἶναι καὶ ζῆν προσῆν ἀφορμὴ, πρὸς τὸ χαλεπώτερον ἐναπέκλινεν, ἡ ἐκ θεοῦ βασιλεία ἡμῶν πρὸς τὸ εὐεκτοῦν καὶ ἀμεινότερον ταῦτα μετήνεγκε, κοινὴν τῷ παντὶ χαρισαμένη τὴν λυσιτέλειαν. θεσπίζομεν τοίνυν αὐτὸ τοῦτο δὴ, ὅπερ ἡ συνήθεια † ἐγγράφως πρώην ἐκύρωσε, μὴ ἐξεῖναι τοῖς στρατιώταις τὰ, ἐξ ὧν αἱ στρατεῖαι ὑπηρετοῦνται, κτήματα διαπωλεῖν. συντηρεῖσθαι δὲ εἰς ἑκάστην στρατείαν, ἱππέων μὲν ἀκίνητον κτῆσιν, δ' λιτρῶν ὕπαρξιν: * ἀριθμεῖσθαι κελεύομεν καὶ τοὺς ἐπὶ τὸν στόλον τεταγμένους πλωΐμους, τοῦ τε Αἰγαίου πελάγους, καὶ τοῦ Σάμου, καὶ τῶν Κιβυρραιωτῶν. αὐτόστολοι γὰρ οὗτοι καὶ αὐτερέται βαρείας μετιᾶσι τὰς ὑπηρεσίας. τοῖς δὲ τὰ βασιλικὰ πλώϊμα ἐπὶ ῥόγαις ὑπηρετουμένοις, καὶ τοῖς λοιποῖς πλωΐμοις, ἤδη νῦν ἐκράτησεν ἐκ συνηθείας β λιτρῶν εἰς ἑκάστην στρατείαν ἀκίνητον διασώζεσθαι κτῆσιν, ὃ καὶ ἡμῖν ἀρκούντως ἔχειν δοκεῖ. εἰ μὲν οὖν ἐν τοσαύτῃ ἀκινήτῳ κτήσει εἰσὶν οἱ ἐν ἑκατέραις στρατείαις κατειλεγμένοι, καὶ σώζοιεν ταύτην συντηροῦντες ἀνεκποίητον, καὶ παραπέμποιεν εἰς τοὺς φυσικοὺς κληρονόμους, καθ' ὃν ἂν βούλοιντο νόμιμον τρόπον, μετὰ τοῦ οἰκείου μέντοι γε βάρους, εἴτε κατιόντες εἰσὶ πρὸς οὓς παραπέμπονται, εἴτε ἀνιόντες, εἴτε ἐκ πλαγίου, εἴτε ἐξ ἀδιαθέτου ἰσοκληρίᾳ τισὶν ἁρμόσει, εἴτε ἀπὸ διαθήκης ἐξ ἀνίσων μερῶν εἰκότως κληθεῖεν, γνήσιοι ἢ φυσικοὶ, ἢ ἐξωτικοὶ † παγανοὶ κληρονόμοι: (τοὺς ἀξιωματικοὺς γὰρ παντὶ τρόπῳ ἀποκλείομεν πρὸς τὰς τοιαύτας

* οἰκεῖον.

† ἐγγράφως.

* οὓς ἀριθμεῖσθαι.

† παγανικοί.

CONSTANTINI NOVELLA. III.

DE MILITIBVS.

al. de militaribus, scilicet prædijs.

Quemadmodum caput in corpore, sic exercitus in republica. quæ si hoc, alioue modo sint adfecta; totum conferre necesse est. Atq; hic qui magna cura nō prospicit, de salute sua periclitatur: si modo suā existimare debet, quod publicū est. Et quoniam paulatim militum res laborantes, unde scilicet ipsis & uiuendi & uictitandi suppetebat opportunitas, in deteriorem ac difficiliorem condicionem deflexerunt; cōstituta diuinitus maiestas nostra hæc ad statum meliorem faciliioremque traduxit, publico ipsam rempublicam commodo adficiens. Sancimus igitur id, quod ipsa consuetudo iamdudum citra scripturam cōfirmauit, ne militibus ea prædia, de quibus exhibentur militiæ, distrahere liceat, sed ad quamlibet militiam, equitum quidem possessio in rebus soli constituta eiusmodi conseruetur, ut quatuor libras æquet. quibus adnumerari iubemus & classiarios, ad classem ordinatos, tam Aegæi maris, quam Sami, & Cibyrraotarum. Nam quū hi & adesse classi, & remiges ipsimet esse cogantur: functiones sane quam graues obeunt. At in ijs, qui ob erogationes imperialibus classibus seruiūt, & in classiarijs ceteris, ex consuetudine iampridē obtinuit, ut in singulis functiones militares seruetur in rebus soli cōstituta duarum librarum possessio. quod nobis etiā satis esse uidetur. Quod si tantum in rebus soli possideant, qui alterutrā harum militiā obeunt, idq; sibi seruent citra ullam alienationē, & ad heredes naturales transmittant, quocumque uoluerint modo legitimo, cum onere tamen suo; siue liberi ac descendētes sint, ad quos transmittūt, siue parentes & adscendentes, siue ex transuerso, siue ab intestato quibusdā portiones æquales competant, siue fortaßis ab inæqualibus portionibus ex testamēto uocētur, sui, uel naturales, uel extranei paganici heredes: (nam in dignitate cōstitutos omni modo ab huiusmodi successionibus excludimus)

excludimus) ut pro rata lucri ex hereditate obuenientis, etiã functionis onus sequatur. De bonis autẽ mobilibus nihil curiose statuimus, sed erũt hæc in potestate possidentis. nisi forte accidat, ut rerũ soli magna facta sit imminutio Tũc.n. arbitrio uiri boni quod in reb. soli constituta possessioni deest, de mobilibus supplendũ erit. Sin autẽ multis soli rebus abũdet miles, ita ut longe * iustam quantitatẽ excedat: si quidem omnia descripta sunt in codicibus militaribus, neque poterit hæc, neq; de his quidquã distrahere miles, quantũuis multo maioris æstimẽtur. Vel potius nemo quidquã horum emere poterit, præsertim spectabilis, aut in dignitate constitutus, aut potens, ad scholares usq; uel metropolis, uel episcopatus, uel monasteriũ, uel alia quæcũq; religiosa domus: scituri, se nullam de pretijs actionẽ habituros. Quin nec impensarum habebitur ratio, quãuis in excolendas res emtas multa expẽderint. Materias tamen suas ita recipiẽt, ut statũ priorem nõ lædãt. Quod si omnia descripta non sunt, sed forte possessionẽ miles peculiariter suis circũscriptam finibus habet, nec ulli militiæ seruituti obnoxiã; facultatem habeat eius alienanda, quocũq; modo uolet: modo descripta in rebus soli possessio eius ad exhibendam functionẽ militarẽ sufficiat. quippe si quid desit, cogetur is, qui a milite prædium nãctus est, quod deficit ex aliqua caussa per rẽ soli supplere. Sin res soli, quas possidet miles, prorsus descripta nõ sunt: quæ magis fertiles sunt, ad IIII usq; libras, tacite sint obligata. Atq; hoc ex prouidentia nostra priuilegio subnixi sunto. Eorũ autẽ, quæ reliqua sunt, permissa sit eis alienatio. Ac si quidem usu uenerit, ut unus fertiliora prius emat, alius minus utilia posterius; & ex priuilegio iã exposita fertiliora fuerint euicta: iura prioritatis aduersus posteriorẽ anterior habeat. Quod si possessiones in rebus soli plures & pretiosas admodũ habentes, eã quæ descripta fuit, alienauerint; posteaq; descriptam hanc euincere uoluerint: euictionis subsidiũ eis damus, & ex alijs possessionib. emtor satis accipiat, quum scilicet ultra IIII quidem libras equites, classiarij uero ultra II in bonis habent. Quod si partem functionis militaris aliquis exhibet, pro rata partis eius & de opulentia ipsius ac facultatibus statuatur. Non aliter autem dominiũ prædiorũ militarium ijs adquiratur, qui ea quocumque titulo possident; nisi annorũ quadraginta tempus adsestatione nulla interueniente effluxerit. Nam propemodum malæ fidei possessoribus hos olim quoque consuetudo adnumerabat. nisi quod ex contractu possidentes, nullum fructuum damnum sentiebant;

*uidelicet IIII. librarum.

διαδοχὰς) καὶ κατὰ ἀναλογίαν τοῦ κέρδους τῆς κληρονομίας ἕπεσθαι ὁρίζομεθα καὶ τὸ βάρος τῆς στρατιλείας. κινητὴν δὲ οὐ περιεργαζόμεθα ὕπαρξιν, ἀλλ' ἐν ἐξουσίᾳ αὐτὴ κείσεται τοῦ κεκτημένου. εἰ μή που κατὰ πολὺ ἡ ἀκίνητος ἐλαττοῦται. δεῖ γὰρ τότε ἀνδρὸς ἀγαθοῦ δοκιμασίᾳ τὸ ἐλλιπὲς τῆς ἀκινήτου ἐκ τῶν κινητῶν ἀναπληροῦσθαι. εἰ δὲ ἐν περιουσίᾳ πολλῶν ἀκινήτων ὁ στρατιώτης καθεστήκοι, ὥστε κατὰ πολὺ τὴν * δικαίαν ὑπερβαίνειν ποσότητα: εἰ μὲν ἅπαντα ἐν τοῖς στρατιωτικοῖς κώδιξιν ἀπογέγραφονται, μὴ δύνασθαι μήτε ταῦτα; μήτε ἐκ τούτων τὸν στρατιώτην διαπωλεῖν, κἂν μείζονος † εἶναι ἠξιωμένα τιμῆς. μᾶλλον δὲ μὴ δύνασθαι τινὰ ἐκ τούτων ἀγοράζειν, καὶ μάλιστα περίβλεπτον ἢ ἀξιωματικὸν, ἢ δυνάστην, μέχρι σχολαρίων, ἢ μητρόπολιν, ἢ ἐπισκοπεῖον, ἢ μοναστήριον, ἢ ἕτερον τὸν οἱονδήποτε εὐαγῆ οἶκον, εἰδότας ὡς οὐκ ἔσται αὐτοῖς περὶ τῶν τιμημάτων ἀγωγή. ἀλλ' οὐδὲ ὁ περὶ τῶν δαπανημάτων λόγος, κἂν εἰ τύχοιεν πολλὰ καταναλωκότες εἰς φιλοτιμίαν τῶν ἠγορασμένων. λήψονται μέντοιγε τὰς ὕλας αὐτῶν, μετὰ τοῦ μὴ βλάψαι τὴν προτέραν κατάστασιν. εἰ δ' οὐ πάντα * γεγραμμένα εἰσὶν, ἀλλ' ἔχει εἰκότως ὁ στρατιώτης κτῆμα ἰδιοπεριόριστον, καὶ τῇ στρατείᾳ ἀκαταδούλωτον, ἐξουσίαν ἐχέτω † ᾧ δὴ βούλοιτο τρόπῳ τοῦτο ἐκποιεῖν, ἐν ᾧ μέντοιγε ἡ ἀπογεγραμμένη ἀκίνητος κτῆσις αὐτοῦ ἱκανή ἐστιν ὑπηρετεῖσθαι τῇ στρατείᾳ. εἰ γὰρ ἀπολείπεται, ἀνάγκην ἕξει ὁ ἐκ τοῦ στρατιώτου λαβὼν τὸ κτῆμα, τὸ ἐλλιπὲς ἔκ τινος αἰτίας διὰ ἀκινήτου ἀναπληροῦσθαι. εἰ δ' οὐδ' ὅλως ἀπογεγραμμένα εἰσὶ τὰ τοῦ στρατιώτου ἀκίνητα, τὰ * εὐχρηστότερα σιωπηρῶς ὑποκείσθωσαν ἕως δ λιτρῶν. † καὶ τοῦτο τῷ προνομίῳ ἐξ ἡμετέρας προνοίας συγκροτείσθωσαν. τὰ δὲ περιττὰ ἐφεῖσθαι τούτοις ἐκποιεῖσθαι. καὶ εἴπερ συμβῇ * ὃν μὲν τὰ εὐχρηστότερα ἀγοράσαι πρότερον, ὃν δὲ τὰ ἀχρηστότερα ὕστερον, ἐκνικηθῆ δὲ ἐκ τοῦ προτιθεμένου προνομίου τὰ εὔχρηστα: ἐχέτω τῆς προγενεστέρας δίκαια κατὰ τοῦ μεταγενεστέρου ὁ προγενέστερος. εἰ δὲ πολλὰς † ἔχοντες ἀκινήτους κτήσεις καὶ πολυτίμους, τὴν ἀπογεγραμμένην ἐκποιήσαιεν, ἐκνικεῖσθαι δὲ ταύτην βουληθεῖεν ὕστερον τὴν ἀπογεγραμμένην, * δίδομεν αὐτοῖς τὴν βοήθειαν τῆς ἐκνικήσεως, ἐκ τῆς ἄλλης δὲ τῷ ἀγοραστῇ τὸ ἱκανὸν περιποιεῖσθαι, ὅτι δηλαδὴ εὐποροῖεν ὑπὲρ τὰς δ λίτρας μὲν οἱ ἱππεῖς, ὑπὲρ τὰς β δὲ οἱ πλωτῆρες. εἰ δὲ μέρος στρατείας ὑπηρετεῖταί τις, κατὰ ἀναλογίαν τοῦ μέρους αὐτοῦ καὶ τὴν εὐπορίαν τυποῦσθαι. μηδ' ἄλλως δὲ κυριεύεσθαι στρατιωτικὰ τοῖς ταῦτα οἱῳδήτινι τρόπῳ κτωμένοις, εἰ μὴ ὁ τῆς τεσσαρακονταετίας ἀνεπιφώνητος διαρρεύσει χρόνος. σχεδὸν γὰρ τοῖς κακῇ πίστει νεμομένοις ἠρίθμει τούτους καὶ πάλαι ἡ συνήθεια. πλὴν ὅσον οἱ μὲν ἐκ συναλλάγματος νεμηθέντες, τὴν τῶν καρπῶν ζημίαν διέφυγον:

οἱ δὲ

* τὸν τῶν δ λιτρῶν.

† εἶναι.

* ἀπογεγραμμένα.

† ὃν δ' ἂν βούλοιτο τρόπον.

* ἀχρηστότερα.

† καὶ τοῦτο τὸ προνόμιον ἐξ ἡμετέρας. συγκροτείσθω.

* ἐν μὲν τὰ εὐχρηστότερα.

† ἔχοντες.

* δίδοσθαι αὐτοῖς.

οἱ δὲ πίστει κακῇ νεμόμενοι, καὶ καρποὺς καὶ προσόδους καὶ πᾶσαν βλάβην κατετίθεντο. ὃ καὶ ἡμῖν ἀρέσκει. στρατιώτην δὲ νομίζεσθαι διατυποῦμεν, οὐ τὸν καθωσιωμένον μόνον τοῖς ἱεροῖς λεγεῶσι τῶν στρατιωτῶν, ἀλλὰ γὰρ καὶ τούτους, οἳ διά τινα τύχης *(† ἐν ἀδείᾳ.)* ἐπήρειαν ἐπιδεεῖς ὀφθέντες ἀδωρείας † ἐντύχως τετυχήκασι. καὶ τῶν αὐτῶν τούτοις ἀπολαύειν δικαιοῦμεν προνομίων, οὐ συγχωροῦντες ὑπ᾽ ἐκείνων πιπράσκεσθαι τὰ, ἐξ ὧν αἱ στρατεῖαι ὑπηρε- *(* ἀ γάρ.)* τοῦνται, καὶ πολλῷ πλέον παρὰ τοῦ δημοσίου. * εἰ γὰρ τοῖς κυρίοις δεσπόταις ἐπιτιμῶμεν τοῦ κοινῇ συμφέροντος ἕνεκεν, πῶς ἂν τῷ δημοσίῳ πιπράσκειν ἐπιτρέψωμεν, καὶ τὴν πάλαι ἄγραφον ἀδικίαν ἐκείνην, νόμου τάξιν ἔχειν μεθήσομεν; ἣν ἐχρῆν γῆς τε ἁπάσης ἐξελαύνεσθαι καὶ θαλάσσης, ὡς οὖσαν θηριωδεστάτην καὶ ἀπανθρωποτάτην. οἶμαι γὰρ ὡς οἱ ταύτην εἰσαγαγόντες τὴν αὐτὴν τῇ ἄρκτοις φύσιν τῇ πολιτείᾳ προσένειμαν. λόγος γὰρ ἔχει, μόνας θηρίων τὰς ἄρκτους λιμῷ πιεζομένας τοὺς δακτύλους περιλιχμᾶσθαι. εἰ που καλῶς τις εἰδὼς, χεῖρας ὅλης τῆς πολιτείας, ἀλλ᾽ οὐχὶ δακτύλους τοὺς στρατιώτας δοκοίη. ταῦτα μὲν οὖν τοῖς ἔμπροσθεν χρόνοις ἐντελῶς ἅμα καὶ λυσιτελῶς κατὰ τὸ ἡμῖν δοκοῦν διατυποῦμεν. ἐπὶ δὲ τοῖς προλαβοῦσι, πάλαι μὲν ἐπικρατεῖ ἀδιαίρετος καὶ παχυμερὴς συνήθεια, ἀναργύρους τοὺς ἀγοραστὰς τῶν *(† στρατιωτικῶν.)* † στρατιωτῶν ἐξωθεῖσθαι. ἡ δὲ λεπτομερὴς τῶν καθ᾽ ἕκαστον μέρος διοίκησις ἄλλοτε ἄλλως, ἐν οἷς ἂν αὐτὴν μετῆγον οἱ τῆς ψήφου κύριοι μεταφερομένην, πολλήν τινα λώβην παρεῖχε τοῖς πράγμασι, καὶ πᾶσαν ἀσάφειαν. ἡμεῖς οὖν ἅμα πρόσω καὶ ὀπίσω τοὺς *(* τρέφοντες.)* περὶ τῶν συμφερόντων * τρέφοντες ἀναλογισμοὺς, τὰς κεχυμένας ἐκείνας καὶ ποικιλοτρόπους ἀποδιαπομπούμενοι πράξεις, ἐν ῥυθμῷ καὶ λόγῳ τὴν *(† ἐν πάσῃ διοικήσει.)* † ἐν πάσῃ διοικήσει περιστέλλοντες, θεσπίζομεν, εἰ μὲν εἶεν κληρονόμοι αὐτοῖς τοῖς * γεγραμμένοις *(* ἀπογεγραμμένοις.)* στρατιώταις, κατιόντες τυχὸν ἢ ἀνιόντες, ἢ ἐκ πλαγίου, μέχρις ἕκτου βαθμοῦ, αὐτοὶ πάντως προσδεχθήσονται κατὰ τὴν τοῦ βαθμοῦ συγγένειαν προτιμώμενοι, εἰς τὸ ἐκδικεῖν τὰ παρὰ τῶν στρατιωτῶν *(† δυνάστου.)* ἐκποιηθέντα κακῶς, ἢ παρὰ † δυνάστου βίᾳ κατασχεθέντα. τῶν ἐγγυτέρου δὲ βαθμοῦ συγγενῶν μὴ βουλομένων ἢ μὴ δυναμένων, καὶ οἱ πορρωτέρω *(* ἀνελχθήσονται.)* * εἰσαχθήσονται συγγενεῖς. συγγενῶν δ᾽ οὐχ ὑπόντων, ἢ τῶν ἀπὸ νόμου καλουμένων ἀγχιστέων, οἱ συνδόται καὶ συνάρχμοι τούτων ἀκουσθῶσι προσερχόμενοι, τούτων δὲ οὐκ ὄντων, οἱ συντελεσταὶ ἀπορώτεροι *(† ἀπορίας.)* στρατιῶται, ἵν᾽ ἐξ ἐκείνων τὸ ἐνδέον τῆς † εὐπορίας ἀναπλάζοντες, ἐποικοδομηθῶσι πρὸς ἰσχὺν ἱκανότητος. εἰ δὲ καὶ οὗτοι οὐκ εἶεν, ἀνάγκη καὶ τοὺς πολιτικοὺς συντελεστὰς εἰσακούεσθαι, πρὸς τὸ μὴ διαπίπτειν τὸν ἐκ τοῦ κελεύσου φόρον. εἰ δέ γε στρατιώτης στρατιώτου ἑτέρου κτῆσιν ἠγόρασεν, εἰ μὲν ὁ εὐπορώτερος ἐξ ἀπόρου, τὴν αὐτὴν ὑφέξει ποινὴν τοῖς δυνατοῖς,

at male fidei possessores, & fructus, & reditus, & omne detrimentum restituebant. id quod nobis quoque placet. Militem uero existimandum statuimus, non eum modo, qui sacris militum legionibus est deuotus: sed & hos, qui ex iniuria quadā fortuna inops facti, per edictum immunitatem consequuti sunt. quos ijsdem cum illis frui priuilegijs aequum censemus, non concedentes, ut uel ab eis ea distrahantur, ex quibus functiones militares exhibentur; ac multo quidem minus a fisco. Nam si uere proprieq. dominis, interminamur ob id, quod expedit publice; qui nā fisco distrahere permittemus, & non scriptam illam ueterem iniquitatē, legis obtinere uicem concedemus? quam ubiq. terrarū & maris expulsam oportuit, ut quae maxime belluina sit & immanissima. Nam equidem arbitror eos, qui hanc introduxerunt, eamdem cum ursis naturam reipublicae tribuisse. quippe uulgo perhibetur, solas ex feris ursas fame pressas digitos suos circumlambere. ac recte sane qui rem aestimauerit, manus totius reipublicae, non digitos, esse milites putabit. Atq. haec sequuturis tēporibus plene pariter & utiliter, de nostra quidem sententia, statuimus. Quod attinet praeterita, iā olim quidem obtinet rudis & simplex consuetudo, ut citra pretij restitutionē praedijs militaribus emtores eijciantur. At subtilior singulorum moderatio alias alia, prout eā mutabant illi, qui iudicijs praeerant, magnum quoddā rebus detrimentum, ac nullam nō obscuritatem adtulit. Iccirco nos tam in anteriora, quam posteriora cogitationes de ijs, quae expediunt, conuertentes; & cōfusas illas, atq. uarias actiones ablegantes; & administrationem in rebus omnibus ordine quodam ac ratione munientes, sancimus; ut si quidem heredes exstēt descriptis militibus, descendentes puta uel adscendētes, uel ex trāsuerso, ad sextum usq. gradū; ij prorsus admittātur, iuxta graduū cognationē alijs alij praelati, ad euictionē eorū, quae male a militibus alienata sunt, aut a potēte per uim detēta & possessa. Quod si gradus propioris cognati nolint, aut non possint: etiam cognati remotiores admittentur. Nullis autem cognatis exstantibus, aut adfinibus, qui ex lege uocantur; accedētes eiusdē militiae collationisq. participes audiātur; qui si nulli sint, milites inopes eadem sustinētes onera: ut ex his farciētes id, quod eorū inopia deest, eo usq. proficiāt, ut satis habeāt. Quod si ne illi quidē exstēt, ciuiles quoq. collatores audiri necesse est, ut ne uectigal census intercidat. Si uero miles possessionem militis alterius emit, si quidē opulentior ab inope, poenam cum potentibus eamdem sustinebit,

citra restitutionē pretij res emtas amittens. Sin inops a locuplete, omnino rē emtā habebit, aut pretiū recipiet. Quod si ambo reperiantur inopes, parti damno adfectæ subueniri iubemus, bona fidei rationē in hoc habētes, *quæ neminē cū alterius detrimēto lucrū facere sinit. His de possessionibus militaribus partim ita repertis, partim a nobis excogitatis; ad ipsas quoq; personas militares trāseundū existimauimus, & quæ his cōtigere, paulo altius repetenda. Erat aliquādo id tēpus, quū integra rerū euersio uigeret, ac infrenis impetus exitij; quū quiuis eorū, qui gloria præstabāt, passim fundos citra modū abscindēs, loco mancipiorū miseros possessores haberet, ita qui se nihil existimās facere, sed perpeti potius, si alius ipso superior auaritia foret. adeoq; malorū integrū quoddā certamē erat. quod in potētibus sane nō insistebat, sed inde exorsū, in minus „ ualētes desinebat. Nā superiorū adfectiones in „ uulgus plerumq; propagātur. Inde factū, ut qui exercitui cū imperio præerāt, quasi lex esset, horū facultates ducū esse, omniū omnia rapiētes, rei militaris imperitos homines eis uicissim præberēt, uenales, negligētes, nihil minus quā bellicosos, magis degeneres formicis, & lupis rapaciores. quorū opera quū hostib extorquere tributa nō possent, argēto subditos emungebant. Itaq; nō lōgo ad euertēdā rēpublicā spatio tēporis egebāt, sed impetu solo Romanū imperiū ad extremū periculū impulerunt In horū ergo repressione quantū study posuerimus, multi boni moderatiq; uiri prædicaturi sunt. uel multitudo potius eorū, qui ad patriū solū reuersi sunt, recens seruitute liberata, clamabit. Celebrabūt etiam, opinor, aliæ res in melius cōmutatæ, quarū curis adsidue cruciamur, ipso cū somno bellū gerētes; ne futilis et euanida sit a nobis excogitata rerū, quæ uitiose ferūtur, emēdatio; quā in edicto præsenti, quantū eius fieri potuit, accurate instituimus, & æuo sequuturo ad durationē æternā tradētes sancimus, ut si quis militē coloni loco detinere deprehēsus fuerit, si quidē is ipse fundos etiā, de quibus functiones militares exhibentur, raptos habeat; sex solidos aureos mulctæ loco soluat, quorū dimidiam quidē partem miles accipiet ad recuperationē restitutionis in integrum suæ; dimidiā uero fiscus, eius seruitutis nomine, qua spoliatus est. Quod si eū prædia militaria nō rapuisse, sed emisse cōpertum fuerit; fisco quidē solidos tres soluet, aduersus militē uero actionē de pretio nullā habebit. si uero suis rebus ab alijs expulsos, uel per semet ipsos cessione usos, alij miseriti receperūt, uel ut colonorū obeant munera, uel ut pro mercede seruiāt; extra culpam sunto.

* l. 206. D. de reg. iur.

ἀναργύρους ἐκπίπτων τῶν ἠγορασμένων. εἰ δὲ ἄπορος *ἐξ εὐπόρου, τὸ ἀγορασθὲν ἕξει πάντως, ἢ τὸ τίμημα λήψεται. εἰ δὲ ἀμφοῖν ἀπορία εὑρίσκεται, τῷ ζημιουμένῳ μέρει προσβοηθεῖσθαι κελεύομεν, τὴν ἀγαθὴν πίστιν †ἐνταῦθα τηροῦντες, ἥτις οὐκ ἐᾷ τινὰ κερδαίνειν ἐκ τῆς τοῦ ἄλλου ζημίας. ταύτῃ περὶ στρατιωτικῶν κτήσεων ἃ μὲν εὑρηκότες, ἃ δὲ ἐξευρηκότες, δεῖν ᾠήθημεν μεταβῆναι καὶ ἐπ᾽ αὐτῶν τῶν στρατιωτικῶν προσώπων, καὶ τὰ συμπεσόντα τούτοις μικρὸν ἄνωθεν ἀναγορεῦσαι. ἦν ὅτε ἦν ὁλοσχερὴς τῶν πραγμάτων ἀνατροπὴ, καὶ φορὰ ὀλέθρου δυσκάθεκτος, καὶ πᾶς τις τῶν ἐν δόξῃ κρατούντων *πανδυδῆς χώρας ἀπεριγράπτως ἀποτεμνόμενος, ἐν ἀνδραπόδων λόγῳ τοὺς ἀθλίους ἐκέκτητο κτήτορας, σχέτλια ποιεῖν οὐχ ἡγούμενος, πάσχειν δὲ μᾶλλον, εἰ ἕτερος ὑπέρτερος τούτου ἐν πλεονεξίᾳ ὀφθείη. καὶ ἦν ὁλοσχερὴς ἅμιλλα κακῶν. οὐδὲ γὰρ οὐδὲ μέχρι τῶν δυνατῶν ἦν, ἀλλ᾽ ἐκεῖθεν ἀρξαμένη, καὶ εἰς τοὺς ὀλιγοσθενεῖς ἐτελεύτησεν. αἱ γὰρ τῶν ὑπερεχόντων ἕξεις, διαδόσιμοι ὡς ἐπίπαν τῷ πλήθει γίνονται. ἐκεῖθέν τε οἱ ἄρχειν τοῦ στρατοῦ λαχόντες, ὥσπερ ὄντος νόμου, τὰ τούτων εἶναι τῶν στρατηγῶν, ἃ πάντες εἶχον λαμβάνοντες ἀντιδιδόασιν αὐτοῖς ἀστρατεύτους ἀνθρώπους, ὠνίους, ἀμελεῖς, ἀπολέμους, μυρμήκων ἀγεννεστέρους, καὶ λύκων ἁρπακτικωτέρους. δι᾽ ὧν τοὺς ἐχθροὺς δασμολογεῖν οὐκ ἔχοντες, ἠργυρολόγουν τοὺς ὑπηκόους. ὅθεν οὐκ ἐδεήθησαν χρόνου πρὸς τὸ πᾶν ἀνατρέψαι, ἀλλ᾽ ἐκ τῆς σφῶν καταφορᾶς εἰς ἔσχατον κίνδυνον τὴν τῶν Ῥωμαίων ἤλασαν ἀρχήν. ὅσην μὲν οὖν τὴν σπουδὴν περὶ τὴν τούτων ἀναστολὴν καταβαλλόμεθα, πολλοὶ τῶν χρηστῶν καὶ μετρίων ἀναφωνήσουσιν. ἢ μᾶλλον ἡ πληθὺς τῶν εἰς τὸ πάτριον ἔδαφος ἐπανεστώτων βοήσεται, ἄρτι τῆς δουλείας ἀπηλλαγμένον. ἀναγγελοῦσι δὲ οἶμαι καὶ αἱ τῶν ἄλλων πραγμάτων πρὸς τὸ κρεῖττον μεταβολαὶ, αἷς προσταλαιπωρούμεθα ταῖς φροντίσιν ὑπνομαχοῦντες, ἵνα μὴ κούφη τις ᾖ καὶ διαπεφορημένη, ἡ ἐπινοηθεῖσα τῶν πλημμελῶς φερομένων διόρθωσις, ἣν ἐν τῷ παρόντι ἐδίκτῳ ὡς οἷόν τέ ἐστιν, ἀκριβῶς ἀνεστοιχειώσαμεν, καὶ τῷ ἔμπροσθεν χρόνῳ εἰς διαμονὴν ἀΐδιον παραδιδόντες, θεσπίζομεν, εἴ τις στρατιώτην ἐν παροίκου λόγῳ εὑρεθείη κατέχων, εἰ μὲν αὐτὸς ἐκεῖνος καὶ τὰ, ἐξ ὧν ἡ στρατεία ὑπηρετεῖται, κτήματα ἁρπάσας ἔχει, ἓξ χρυσοῦ ΝΝ ποινῆς ἕνεκεν ἀποτίσει, ἐξ ὧν ὁ στρατιώτης μὲν τὰ ἡμίσυ λήψεται πρὸς ἐπανάληψιν τῆς ἀποκαταστάσεως αὐτοῦ, τὰ ἡμίσυ δὲ ὁ δημόσιος, ἧς χάριν ἐστερήθη δουλείας. εἰ δὲ οὐχ ἁρπάσας, ἀλλ᾽ ἀγοράσας εὑρεθῇ τὰ στρατιωτικὰ, πρὸς μὲν τὸ δημόσιον γ χρυσοῦ ΝΝ καταθήσει, πρὸς δὲ τὸν στρατιώτην, ἀγωγὴν ὑπὲρ τοῦ τιμήματος οὐχ ἕξει. εἰ δὲ ἑτέρων ἐξελασάντων αὐτοὺς ἐκ τῶν οἰκείων, ἢ αὐτῶν ἐκείνων †ἐκστάσει χρησαμένων, ἄλλοι τούτους κατοικτείραντες ἐδέξαντο, εἴτε παροικεῖν, εἴτε θητεύειν, ἀνεύθυνοι ἔστωσαν.

ὅσοι

* ἐξ εὐπόρου.

† ἐνταῦθα φυλάττοντες.

* πανωλ.

† ἐκστάσει.

σιν. ὅσοι δὲ στρατιώτας ἱκανοὺς εἰς ἰδίας ὑπηρεσίας κατετόλμησαν ἔχειν, τῶν φοσσάτων τούτους ἀποστερήσαντες, εἰς ἕκαστον ἐν ἑκάστῳ χρόνῳ ϛ ΝΝ ὁ ἐξκουσεύσας εἰσπραχθήσεται, καὶ ταῦτα ὁ δημόσιος οἰκειώσεται. εἰ μή πω ἀπὸ στρατηγῶν ἢ τῶν ἄλλων ἀρχόντων τούτους ἔτυχον διαδεγμένοι, καὶ οὗτοι ἐκ τῶν ἀποτεταγμένων εἰς ὑπηρεσίαν τοῦ στρατηγοῦ ἢ τῶν ἀρχόντων καθεστήκεσαν. εἰ γὰρ ἐκ τῶν ἔξωθεν καὶ τῆς κοινότητος εἰσὶν, οὐκ ἀθωωθήσεται ὁ τούτους ἔχων, εἰ καὶ δεικνύειν ἑτοίμως ἔχει, παρὰ τοῦ στρατηγοῦ ἢ ἄρχοντος ἐπιτραπῆναι κεχρῆσθαι αὐτῷ.

Si qui uero milites idoneos ad exhibenda ministeria sua retinere fuerint ausi, fossatis eos adimentes: pro eorum quolibet ab illo, qui eos excusauit, solidi sex singulis uicibus exigentur, quos fiscus sibi uindicabit. nisi forte ab ipsis ducibus alijsue magistratib. eos acceperint, ipsiq; milites ex eorum sint numero, qui ministerio ducis aut magistratuũ destinãtur. Nã si sint extra hos, & ipsius adeo cõmunitatis; non liberabitur qui eos detinet, licet probare nõ difficulter possit, a duce uel magistratu potestatẽ sibi factã, ut eis utatur.

ΝΕΑΡΑ' Δ ΚΩΝΣΤΑΝΤΙ΄ΝΟΥ.

ΠΕΡΙ' ΑΝΑΔΟΣΕΩΣ ΤΙΜΗΜΑΤΟΣ † στρατιωτῶν.

† στρατιωτικῶν.

α. Θεσπίζομεν, εἰ καὶ ὥρισται διὰ τῆς προτέρας νομοθεσίας, τοὺς ἀπορωτέρους τῶν στρατιωτῶν τὴν αὐθεντίαν τῆς ἀναργυρίας ἔχειν: τοὺς μέχρι ν ΝΝ εὐπορίαν ἔχοντας ἀποδιδόναι τὰς τιμὰς, δηλονότι καλῇ πίστει καταβληθὲν τὸ τίμημα, καὶ ἄνευ βίας. καὶ διὰ τοῦτο μετὰ τοῦ τόπου προσαπαιτεῖσθαι καὶ αὐτό.

β. Κελεύομεν τοὺς πωλήσαντας στρατιώτας καὶ πολιτικοὺς ἐπαναλαμβάνειν τὰ ἴδια, εἴγε εἰς ὁμάδα χωρίου τυγχάνει. τὸ δὲ τίμημα οὐκ ἔτι διὰ τριετίας, ἀλλὰ καὶ διὰ πενταετίας ἀποδώσουσι πρὸς αὐτοὺς, ἐνάγοντας διὰ τῆς ὡρισμένης πενταετίας.

γ. Ὅσοι τοίνυν ἀπέλαβον τὰ ἴδια ἀναργύρως πρὸ τούτου τοῦ ὁρισμοῦ, ἐὰν κρίσιν ἔχωσι δικαστοῦ, οὗτοι οὐκ ὀφείλουσιν ὀχλεῖσθαι, ἀλλ' ἵνα ταῦτα ἀναφαιρέτως ἔχωσι. διὰ γὰρ τὸ τότε κρατῆσαν ἡ ἀπόφασις ἐξηνέχθη.

δ. Εἰ δὲ ἀπέλαβον ταῦτα ὁρισθέντες ἀποδοῦναι τὰ τιμήματα διὰ προθεσμίας, καὶ παρῆλθεν ἡ προθεσμία, εἰ μὲν καὶ πρὸς μικρὸν ἀποδεδώκασιν ἀπὸ τῶν κτημάτων, ἢ συντίθενται καὶ ἐπαγγέλλονται λαμβάνοντες προθεσμίαν, ταῦτα ἀποδοῦναι, ἵνα διὰ ταῦτα ἐγγράφους ἀσφαλείας ἀπαιτηθῶσι τούτους, ἃς ὀφείλουσιν ἐκτίθεσθαι πρὸς τοὺς ἀγοραστὰς, ὡς δὴ ἑτέρας προθεσμίας, ἣν ἂν δοκιμασθῇ, ἀποδώσουσι τὰ λειπόμενα ἢ καὶ πάντα.

ε. Εἰ δὲ οὐκ ἴσχυσαν ἀποδοῦναί τι ἀπὸ τῶν τιμημάτων, ἵνα ἢ τόπον ἀπὸ τῆς ὁμάδος τοῦ χωρίου ἀποτέμῃς, ἐὰν τοῦτο λυσιτελέστερον τῶν πενήτων κατανοηθείη, ἢ πῶς εἰς αὐτὰ τὰ διαπεπραμένα δημόσια εἰσέλθῃ ὁ ἀγοραστὴς, ἢ πρὸς τὴν τοῦ καταβληθέντος παρ' αὐτοῦ ποσοῦ ἀναλογίαν, καὶ τὸν τῆς ἀπολαύσεως τῶν τόπων καὶ ἐσομένης αὐτῷ εἰσφορᾶς χρόνον ὁρίσεις.

ϛ. Ὡς ἵνα τόπον νεμηθῇ ἐπὶ τρισὶν ἢ πέντε χρόνοις, μὴ περαιτέρω δὲ τῶν ι, καὶ ἰδιόχειρα ἀμοιβαῖα ἀσφαλιζομένου ἑκατέρου, ὡς μὴ πλείονα προβῆναι χρόνον: ὡς ἂν διὰ τοῦ ὡρισμένου χρόνου πλείως πρὸς τὸν χωρίτην παλινδρομῇ ἡ τοῦ τόπου δεσποτεία, καὶ μὴ ἔχωσιν ἄδειαν οἱ τούτους ἀναλαμβανόμενοι κατέχειν.

CONSTANTINI NOVELLA IIII.

DE RESTITVTIONE PRETII militarium prædiorum.

Sancimus, ut tametsi definitum sit per cõstitutionem superiorẽ, debere milites inopes habere ius pretij non refundendi: tamen ij, qui ad L solidos in bonis habent, pretia restituant; id est, bona fide citraque uim numeratum pretium. ideoq; cum loco & illud ipsum repetendum erit. I.

Iubemus, ut milites & municipes, qui distraxerunt, sua recipiãt; si quidẽ in uniuersitate uici accidit. Pretium uero non amplius triennio, sed etiã intra quinquennij spatiũ illis restituẽt, qui eos definito quinquennio cõuenire poterunt. II.

Quotquot itaque sua receperunt ante hanc definitionem pretio non refuso, si sententiam iudicis habent, inquietari non debent; sed ea retineant inademta. Nam ex eo, quod tunc obtinebat, sententia prolata fuit. III.

Sin ea receperunt cum determinatione de refundẽdo ad diem pretio, tamq; dies cessit; si quidem uel paulum persoluerunt ex prædijs, aut diem alium accipientes constituunt atque promittunt se soluturos; eo nomine scripta cautiones exigẽdæ sunt, quas emtoribus exponere debent, se uidelicet ad alium diem, de quo conuenerit, ea quæ desunt, uel omnia soluturos. IIII.

Quod si nihil soluere de pretio potuerunt, uel ipsum locũ ab uniuersitate uici abscindes, si conducibilius hoc esse pauperibus animaduersum fuerit; uel interim emtor in ea, quæ distracta sunt, publice immittatur; uel pro summæ ab eo solutæ portione, tempus etiam definies, quo locis ijs uti frui, reditusque percipere debeat. V.

Si ab utraque parte datis ultro citroque manus propriæ scripturis caueatur, ut locum possideat aliquis ad annos tres uel quinque, non tamen ultra X, neue longius tempus abeat: intra tempus hoc definitum plene loci proprietas ad uicanum redeat, nec potestatem habeant, qui hac loca suscipiunt, ea diutius retinendi. VI.

Si pote-

VII. *Si poterunt aut optauerint pauperes, pretij quidem aliquam partem praestare pro uiribus; partem uero [fundi] certos ad annos emtoribus cedere, cuius illi fructus scilicet percipiant: ubi partem aliquam pretij praestiterint, quantam sane praestare possunt, diem statutum findunt, & quod reliquũ temporis est, habita proportionis ratione, uel ex triente, uel semisse, uel besse permittuntur emtores usumfructum locorum percipere. Nam uerbi caussa C solidorum pretium pauper, qui uendidit, accepit. Heic emtori ad utendum fruendum anni X definiuntur. Atenim L solidos pauper uel statim, uel postea soluere potest. Ergo V dumtaxat annis emtorum fructus emtori percipere permittitur. id est, in annos singulos solidi decem praestantur. Atque haec a tempore primae constitutionis imperialis, usque ad felicissimi imperatoris renuntiationem: quo spatio anni XVIII continẽtur. Ceterum a tempore imperij nostri citra ullam distinctionem milites omnes & municipes in loca sua nullo refuso pretio restitui iubemus.*

CONSTANTINI
NOVELLA V, QVAE IN sacello reposita est.
DE FVGIS MANCIPIORVM, & de iumentis perditis.

I. *Pro mancipio perdito, & in eadem prouincia reperto, solidum unum, * milia IIII dominus praestat. Si uero in ulteriori prouincia reperiatur, solidos II, milia IIII. quod si II aut III prouincias peragrauerit, & captũ fuerit; solidos III, milia IIII. ac prius quidẽ, quã menses XII praeterierint, alibi mancipiũ distrahi non fas est, sed conseruari atq; custodiri caute debet. Si uero duodecim mensibus elapsis, mancipium deperditum a domino suo requisitum non fuerit; liceat ei, qui reperit, certae notaeque personae uendere. pro solidis VI, milijs IIII. Propterea uero tam uili pretio distrahendum erit, quod eius possessor nõ sit perpetuus; sed quod rursus in potestate domini sit, re comperta, totidem solidos praestare, cum IIII milijs, ac seruũ suum recipere.*

* monetae nomen, quae & μιλιαρίσιον. pars scilicet auri duodecima, ut Suidas, siue siliquae (hoc est κεράτια) duae, ut Cedrenus tradit; qui & siliquam ait obolos XII. continere.

II. *Pro iumentis autem perditis, si quidem maiora sint & grandiuscula, puta pro bobus, & equis, & mulis; IIII milia dominus praestet, eaq; recipiat. In minorib. uero, id est, ouibus et porcis, in dominorũ dumtaxat arbitrio sit, ut quod uolunt, praestẽt.*

III. *At nomine uulnerũ in capite, uel iniuriarũ atrociũ, uel scortationis, uel adulterij uel furti; nihil omnino exigatur. Furtina tamẽ inuẽta dominis salua sunto. Quod si nulli exstẽt*

Εἰ δυνάσονται καὶ προαιρῶνται οἱ πένητες, μέρος μὲν ἐκ τοῦ τιμήματος παρασχεῖν, καθὼς ἰσχὺν ἔχουσι, μέρος δὲ παραχωρεῖν τοῖς ἀγορασταῖς ἐπὶ χρόνους ὡρισμένους, καταπολαῦσαι τοὺς ἠγορακότας: καθ' ὃ ἂν δυνάμεως ἔχωσι, μέρος ἐκ τοῦ τιμήματος παρασχόντες, διατέμνουσι τὸν ὁριζόμενον χρόνον, καὶ τὸ λειπόμενον κατὰ ἀναλογίαν, εἴτε κατὰ τὸ τρίτον, εἴτε κατὰ τὸ ἥμισυ, εἴτε κατὰ τὸ δίμοιρον συγχωροῦνται καταπολαύειν οἱ ἀγορασταὶ τῆς τῶν τόπων χρήσεως. τυχὸν γὰρ ρ ΝΝ τίμημα εἴληφεν ὁ διαπεράσας πένης. ι χρόνοι ὁρίζονται τῆς χρήσεως τῷ ἀγοραστῇ. ν δὲ ΝΝ ἰσχύος ἔχει καταβαλεῖν ὁ πένης παραυτίκα ἢ εἰς ὕστερον. ἐπὶ ε μόνοις χρόνοις συγχωρεῖται ὁ ἀγοραστὴς καρποῦσθαι τὰ ἠγορασμένα. τουτέστι, καθ' ἕνα ἕκαστον χρόνον ΝΝ ι εἶναι τὴν ἀπόδοσιν. ταῦτα ἀπὸ τοῦ χρόνου τῆς πρώτης βασιλικῆς νομοθεσίας μέχρι τῆς ἀναρρήσεως τοῦ τρισμακαρίστου βασιλέως, ἐν οἷς εἰσὶν ἔτη ιη. ἀπὸ δὲ τοῦ χρόνου τῆς βασιλείας ἡμῶν ἀδιαστίκτως πάντας στρατιώτας καὶ πολιτικοὺς ἀναργύρως ἀποκαθίστασθαι εἰς τοὺς ἰδίους τόπους κελεύομεν.

ΝΕΑΡΑ' Ε ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ, Η' Α'ΠΟΚΕΙΜΕ'ΝΗ ἐν τῇ σακέλλῃ.

ΠΕΡΙ' ΦΥΓΩ'Ν ΨΥΧΑΡΙ'ΩΝ, ΚΑΙ' ἀπολωλότων κτηνῶν.

Ὑπὲρ ἀπολωλότος ψυχαρίου, καὶ ἐν τῷ αὐτῷ θέματι εὑρεθέντος, παρέχει ὁ δεσπότης Ν ἕν, μίλια δ. εἰ δὲ ὑπερθεματίσας εὑρεθῇ, ΝΝ β, μίλια δ. εἰ δὲ β ἢ γ θέματα διελθὸν κρατηθῇ, ΝΝ γ, μίλια δ. καὶ πρὸ μὲν τοῦ περιελθεῖν τὸν δωδεκαμηνιαῖον χρόνον, μὴ ἐξεῖναι διαπιπράσκειν αὐτὸ ἀλλαχοῦ, ἀλλὰ συντηρεῖν καὶ φυλάττειν ἐν ἀσφαλείᾳ. εἰ δὲ καὶ τῶν ιβ μηνῶν περιελθόντων οὐκ ἀναζητηθῇ τὸ ἀπολωλὸς ψυχάριον † παρὰ τοῦ κυρίου αὐτοῦ, τότε ἐξεῖναι τῷ εὑρηκότι διαπιπράσκειν αὐτὸ εἰς ἐμφανὲς πρόσωπον, ἐπὶ καταβολῇ ΝΝ ἕξ, καὶ μιλίων δ. Διὰ τοῦτο δὲ οὕτως εὐώνως διαπιπράσκειν, διὰ τὸ μὴ εἶναι τὴν δεσποτείαν διηνεκῆ, ἀλλὰ πάλιν ἐπ' ἐξουσίας ἔχειν τὸν κύριον αὐτοῦ, ὅταν διαγνῷ, παρέχειν τὰ τοιαῦτα ἓξ ΝΝ, μετὰ τῶν δ μιλίων, καὶ τὸν ἴδιον ἀπολαμβάνειν οἰκέτην. α.

† παρὰ τοῦ.

Ὑπὲρ δὲ κτηνῶν ἀπολωλότων, ἐπὶ μὲν τοῖς μείζοσι καὶ ἀδροτέροις, οἷον βουσὶ, καὶ ἵπποις, καὶ ἡμιόνοις, παρέχειν τὸν ἴδιον αὐθέντην μίλια δ, καὶ λαμβάνειν αὐτά. ἐπὶ δὲ τοῖς μικροτέροις, τουτέστι προβάτοις καὶ χοίροις, μόνοις κεῖσθαι τοῖς κυρίοις αὐτῶν ὃ βούλονται παρέχειν. β.

χάριν δὲ τῶν ἐπὶ κεφαλῇ τραυμάτων, εἴτ' οὖν ἐκτραχωμάτων, ἢ πορνείας, ἢ μοιχείας, ἢ κλοπῆς, μηδ' ὁποιονοῦν ἀπαιτεῖν. τὰ δὲ κλοπιμαῖα εὑρισκόμενα ἀνασώζεσθαι τοῖς ἰδίοις δεσπόταις. δεσποτῶν δὲ μὴ ὄντων, γ.

δ. ὄντων, τῷ δημοσίῳ εἰσκομίζεσθαι. ὡσαύτως δὲ καὶ τελευτώντων τινῶν ἀδιαθέτως, καὶ μηδὲ συγγενεῖς ἐχόντων ἕκτου βαθμοῦ, τὰ διαφέροντα αὐτοῖς τῷ δημοσίῳ εἰσκομίζεσθαι. διαθεμένου δὲ, κἂν συγγενεῖς μὴ εὑρίσκωνται καὶ ἴδιοι, μέχρι τοῦ εἰρημένου βαθμοῦ, φυλάττεσθαι τὰ τῆς διαθήκης.

ε. Ὡσαύτως δὲ ἀδιαθέτου τετελευτηκότος, καὶ συγγενῶν εὑρισκομένων, πρὸς ἐκείνους τὰ τῆς κτήσεως μεταπέμπεσθαι. εἰ δὲ μήτε διάθοιτο, μήτε συγγενεῖς ἔχοι ὁ τετελευτηκὼς, τότε τὸ μὲν τρίτον μέρος τῆς αὐτοῦ κτήσεως δίδοσθαι ὑπὲρ λύτρου τῶν ἁμαρτιῶν αὐτοῦ τοῖς ἐν χριστῷ ἀδελφοῖς: τὸ δὲ περιττεῦον τῷ δημοσίῳ εἰσκομίζεσθαι.

domini, fisco inferantur. Cõsimiliter si qui moriantur intestati, & ne sexti quidem gradus cognatos habeant; eorum facultates atque bona fisco inferantur. Sin testamentum quis fecerit, licet nulli cognati & necessarij reperiantur ad indicatum usq; gradum; testamenti tamen tabulæ custodiuntor. IIII.

Itidem si defunctus sit intestatus, & cognati reperiantur: ad illos ipsos bona transmittantur. Quod si neque testatus sit, neque cognatos habeat, qui defunctus est; tunc pars bonorum eius tertia pro redimendis eius peccatis fratribus in Christo datur: & quod præterea superat, fisco infertur. V.

ΤΗΣ ΑΥΤΗΣ ΝΕΑΡΑΣ ΥΠΟΘΕΣΙΣ μερικὴ, ἐκ τῶν Θεοδώρου τοῦ ἐπιλεγομένου Βαλσαμὼν, τοῦ πατριάρχου Ἀντιοχείας.

Ἡ νεαρὰ διαλαμβάνει, τοὺς ἀδιαθέτως τελευτῶντας παίδων χωρὶς, μὴ κληρονομεῖσθαι παρὰ τῶν ἐκ πλαγίου συγγενῶν αὐτῶν, ἀλλὰ τὸ τρίτον τῆς οὐσίας τῶν οὕτω τελευτώντων προχωρεῖν εἰς ψυχικὰς διαδόσεις: συνεισαγομένων τούτῳ καὶ τῶν λυτρωμάτων τῶν οἰκετῶν τοῦ τελευτήσαντος, ὡς ἐντεῦθεν ἐλευθερουμένων. καὶ ἐξεφωνήθη αὕτη ἡ νεαρὰ εἰς τοὺς λαϊκοὺς καὶ μόνους, καὶ ὀφείλει κρατεῖν εἰς τούτους: ἐνεργούσης εἰς τοὺς ἀδιαθέτους ἐπισκόπους καὶ κληρικοὺς τῆς ἰουστινιανείου νεαρᾶς.

EIVSDEM NOVELLAE ARGVmentum particulare, de scriptis Theodori cognomento Balsamonis, patriarchæ Antiocheni.

Hac nouella tradit, eis qui ab intestato sine liberis moriantur, cognatos ex transuerso non succedere; sed tertiam partem patrimonij eorum, qui sic defuncti sunt, ad elargitiones animæ salutares expendi: collectis ad eamdem caussam seruorum quoque defuncti pretijs, ut qui ex eo tempore liberentur. Atque hæc nouella de laicis dumtaxat est lata, quorũ in personis rata debet esse: quum de morientibus ab intestato episcopis & clericis, nouella Iustinianea locum habeat.

ΝΕΑΡΑ ΕΚΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ.

ΠΕΡΙ ΤΟΥ ΠΡΟΣΕΔΡΕΥΕΙΝ ΕΝ ΤΩΙ δικαστηρίῳ τοὺς κινοῦντας ἀγωγὴν, καὶ περὶ τῶν ἀπολιμπανομένων ἐπὶ τρισὶ μησὶν, ἢ χρόνῳ.

Μὴ ἄλλως τὸν ἐναγόμενον εἰς δικαστήριον ἕλκεσθαι, εἰ μὴ ὁμολογήσει ὁ ἐνάγων προσεδρεύειν ἐπὶ τῇ κινουμένῃ δίκῃ δι᾽ ἑαυτοῦ ἢ διὰ νομίμου ἐντολέως. καὶ εἰ † μεταῦθις δειχθῇ ἀδίκως τὴν δίκην κινήσας, ὀνόματι ἀναλωμάτων καὶ δαπανημάτων δέκατον μέρος τῆς ἐν τῇ δίκῃ ποσότητος παρέχειν τῷ δικαιουμένῳ. εἰ δὲ ἄπορος ὢν ὁ ἐνάγων εὑρίσκεται, καὶ κατὰ συκοφαντίαν ἄδικον δίκην ἀγωνιζόμενος, μηδὲν αὐτὸν ζημιοῦσθαι λόγῳ συνηθειῶν, ἢ ἀναλωμάτων: μείζονι δὲ τιμωρίᾳ αὐτὸν εἰς σῶμα καθυποβάλλεσθαι. καὶ γὰρ αἱ πληγαὶ μείζους εἰσὶ τῆς χρηματικῆς καταδίκης. Εἰ ἅπαξ κινήσας ὁ ἐνάγων, ὕστερον ὑπερτίθεται * ὑπεξελθεῖν τοῦ πράγματος, καὶ μηδὲ ἐντὸς τριῶν μηνῶν παραγένηται, διδότω αὐτῷ ἑτέρου ἐνιαυτοῦ προθεσμίαν. ἐὰν δὲ μηδὲ οὕτως ἑαυτὸν ἐμφανίσῃ, μηδὲ ἕτερον ἀντ᾽ αὐτοῦ πέμψῃ, τὸν ὀφείλοντα τῷ πράγματι ὑπεξελθεῖν, ἄδεια ἔστω τῷ δικαστῇ καὶ ἀπόντος αὐτοῦ, τὰς τοῦ † ἐνάγοντος μέρους δικαιολογίας

† μετὰ ταῦτα.
* ἐπεξελθεῖν.
† ἐναγομένου.

CONSTANTINI NOVELLA V.

DE NON DESERENDO IVDICIO ab ijs, qui actionem instituunt, & de his, qui ad tres menses uel annum absunt.

Reus in iudicium aliter ne trahatur, quam si promiserit actor, se persequuturum litem institutam per se, uel per legitimum procuratorẽ. Quod si deinde paruerit, iniuste litem ab eo motam; impẽsarum sumtuumq; nomine decimam partem quantitatis in lite comprahensæ uictori præstabit. Si autem deprahendatur actor inops iniustam litem per calumniam exercuisse, nullum quidem sportularum uel impensarum ratione damnum sentiet; sed maiori pœna, nimirum corporali, subycietur. nam uerbera grauiora sunt, quam cõdemnatio pecuniaria. Si semel actor mota lite, postea moram in persequenda caussa faciat, & ne quidem intra tres menses comparuerit: iudex alterius anni diem ei præstituat. At si ne ita quidem semet exhibuerit, nec alium suo loco miserit, qui rem persequi debeat: facultatem iudex habeat, etiam ipso absente, partis eius quæ conuenitur, allegationes secundum

secundum leges examinandi, legitimamq; sententiam ferendi. Eadem & in reo ualeat, si post litis contestationem absuerit, & concessæ dilationes exspirauerint, ac ne sic quidem comparere uel per se, uel per alium uelit. Interim tamen parti iudicium ad tres menses non deserenti res possidenda tradatur. Post annum uero probationes etiam una tantum parte præsente ab eo producta, qui se iudicio stitit, admittantur; & legitima iustaq; sententia liti finis imponatur.

CONSTANTINI NOVELLA VII.

DE EO, QVOD IVDICES CIuiles nihil accipere debeant.

Sancimus, ne quis iudicum ciuilium quidquam, quocumque titulo uel occasione capiat: sed ut manus puras habentes, aurum omne contemnant.

CONSTANTINI NOVELLA VIII.

DE SPORTVLIS.

I. *Iubemus, ut cognitores in qualibet auri libra non ultra tres solidos accipiant, nimirum ab ijs, qui locupletes sunt, tam pro notarijs, quã pro subseruientibus ipsis, nec præterea quidquam aliud.*

II. *Exactio sportularum solidos centum non excedat, quantumcumque fuerit patrimonium, quod petitur; etiamsi centum librarum sit, & amplius; eo excepto, quod cibariorum & itineris nomine, dum peregre abest, exsequutor impendit.*

III. *Rustica plebs, alijque pauperes, siue aduersus seipsos agant propter ea, quæ communiter ad ipsos spectant, siue priuatim singuli contra singulos, aut aduersus potentiores & locupletiores homines, de libra qualibet pro tribus unum modo solidum præstent.*

IIII. *Quod si caussa nullam iuris ambiguitatem & controuersiam habuit, neque res digna lite fuit, sed forte contemtus improbus ius dicentis, uel præda, uel rapina, uel quid eiusmodi commissum est; auctores horum facinorum, si quidem illustres sunt, pro ijs, quæ in iudicium deducta sunt, de qualibet libra definitos III. solidos præstent: humiliores uero, singuli solidum unum; præterquam quod & statutam legibus pecuniariam pœnam exsoluẽt. Itidem ab eis & usuræ, uel fructus, in quibus licet, exigentur.*

V. *Quum restitutio fit in possessionẽ, si quidem in caussa pauperum, nihil; sin illustrium, de libra dimidius solidus præstetur.*

κατὰ τοὺς νόμους ἐξετάζειν, καὶ νόμιμον ἐπάγειν τὴν ψῆφον. τὰ αὐτὰ δὲ κρατείτω καὶ ἐπὶ τοῦ ἐναγομένου, εἴπερ μετὰ προκάταρξιν ἀπολειφθῇ, καὶ αἱ διδόμεναι προθεσμίαι παρέλθωσι, καὶ οὐδὲ οὕτως * ἀπαντῇ ἢ δι᾽ ἑαυτοῦ ἢ δι᾽ ἑτέρου βούλοιτο. τέως μὲν τῷ προσεδρεύοντι μέρει ἐπὶ τρισὶ μησὶ, διδότω ἐπὶ νομῇ τὸ πρᾶγμα. μετὰ δὲ τὸν ἐνιαυτὸν, καὶ τὰς ἀποδείξεις προβαίνειν μονομερῶς παρὰ τοῦ ἐπὶ τῇ δίκῃ προσκαρτεροῦντος, καὶ διὰ νομίμου δικαίου ψήφου τὴν δίκην διαλυτοῦσθαι. * ἀπαντῴη.

ΝΕΑΡᾺ Ζ ΚΩΝΣΤΑΝΤΊΝΟΥ.

ΠΕΡῚ ΤΟΥ͂ ΜΗΔῈΝ ΤΟῪΣ πολιτικοὺς δικαστὰς λαμβάνειν.

Θεσπίζομεν, μηδένα τῶν πολιτικῶν δικαστῶν μὴ ὑπὲρ οἱασδηποτοῦν ἀφορμῆς τι λαμβάνειν, ἀλλὰ καθαρὰς † ἔχειν τὰς χεῖρας, παντὸς χρυσίου ὑπερφρονεῖν. † ἔχοντας τὰς χεῖρ.

ΝΕΑΡᾺ Η ΚΩΝΣΤΑΝΤΊΝΟΥ.

ΠΕΡῚ ἘΚΤΑΓΙΑΤΙΚΩ͂Ν.

Κελεύομεν τοὺς μαθηματικοὺς κριτὰς ἐφ᾽ ἑκάστῃ τοῦ χρυσίου λίτρᾳ μὴ περαιτέρω τριῶν ΝΝ λαμβάνειν, δηλονότι ἐπὶ τῶν εὐπορούντων, ὑπέρ τε νοταρίων, καὶ τῶν ὑπηρετουμένων αὐτοῖς, καὶ μηδὲν ἕτερον. α.

Μὴ ὑπερβαινέτω ἡ ἀπαίτησις τοῦ ἐκταγιατικοῦ τὰ ρ ΝΝ, ὅση ἂν ἡ ἀπαιτηθεῖσα περιουσία τυγχάνει, εἰ καὶ ρ λιτρῶν ἐστι, καὶ περαιτέρω, εἰ μὴ καθ᾽ ὅσον ὑπὲρ τροφῆς καὶ ὁδοιπορίας ἐπιξενούμενος ὁ ἐκβιβαστὴς ἐδαπάνησε. β.

Τὸ ἀγροικικὸν πλῆθος, καὶ οἱ λοιποὶ πένητες, εἴτε κατ᾽ ἀλλήλων ἐνάγουσιν ὑπὲρ τῶν κοινῇ διαφερόντων αὐτοῖς, ἢ καὶ ἰδίᾳ ἕκαστος καθ᾽ ἑτέρου, ἢ κατὰ τῶν δυνατωτέρων καὶ εὐπορωτέρων ἀνθρώπων, καθ᾽ ἑκάστην λίτραν ἀντὶ τριῶν ἓν μόνον παρεχέτωσαν Ν. γ.

Εἰ δὲ μηδεμίαν εἶχε νομικὴν ἀμφιβολίαν ἡ δίκη, μηδὲ πρᾶγμα δίκης ἄξιον ἦν, ἀλλὰ τυχὸν ἀναίσχυντος ἀναρχία, ἢ πραῖδα, ἢ ἁρπαγὴ, ἤ τι τῶν τοιούτων ἐπράχθη, αὐτοὶ οἱ ταῦτα διαπραξάμενοι, εἴπερ εἰσὶ τῶν ἐμφανεστέρων, ὑπὲρ τῶν δικαιωθέντων παρεχέτωσαν τὰ ἐφ᾽ ἑκάστῃ λίτρᾳ ὡρισμένα ΝΝ γ. εὐτελέστεροι δὲ ὄντες, ἀνὰ Ν α, πρὸς τῷ καὶ τὴν ἀπὸ τῶν νόμων χρηματικὴν ποινὴν ἐκτιννύναι. ἔτι δὲ καὶ τοὺς τόκους ἢ τοὺς καρποὺς, ἐν οἷς ἔξεστιν, ἀπαιτεῖσθαι. δ.

† Ἐπινομῆ γινομένης τῆς ἀποδόσεως, εἰ μὲν πρὸς πένητας, οὐδέν: εἰ δὲ πρὸς ἐμφανεστέρους, ἐπὶ τῇ λίτρᾳ τὸ ἥμισυ τοῦ νομίσματος. ε. † ἐπὶ νομῆ γινομένης.

ς. Ἐὰν

ϛ. Ἐὰν τοῦ ἀντιδίκου περιττῶς ἀπολειφθέντος, ἐπὶ νομὴν πεμφθῇ τὸ ἕτερον μέρος, οὐδὲ ὅλως χρὴ πρότερον τῆς δίκης ἀποκατάστασιν γίνεσθαι, μηδὲ ὧδε κἀκεῖσε τὰ πράγματα φέρεσθαι, καὶ ἀπὸ τῆς τῶν πραγμάτων ἐναλλαγῆς διαφθείρεσθαι: ἀλλὰ αἱ αὐταὶ συνήθειαι ἑστῶσαν.

ζ. Τῶν δὲ ὑπουργούντων ἐν ταῖς γραφαῖς τοῖς ἔξω διαιτηταῖς, ἢ τοῖς ἐνταῦθα δικαστηρίοις, αὐτοτελοῦς ἀπολυομένης, καθὼς ἐπὶ τῶν εὐτελεστέρων ὑποθέσεων ἄχρι λίτρας α ἢ ἐπέκεινα, μέχρι ἑνὸς Ν δίδοσθαι. ἐλάττονος δὲ οὔσης, ὑφαιρεῖν πρὸς ἀναλογίαν τοῦ Ν, ὥσπερ αὐξάνειν πάλιν ἐπὶ τῶν ὑπερβαινουσῶν τὰς τρεῖς λίτρας δικῶν, ἄχρι β ἢ καὶ γ ΝΝ.

η. Μηδέποτε ἀπὸ πενήτων πολιτικῶν μηδὲ μεγίστης οὔσης τῆς ὑποθέσεως, γραφῆς χάριν πλέον παρέχεσθαι τοῦ Ν.

θ. Ἐπὶ ταῖς ἀπολυομέναις ψήφοις, ἤτοι κατὰ κέλευσιν, πρὸς τοὺς ἔξω δικάζοντας, τὸ δέκατον, πολλάκις δὲ καὶ ἕκτον δίδοναι τοὺς * ἀπορωτέρους. τοὺς δὲ ἀπόρους πρὸς τὸ ἀναλογοῦν τῆς ἀναγραφῆς καὶ τοῦ πράγματος, περὶ οὗ ἡ ψῆφος προβαίνει. ἔσθ᾽ ὅτε καὶ πλέον τοῦ Ν, μετὰ διαγνώσεως τοῦ δικάζοντος.

* εὐπορωτέρους.

ι. Εἰ παρόντων ἀμφοτέρων τῶν μερῶν † ἀποκρίσεως ἔγγραφος ἀπόφασις ἀπολυθῇ τῷ μέλλοντι δικάζειν ἐπὶ τοῦ τόπου, εὐπόρου δηλαδὴ περιουσίας ὑποδεικνυμένης, δυνατὸν κατὰ διάγνωσιν καὶ ἕως β ΝΝ ἀναβιβάζεσθαι τὸ μίσθωμα.

† ἀπὸ κρίσεως.

Si aduersario contumaciter iudicium deserente, pars alia fuerit in possessionem missa: nullo modo caussæ restitutio prius fiat, nec res hinc inde ferantur, & per ipsum negotiorum mutationem corrumpantur; sed eadem consuetudines sunto. VI.

Iis, qui iudicibus extraneis, aut tribunalibus urbanis in scripturis seruiunt, si definitiua sententia publicetur, ad unum usque solidum sportulæ dentur, sicut in caussis tenuioribus, ad unã usque libram, & paulo amplius, fieri consueuit. sin minor summa sit, pro solidi ratione detractio fiat; sicuti rursus augmentũ, in caussis tres libras excedentibus, ad II uel III usq. solidos. VII.

Numquã a municipibus, qui pauperes sunt, ne quidem si maxima caussa sit, scripturæ nomine plus uno solido præstetur. VIII.

In sententys, quæ iussu principis ad extraneos iudices remittuntur, locupletiores quidem decumam, sæpenumero sextam quoque partem præstant: inopes autem, pro ratione descriptionis & ipsius rei, quæ de sentẽtia profertur. Nonnumquam & plus uno solido, cum cognitione ius dicentis. IX.

Si ambabus partibus præsentibus ex deliberatione iudiciaria decretum scriptura compræhensum remissum fuerit ad illum, qui ius dicturus est in re præsenti; si locuples esse patrimoniũ pareat, potest interposita cognitione merces etiam ad duos usque solidos augeri. X.

ΝΕΑΡΑ Θ΄ ΚΩΝΣΤΑΝΤΙΝΟΥ.

ΠΕΡΙ ΣΥΝΗΘΕΙΩΝ.

α. Κελεύομεν μὴ πορίζεσθαι τι κέρδος τῇ μεθέξει τῶν νοταρίων ἢ τῶν ἀνθρώπων αὐτῶν τοὺς μαθηματικοὺς κριτάς, μηδὲ συμμεριστὰς τῶν † ἐκταγιατικῶν εἶναι. μόνοις δὲ τοῖς ὑπηρετουμένοις τάξεσι τῶν κριτῶν περιελευσιμαίοις κατὰ τὴν ὑποκειμένην οἰκονομίαν συμμέτρως ἐπιτρέπομεν τὴν τούτων λῆψιν.

† ἐνταγιατικῶν.

β. Ἱκανοῦσθαι οὖν τῷ μὲν κριτῇ διακελευόμεθα ἐν ἐκείνοις, οἷς ἐκ τῆς βασιλικῆς εὐσεβοῦς χειρὸς, καὶ τῆς τοῦ προσόδου αὐτοῦ παροχῆς: τοῖς δὲ τῇ ὑπηρεσίᾳ αὐτοῦ ὑποτεταγμένοις, νοταρίοις τε καὶ ὑπουργοῖς, ἐξ ὧν ὑπὲρ τῶν ἐγγράφων κρίσεων λαμβάνουσιν ἐξ ἐκείνων, οἱ τὴν νικῶσαν ἐπιφερόμενοι ψῆφον, κρίσεσιν ἐγγράφοις κατοχυρῶσαι προῄρηνται. οὕτω γὰρ καὶ ὁ ἀκροατὴς ἐπιπονώτερον πρὸς τελείαν ἀπόφασιν τῶν ζητουμένων διαναστῇ, οὐκ ἔσται ἄλλος αὐτοῖς πορισμὸς, εἰ μὴ ὁ ἀπὸ συντελείας τῆς δίκης. εἰ δ᾽ ἂν μίαν ἀπόφασιν ἐφ᾽ ἑκάστῃ ἡμέρᾳ καὶ κρίσιν ποιήσηται ὑπὲρ τῶν τ ΝΝ, πάντως δὲ ὅλου τοῦ ἐνιαυτοῦ κομιεῖται κέρδος.

CONSTANTINI NOVELLA IX.

DE CONSVETVDINIBVS.

Iubemus, ne cognitores lucrum aliquod commune cum notarys aut eorum hominibus percipiant, neue sportularum participes sint: sed ys dumtaxat, qui iudicum officys subseruiunt in faciundis itineribus, pro administrationis proposita ratione perceptionem horum cõcedimus. I.

Itaque iudicem contentum ÿs esse iubemus, quæ ab imperatoris pia manu accipit, adeoque reditus sui præstatione: subditos autem ministerio ipsius, tam notarios, quam ministros ceteros, ÿs; quæ pro iudicÿs in scripta redactis ab illis accipiunt, qui sententiam uictricem consequuti, scriptis iudicÿs munire se cupiunt. Sic enim licet auditor studio maiori ad definitiuam sententiam in rebus controuersis properet, nullum alium fructum capient, quam ex consummatione litis prouenientem. Quod si sententiam unam quolibet die protulerit in caussis CCC solidos excedentibus, omnino lucrum integri anni feret. II.

III. Neque uero confusam in his ei, modoque carentem licentiam concedimus, sed pro quantitate litis etiam merces iudicij scriptura comprehensi constituatur. Quapropter in caussa XXXVI solidorum, sex * milia litis uictorem, qui iudicium scriptis comprehensum accipit, soluere iubemus. In una uero libra, uel duabus, uel tribus, solidū unum. In libris IIII, uel V, uel VI, solidos duos. In VII, uel VIII, uel IX libris, solidos III. In libris X, uel XI, uel XII, solidos IIII. In maiore summa, quantacumque sit, usque ad centenarium, solidos V, non amplius. atque hæc in iudicijs, ubi partitiones sæpenumero, uel restitutiones sequuntur. In quibus autem particularis diuisio, uel mandata, uel notationes quarumdam forte depositionum, aut cognitionis alicuius uersantur, quæ tamen ad impuberes spectāt: in talibus non amplius uno solido præstetur, licet ipsa summa XII libras & centenarium excedat. quin potius minus etiam solido, pro ratione summæ propositæ, ut in libra qualibet milia computētur, & quod ex ijs colligitur, notarijs ac ministris iudicis sufficiat.

* de hac moneta uide quid supra dictum ad nouellā V.

IIII. Ministri iudicum, qui ab eis aliquo mittuntur, præter alia, quibus fruuntur, a fossatis scilicet excusati, & immunes a militia; sportularum quoque commoda percipiāt, ut ex ijs quantum satis est adquirentes, hospitijs religiosas domos, & monasteria, & metropoles non grauent, nec ipsi quoque ceteris accedant, ad magis onerandum eos nouo quorundam more, quorum est hospitia præbere: sed ipsi quidem suis ex lucris, quæ faciunt, emant uictum; iudices autem ubere necessariarum rerum suppeditatio-

V. ne fruantur. Ceterum modus perceptionis sportularum statuatur his non pro quantitate prædiorum uel rerum, quæ redduntur: sed pro ratione laboris, & moræ tum temporis, tum ipsius itineris. Quippe si, uerbi caussa, semel missus X. libras alicui reddat, uel in prædijs, uel alijs rebus: sufficiat ei, si solidum unum accipiat. Sin decies profectus, multas molestias pertulit, itinere longo confecto, nequaquam onerosum est, hunc non solidum unum dumtaxat consequi, (quando iudicibus hinc lucrum uenire prohibitum est) sed pro ratione laboris eorum, qui mittuntur, etiam sportularum æstimationes fieri. Nam si caussa quædam grauis & multi laboris esse comperta fuerit, non amplius tribus solidis in una libra nomine sportularum exigi debere sancimus. ita tamen, ut sportularum præstatio XXIIII solidos non excedat, licet exactio maxime laboriosa sit, & quæ reddantur, summam centum librarum superent. In minori uero quantitate permittimus iudicibus, ut merce-

Οὐκ ἐν τούτοις δὲ διακεχυμένην αὐτοῖς καὶ ἀδιάστατον παρέχομεν ἄδειαν, ἀλλὰ πρὸς τὴν τῆς δίκης ποσότητα καὶ τὸν μισθὸν διατυποῦσθαι τῆς ἐγγράφου κρίσεως. ἐπὶ ὑποθέσει οὖν λς NN, ἓξ μίλια τὸν δικαιούμενον καὶ κρίσιν ἔγγραφον λαμβάνοντα κατατίθεσθαι κελεύομεν. ἐπὶ δὲ μιᾶς λίτρας, ἢ δυοῖν, ἢ γ, N ἕν. ἐπὶ δὲ δ, ἢ ε, ἢ ς, NN β. ἐπὶ δὲ ζ, ἢ η, ἢ θ, NN γ. ἐπὶ δὲ ι, ἢ ια, ἢ ιβ, NN δ. ἐπὶ δὲ πλείονος ποσότητος, ὅση δή ποτ᾽ ἐστι, μέχρι κεντηναρίου, NN ε, καὶ μὴ περαιτέρω. ταῦτα ἐν κρίσεσιν, ὅπου μερισμοὶ πολλάκις, ἢ ἀποδόσεις ἐπακολουθοῦσιν. ἐν οἷς δὲ μερικὸς μερισμὸς, ἢ ἐντάλματα, ἢ σημειώσεις καταθέσεων τινῶν εἰκότως, ἢ διαγνώσεως, ἀφηλίκων μέντοιγε: ἐν τοῖς τοιούτοις μὴ πλέον τοῦ N παρέχεσθαι, κἂν ιβ λιτρῶν ἡ ποσότης, καὶ ὑπὲρ κεντηναρίου ἐστίν. ἧττον δὲ τοῦ νομίσματος μᾶλλον, κατὰ τὴν ἀναλογίαν τῆς ὑποκειμένης ποσότητος, ὡς εἶναι μίλια ἐφ᾽ ἑκάστῃ λίτρᾳ, καὶ τὸ ἐκ τούτων συναγόμενον ἱκανὸν ἔστω τοῖς νοταρίοις καὶ τοῖς τοῦ κριτοῦ ὑπουργοῖς. γ

Οἱ πρεσλευσιμαῖοι καθυπουργοῦντες τοῖς κριταῖς, μετὰ τῶν ἄλλων, ὧν ἀπολαύουσι, φοσσάτων τε ἐξκουσσείας, καὶ πολέμων ἀπηλλαγμένοι, ἐχέτωσαν καὶ τὰ τῶν ἐκπραγματικῶν, ἵνα ἐκ τούτων τὰ διαρκῆ ποριζόμενοι, μὴ βαρύνωσιν ἐν * τοῖς πλήκτοις τοὺς εὐαγεῖς οἴκους, καὶ τὰ μοναστήρια, καὶ τὰς μητροπόλεις, μηδὲ προστίθενται καὶ αὐτοὶ, εἰς μείζονα καινοτομίαν τῶν τὴν ὑποδοχὴν ποιουμένων: ἀλλὰ αὐτοὶ μὲν ἐξ ὧν κερδαίνουσιν, ὠνοῦνται τὴν χρείαν, οἱ δὲ κριταὶ ἄφθονον ἔχοιεν τὴν τῶν ἀναγκαίων παροχήν. δ

* τοῖς ἀπλήκτοις.

συμμετρεῖσθαι δὲ τούτοις τὴν τῶν ἐκπραγματικῶν λῆψιν, οὐ πρὸς τὴν ποσότητα τῶν ἀποδιδομένων κτημάτων ἢ πραγμάτων: ἀλλὰ πρὸς τὸν κόπον καὶ τὴν τριβὴν τοῦ τε χρόνου καὶ τῆς ὁδοιπορίας. εἰ γὰρ λόγου χάριν ἅπαξ πεμφθεὶς, ι λιτρῶν † ἀποδίδωσιν ἐπινήσαντι κτημάτων ἢ πραγμάτων, ἓν N λήψεσθαι τοῦτον ἱκανὸν ἔστω. εἰ δὲ δεκάκις παρελθὼν, πολλὰ συνετρίβη, τῆς ὁδοιπορίας μακρᾶς οὔσης, οὐκ ἔστι φορτικὸν τοῦτον οὐχ ἓν N λαμβάνειν, (ἐπεὶ εἰς κέρδος τῶν κριτῶν αὐτὰ ἔρχεσθαι ἀπηγορεύθη) τυποῦσθαι δὲ πρὸς ἀναλογίαν τοῦ κόπου τῶν πρεσλευσιμαίων, τὰς τῶν ἐκπραγματικῶν ἐπιτιμήσεις. εἰ γὰρ μοχθηρά τις ὑπόθεσις καὶ πολύκοπος εὑρεθείη, θεσπίζομεν μὴ πλέον τῶν γ NN ἐπὶ τὴν λίτραν ἐκπραγματικὸν ἀπαιτεῖσθαι. μὴ ὑπερβαινούσης μέντοι τῶν κδ NN τῆς τοῦ ἐκπραγματικοῦ παροχῆς, κἂν εἰ τὰ μάλιστα ἡ εἴσπραξις πολύμοχθος εἴη, καὶ τὰ ἀποδιδόμενα ὑπὲρ ρ λιτρῶν τυγχάνωσιν. ἐν ἥττονι δὲ ποσότητι τοῖς τὰς κρίσεις λαχοῦσιν ε

* ἀπέδωκεν.

ἐφίεμεν συνθμᾶσθαι τῷ κόπῳ τὴν λῆψιν. ὥστε ἢ α, ἢ β, ἢ γ ΝΝ, πρὸς τὴν τῆς ὑποθέσεως δυσχέρειαν προσεφιέναι τοῖς περιελευσιμαίοις. καὶ ταῦτα ἐν οἷς ἀπόδοσις τελεία ἐξ ἀποφάσεως ἐξακολουθεῖ. ἐπὶ δὲ τῆς ἐπὶ νομὴν παραδόσεσι, μηδὲν
* ἐκταγιατικοῦ. καθόλου ὑπὲρ * πηγατικοῦ παρέχεσθαι. εἰ δὲ ἅπαξ ἢ δὶς ἀφίκετο, μὴ πλέον τοῦ Ν ὡς τὸ πολὺ δίδοσθαι αὐτῷ, κἂν ἐκ πολλῆς ποσότητος εἴη τὸ ἀποδιδόμενον.

ΝΕΑΡΑ' Ι ΚΩΝΣΤΑΝΤΊΝΟΥ.

ΠΕΡΙ' ΑΝΟΙ'ΞΕΩΣ ΔΙΑθηκῶν.

α. Ἐπειδὴ αἱ διαθῆκαι παρὰ τῷ κοιαίστωρι ἀνοίγονται, τοῖς ὑπουργοῦσιν ἐν τῇ ἀνοίξει καγκελλαρίοις ἐπί τε τῇ συναγωγῇ τῶν μαρτύρων καὶ τῶν ἐξ ἀδιαθέτου κληρονόμων, ἢ καὶ ληγαταρίων, καὶ τῶν δὲ ἑτέρας χρείας ὀφειλόντων παρεῖναι, παρέχεσθαι Ν ἓν τῷ πρωτοκαγκελλαρίῳ, ἕτερον Ν α καὶ τοῖς δυσὶ νοταρίοις, ἀνὰ ἥμισυ τοῦ Ν.

β. Ἐλάττονος δὲ τῶν δύο λιτρῶν ἀριθμουμένης τῆς ὑποστάσεως, ὑπεξαιρουμένης μέντοι τῆς τιμῆς τῶν ἴσως ἐλευθερουμένων, πᾶσι τούτοις παρέχεσθαι Ν ἕν. Ἐὰν δὲ τὰ ρ νομίσματα μόνα ἐπισυνάγεται, μηδὲν δίδοσθαι.

γ. Εἰ δὲ ὑπὲρ τὰς γ λίτρας ἔχει τὰ τῆς περιουσίας, καὶ τὰ κληρονομήσαντα πρόσωπα ἀτελοῦς ἡλικίας ᾖ, καὶ χήρα μήτηρ, ἢ μάμμη συγκληρονομοῦσι, ὅσοις τούτων ἔλαττον ρ ΝΝ ἐκ τοῦ κλήρου ἀπέρχεται, μηδὲν συντελεῖν εἰς τὴν τετυπωμένην συνήθειαν, ἀλλ' ἐκ τῆς ἀλλαχοῦ ὁπουδήποτε ἀφορισθείσης περιουσίας ὑπὲρ τὰ ρ ΝΝ συναγομένης, τὸ προδιορισθὲν ποσὸν ἀναλόγως κατὰ τὴν προγεγραμμένην ὑποτύπωσιν καταβάλλεσθαι. ὁ δὲ πλειότερον τῶν διωρισμένων λόγων ἀπαιτῶν, τὸ τριπλοῦν ἀποδώσει.

ΝΕΑΡΑ' ΙΑ ΚΩΝΣΤΑΝΤΊΝΟΥ.

ΠΕΡΙ' ΤΩ͂Ν ΣΥΝΗΘΕΙΩ͂Ν τοῦ σκρίβα.

Ἐπειδὴ ὁ σκρίβας οὐκ ἔστι δίκαιος δικαστής, ἀλλὰ καὶ τῶν θεματικῶν κριτῶν, καὶ αὐτῶν τῶν ἀντιγραφέων ὑποβέβηκε, καὶ σχεδὸν ἡ πᾶσα φροντὶς τῶν ἀφηλίκων, καὶ ὁ περὶ τῶν πραγμάτων αὐτῶν κίνδυνος ἐκ μεγάλης ἀμελείας εἰς αὐτὸν ἀναφορᾷ, δεῖ καὶ αὐτὸν μετὰ τῶν ὑπηρετουμένων αὐτῷ, ἐν ταῖς αὐτοτελέσι καὶ ἀπηρτισμέναις ὑποθέσεσιν, ἄτερ μερισμοῖς καὶ ἀπαιτήσεσι, καθ' ἑκάστην λίτραν ὁμοίως ἀνὰ β ΝΝ λαμβάνειν.

ut mercedem cum labore trutinent, & apparitoribus itinera facientibus uel unum, uel duos, uel tres solidos, pro difficultate caussæ, concedant. atque hæc in ijs, in quibus integra restitutio de iudicis decreto sequitur. At propter immißiones in poßeßionē, nihil in uniuersum sportularum nomine præstetur. Quod si semel aut bis profectus est, ut plurimum ei non amplius uno solido numeretur; licet id quod redditur, magnæ quantitatis sit.

CONSTANTINI NOVELLA X.

DE TESTAMENTIS APERIENDIS.

Quoniam testamenta apud quæstorem aperiuntur, & in eorum apertione cancellarij seruiunt, tam in colligendis testibus, & heredibus ab intestato succedentibus, aut etiam legatarijs, quam ceteris, qui ob alias caussas atque negotia debent adesse; solidus unus cācellario principi præstabitur, & unus item duobus notarijs, dimidius scilicet singulis. I.

Quod si patrimonium minus sit duabus libris, excepto tamen pretio mancipiorum, quæ forte liberātur; omnibus hisce solidus unus præstabitur. Si uero centum dumtaxat solidorum summa cogitur, nihil detur. II.

At si patrimonium supra tres libras continet, ac persona, quarū est hereditas, ætatis necdum adultæ sunt, & mater uidua uel auia simul hereditatem adeunt: quotquot horum minus centum solidis ex hereditate obuenit, ij nihil ad sancitam consuetudinem conferant; sed ex destinatis alio bonis, quocumque tamdem id fuerit, quæ ultra centū solidos colliguntur, quantitas illa prius definita, proportionis habita ratione, secundum formam antea descriptam, soluetur. Quod si quis amplius, quam statutū sit, exigit; triplum restituet. III.

CONSTANTINI NOVELLA XI.

DE CONSVETVDINIBVS scribæ.

Quoniam scriba non est legitimus iudex, sed ordine tam delegatis iudicibus, quam ipsis etiam rescriptoribus inferior, ac propemodum omnis minorum cura, periculumque de negotijs & rebus eorum, ad ipsum ex magna negligentia respicit: oportet eum quoque cum illis, qui ei subseruiunt, in absolutis instructisque caußis, sine diuisionibus, & petitionibus, consimiliter in singulas libras solidos binos accipere.

nisi forte minus cētum solidis, quemadmodum antea diximus, in bonis & patrimonio quis habeat. Nam de his omnino nec hunc, nec alium quemquam quidquam accipere debere statuimus, sicuti nec in * descriptionibus. quippe mercedem hæ nullam habere debent. nisi forte facultates adsint. Tunc enim pro ratione scribæ, ac officialium ei ministrantium, modica quadam merces erit suppeditanda.

* inuentarijs.

εἰ μὴ ἄρα ἔλαττον τῶν ρ νομισμάτων, καθ' ὃν προειρήκαμεν τρόπον, ἔχῃ τὰ τῆς περιουσίας. ἐκ τούτων γὰρ παντελῶς οὐδὲ αὐτὸν, οὐδὲ ἕτερον τινὰ λαμβάνειν ὁρίζομεν, ὥσπερ οὐδὲ ἐν ταῖς ἀπογραφαῖς. ἄμισθοι γὰρ αὗται ὀφείλουσιν εἶναι. εἰ μὴ ἄρα εὐπορία ἐστί. τηνικαῦτα γὰρ πρὸς ἀναλογίαν τοῦ γραφέως καὶ τῶν ὑπηρετούντων ταξεωτῶν, μέτριον τινὰ πορίζεσθαι τὸν μισθόν.

CONSTANTINI NOVELLA XII.

DE † HIS QVI CAEDES COMMITTUNT gladio, uel magnis fustibus, uel lapidibus, idque consulto.

† Huius nouellæ correctionem reperies in tertia constitutione Manuelis Comneni.

*Lex * Mosis pronuntiat, homicidam e sacrario abripiendum esse. Nec item † Iustinianus ullum relinquit asylum adulteris, & uirginum raptoribus, & furibus, & homicidis. Hoc ergo qui cognoscamus? qui magnum illud templum asyli locum statuit * * * Hæc igitur iam sancire decreuimus, prioris quidem legis seueritatem cum benigniore decretorum ecclesiasticorum censura commutātes; dissolutionem uero licentiamque delinquentium, quæ illam ipsam ob caussam facilem imitationem habet, non pœnarum dumtaxat uinculo sanantes; uerumetiam patrimonij prope totius ademtione, quod homicida possidet: ipsis quidem homicidis de salute, reipublica uero, ne quis simili quodam feruore rapiatur, utili consilio prospicientes: ut utraque ratione tum ius ipsum saluum sit, tum canonum ecclesiasticorum ingens atque diuinū priuilegium conseruetur; adeoque cautionibus amborum imitationis frequentia coërceatur. Quod igitur attinet uitæ rationem, quam agere homicida debet; ita ordinari hæc iubemus, uti canones accurate statuunt. Nos autem hac eum constitutione perpetuo damnatum exsilio pellimus eo loco, quo piacularis illius cadis facinus admissum fuit: partim ut hoc exsilio puniatur is, qui deliquit; partim ut efficiatur, ne tristitia maior & doloris incrementum occisi propinquis accidat. quod utrimque fortassis haud est inutile, ne umquam eius adsiduo conspectu, qui dolorem attulit, & uita defuncti memoria, sponte concitati ad ultionem necessarij, malum malo sanare conentur, & casum homicidij duplicem faciant. Quapropter omnino damnatus illinc homicida perpetuum exsulet, nec umquam istic uagetur, aut in ea terra domicilium habeat, qua oris rictu*

* Deuter. 19.

† Nouel. 17. cap. 7. quæ & l. 2. est, C. de mād. princ.

ΝΕΑΡΑ' ΙΒ ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ.

ΠΕΡΙ' † ΤΩ͂Ν ΦΟΝΕΥΟ'ΝΤΩΝ μετὰ ξίφους, ἢ ξύλων μεγάλων, ἢ λίθων, ἐκ προνοίας.

† ταύτης δὲ παρὰ τοῦ ἀνορθώσιν εὑρήσεις ἐν τῇ τρίτῃ τῶν διατάξεων τοῦ κομνηνοῦ μανουήλ.

Ἡ τοῦ Μωσέως νομοθεσία ἀποφαίνεται, τὸν ἀνδροφόνον ἐκ τοῦ θυσιαστηρίου λήψῃ. ἀλλὰ καὶ Ἰουστινιανῷ οὐκ ἔστιν ἀσυλίας τόπος μοιχοῖς, καὶ παρθένων ἅρπαξι, καὶ φωρσὶ, καὶ ἀνδροφόνοις. πῶς οὖν τοῦτο γνῶμεν; ὁ τὸν ναὸν τὸν μέγαν ἀσυλίας τόπον διορισάμενος * * * ταῦτα μὲν οὖν νομοθετεῖν προῃρήμεθα νῦν, τὸ μὲν αὐστηρὸν τῆς πρὸ ταύτης νομοθεσίας τῇ φιλανθρώπῳ τῶν ἐκκλησιαστικῶν θεσμῶν ἐπιτιμήσει μεταβάλλοντες, τὸ ἀπόλυτον δὲ καὶ ἄνετον τῶν ἐξαμαρτανόντων, καὶ διὰ τοῦτο καὶ πρὸς μίμησιν εὔκολον, οὐ μόνον τῷ καταδέσμῳ τῶν ἐπιτιμίων ἐξιώμενοι, ἀλλὰ καὶ τῆς προσούσης τῷ φονευτῇ περιουσίας μικροῦ δεῖν ἐκπτώσει. τοῖς μὲν ἀνδροφόνοις αὐτοῖς σωτηρίαν, τῷ κοινῷ δὲ τῆς πολιτείας τὸ μὴ πρὸς τὸν ὅμοιον τινὰ ζῆλον ἐλθεῖν, κατὰ τὸ λυσιτελὲς προμηθούμενοι. ὡς ἂν δὴ ἀμφοτέρων καὶ τὸ δίκαιον σώζηται, καὶ τὸ τῶν * ἐκκλησιῶν μέγα καὶ θεῖον συντηρῆται προνόμιον, καὶ τὸ πολὺ τῆς μιμήσεως ἀναστέλληται ταῖς τούτων ἀσφαλείαις. Τὰ μὲν οὖν περὶ τῆς τοῦ φονέως διαγωγῆς, καὶ τῆς εἰσέτι βιώσεως, καθὼς ἡ κανονικὴ ἀκρίβεια τυπώσει, διοικεῖσθαι κελεύομεν. ἀειφυγίᾳ δὲ αὐτὸν διὰ τῆσδε τῆς νομοθεσίας καταδικάζομεν τοῦ τόπου, καθ' ὃν γέγονεν ἡ πλημμέλεια τοῦ φονικοῦ μιάσματος. τοῦτο μὲν, κολαζούσῃ τὸν ἁμαρτήσαντα: τοῦτο δὲ, μὴ πλείονα τὴν ἀνίαν καὶ τοῦ ἀλγήματος αὔξησιν τοῖς τῷ πεφονευμένῳ διαφέρουσι κατεργαζομένῃ. ἴσως δὲ καὶ ἀμφοτέρων οὐκ ἀσυμφόρως, ὡς ἂν μήποτε τοῦ λελυπηκότος συνεχεῖ ὁράσει, καὶ τῇ τοῦ † προβεβιωκότος μνήμῃ εἰς αὐθαίρετον ἐκδίκησιν οἱ * προσήκοντες παρορμώμενοι, κακῷ τὸ κακὸν ἐξιάσασθαι πειραθῶσι, καὶ διπλοῦν ἐργάσωνται τὸ πτῶμα τῆς μιαιφονίας. ἔστω μὲν οὖν ἀειφυγίᾳ πάντως ὁ φονεὺς ἐκεῖθεν καταδικαζόμενος, καὶ μηδέποτε περινοστῶν † ἐκεῖ, ἢ αὐλιζόμενος ἐν τῇ γῇ, ἣ ἔχανε τὸ τοῦ ἀδι-

* ἐκκλησιαστικῶν.

† προαποβιωσάντος.

* προσήκοντες αὐτῷ.

† ἐκεῖσε.

τοῦ ἀδίκως ἀναιρεθέντος ἀδελφοῦ ὑποδέξασθαι αἷμα. καὶ τοῦτο πρῶτον μετὰ τὴν ἐκκλησιαστικὴν ἐπιτίμησιν τὸ κατάκριμα δεχέσθω. πρὸς τούτῳ δὲ καὶ τῆς οἰκείας ἔκπτωσιν ὑφιστάσθω περιουσίας, οὐ τῷ δημοσίῳ προσκυρουμένης. εἰ γὰρ ὕπεστι γαμετὴ τῷ φονευτῇ, τήν τε προῖκα δεῖ καὶ τὰ οἰκεῖα πάντα κομίζεσθαι ταύτην, καὶ ἔτι τὴν πρὸ τοῦ γάμου δωρεάν. εἰ τύχῃ δὲ καὶ θεώρετρον ὑποσχεθεῖσα, ἢ ἄλλο τι, καὶ τούτου πάντως ἔχειν τὴν ἀνάληψιν καὶ τὴν κυριότητα, παίδων μὴ ὑπόντων. εἰ δὲ ὕπεισι παῖδες, τῆς χρήσεως τῶν γαμικῶν κερδῶν ἀπολαύειν αὐτήν, πασῶν τῶν ἐπὶ τούτοις νομικῶν παρατηρήσεων συντηρουμένων: τῶν δὲ παίδων ἐκ τῆς ἄλλης πατρῴας περιουσίας τῷ τρίτῳ κληροδοτουμένων. καὶ εἰ μὲν ὁ φονεὺς οἰκείᾳ προθέσει, ἢ τῇ τῶν κανονιζόντων * αὐτὸν συμβουλίᾳ καὶ δοκιμασίᾳ πρὸς τὸν μοναχικὸν (τὸ † πρότερον ἀποσκευαζόμενος μῦσος) μετέλθῃ βίον, λαμβάνειν τὸ μοναστήριον τὸ τρίτον μέρος τῆς αὐτοῦ περιουσίας, τοῦ λοιποῦ τρίτου μέρους τῇ γυναικὶ καὶ τέκνοις φυλαττομένου τοῦ τελευτήσαντος, εἰς μικρὰν παραμυθίαν τῆς ἑαυτῶν δυσκληρίας. εἰ δὲ οὐχ ὕπεισι τῷ πεφονευμένῳ παῖδες, τῇ γυναικὶ καὶ τοῖς ἀνιοῦσιν ἐξ ἴσου διαιρουμένου τοῦ τοιούτου τρίτου. γυναικὸς δὲ * τοῦ βίου προαπελθούσης, καὶ παίδων ὄντων, τούτους προτιμᾶσθαι τῶν ἀνιόντων. εἰ δὲ † μὴ παῖδες, μήτε γυνή, μήτε ἀνιόντες εἰσὶ τῷ ἀναιρουμένῳ, τοὺς ἄλλους ἐκ νόμου καλουμένους συγγενεῖς, καὶ πρὸς τὴν δήλωσιν μὴ ῥᾳθυμήσαντας, τοῦ ἀδικήσαντος λαμβάνειν τὸ τρίτον. εἰ δὲ πρὸς * τὸν μοναδικὸν ὁ φονεὺς † μετέλθῃ βίον, οὐ τὸ τρίτον, ἀλλὰ τὸ δίμοιρον * τῆς ἑαυτοῦ περιουσίας κατὰ τὴν εἰρημένην διάταξιν τῷ τοῦ πεφονευμένου κληροδοτεῖσθαι μέρει. καὶ † πρὸς τούτῳ, μηδέποτε μηδένα τοιούτῳ ἐγκλήματι ἑαλωκότα, ἢ πολιτικὴν ἢ ἄλλην τὴν οἱανοῦν * πρᾶξιν μεταχειρίζεσθαι, μηδὲ θείας ἀντιγραφῆς † ἀξιούμενον: ἀλλ' εἶναι παντοίως ἀτίμους, * οἷς τὸ ζῆν μόνον φιλανθρώπως συγκεχώρηται. πλὴν τοὺς μὲν περιουσίᾳ κακίας μελέτην θεμένους τὴν τοῦ πλησίον σφαγήν, καὶ αὐτὸ τοῦτο προευτρεπισαμένους καὶ παρασκευασαμένους ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ψυχῆς εἰς τὸν τοῦ ἀδελφοῦ θάνατον, πάντως ἀποκείρεσθαι, καὶ μοναχοῖς ἐγκαταλέγεσθαι: καὶ οὐ μόνον τὸν ἐπ' αὐτοῖς δοκιμασθέντα χρόνον τῆς μετανοίας, ἀλλὰ καὶ τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν ἐν μοναστηρίῳ διοικονομεῖσθαι. τοὺς δὲ ἄλλως ἑκουσίως μὲν ἀνῃρηκότας, προπετείᾳ δὲ καὶ συναρπαγῇ ἀλογίστου θυμοῦ, οὐ μελέτῃ καὶ προπαρασκευῇ καὶ προβουλίοις τὰ τῆς μιαιφονίας ἐπιδεξαμένους, τὴν μὲν ἀειφυγίαν πρὸς ἅπασι τοῖς ἄλλοις ὑφίστασθαι, οὐ μέντοιγε τὸν μονήρη βίον αἱρεῖσθαι καταναγκάζεσθαι.

* αὐτὸν συμβ.
† πρῶτον.
* τὸν βίον προεξελθούσης.
† μήτε παῖδ.
* τὸν μοναχικόν.
† μετέλθοι.
* διαλαχεῖν αὐτῷ μέρος.
† πρὸς τούτοις.
* ἀρχὴν ἢ πρᾶξιν.
† ἀξιοῦσθαι.
* οἷς καὶ τό.

diducto fratris iniuste necati sanguinem excepit. Atque hanc adeo primam secundum ecclesiasticam censuram cōdemnationem ferat. Praeterea uero facultatum suarum amissionem sustineat, quae tamen fisco non addicentur. Nam si uxor sit homicidae, non dotem illa solum, cum rebus suis omnibus, auferet; uerumetiam donationem propter nuptias. Quod si theoretrum quoque promissum ei forte fuerit, aliudue quiddam; etiam illius omnino recuperationē & proprietatem habeat, si liberi nulli exstēt. Iis uero superstitibus, nuptialium lucrorum usumfructum percipiat, obseruatis in hoc omnibus legū praescriptis: quum interim liberi reliquorum paternorum bonorum in trietem heredes sint. Ac si quidem homicida motu proprio, uel ipsum in uiam reuocātium consilio & adprobatione, commisso prius scelere deposito, solitariam ad uitam transierit; tertiam bonorum eius partem monasterium accipiet, reliquo triente uxori & liberis interfecti, ad exiguum calamitatis corū solatium, reseruato. Quod si nulli sint interfecto liberi, pars haec tertia bonorum uxori & adscendentibus ex aequo diuidetur. Vxore uero iam ante uita defuncta, liberis exstantibus; adscendentibus illi praeferantur. Quod si nec liberi, nec uxor, nec parentes interemto superstites sint: cognati ceteri, qui ex lege uocantur ad successionem, nec in detegenda caede negligentes fuerūt, trientem bonorum auctoris iniuriae capiant. Si uero solitariam uitam homicida non fuerit amplexus, non triens, sed bes facultatum ipsius secundum indicatam constitutionem parti eius, qui occisus est, tribuatur. Praeterea nullus umquam huiusmodi criminis conuictus uel ciuilē, uel alium quemcumque magistratum actumue gerat & obeat, ne quidem si sacrum rescriptum impetrauerit: sed infames omnino sint, ueluti quibus uita dumtaxat benigne condonata fuerit. Ii tamen, qui ex abundantia quadam malitiae proximi caedem animo meditato perpetrarunt, & in hoc ipsum instructi, paratique adeo fuerunt in necem fratris, ipso cum anima sua detrimento atque pernicie; citra exceptionē tondeantur, & monachorum coetibus adgregentur; neque tantum ad tempus paenitentiae praestitutum, uerum & per omnem uitam suam in monasterio gubernentur. At uero qui aliter caedem admiserunt, sponte quidem illi, sed temeritate quadam, & ira ratione carētis obreptione; quiq; non meditati, non prius instructi, nō deliberationibus ante habitis homicidiū perpetrarūt; perpetuo quidē exsilio praeter alia subijcientur, solitariā tamē uitam amplecti nō cogētur.

SCHOLION.

Ceterum discrimen homicidiorum, quæ aliter accidunt, in Basilicorum libris reperies.

CONSTANTINI NOVELLA XIII.

EX VNIONIS TOMO, QVI FActus est sub Constantino in Porphyra nato, & annis singulis in suggestu mense Iulio legitur.

Decernimus sententia iudicioque communi, ne ab hoc anno præsenti, (qui est annus mundi IↃↃCIↃ CCCC XXVIII, indictione VIII) quartas nuptias ullus contrahat, sed ut omnino ea reyciātur. Quod si quis ad eiusmodi cōiugium progredi decreuerit, ab omni conuentu ecclesiastico exclusus esto, & ab ipso in sacrosanctam ædem ingressu tantisper alienus, donec in hoc coniugio permanserit. Hoc enim sanctis quoq; patribus, qui ante nos uixere, uisum fuit. Ac nos sane sententiam reddentes apertiorem, eum uelut alienum a republica Christianorum abdicamus. Et in hunc quidē modum de quarto matrimonio. Ceterū ut & illa, quæ ad alia matrimonia pertinent, honestius constituātur, & cōciliationem uitæ Christianorum non indignā habeāt: de tertio quoq; matrimonio definimus, ne simpliciter atque temere perficiatur. Nam permissum id quidem est a patribus, uelut inquinamentum quoddam; quum necdum id temporis, uti nunc, res citra pudorem perageretur, ac late diffusa foret; sed ita cōtingeret, ac si quis in domum forte delatus, sordes in angulo quodam sitas conspiciat. Nunc uero, quum spatium sibi quoddam audaciæ sumserit, & magnam ad frequentiā progrediendo, nihil turpitudinis habere, nihil sordium existimetur: recte uisum est re purgandum, sicuti nec fœdum aliquid, non iam amplius in angulū reiectum, sed per ædes ipsas diffusum, ullo modo relinquimus; sed expurgamus, & nauseā ex eo prouenientem remouemus. Itaq; tam imbecillitati humanæ, quā uitæ Christianorum obsecundando nos accommodantes, hoc in tertijs nuptijs seruandum statuimus, ut si quis ad annum quadragesimum prouectus, & neque natura motus reuerentia, neque uitæ decentis & honestæ, quæ a Christianis requiritur, habita ratione; sed uitiosa tantū libidine uictus, ad tertium se matrimonium proiecerit: omni accuratione ac diligenti obseruatione adhibita perceptionis sacramenti nos sanctificantis in quinquennium exsors esto, neq; de hoc tempore quid ullo modo decidatur. Nam qui post annū ætatis quadragesimū in ecclesia Christi uel esse, uel appellari amat inquinamentum, quodnam in corrigenda uita studij certum præbebit argumētum, propter quod sacramentorū sanctificantium

perceptionis

ΣΧΟΛΙΟΝ.

Τὴν δὲ διαφορὰν τῶν ἄλλως προβαινόντων φόνων, ἐν τοῖς ἑξηκονταβίβλοις εὑρήσεις.

ΝΕΑΡΑ ΙΓ ΚΩΝΣΤΑΝΤΙΝΟΥ.

ΕΚ ΤΟΥ ΤΟΜΟΥ ΤΗΣ ΕΝΩΣΕΩΣ, γενομένου ἐπὶ Κωνσταντίνου τοῦ πορφυρογεννήτου, ὃς καὶ ἐτησίως ἐπ' ἄμβωνος κατὰ τὸν Ἰούλιον μῆνα ἀναγινώσκεται.

Ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει ἀπὸ γε τοῦ παρόντος ἔτους (ὅ ἐστιν ἔτος ς υ κ η, ἐπινεμήσεως η) τέταρτον γάμον μηδένα τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς. καὶ εἴτις ἐπὶ τοιοῦτο ἐλθεῖν συνοικέσιον προθυμηθείη, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις οὗ ἐπιμένῃ τῷ συνοικεσίῳ. τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε πατράσι. καὶ ἡμεῖς δὲ τὴν γνώμην ἐκδηλοτέραν ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς χριστιανικῆς πολιτείας ἀποκηρύττομεν. ἀλλ' οὕτω μὲν ἐπὶ τοῦ τετάρτου γάμου. ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προσαγωγήν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μηδὲ ἁπλῶς μηδὲ ὡς ἔτυχεν ἐπιτελεῖσθαι αὐτόν. καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς πατράσιν, οὔπω τότε καθὼς νῦν γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως, οὐδ' εἰς πλάτος ἐξηπλωμένου, ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ περιπεπτωκὼς, ἐν γωνίᾳ παρίδῃ πολλάκις κείμενον ῥύπασμα. νῦν δὲ ὅταν χώραν ἔλαβε παρρησίας, καὶ ὡς οὐδὲν ἔχον εἰς ἀσχημοσύνην οὐδὲ ῥυπαρὸν λογίζεται, ἐκ τοῦ προβῆναι εἰς πληθυσμόν: καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτόν, ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ περιῤῥιμμένον, ἀλλ' ἐπὶ τῆς οἰκίας ἐξηπλωμένον οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν. καὶ τῇ ἀνθρωπίνῃ συνυπείκοντες ἀσθενείᾳ καὶ τῇ χριστιανῶν ζωῇ, τοῦτο ἐπὶ τῶν τρίτων γάμων παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴ τις πρὸς τεσσαρακοστὸν ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιῤῥίψειε γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον. ὃς γὰρ μετὰ τὸ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ χριστοῦ ἐκκλησίᾳ εἶναι ἢ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως

τῶν ἁγιασμάτων αὐτῷ συμμεθήσεται; ἀλλὰ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν, ὡς δυνατὸν, ἀνακάθαρσιν. ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἀγαγεῖν προῃρημένοις γυναῖκα. ἐπεὶ ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. λίαν γάρ ἐστιν ἄδικον, τὸ μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς, καὶ ἄλυπον, καὶ ἀτάραχον, καὶ ὅσα τὸ ἀνθρώπινον καταλαμβάνει ἐκ τῆς † πολυπόνου τεκνώσεως. καὶ εἴ τις δὲ τριακοντούτης ὢν, καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων, τρίτῃ γυναικὶ συναφθείη, καὶ οὗτος * ἀσυγχώρητος μέχρι πενταέτους ἔτους τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔσται· διότι δῆλός ἐστιν ἐξ οὐδενὸς ἑτέρου ἀλλ' ἢ ὑπὸ ἀκρασίας κινούμενος, καὶ τοῦ δοῦλος εἶναι σαρκικῆς ἐπιθυμίας, ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς ἀπολαύσεως. ἅπαξ μὲν ἐν τῇ σωτηρίῳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσει, δεύτερον δὲ ἐν τῇ κοιμήσει τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ τρίτον ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ χριστοῦ καὶ θεοῦ ἡμῶν· διὰ τὸ καὶ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. εἰ δὲ παῖδες μὴ περίεισιν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τηλικαύτης συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται. ταῦτα μὲν καὶ περὶ τρίτου γάμου. οὐ μὴν οὐδὲ τὸν δεύτερον οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ προηγησαμένης λαθραίας φθορᾶς, ἀλλὰ νομίμους καὶ καθαρεύοντας τῶν τοιούτων μολυσμάτων, καὶ πορνικῆς ἀκαθαρσίας. εἴ τις οὖν τῶν εἰρημένων καταφρονήσας τύπων πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ δευτέραν συνέλθῃ, τοῦτον ἡ τοῦ χριστοῦ ἐκκλησία, ἡ καθαρὰ καὶ μηδένα σπίλον ἔχουσα ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐπιτιμίοις, οὐ πρὶν εἰς μετάληψιν τῶν θείων παραδέξεται μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον μάθῃ αὐτὸν ἀκριβῶς ἐκπληρῶσαι, (εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγει ἀναχώρησις) τουτέστι, μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος. ὁ δὲ τολμῶν ἱερεὺς παρὰ τὴν διατετυπωμένον

† πολυγόνου.

* ἀσυγχωρήτως.

perceptionis tempus ei minuendum sit? Quin ne postea quidem, quam ad puram hanc perceptionem admissus fuerit, ei licitum ac permissum erit, ut ad perceptionem hanc alio tempore accedat, quam in sola salutari Christi Deiq; nostri resurrectione, propter factam (quanta sane fieri potuit) ex praecedenti ieiuniorum temperantia repurgationem. Haec autem dicimus, quum nulli de prioribus matrimoniis exstant iis liberi, qui iam post annum aetatis quadragesimum uxorem tertiam ducere uoluerunt. Quippe si liberi sint, tertium eis coniugium permittendum non erit. Est enim sane quam iniquum, intempestiuae libidini patrem indulgere, nec liberis e prioribus matrimoniis susceptis prospici, ut securi sint, ut expertes maeroris, perturbationis, & aliorum, quae generi mortalium ex faecunda multorum liberum procreatione solent accidere. Quinetiam si quis annos triginta natus, & liberos ex priorib. coniugiis susceptos habens, uxori tertiae copuletur; & ipse citra ullam impetrationem ueniae perceptionis sacramentorum ad annum quartum exsors esto: quum satis pareat, eum alia nulla re, quam intemperantia motum, & quod carnalis libidinis mancipium sit, ad eiusmodi se matrimonium conferre. Itidem postea, quam mysteriorum perceptionem impetrauerit, ter duntaxat iis fruendi quotannis facultatem habebit: semel in salutari Christi atq; Dei nostri resurrectione, secundo in obdormitione immaculatae dominae nostrae deiperae, tertium natalicio die Christi Deique nostri: propterea quod in his quoq; ieiunium praecedat, & emolumentum ex eo proueniens. Quod si liberi nulli superstites sunt, quandoquidem subolis procreationem adpetere non eiusmodi quiddam est, quod ueniam non mereatur; condonandum erit hoc matrimonium, & ea tantum poena, quae dudum & huc usq; fuit in usu, mulctandum. atque haec de tertiis nuptiis. Enimuero nec alteras, nec primas citra cautionem admittimus; sed eas quoque sic contrahendas statuimus, nullam ut improbam caussam habeant, uel ex raptu, uel ex praecedente clandestino stupro: sed ut legitimae sint, & inquinationibus huiusmodi, ac impuritate scortationum careant. Si quis igitur indicatis hisce constitutionibus spretis, ad coniugalem consuetudinem primam uel alteram coiuerit; eum Christi ecclesia, quae pura est, nec labem ullam uel rugam habet, salutaribus censuris subiciens, non prius ad diuinorum mysteriorum perceptionem admittet, quam definitum ob scortationem tempus eum accurate complesse cognouerit; (nisi forte necessarius e uita discessus urgeat) hoc est, donec annus septimus completus fuerit. Sacerdos autem, qui neglecta lege iam sancita quemquam horum ad

sacram aliquam perceptionem audebit admittere, de gradu suo periclitabitur: & is, qui contra sanctionem promulgatam ad communionem sacram admissus fuerit, rursus inter exsortes communionis referetur, donec annus septimus impleatur.

EXPOSITIO LEGVM QVARVNDAM, A PIIS IMperatoribus LEONE & CONSTANTINO confecta, de libris Institutionum, & Digestorum, & Codicis, & Nouellarum illius magni IVSTINIANI, correctione constitutionum ad id, quod æquius melius est, redacta.

DE CONTRAHENDIS ET DIRImendis sponsalibus, deque pupillis sponsalia contrahentibus, ac pænitentibus.

CONSTITVTIO I.

l. 14. D. de spons. Nouel. Leonis 109. *Sponsalia Christianorum contrahuntur ab ijs, qui primæ sunt ætatis, post annum septimũ, & deinceps; tam contrahentium uoluntate, quam parentum & cognatorũ consensu; si quidem legitime cõtraxerint, nec sint ex earũ personarum numero, quæ prohibitæ sunt: hoc † est, contrahuntur per arras, siue per * hypobola, uel per scripturas. Quod si uisum fuerit ei, qui arram dedit, diuertere, nec perficere contractum; arrã ipse amittat: sin puellæ pars diuertere, nec cõtrahere uoluerit, arram duplam præstet, hoc est, arram ipsam, & alterum tantum.*

† l. 7. D. eod. l. 5. C. eod.

* incrementa dotis ante nuptias promissa.

Quod si quis interueniente scriptura rẽ pergerit, & diuertere uoluerit; secundum id, quod scriptura complectitur, puellæ satisfaciet. At si puellæ pars absq; caussa lege cognita diuertere statuit, eamdem summã, cuius ille nomine per scripturam cauit, sponso præstet, una cum promisso ab eo facto, & a contractu discedat.

l. 2. C. eod. *Si quis autem puellam petierit, & fortassis ex odio, uel alio quocumque modo nuptias exsequi supersederit: ad biẽnium puella tenetur hominem exspectare, quo decurso, testationẽ puellæ pars interponat, ut nuptias exsequatur. ac si quidem paruerit, recte est: sin autem, puellæ facultas esto nubendi cui uolet, ea quoque retinentis, quæ a sponso consequuta fuit.*

Quod si pueri sunt, parentibus orbati, siue masculus, siue puella, & hortatu ac suggestione quorumdam sponsalia contraxerunt, quorũ postea pænituit: ad decimum quintum annũ usq; licentiam habeant citra pœnam rescindẽdi contractum, ut qui pupilli sint, nec quid expediat

ὅρον μεταλήψεως † θείας τινὰ τούτων ἀξιώσῃ, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμόν. δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας, πάλιν εἰς τὸ ἀκοινώνητον περιϊσταμένου, μέχρι συμπληρώσεως τοῦ ἑβδόμου ἔτους.

† ἴσως τινὰ τόπος.

ἘΚΘΕΣΙΣ ΝΟΜΩΝ ΤΙΝΩ͂Ν, ΓΕΝΟΜΕ΄ΝΗ παρὰ ΛΕ΄ΟΝΤΟΣ καὶ ΚΩΝΣΤΑΝΤΙ΄ΝΟΥ τῶν φιλευσεβῶν βασιλέων, ἀπὸ τῶν ἰνστιτούτων, καὶ τῶν διγέστων, καὶ τοῦ κώδικος, καὶ τῶν νεαρῶν τοῦ μεγάλου ἸΟΥΣΤΙΝΙΑΝΟΥ͂, διατάξεων ἐπιδιορθώσει εἰς τὸ φιλανθρωπότερον ἐκτεθεῖσα.

ΠΕΡΙ` ΣΥΣΤΑ΄ΣΕΩΣ ΜΝΗΣΤΕΙ΄ΑΣ, καὶ διαιρέσεως, καὶ περὶ ὀρφανῶν μνηστευομένων, καὶ μεταμελουμένων.

ΔΙΑ΄ΤΑΞΙΣ Α.

Συνίσταται μνηστεία χριστιανῶν τοῖς ἐν πρώτῃ ἡλικίᾳ ἀπὸ ἑπταετοῦς χρόνου, καὶ εἰς τὸ ἑξῆς, ἔκ τε τῆς τῶν μνηστευομένων ἀρεσκείας, καὶ τῆς ἐκ γονέων καὶ συγγενῶν αὐτῶν συναινέσεως, ἐὰν οἱ συναλλάσσοντες νομίμως συναλλάσσωσι, καὶ μὴ ὦσιν ἐκ τῶν κεκωλυμένων, τουτέστι δι᾽ ἀρραβώνων, ἤγουν ὑποβόλων, ἢ δι᾽ ἐγγράφων. εἰ δὲ δόξει τὸν δεδόντα τὸν ἀρραβῶνα διαστρέψαι, καὶ μὴ συναλλάξαι, ἀπόλλειν αὐτὸν τὸν ἀρραβῶνα: εἰ δὲ τὸ μέρος τῆς κόρης θελήσει διαστρέψαι καὶ μὴ συναλλάξαι, παρεχέτω διπλοῦν τὸν ἀρραβῶνα, τουτέστιν αὐτὸν τὸν ἀρραβῶνα, καὶ ἄλλο τοσοῦτον.

Εἰ δὲ ἐγγράφως στοιχήσει τις, καὶ δόξει διαστρέψαι, κατὰ τὸ ἐπίγραφον αὐτοῦ ἀπολογήσεται τῇ κόρῃ. εἰ δὲ τὸ μέρος τῆς κόρης χωρὶς αἰτίας νόμοις γνωριζομένης δοκιμάζει διαστρέψαι, τὸ αὐτὸ μέτρον, ὅπερ ἐγγράφως ἐκεῖνος ὡμολόγησε, παρεχέτω τῷ μνηστευσαμένῳ, μετὰ καὶ τῆς παρ᾽ αὐτοῦ γενομένης ὁμολογίας, καὶ ἀπαλλασσέτω.

Εἰ δέ τις ὁρμάσεται κόρην, καὶ ἴσως διὰ μῖσος ἢ τρόπον τὸν οἱονδήποτε, ὑπερτίθεται ποιῆσαι τὸν γάμον, ἕως δύο ἐτῶν ὑποκεῖσθαι τὴν κόρην ἐκδέχεσθαι αὐτὸν, καὶ μετὰ τοῦτο ἵνα διαμαρτύρηται αὐτὸν τὸ μέρος τῆς κόρης ποιῆσαι τὸν γάμον. καὶ εἰ μὲν καταδέξεται· εἰ δ᾽ οὖν γε ἄδειαν ἔχειν ζευχθῆναι τὴν κόρην ᾧ τινι βούλεται, ἐγκρατοῦσαν καὶ ἅπερ ἔλαβεν ἐκ τοῦ μνηστευθέντος αὐτῇ.

Εἰ δὲ εἰσὶν οἱ παῖδες μὴ ἔχοντες γονεῖς, εἴτε παλικάριον, εἴτε κοράσιον, καὶ ἐξ ὑποβολῆς τινῶν ἐποίησαν μνηστείαν, καὶ ὕστερον μετενόησαν, ἕως τοῦ πεντεκαιδεκάτου χρόνου ἄδειαν ἔχειν ἀναλῦσαι τὸ συνάλλαγμα ἀζημίως, ὡς ὀρφανῶν αὐτῶν ὄντων, καὶ μὴ γινωσκόντων τὰ συμφέροντα

ρίζοντα αὐτοῖς. εἰ δὲ εἰς ἡλικίαν ἔλθωσιν, ὡς φρόνησιν ἔχοντες, εἴ τι ποιήσουσιν, οὐκ ἔχωσιν ἄδειαν τοῦ λοιποῦ διαστρέψαι.

intelligant. Ad ætatis uero maturitatem si peruenerint, & aliquid peregerint; tamquam intelligentia præditi nullam ex eo tempore diuertendi facultatem habeant.

ΔΙΑ'ΤΑΞΙΣ Β.

ΠΕΡΙ' ΓΑ'ΜΩΝ Ε'ΠΙΤΕΤΡΑΜΜΕ'νων καὶ κεκωλυμένων, πρώτου καὶ δευτέρου, ἐγγράφου καὶ ἀγράφου.

Συνίσταται γάμος χριστιανῶν εἴτε ἐγγράφως, εἴτε ἀγράφως, μεταξὺ τῶν μὴ κεκωλυμένων προσώπων. Κεκώλυνται δὲ, ὅσοι ἐκ τοῦ ἁγίου βαπτίσματος ..... ἐγγράφως γάμος συνίσταται, ἢ διὰ ἐγγράφου προικὸς, ἢ συμβολαίου, ὑπὸ τριῶν ἀξιοπίστων μαρτύρων, κατὰ τὰ παρ' ἡμῶν ἀρτίως εὐσεβῶς νομοθετούμενα. ὥστε ἐν αὐτῷ ὁμολογεῖν
† ἴσως λ. τὸν ἄνδρα τήν τε † ἐν τέλει τῆς προικὸς οἰκείωσιν, καὶ ἀδιάπτωτον καὶ ἀμείωτον αὐτῆς παραφυλακὴν καὶ οἰκείωσιν, ἤτοι συντήρησιν, μετὰ καὶ τῆς ὡς εἰκὸς παρ' αὐτοῦ ἐν ἐπαυξήσει ἀποχαρισθείσης αὐτῇ ποσότητος, ἐγγραφομένου ἐν τῷ παρ' αὐτοῦ ἐκτιθεμένῳ συμβολαίῳ κάσου ἐξ ἀπαιδίας.

CONSTITVTIO II.

DE NVPTIIS CONCESSIS ET prohibitis, primis ac secundis, interueniente scriptura, uel non interueniente contractis.

*Nuptiæ * Christianorum uel interueniente scriptura, uel citra scripturam contrahuntur inter personas non prohibitas. Prohibitæ uero sunt, † quotquot ex sacro baptismo ..... Interueniente scriptura nuptiæ contrahūtur, uel per dotem in scriptis cōstitutam, uel per instrumentum factum sub tribus fide dignis testibus, secundum ea, quæ recens a nobis pie sancita sunt: ita ut in eo maritus de accepta dote integra caueat, deq; certa & omnis imminutionis experte dotis custodia siue conseruatione; una cum ea summa, quæ (ceu par est) illi dotis augendæ nomine ab ipso data est: adscripto denique in hoc instrumento, quod ab eo exponitur, liberorum nō exstantium casu.* * Nouel. 22. & 117. † l. 16. C. de nupt.

ΣΧΟΛΙΟΝ.

Τὸ ἐξ ἀπαιδίας κάσον, τὸ τέταρτον μέρος τοῦ προικώου ὑποβόλου ἐστίν. ὃ καὶ ὑπόβολον λέγομεν. ἔστω ἡ προὶξ τῆς γυναικὸς, λίτραι κ. τὸ δὲ ὑπόσχεσιν παρὰ τοῦ ἀνδρὸς τῇ γυναικὶ ὑπόβολον, λίτραι ι. ἀμφότερα μιγνύμενα γίνονται λίτραι λ. τὸ τέταρτον τῶν τριάκοντα γίνονται λίτραι ἑπτὰ ἥμισυ. ἀπαιτεῖται ὁ ἀνὴρ ἔξωθεν τοῦ ὑποβόλου καὶ ταύτας τὰς ἑπτὰ ἥμισυ λίτρας.

SCHOLIVM.

Casus non exstantium liberorum est pars quarta dotalis hypoboli, siue dotis auctæ. Exēpli caussa. Dos mulieris XX libræ sunto. promissum mulieri a marito hypobolum uel incremētum dotis, libræ X. Vtraque permista fiunt libræ XXX. Harum XXX librarum pars quarta sunt libræ septē semis. Igitur a marito præter hypobolum, hæ quoque libræ VIIS exiguntur.

Τριῶν δηλονότι συμβολαίων μεταξὺ αὐτῶν προερχομένων, δύο μὲν αὐτὶ συγγράφων τῆς προικὸς ἰσοδυνάμων, τοῦ δὲ ἑτέρου * περὶ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ἐκτιθεμένου. καὶ μὴ ἐπερωτᾶσθαι ἢ καταγράφεσθαι παρὰ τοῦ ἀνδρὸς ἰσόμετρον τῆς ἐπαγομένης αὐτῷ προικὸς προγαμιαίαν δωρεάν. * παρὰ τοῦ ἀνδρ.

Quo fiet, ut inter eos instrumenta tria conficiantur, duo quidem pro dotis syngraphis, tenoris eiusdem; tertium uero, quod uxori a marito exponitur. Nec stipulato promittetur aut conscribetur a marito donatio propter nuptias, quæ dotis ad ipsum allatæ summam æquet.

Καὶ εἰ δὲ φθάσει τὴν γυναῖκα παίδων ἄνευ πρὸ τοῦ ἀνδρὸς τελευτῆσαι, τετάρτην μοῖραν καὶ μόνον ἐκ πάσης ὡς εἴρηται ὁμολογηθείσης παρ' αὐτοῦ προικὸς εἰς ἴδιον κέρδος ἐγκρατεῖν αὐτὸν, καὶ τὸ ὑπόλοιπον ἡμισυτέταρτον τῆς τοιαύτης προικὸς ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτῆς βουλήσεως κληρονόμους ἀποκαθίστασθαι, ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου καλουμένους αὐτῆς κληρονόμους ἀποδίδοσθαι. εἰ δὲ ὁ ἀνὴρ πρὸ τῆς ἰδίας γυναικὸς παίδων ἐκτὸς ἀποβιώσει, ὁμοίως πρὸς τῇ ἐντελεῖ ἀποκαταστάσει τῆς ὁμολογηθείσης αὐτῇ προικὸς, καὶ τέταρτον μέρος τῆς τοιαύτης προικὸς ἐκ τῶν ἐγκαταλειφθέντων τοῦ ἀνδρὸς αὐτῆς παντοίων πραγμάτων ἐπ' ὀνόματι κάσου εἰς κέρδος οἰκεῖον λαμβάνειν αὐτὴν, καὶ τὴν περιττευομένην αὐτοῦ ἅπασαν ὕπαρξιν ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτοῦ βουλήσεως, ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου αὐτοῦ κληρονόμους περιέρχεσθαι.

Quod si fato mulier absq; liberis ante maritum defuncta fuerit, quartam ille dumtaxat partem totius (ut dictum est) ab se cautæ dotis lucri sui nomine retinet, ac reliquum einsdem dotis dodrantem uel ex suprema uoluntate mulieris ipsius heredibus restituat, uel alijs eius heredibus, qui ad successionem ab intestato uocantur reddat. Sin maritus ante coniugem suam sine liberis decesserit, consimiliter illa præter integram restitutionem cautæ sibi dotis, etiam partem quartam dotis ipsius ex relictis a marito suo omnis generis rebus nomine casus non exstantium liberorum pro lucro suo capiet; & omne quodcumque superest, patrimonium eius, uel ad heredes ex suprema ipsius uoluntate, uel ab intestato succedentes perueniet.

Quod

Quod si liberis exstantibus, ante coniugem suam maritus decesserit; uxor, id est, eorumdem liberorum mater, in potestate sua tam dotem ipsam, quam uniuersum mariti patrimonium retineat, & uniuersam domus ipsa curam & administrationem gerat, ubi palam descriptionem publicam fecerit, hoc est, inuentarium totius a marito suo relicti omnis generis patrimonij atque facultatum, adiectis eidem descriptioni uel inuentario cunctis etiam bonis suis dotalibus, & ijs, quas in rebus extra dotem constitutis habet; quæ quidem extradotalia demonstrare per efficaces probationes debet, ea se scilicet in uiri sui domum adtulisse, iamque post mortem illius eas exstare; non habentibus eius liberis, in quo resistant, uel paternam ab ea substantiam reposcant: sed potius e contrario nullum non honorem & obædientiam, iuxta Dei præceptum, ei tamquam matri deferentibus: quum interim haud dubie debeat ipsa, ueluti parentes decet, educare liberos, & collocare nuptum, & dotem constituere, sicut ipsa uoluerit.

Iam si cōtigerit ad aliud eam matrimonium transire, facultatem liberi eius habeant eam dimittendi, & omnia paterna bona sua, nullis deficientibus, recipiendi; modo solam dotem ab ipsa patri eorum allatam, una cum donatione, quam in eam dotis augēdæ caussa contulit, matri præstent. Si uero liberis exstantibus ante maritum suum mulier decesserit, maritus eius, hoc est, ipsorum liberorum pater, tam dotem, quam omnia bona in rebus extra dotem positis constituta, sua in potestate retinebit, quum & illi patris adhuc in potestate sint; qui curam domus & administrationem uniuersam geret, nullam liberis facultatem habentibus aduersandi patri, uel maternam ab eo substantiam reposcendi: sed e contrario potius omnem honorem & obædientiam, sicuti parentibus conuenit, ei uerbis & ipsa re deferentibus, secundum id quod perscriptum legimus: Honora patrem tuum matremque tuam, ut eorum uoto & imprecatione fruaris. quippe uotum patris liberorum familias fulcit, & exsecratio matris earum fundamenta radicitus euertit. Nam eorum procreati sunt opera, & quid eis reddent eiusmodi, quale consequuti sunt ab ipsis? Hæc enim & Paulus apost. confirmās, dixit: Vos liberi parētib. uestris obædite. nā hoc fieri par et æquū est. Vos parētes ne prouocate liberos uestros ad irā, sed eos in doctrina monitisq; Domini educate. Quod si usu ueuerit, ut ad alterū matrimoniū progrediatur, liberis adhuc impuberibus; materna illorū bona

Εἰ δὲ παίδων ὑπόντων ὁ ἀνὴρ πρὸ τῆς οἰκείας γαμετῆς τελευτήσει, τὴν γυναῖκα ἤγουν τὴν τῶν αὐτῶν τέκνων μητέρα ἐγκάτοχον τῆς τε προικὸς αὐτῆς καὶ ἀνδρώας ἁπάσης ὑπάρξεως εἶναι, καὶ αὐτὴν τὴν πᾶσαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, προδήλως δημοσίαν ἀναγραφὴν ποιουμένης αὐτῆς, ἤτοι ἰμβέντιον πάσης τῆς καταλιμπανομένης ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς πατρῴας ὑπάρξεώς τε καὶ περιουσίας, συγκειμένων ἐν τῇ τοιαύτῃ ἀναγραφῇ καὶ τῶν προικιμαίων αὐτῆς πραγμάτων, καὶ ἃ ὕπεισιν αὐτῇ καὶ ἐν ἐξωπροίκοις, ὀφειλούσης αὐτῆς τὰ ἐξωπροίκα δεῖξαι δὴ ἐνεργῶν συστάσεων, ὡς ταῦτα εἰσήγαγεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς, καὶ φαίνονται μετὰ τὴν αὐτοῦ τελευτὴν, μὴ δυναμένων τῶν αὐτῆς τέκνων ἀντικαθίστασθαι αὐτῇ, ἢ ἐπιζητεῖν παρ' αὐτῆς πατρῴαν ὑπόστασιν. τοὐναντίον μὲν οὖν καὶ πᾶσαν τιμὴν καὶ ὑπακοὴν, κατὰ τὴν τοῦ θεοῦ ἐντολὴν, προσαγόντων αὐτῇ ὡς μητρὶ, προδήλως ὀφειλούσης αὐτῆς, καθὼς πρέπει γονεῦσι, τὰ τέκνα ἐκπαιδεύειν τε, καὶ γαμοστολεῖν, καὶ προῖκα ἐπιδιδόναι, καθὼς ἂν βουληθείη.

Εἰ δὲ συμβῇ αὐτὴν εἰς ἕτερον προσελθεῖν συνοικέσιον, ἄδειαν ἔχειν τὰ τέκνα αὐτῆς περιᾶν αὐτὴν, καὶ πάντα τὰ πατρῷα αὐτῶν πράγματα ἀνελλιπῶς κομίζεσθαι, τὴν εἰσενεχθεῖσαν παρ' αὐτῆς τῷ πατρὶ αὐτῶν προῖκα καὶ μόνον, σὺν τῇ ἀποχαρισθείσῃ παρ' αὐτοῦ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς δωρεᾷ, παρέχοντας αὐτῇ. εἰ δὲ παίδων ὑπόντων ἡ γυνὴ πρὸ τοῦ ἰδίου ἀνδρὸς τελευτήσει, τὸν ἄνδρα αὐτῆς ἤγουν τὸν πατέρα τῶν τέκνων αὐτῶν ἐγκάτοχον τῆς τε προικὸς αὐτῆς καὶ τῆς ἐν ἐξωπροίκοις πάσης αὐτῆς ὑπάρξεως εἶναι, ὡς ὑπεξουσίων αὐτῶν τυγχανόντων, καὶ αὐτὸν τὴν πᾶσαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, μὴ δυναμένων τῶν τέκνων αὐτοῦ ἀντικαθίστασθαι αὐτῷ, ἢ ἐπιζητεῖν παρ' αὐτοῦ μητρῴαν ὑπόστασιν. τοὐναντίον μὲν οὖν καὶ πᾶσαν τιμὴν, καὶ ὑπακοὴν, καθὼς ἁρμόζει γονεῦσι, προσαγαγόντων αὐτῷ, κατὰ τὸ γεγραμμένον, ἐν ἔργῳ καὶ λόγῳ· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα ἐπέλθῃ σοι εὐχὴ παρ' αὐτῶν. εὐχὴ γὰρ πατρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ τὰ θεμέλια. δι' αὐτῶν γὰρ ἐγεννήθησαν, καὶ τί ἀνταποδώσουσιν αὐτοῖς, καθὼς αὐτοὶ ἐκείνοις; ταῦτα γὰρ καὶ Παῦλος ὁ ἀπόστολος βεβαιῶν ἔφη. τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν. τοῦτο γάρ ἐστι δίκαιον. οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. εἰ δὲ συμβῇ αὐτὸν εἰς ἕτερον ἐλθεῖν συνοικέσιον, τῶν τέκνων αὐτοῦ ἀνηλίκων τυγχανόντων, ἀμείωτα

παρ

παρ' αὐτῷ τὰ μητρῷα φυλάττεσθαι πράγματα. εἰ δὲ τῆς ἐν νόμῳ ἡλικίας παῖδες ὑπάρχουσιν, εἰ θελήσουσιν, ἀδιασκέπτως τὰ τοιαῦτα αὐτῶν πράγματα παρέχεσθαι αὐτοῖς.

Εἰ δὲ θελήσει ἐκ τοῦ ἀνδρογύνου εἴτε ὁ ἀνὴρ, εἴτε ἡ γυνὴ, χωρὶς δευτερογαμίας ἐκ τῶν ἰδίων τέκνων ἐπαναχωρῆσαι, ἀνηλίκων αὐτῶν τυγχανόντων, μὴ ἔχειν αὐτοὺς ἄδειαν τοῦτο πρᾶξαι, ἀλλὰ τὴν τούτων ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, καθὼς εἶπεν ὁ ἀπόστολος, ὅτι χήρα ἔχουσα τέκνα ἢ ἔγγονα μανθανέτω πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν. τοῦτο γάρ ἐστιν ἀποδεκτὸν ἐνώπιον τοῦ θεοῦ. εἰ δὲ τῶν ἐντελῶν εἰσὶ τὰ τέκνα, καὶ εἰς βίον προῆλθον, καὶ δύνανται τὴν ἰδίαν διοίκησιν ποιεῖν, καὶ θελήσει τις ἐκ τῶν γονέων ἐπαναχωρῆσαι ἐξ αὐτῶν, ἐπ' ἀδείας ἔχειν τὸ τοιοῦτον πρόσωπον μετὰ τῶν ἰδίων πραγμάτων ἐγκρατήσεως, καὶ ἑνὸς παιδὸς μοῖραν λαμβάνειν αὐτὸν, πρὸς τὸν ἀριθμὸν τῶν τέκνων.

Εἰ δὲ κατὰ στένωσιν ἢ διὰ ταπείνωσιν μὴ δυνηθῇ τις εὐπεριλήπτως καὶ ἐγγράφως ποιῆσαι γάμον, καὶ ἀγράφως συνίσταται γάμος ἀδόλως, συναινέσει τῶν συναλλασσόντων προσώπων, καὶ τῶν τοιούτων γονέων, εἴτε ἐν ἐκκλησίᾳ τοῦτο διὰ εὐλογίας, ἢ καὶ ἐπὶ φίλων πέντε γνωρισθείη. ἀλλὰ καὶ εἰ ὁσδήποτε εἰσοικιζόμενος γυναῖκα ἐλευθέραν, καὶ καταπιστεύων αὐτῇ τὴν τοῦ ἰδίου οἴκου διοίκησιν, καὶ ταύτῃ συγκοιταζόμενος, ἔγγραφον συναλλάσσει πρὸς αὐτὴν γάμον. ἐὰν δὲ ἐξ αὐτῆς μὴ παιδοποιήσας πειραθείη ἐκδιῶξαι αὐτὴν ἐκ τῆς πρὸς αὐτὸν συνοικεσίας, αἰτίας νόμῳ ἐγνωσμένης ἐκτὸς, διδόναι αὐτῇ πρὸς τῇ ἀποκαταστάσει τῶν ὡς εἰκὸς εἰσενεχθέντων παρ' αὐτῆς πραγμάτων, καὶ τέταρτον μέρος τῆς αὐτοῦ περιουσίας.

Εἰ δὲ ἀπόρῳ γυναικὶ πρὸς γάμον νόμιμον συναφθῇ τις, καὶ τελευτήσει ὁ ἀνὴρ ἄπαις καὶ διαθήκης χωρὶς, κομίζεσθαι τὴν γυναῖκα ἐκ τῆς ἀνδρώας ὑποστάσεως ὑπὲρ ἐξ ἀπαιδίας κάσσου μέρος τέταρτον, κατὰ τὴν εὐπορίαν τοῦ ἀνδρὸς, ἕως τῶν ι λιτρῶν. εἰ δὲ ἐπάνω τῶν ι λιτρῶν εὐπορεῖ ὁ ἀνὴρ, μὴ ἔχειν αὐτὴν ἄδειαν, ἕτερόν τι κομίζεσθαι, καὶ τὰ ὑπόλοιπα περιέρχεσθαι εἰς τοὺς ἐξ ἀδιαθέτου αὐτοῦ κληρονόμους, ἢ μὴ ὑπόντων κληρονόμων, εἰς τὸ μέρος τοῦ δημοσίου.

Δευτερογαμία συνίσταται ἐπὶ τοῖς μὴ κεκωλυμένοις προσώποις, εἴτε ἐγγράφως, εἴτε ἀγράφως, οὕτως. εἰ μὲν παίδων χωρὶς, ἀπεριέργως συναλλάσσειν κατὰ τοὺς ἀνωτέρω διειλημμένους τρόπους. εἰ δὲ παῖδες εἰσὶ τῷ δευτερογαμοῦντι προσώπῳ, μὴ ἔχειν αὐτὸν ἄδειαν χαρίζεσθαι τῇ δευτέρᾳ γυναικὶ πλείονα παιδὸς μοῖραν, τοῦ ἐκ προτέρου αὐτοῦ γάμου,

citra decrementũ & imminutionem apud eum custodiantur. Sin ætatem legitimam attigerunt, citra deliberationem ipsis ea, si quidem ita uoluerint, exhibeantur.

Quod si horum alteruter, siue maritus, siue uxor, absque secundo coniugio suis a liberis secedere uoluerit, ijs necdũ adultis, nullam id agendi licentiam habeat, sed eorum curam & administrationem suscipiat, sicut apostolus dixit: Vidua, quæ liberos aut nepotes habet, primum discat in propriam domum pietatem exercere. Nam id acceptum est coram Deo. Si uero liberi perfectam ad ætatem peruenerunt, & ad tractanda uitæ negotia se contulerunt, iamque suæ administrationi obeundæ sufficiunt, & parentum aliquis ab eis secedere uoluerit: eiusmodi persona licentiam habeat, ut præter rerum suarum retentionem, unius ex liberis portionem, pro numero liberorum, accipiat.

Si uerò quis ob artam rerum suarum conditionem, uel humilitatem, cum existimatione quadam, & interueniente scriptura nuptias exsequi nequeat; etiam citra scripturam matrimonium contrahitur sine dolo malo, contrahentium personarum & parentum earum consensu; siue hoc in ecclesia per sacram imprecationẽ, siue coram quinq; amicis notũ fiat. Sed & quilibet mulierem liberam in domũ suam deducens, & administrationem ei familiæ suæ committens, & cum ea cubans, quasi per scripturã cum ea matrimonium contrahit. Quod si nullis ex ea liberis susceptis, eam remouere conatus fuerit a matrimonio suo, sine caussa legibus adprobata; dabit ei præter restitutionem earum rerum, quas ipsa (ceu credi par est) ad eum adtulit, quartam quoque bonorum suorum partem.

*Quod * si quis inopi mulieri matrimonio legitimo coniunctus fuerit, & maritus absq; liberis & intestatus decesserit: accipiet uxor de mariti bonis, nomine casus liberorum non exstantium, partẽ quartam, pro mariti facultatibus, ad † X usque libras. Quod si mariti facultates ea sint, ut quarta pars X libras excedat; nullã ea licentiam habeat amplius capiendi, & quæ reliqua sunt, ad mariti heredes ab intestato, uel ijs non exstantibus, ad fiscum peruenient.*

*Secunda * nuptiæ contrahuntur a personis non prohibitis, siue in scriptis, siue citra scripturam, in hunc modum. Siquidem liberis careant, citra disceptationem iuxta modos superius expositos contrahant. Sin persona secundas nuptias contrahens liberos habet, ne liceat ei secundæ coniugi plus, quam unius ex liberis de priori matrimonio suscepti portionem,*

* nouel.13.cap.5. & d.nouel.117. cap.5.

† in d.nouel.117. librarum C summa statuitur.

* d.nouel.22. cap.22.

de bonis

de bonis suis quocumque largitionis modo, donaure. Consimiliter & in muliere, quæ secūdo se nuptum collocat, idem hoc obseruetur; nimirum ea duodecim mensium tempus, a tempore mariti prioris mortui, seruante. Quod si hoc tempore necdum finito secundas ad nuptias trāsierit, infamis erit; nec a marito priori quidquā ullo modo lucrabitur. At uero si præstitutum, ceu diximus, temporis spatium seruet; dotem suam accipiet, una cū donatis ei (ceu uero est simile) dotis augēdæ gratia. Eodē modo maritus quoq; secundas ad nuptias sese cōferens, nihil ab uxore priori cōsequetur. Quod si exstent impuberes liberi, tantisper eorum res ipse custodiet, donec ætatis maturitatem attigerint. Sin ætatis iam plenæ fuerint, ab eo ipso tempore statim eis integre bona materna tradantur. Quod si subolem ex altera coniuge susceperit, & ipsum decedere contigerit: facultas esto tam primis, quā secundis liberis patri suo succedēdi, eodēq; modo & matri.

*Mulier * secundas nuptias contrahens, quæ de priori coniugio liberos habet, ante secūdi matrimonij contractum liberis suis tutores petat, & ita contrahat. Quippe si hoc factum non fuerit, tam ipsius, quam secundi mariti bona fient obligata nomine restitutionis earū rerum, quæ ad minores ex successione paterna pertinent.*

* l. 6. C. in quib. cau. pign. uel hypoth. tac.

CONSTITVTIO III.

DE SOLVTIONE MATRIMONIJ.

Indissolubilem eorum, qui coniugaliter una uiuunt in Domino, coniunctionem esse; ipsa nos opificis & creatoris omnium Dei sapientia docuit. Is enim, quum hominē de nihilo rerum in naturam produxisset; non ad eumdem modum & mulierem fingere uoluit, quamuis id facere posset; uerum hanc e uiro cōdidit, ut unitæ copulatæque sapienter unius in personis duabus carnis inseparabilem cōiunctionem sanciret. Quā ob rem nec mulierem, quæ suggestione serpentis illius amaræ uiro degustationis auctor exstiterat, ab eo separauit; nec uicissim uirum, qui herile mādatum una cum coniuge uiolare fuerat ausus, ab ea seiunxit: sed peccatum quidem puniuit, coniugium uero minime dissoluit. Huic ergo nos efficaci, & rursus ipsius cōditoris pronuntiato confirmatæ legi, quum a Pharisæis interrogaretur, an homini qualibet ex caussa suam uxorem repudiare liceat, & ipse responderet, a deo coniunctos nequaquam ab homine separandos, extra caussam scortationis; huic ergo nos et insistentes & obtemperātes, nequaquam aliud quidpiā de hoc statuere uolumus. Sed enim quū

ἐκ τῆς ἰδίας περιουσίας, καθ' οἱανδήποτε φιλοτιμίαν. ὁμοίως δὲ τὸ αὐτὸ παραφυλάττεσθαι καὶ ἐπὶ τῆς δευτερογαμούσης γυναικὸς, προδήλως ταύτης τὸν ἀπὸ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ πρώτου ἀνδρὸς παραφυλαττούσης δωδεκαμηνιαῖον χρόνον. εἰ δὲ μὴ περατωθέντος τοῦ καιροῦ τούτου διγαμήσῃ, ἄτιμος ἔσται, μηδὲν ἐκ τοῦ πρώτου ἀνδρὸς κερδαίνουσα καθ' οἱονδήποτε τρόπον. παραφυλαττούσης δὲ αὐτῆς, ὡς εἴρηται, τὸν ὡρισμένον χρόνον, κομίζεσθαι αὐτὴν τὴν ἰδίαν προῖκα, μετὰ καὶ τῶν ὡς εἰκὸς ἀποχαρισθέντων αὐτῇ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς. ὡσαύτως δὲ καὶ τὸν ἄνδρα εἰς ἕτερον προερχόμενον συνοικέσιον, μηδὲν ἐκ τῆς προτέρας αὐτοῦ λαμβάνειν. εἰ δὲ ὑπάρχουσιν ἀνήλικοι παῖδες, τὰ τούτων πράγματα παραφυλάττειν αὐτὸν, μέχρις ἂν τῶν ἐντελῶν γένωνται. εἰ δὲ καὶ τῶν ἐντελῶν εἰσὶ, παρέχεσθαι αὐτοῖς ἀπεντεῦθεν ἤδη τὰ μητρῷα αὐτῶν ἐντελῶς πράγματα. εἰ δὲ καὶ τέξει ἐκ τῆς δευτέρας γυναικὸς, καὶ συμβῇ αὐτὸν τελευτῆσαι, ἄδειαν ἔχειν καὶ τὰ πρῶτα καὶ τὰ δεύτερα τέκνα τὸν ἴδιον κληρονομεῖν πατέρα, ὁμοίως καὶ τὴν μητέρα.

Ἡ δευτερογαμοῦσα γυνὴ, ἔχουσα ἐκ τοῦ πρώτου γάμου παῖδας, αἰτείτω πρὸ τοῦ συναλλάγματος τοῦ δευτέρου γάμου ἐπιτρόπους τοῖς παισὶν αὐτῆς, καὶ οὕτως συναλλασσέτω. εἰ γὰρ μὴ τοῦτο γένηται, ὑπεύθυνα τὰ αὐτῆς εἰσὶ, καὶ τοῦ δευτέρου αὐτῆς ἀνδρὸς πράγματα γενήσονται ἐπὶ τῇ ἀποκαταστάσει τῶν ἀνηκόντων τοῖς νέοις πατρικῶν αὐτῶν πραγμάτων.

ΔΙΑΤΑΞΙΣ Γ.

ΠΕΡῚ ΛΎΣΕΩΣ ΓΆΜΟΥ.

Τῆς ἀδιαλύτου τῶν γαμικῶς ἐν κυρίῳ συμβιούντων ἑνώσεως ἡ τοῦ κτίστου καὶ δημιουργοῦ τῶν ἁπάντων θεοῦ σοφία ὑπάρχει διδάσκαλος. αὐτὸς γὰρ εἰς τὸ εἶναι παραγαγὼν ἐξ οὐκ ὄντων τὸν ἄνθρωπον, οὐ τὸν αὐτὸν καὶ τὴν γυναῖκα πλάσαι τρόπον ἠθέλησε, καίπερ δυνάμενος, ἀλλ' ἐκ τοῦ ἀνδρὸς ταύτην ἐδημιούργησεν, ἵνα τῆς ἑνουμένης σοφῶς μιᾶς ἐν δυάδι προσώπων σαρκὸς τῆς συζυγίας νομοθετήσει τὸ ἀδιάζευκτον. ὅθεν οὐδὲ τὴν γυναῖκα τῇ ὑποθήκῃ τοῦ ὄφεως τῆς πικρᾶς τῷ ἀνδρὶ κατάρξασαν γεύσεως, ἀπὸ τούτου ἐχώρισεν. οὐδ' αὖ τὸν ἄνδρα τῆς δεσποτικῆς ἐντολῆς τὴν παράβασιν τῇ ὁμοζύγῳ συνεργασάμενον, ταύτης διέζευξεν. ἀλλὰ τὴν μὲν ἁμαρτίαν ἐκόλασε, τὴν δὲ συζυγίαν οὐκ ἔλυσε. Ταύτῃ τοίνυν τῇ ἐνεργεῖ νομοθεσίᾳ αὖθις καὶ λόγῳ κυρωθείσῃ παρὰ τοῦ κτίσαντος, κατὰ τὸν καιρὸν τῆς τῶν Φαρισαίων πρὸς αὐτὸν ἐρωτήσεως, εἰ ἔξεστιν ἀνθρώπῳ κατὰ πᾶσαν αἰτίαν ἀπολύειν τὴν γυναῖκα αὐτοῦ, καὶ ἀποκριθέντος, τοὺς ὑπὸ θεοῦ ζευχθέντας μηδαμῶς ὑπὸ ἀνθρώπου παρεκτὸς λόγου πορνείας χωρίζεσθαι. ἐξακολουθοῦντές τε καὶ πειθόμενοι, οὐδ' ἡμεῖς ἕτερόν τι νομοθετεῖν ὑπὲρ τούτου βουλόμεθα. ἀλλ' † ἐπειδὰν † ἐπειδὴ.

τὸ τῆς

τὸ τῆς κακίας εἶδος ἐπιμελῶς τοῖς πολλοῖς τῶν ἀνθρώπων ἐμπολιτεύεται, καὶ ἐντεῦθεν ἀγαπητικῶς πρὸς ἀλλήλους μὴ διακείμενοι, κατὰ πολλὰς αἰτίας ποιοῦνται τῆς ἑαυτῶν συμβιώσεως τὴν διάπραξιν, ἐκτὸς ἐνθεῖναι τῇ παρούσῃ νομοθεσίᾳ, δι' ὧν τὰ συνοικέσια λύονται, τῶν δεόντων ἐκρίναμεν.

* Nouel. 117. cap. 8. Legito & nou. 127. cap. 4.

Λύεται * ὁ ἀνὴρ ἀπὸ γυναικὸς διὰ τοιαύτας αἰτίας.

α. Ἐὰν ἡ γυνὴ αὐτοῦ πορνεύσῃ.

β. Ἐὰν ἐπιβουλεύσῃ οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτοῦ, ἢ ἐπισταμένη ἑτέρους ἐπιβουλεύοντας, μὴ καταμηνύσῃ αὐτῷ.

γ. Ἐὰν λωβὴ ἐστιν.

Ὁμοίως δὲ καὶ ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς διὰ τοιαύτας αἰτίας χωρίζεται.

α. Ἐὰν ἀδυνατήσῃ ὁ ἀνὴρ ἐπὶ τριετίᾳ ἀπὸ καιροῦ τοῦ γαμικοῦ συναλλάγματος τῇ οἰκείᾳ μιγῆναι γυναικί.

β. Ἐὰν ἐπιβουλεύσῃ οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτῆς, ἢ ἐπιστάμενος ἄλλους † ἐπιβουλεύοντας, μὴ καταμηνύσῃ αὐτῇ.

† ἐπιβουλεύοντας.

γ. Καὶ ἐὰν λωβός ἐστιν.

Εἰ δὲ συμβῇ ἐξ αὐτῶν ἑνὶ ὑπὸ δαίμονος κρατηθῆναι, τούτους ἐκ τῆς τοιαύτης αἰτίας μὴ δύνασθαι ἀνθρώπινον διαλύεσθαι, κατὰ τὸ γεγραμμένον. ὅτι οὓς ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

ΡΩΜΑΝΟΥ ΤΟΥ ΓΕΡΟΝΤΟΣ ΝΕΑΡΑ α.

ΠΕΡΙ ΤΩΝ ΥΠΕΙΣΕΡΧΟΜΕΝΩΝ δυνατῶν εἰς ἀνακοινώσεις πενήτων, ἀργοῦσα αὐτοὺς ἐξωνήσεις εἰς χωρίων ὁμάδα ποιεῖν. Υπηγόρευσε Κοσμᾶς μάγιστρος, ἰνδικτιῶνος α ἔτους ς υ λ ζ.

ΕΠΙΓΡΑΜΜΑ.

Νέον νόμον τίθησι Ῥωμανὸς ἄναξ,
Ὃν καὶ πέπομφε λύτρον ἠδικημένοις.

Ἀνθρώποις ἐστὶ ζηλωτὸν καὶ περισπούδαστον, οἷς μέγα καὶ σεβάσμιον τὸ τῆς πανούργου χειρὸς νομίζεταί τι καὶ ὀνομάζεται φιλοτέχνημα, τὸ πρὸς τὴν τοῦ παραγαγόντος μίμησιν τὴν ψυχικὴν παρασκευάζειν διάθεσιν. οἷς δὲ μέγα τοῦτο καὶ μακάριον λελόγισται, τούτοις ἄρα † μετὰ τῆς πλάσεως καὶ ὁ τῆς κρίσεως ἐξαρνεῖσθαι πρόκειται λόγος, καὶ ἀπολελεῖφθαι ὡς ἐν γῇ τὸ πᾶν ἀποδεξαμένοις τῆς βιώσεως, καὶ μόνοις ἐπὶ τῆς γῆς βιοτεύειν αἱρουμένοις, τὸ τῆς οἰκείας ἐπιδείκνυσθαι προαιρέσεως. ἐντεῦθεν ἡ πολλὴ τῶν πραγμάτων σύγχυσις, ἐντεῦθεν ἡ μεγάλη τῶν ἀδικημάτων ἐπιφορά, ἐντεῦθεν ἡ μεγάλη καὶ μακρὰ τῶν πτωχῶν ταλαιπωρία, καὶ ὁ πολὺς στεναγμὸς τῶν πενήτων, δι' οὓς ἀνίσταται κύριος. ἕνεκα γὰρ

† μετὰ δέ.

ipsa malitiæ species nimiopere pluribus hominibus insideat, eaque de caussa quoties parum amanter erga se inuicem adfecti sunt, ex varijs caussis consuetudinem uitæ mutuam dirimant: extrinsecus inseri constitutioni huic, quibus ex caussis matrimonia soluantur, necessarium duximus.

Maritus ab uxore propter hasce caussas segregatur.

Si uxor eius scortata fuerit. I.

Si quocumque modo insidiata fuerit eius uitæ, uel alios insidiari sciens, idipsum ei non detexerit. II.

Si leprosa sit. III.

Similiter & uxor a marito propter hasce caussas separatur.

Si maritus a tempore matrimonialis contractus cum uxore sua triennio coire nequiuerit. I.

Si quocumque modo uitæ uxoris insidias struxerit, uel quum alios struere sciret, idipsum ei non indicauerit. II.

Si denique leprosus sit. III.

At si cōtigerit, ut eorum alteruter infestetur a malo genio; huiusmodi de caussa matrimoniū soluere non poterunt, secundum id quod scriptū est: Quos Deus coniunxit, homo ne separet.

ROMANI SENIORIS NOVELLA I.

DE POTENTIBVS IN CONSORTIA pauperum succedentibus; prohibens, ne cum uniuersitate uicorū emtiones contrahant: a Cosma officiorum magistro dictata, indictione I, anni CIƆ CCCCXXXVII.

EPIGRAMMA.

Legem imperator sancit Romanus nouā,
Qua liberauit læsa pressos a malis.

Hominibus ijs, qui uafræ manus & fraudulenta sollertiam, eximium quiddam & augustum ducunt atque nuncupant, magni æstimatur, & studio singulari hoc expetitur; ut ad imitationem opificis adfectiones animorum fingere compararéq; possint. Quibus autem hoc magnum ac fortunatum putatur, ijs sane propositum est, tam creationis quam iudicij rationem atque doctrinam infitiari; nec aliud restat, quam ut hoc institutum esse animi sui declarent, ut omnem uitam in terris percipiant, & in orbe soli pro uoto suo uiuant. Hinc ingens illa confusio rerum, hinc ille magnus iniuriarū impetus, hinc grauis & diuturna pauperum calamitas, & ærumna, frequensq; gemitus inopum, quorum caussa Dominus exsurgit, ut dicitur:

Propter ærumnam pauperum, & inopum gemitum nunc exsurgo, dicit Dominus. Si Deus ad uindictam exsurgit, qui & finxit nos, & saluti restituit, & regnat: quo pacto a nobis ea negligetur, & obliuioni perpetua tradetur? quum solos imperatoris oculos pauper ad consolationem sui præstoletur. Quapropter ad horum uindictam, non quod de recens in eos admissis designatisque sanandis dispexerimus, uerum ut & publice perdurātem rei medicinam faceremus, præsentem hanc legem promulgauimus; confectam a nobis, ut sit uelut expulsio quædā & expurgatio cupiditatis insatiabilis; ne iam quis amplius rebus suis spolietur, ne per potentiam pauper opprimatur: quam & publice conducibilem, & acceptam Deo, & commodam fisco, & reipublicæ fructuosam utilitatem habituram perspeximus. Quamquam non ignoremus, hāc caussam olim quoque conuenienti studio diligentiaque tractatam; quum propter eam sententiæ decretaque iudicialia, quibus improbitas animorum coërceretur, omnes subiectas nobis ditiones ac prouincias sint peruagata. Sed quia malitia uersutum quiddam est, & ualde uarium, idque quum de uitijs omnibus, tum non minime de auaritia, uel potius de hac maxime uerū est; ita ut etiam occasiones & ansas struat, quibus legis sanctionem eludat, atque oculum adeo uindictæ diuinæ, quem nihil latet, flocci faciat: iccirco nunc operam dedimus, ut hac longe certius atque diligentius perscriberētur, quo libidinis fraudulenter agentium commenta resecentur atque reijciantur. Sancimus igitur, ut quotquot in uniuersa ditione ac republica, quā secundum Deum, nostrum regit imperium, degunt: in eo quod ipsis obtigit, liberum quietumque domicilium habeant. Nimirum si temporis ea commoditas est, ut suum sibi prædium quisq; seruet; succedant in eo liberi aut cognati, uel possessoris de eo statuentis uoluntas impleatur. Si uero quis locorum suorum uel particularem uel uniuersam alienationem instituat, puta sic humano consilio, uel orta de mutatione tēporis necessitate urgente, uel etiam sola uolūtate suggerente: prædiorum uel agrorum eorumdem, aut etiam confiniū possessoribus exposita permissaq; sit emtio; non quod hoc uel ad odium uel inuidiā potentiorū statuamus, sed ad fauorem ac patrociniū pauperū, salutēq; publicā ita definiamus. Quippe pro eo quod illos, qui diuinitus imperādi potestatē consequuti sunt, quiq; tā gloria quā opibus reliquos antecellūt, ualde de pauperibus esse sollicitos oportebat; inopes ij pro esca sua ducētes, permoleste ferunt, eorū se bona non citius

(φησι) τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει κύριος. εἰ θεὸς εἰς ἐκδίκησιν διανίσταται, ὁ καὶ πλάσας ἡμᾶς, καὶ σώσας, καὶ βασιλεύσας, πῶς ἡμῖν * ὑπεριφθήσεται, καὶ εἰς τέλος ἐπιλησθήσεται; ἐπεὶ μόνους τοὺς τῆς βασιλείας ὀφθαλμοὺς εἰς παράκλησιν ὁ πένης προσδέχεται. διὰ ταῦτα εἰς τὴν τούτων ἐκδίκησιν, οὐ τὰ πρὸς αὐτοὺς ἔναγχος τελεσθέντα τε καὶ τολμώμενα ἰᾶσθαι διασκοπήσαντες, ἀλλὰ καὶ κοινῇ διαμένουσαν τῷ πράγματι θεραπείαν ἐπιτιθέμενοι, τὸν παρόντα νόμον ἐξεθέμεθα, οἱονεί τινα ἐκβολὴν καὶ καθαρμὸν τῆς ἀπλήστου γνώμης τοῦτον ἐπισκευάσαντες, ὡς μηκέτι τινὰ τῶν οἰκείων ἀλλοτριοῦσθαι νῦν, ὡς μὴ καταδυναστεύεσθαι πένητας, ὡς † κοινὴν, καὶ λυσιτελοῦσαν, καὶ θεῷ εὐαπόδεκτον, καὶ τῷ δημοσίῳ πρόσφορον, καὶ τῇ πολιτείᾳ χρήσιμον τὴν χρείαν ἔχειν διασκεψάμενοι: οὐδὲ πάλαι μὲν λαθούσης ἡμῖν τῆς προσηκούσης τυχούσης ἐπιμελείας τῆς τοιαύτης ὑποθέσεως, δι' ἣν καὶ ψῆφοι, καὶ κρίσεις, τὸ κακουργοῦν τῆς γνώμης ἀναστέλλουσαι, ἐν πάσαις ταῖς ὑφ' ἡμῶν τεταγμέναις ἀρχαῖς καταπεφοιτήκασιν. ἀλλ' ἐπεὶ πολύτροπον ἡ κακία, καὶ πολὺ ποικιλώτερον, καὶ ἅπασαν μὲν, οὐχ ἥκιστα δὲ πλεονεξία, εἰ μή γε καὶ μᾶλλον, ὡς καὶ νόμου θεσπίσματος λαβὰς διαδιδράσκειν μηχανᾶσθαι, καὶ τὸν ἀλάθητον παρ' οὐδὲν τῆς θείας δίκης τίθεσθαι ὀφθαλμόν: διὰ ταῦτα νῦν ἀσφαλεστέρας καὶ ἐπιμελεστέρας ἀναγραφῆς ἠξίωται ταῦτα, ἢ τῶν κακουργούντων βουλήσεως τὰ σοφίσματα τέμνονταί τε καὶ ἀποκρίνονται. θεσπίζομεν τοιγαροῦν τοὺς ἐν πάσῃ χώρᾳ καὶ πολιτείᾳ, ἣν μετὰ θεὸν ἡ ὑφ' ἡμῶν διέπει ἀρχὴ διάγοντας, ἐλευθέραν καὶ ἀνενόχλητον τὴν λαχοῦσαν ἔχειν κατοίκησιν. ἀλλ' εἰ μὲν τοῦτο μένει φυλάττων ὁ χρόνος, ἔστω τῆς τῶν τέκνων ἢ συγγενῶν κληροδοσίας τὸ ἐπίκτημα, ἢ τῆς τοῦ κατέχοντος προαιρέσεως τὸ βούλημα συμπληρούμενον. εἰ δὲ οἷα τῆς ἀνθρωπίνης γνώσεως καὶ τῆς τοῦ χρόνου παλιῤῥοίας ἀνάγκης ἐπικειμένης, ἢ καὶ θελήσεως τυχὸν μόνης ὑποτιθεμένης, τῶν οἰκείων τόπων ἐπεισάγει ἢ μερικῶς ἢ καθόλου ἐκποίησιν: τοῖς τῶν αὐτῶν, ἢ καὶ τῶν ὁμορούντων χωρίων ἢ ἀγρῶν * οἰκήτορσιν ἡ ἐξώνησις προκείσθω, οὐ μίσει καὶ φθόνῳ τῶν ἰσχυροτέρων τούτου θεσμοθετουμένου, ἀλλ' εὐνοίᾳ καὶ προστασίᾳ τῶν πενήτων, καὶ κοινῇ σωτηρίᾳ διοριζομένου. ἀνθ' ὧν γὰρ ἐχρῆν τοὺς ἀρχὴν ἐκ θεοῦ λαχόντας, τοὺς δόξῃ καὶ πλούτῳ τῶν λοιπῶν ὑπερανεστηκότας, περὶ πολλοῦ τὴν τῶν πενήτων ποιεῖσθαι προμήθειαν, οὗτοι κατάβρωμα τούτους ἔχοντες, ὅτι μὴ τάχιον ταῦτα κατέχουσι, δυσχε-

* ὑπεροφθήσεται.
† κοινῇ λυσιτελοῦσαν.
* κτήτορσιν.

διαχαράττουσιν. εἰ δὲ καὶ μὴ πάντων τὸ τοιοῦτον ἀνο-
σιούργημα, ἀλλ' ἔστω πᾶσι κοινὸν τὸ τοῦ νόμου συντή-
† λάθῃ. ρημα: ὡς ἂν μὴ † λάβῃ τῷ σίτῳ συνεισφερόμενον
τὸ ζιζάνιον. Μηδεὶς οὖν μηκέτι μήτε τῶν περιφανῶν
μαγίστρων, ἢ πατρικίων, μήτε τῶν ταῖς ἀρχαῖς ἢ
στρατηγίαις, ἢ πολιτικοῖς ἢ στρατιωτικοῖς ἀξιώμασι
τετιμημένων, μήτε μὴν ὅλως τῶν εἰς σύγκλητον
βουλὴν ἀπηριθμημένων, μήτε τῶν θεματικῶν ἀρ-
χόντων ἢ ἀπαρχόντων, μήτε τῶν θεοφιλεστάτων
μητροπολιτῶν, ἢ ἀρχιεπισκόπων, ἢ ἐπισκόπων, ἢ
ἡγουμένων, ἢ ἐκκλησιαστικῶν ἀρχόντων, ἢ τῶν τὴν
προστασίαν καὶ ἐπικράτειαν τῶν εὐαγῶν ἢ βασιλι-
κῶν οἴκων ἐχόντων, ἢ εἰς οἰκεῖον πρόσωπον, ἢ τῆς
βασιλικῆς περιουσίας, ἢ τῆς ἐκκλησίας, ἢ δι' ἑαυ-
τῶν, ἢ διὰ παρενθέτου προσώπου τολμήσει μηκέτι
ἔτι εἰς χωρίον ἢ εἰς ἀγρὸν, ἢ καθόλου ἢ μερικῶς
* ὑπεισελθεῖν. * ἐπεισελθεῖν, ἢ ἀγορᾶς, ἢ δωρεᾶς, ἢ κληροδοσίας,
ἢ ἄλλης οἱασοῦν προφάσεως αἰτίᾳ, ὡς ἀνισχύρου
μὲν διορισθείσης τῆς τοιαύτης κτήσεως, ἀναργύρως
δὲ τῶν ἐπικτωμένων μετὰ τῆς προσγινομένης καλ-
λιεργίας πρὸς τοὺς κατέχοντας, ἢ τούτων ἢ συγγε-
† μὴ παρόντων. νῶν αὐτῶν † μὴ προσόντων, πρὸς τοὺς τῶν χωρίων ἢ
* δικαιωθήσονται. ἀγρῶν οἰκήτορας χωρεῖν * δικαιωθείσης. ἡ γὰρ τοιού-
των ἐπικράτεια προσώπων καὶ τῶν πενήτων τὴν πο-
λλὴν ἐπηύξησε ταλαιπωρίαν, τῷ πλήθει τῶν οἰκετῶν,
† σινόντων. τῶν μισθαρνούντων, τῶν ἄλλως ἐπιτρεχόντων καὶ † σι-
νόντων, τὰς ἐπαναστάσεις, τὰς διώξεις, τὰς ἀγγα-
ρείας ἐπάγουσα, τὰς ἄλλας ἐπακολουθούσας θλί-
ψεις, καὶ στενοχωρίας, καὶ τὴν τοῦ κοινοῦ διαφθορὰν
* γεννωμένων. τοῖς συνόροις * δυναμένοις οὐ μικρὰν, εἰ μὴ προ-
φθάσας ἀναστείλῃ ὁ παρὼν νόμος. ἡ γὰρ τῶν πολλῶν
κατοίκησις πολλὴν δείκνυσι τῆς χρείας τὴν ὠφέ-
λειαν, τὴν τῶν δημοσίων συνεισφορὰν, τὴν τῶν στρα-
τιωτικῶν λειτουργημάτων συντέλειαν. ἃ πάντως
† ἀπολείψει. † ἀπολείψει, τοῦ πλήθους ἐκλελοιπότος. Καὶ χρὴ
τοὺς τῆς πολιτικῆς ἀσφαλείας ἐχομένους καὶ τὸ τα-
ρακτικὸν ἀποτρίβεσθαι, καὶ τὸ βλαβερὸν ἀπωθεῖσθαι,
καὶ τὴν τοῦ κοινοῦ συνιστᾶν ὠφέλειαν. Καὶ ταῦτα μὲν
ὁ μετὰ ταῦτα ἐχέτω καιρὸς, ὑπὲρ κοινῆς ὠφε-
λείας καὶ καταστάσεως τῶν ἡμετέρων ὑπηκόων.
Δεῖ δὲ οὐκ ἐπὶ τοῖς μέλλουσι μόνον, ἀλλὰ καὶ ἐπὶ
τοῖς φθάσασι τὴν ἐνδεομένην ἐπεισάγειν θερα-
* εὐπορίας. πείαν. πολλοὶ γὰρ ἀφορμὴν * ἐμπορίας τὴν
τῶν πενήτων λαβόμενοι ἀπορίαν, ἣν ὁ πάντα
φέρων χρόνος ἤνεγκε, μᾶλλον δὲ ἣν ἡ τῶν ἡμετέ-
† ἐκβιαζομένη. ρων πλῆθος ἁμαρτημάτων θείαν † ἐκβιβαζομέ-
νη φιλανθρωπίαν προεξένησεν, ἀντὶ φιλανθρω-
πίας, ἀντὶ οἴκτου, ἀντὶ χρηστότητος, λιμῷ πιεζομέ-
νους ὁρῶντες τοὺς πένητας, οἱ μὲν ἀργυρίῳ, οἱ δὲ
χρυσίῳ, οἱ δὲ σίτῳ, ἢ ἄλλαις τισὶν ἐπιδόσεσιν εὐώ-
νους τὰς τῶν ἀτυχούντων πενήτων ἐξωνήσαντο
κτήσεις, βιαιότεροι τῆς προκειμένης ἀνάγκης,
καὶ αὐτοῖς τῷ μετὰ ταῦτα χρόνῳ τοῖς ἀθλίοις τῶν

*possidere. Quod si non in omnes impium adeo facinus cadit, at legis huius obseruatio communis omnibus esto: ne latenter una cum frumento lolium colligatur. Nullus igitur in posterum nec illustrium magistrorum aut patriciorum, nec magistratibus, aut præturis, aut ciuilibus militaribusue dignitatibus honoratorum, nec eorum omnino, qui Senatorum numero censentur, nec prouincialium præsidum uel expræsidum, nec amantissimorum Dei metropolitanorum, uel archiepiscoporum, uel episcoporũ, uel * antistitum, uel ecclesiasticorum præsidum, uel eorum qui religiosis ædibus, aut augustæ domui cũ potestate præsunt, in persona sua, uel nomine patrimonij principis, uel ecclesiæ, per se, uel per subiectam personã, audeat amplius in prædium uel agrũ uniuerse aut particulariter succedere, uel emtionis, uel donationis, uel hereditatis, uel occasionis alterius cuiuscumq; tituli: quum huiusmodi adquisitio tamquam nullius momenti declarata sit, & absque pretij restitutione res adquisitas una cum expolitione, quæ accessit, ad possessores, aut possessoribus eorumue cognatis non exstantibus, ad habitatores uicorum uel agrorum peruenire, merito statutum sit. Nam huiusmodi personarum potestas magnã illam pauperum miseriam adauxit, ipsa multitudine famulorum, mercenariorũ, & aliter incursantium atque lædentium, insultus, & persequutiones, & angarias inferens: atq; comitantes alias adflictiones, & angustias, & rei communis exitium confinibus non exiguum gignens; nisi lex præsens hæc anticipando coerceat. Quippe plurium incolarum frequentia magna commodorum perceptionis indicium est, & præstationis eorum quæ fisci sunt, & collationis functionum militariũ. quæ omnia defectura sunt, ubi multitudo incolarũ defecerit. Oportet autem eos, qui securitatis reipublicæ studiosi sunt, & perturbationes amoliri, & remouere noxia, & utilitatẽ communem prouehere. Atque hæc sibi sequuturum deinceps habeat æuum, pro communi commodo & statu subditorum nostrorum. Neq; uero futuris dumtaxat rebus, uerumetiam ijs, quæ iam præterierunt, adhibenda est medicina necessaria. Nam plerique ad occasionem negotiationis arripientes inopiã pauperũ, quam ferens omnia tempus secum adtulit, aut potius multitudo delictorũ nostrorũ, diuinæ lenitati uim adferens, peperit; humanitatis, cõmiserationis, benignitatis loco, quũ fame pressos inopes uident, alij quidem argẽto, auro alij, alij frumẽto, alij aly suppeditationibus, per quã uili pretio possessiones infelicium coemunt; ipsamet urgẽte necessitate uiolẽtiores, & qui sequenti tempore miseris*

* sic uocantur abbates.

uicorum habitatoribus instar pestilẽtis cuiusdã morborũ illuuiei fiunt, in morẽ gangrenæ prædiorum corpori se ingerentis, & internicionẽ eis parãtis ac instruẽtis. Quotquot igitur ex personis illustribus, quas arceri traditũ est superius hac lege, ab elapsa prima indictione, uel a tẽpore famis, quæ incidit, agros aut prædia cõsequuti, uel particulatim uel uniuerse possessiones in eis adepti sunt: ij solutũ ab se pretiũ recipientes, exigãtur inde uel a principalib. dominis, uel ab eorum heredibus aut cognatis; aut illi si soluẽdo nõ sunt, ab ijs qui ceteroqui collationes præstãt, uel ab uniuersitate, pretij restitutione locum habente. Pro illis autem, quæ in eis facta sunt exornationes, si locupletes sint iã indicatæ personæ, atq; ita uelint, cõueniens pretiũ soluant: sin fuerint inopes, aut nolint; materias suas alteri recipiẽtes cedant, si quidẽ de suis eas expẽsis adiecerunt, ac non probẽtur hæc quoq; de patrimonio pauperũ & opere profecta esse. Atq; hæc quidem de possessione, quæ uerisimiliter iusta uidetur esse, ueluti quam per emtionem quis nanctus est. Donationes autẽ, uel hereditatẽs, uel alias eiusdem generis & fucatas adquisitiones, aut rapinas potius, nullius esse momenti, & olim, & nũc statuimus: nec earũ nomine quidquã homines illi fraudulenti poscere poterunt, sed sine pretio suis prædia dominis reddãtur, aut illis ex hominum uita sublatis, eorũ liberis uel cognatis; aut si & illi decesserint, contributarijs concedãtur. Quod si qui sunt, quos benignius diuina prouidentia respexit, aut ob alias quasdam rationes incomprehensiles meliorem ad condicionẽ atq; statum huius uitæ traduxit, ex humiliori fortuna ereptos, & euectos ad sublimiorem: hos ipsos etiã in ea tum portione, tum cõdicione manere, quam ab initio nãcti erant, æquũ censemus, nec fortunæ suæ modũ excedẽtes, finitimos miseriores reddere prædãdo. Nã hæc cõtractuũ, quos ij qui in sublimitate gloriaq; splẽdoris huius uitæ superbiũt, cũ humiliorib. ineũt, aptior est appellatia; quũ ipsum discrimẽ personarũ hanc negotiationẽ publice nec cõducibilẽ, & incõuenientẽ esse, nõ rationũ modo præsumtione, uerumetiã cõgruentia rerũ ipsarũ in multis cottidie declaret ac diserte loquatur. atq; hos sane magis oportebat, diuinam erga se clemẽtiam cõsiderantes, patrimonia uicinorũ ijs cõcedere, qui simul prædia possidẽt; sinon & ipsi iudicio proposito subijci uellẽt. Eos autẽ, qui ante tẽpora iã definita in huiusmodi prædiorũ possessione fuerũt, si quidẽ in eodẽ manere statu cõspiciuntur; nos quoq; manere permittimus, eadẽ eis imposita prohibitione cũ ceteris, quæ uicinorũ a prædijs arceantur.

χωρίων οἰκήτορσι γενόμενοι ὥσπερ τις λοιμικῶν νοσημάτων ἐπιφορά, γαγγραίνης δίκην τῷ τῶν χωρίων ἐπεισφρήσασα σώματι, καὶ τὴν πανωλεθρίαν ἐπισκευαζομένη. ὅσοι τοίνυν ἀπὸ τῆς παρελθούσης α ἰνδικτιῶνος, ἢ τοῦ λιμοῦ καταλαβόντος, ἀγρῶν ἢ χωρίων ἐγκρατεῖς γεγόνασι, ἢ μερικὰς ἢ καθόλου ἐν αὐτοῖς κτήσεις προσέλαβον τῶν προειρημένων, οὓς ἄνωθεν κωλύεσθαι ἡ παροῦσα συγγραφὴ γράφει, τούτους ἀπολαμβάνοντας τὸ παρ' αὐτῶν καταβληθὲν τίμημα, ἐκεῖθεν ἐξελαύνεσθαι ἢ παρὰ τῶν πρωτοτύπων δεσποτῶν, ἢ παρὰ τῶν κληρονόμων αὐτῶν, ἢ συγγενῶν: ἢ τούτων ἀπορούντων, παρὰ τῶν ἄλλως συντελούντων, ἢ παρὰ τῆς ὁμάδος, τῆς τοῦ τιμήματος ἀποδόσεως προβαινούσης. ὑπὲρ δὲ τῶν ἐπ' αὐτοῖς καλλιεργημάτων, εὐπορούντων μὲν καὶ βουλομένων τῶν εἰρημένων προσώπων καταβαλλομένων τὸ αὐτῶν, ἀπορούντων δὲ ἢ μὴ βουλομένων, τὰς ὕλας ἐπαναλαμβανομένους ἀναχωρεῖν, εἴπερ ἐξ οἰκείων ἐξόδων ταύτας προσέθεντο, καὶ μὴ καὶ ταῦτα ἐκ τῶν πενήτων περιουσίας καὶ ἐργασίας ἐπιδεικνύωνται. ἀλλὰ ταῦτα μὲν περὶ τῆς ὡς εἰκὸς δοκούσης δικαίας ὡς ἐξ ἀγορασίας κτήσεως. δωρεὰς δὲ ἢ κληρονομίας ἢ ἄλλας τοιουτοτρόπους καὶ σεσοφισμένας ἐπικτήσεις ἢ ἁρπαγάς, ἀνισχύρους εἶναι, καὶ πάλαι καὶ νῦν διοριζόμεθα: μηδὲν ὑπὲρ αὐτῶν τῶν κακομηχάνων ἐπιζητεῖν δυναμένων, ἀλλὰ προῖκα τοῖς ἰδίοις ἀναδίδοσθαι ταῦτα δεσπόταις, ἢ τυχὸν τούτων ἐξ ἀνθρώπων ἀφανισθέντων,* τέκνοις ἢ γονεῦσιν, ἢ καὶ τούτων ἀπολελυμένων τοῖς συντελεστῆς παρέχεσθαι. εἰ δὲ καί τινας εὐνοϊκώτερον τὸ τῆς θείας προνοίας ἐπεῖδεν, ἢ ἄλλοις τισὶν ἀκαταλήπτοις λόγοις πρὸς κρείττονα μετεσκευάζετο τῆς παρούσης βιώσεως κατάστασιν, τῆς ταπεινοτέρας ἀφαρπάσασα τύχης, καὶ πρὸς ὑψηλοτέραν μεταθεῖσα: μένειν καὶ αὐτοὺς ἐφ' ἧς ἐξ ἀρχῆς ἔλαχον κληροδοσίας καὶ καταστάσεως δικαιοῦμεν, καὶ μὴ τὸ μέτρον τῆς οἰκείας παρεκτεινομένους τύχης, ἀτυχεστέρους τοὺς πλησιοχώρους ληλατοῦντας ἀπεργάζεσθαι. τοῦτο γὰρ τῶν ἐν ὕψει καὶ δόξῃ βιωτικῆς λαμπρότητος γαυρουμένων, πρὸς τοὺς ταπεινοτέρους τῶν συναλλαγμάτων ἁρμοδιώτερον ἐπίκλημα, τῆς τῶν προσώπων διαφορᾶς ὡς μὴ † κοινὴν καὶ συμφέρουσαν καὶ σύμφωνον τὴν πραγματείαν, οὐ λογισμῶν μόνον προλήψει, ἀλλὰ γὰρ καὶ πραγμάτων ἀκολουθίᾳ ἐν πολλοῖς ὁσημέραι ὑποτυπουμένης τε καὶ τρανολογούσης. οἷς πλέον ἐχρῆν ἀνασκοπουμένοις τὰ τῆς θείας πρὸς αὐτοὺς εὐμενείας πρὸς τὸ ὁμόχωρον διατίθεσθαι τὰς τῶν πλησίον περιουσίας, εἴπερ μὴ βούλοιντο καὶ αὐτοὶ τῷ προκειμένῳ δικαιοῦσθαι κρίματι. τοὺς δὲ πρὸ τῶν ὡρισμένων χρόνων ἐν κατοχῇ τοιούτων κτημάτων γεγονότας, εἴπερ ἐπὶ τῆς αὐτῆς ὁρῶνται μένοντες καταστάσεως, μένειν καὶ αὐτοὺς συγχωροῦμεν, τῆς τοῦ πλησίον κτήσεως ἅπασι τοῖς ἄλλοις τὴν κώλυσιν ἐπιφερομένους.

* τέκνοις ἢ συγγενέσιν.

† κοινὴ καί.

ἀ δὲ

εἰ δὲ φορτικοί τινες καὶ ἐπαχθεῖς πρὸς τοὺς πλησίον διαδείκνυνται, βαρείας τινὰς ἢ συνεχεῖς προξενοῦντες βλάβας τοῖς πένησιν, ἐξωθεῖσθαι τούτους καὶ ἀπελαύνεσθαι, μίσθωμα τῆς χαλεπῆς καὶ ἀπλήστου προαιρέσεως τὴν τῶν οἰκείων ἔκπτωσιν ἀπολαμβάνοντας. ἡ δὲ τῶν τιμημάτων ἀνάδοσις ἀνωτέρω εἰρημένη, ἐμμελεστέρας δεομένη καὶ λεπτοτέρας ζητήσεως, οὐ φαύλης καὶ ἀλογίστου ἔτυχε διακρίσεως. ἐλευθέρας γὰρ καὶ * ἀβιάστου συντελεσθείσης τῆς πράσεως, καὶ δικαίας ἐνορωμένης τῆς καταβολῆς τοῦ τιμήματος, δικαίως καὶ ὁ τῆς ἀναστροφῆς φυλαχθήσεται λόγος, μικρᾷ τινὶ προσθήκῃ θεσπίσματος τὸ τῆς πενίας ἄπορον ἀνακτώμενος, τὸ παραυτὰ μὲν τὴν τῶν τόπων ἀναστροφὴν καὶ ἀπόδοσιν γίνεσθαι πρὸς τοὺς πεπρακότας, ἢ κληρονόμους αὐτῶν, ἢ συγγενεῖς, τούτων δὲ μὴ ὄντων, πρὸς τοὺς συντελεστάς. καὶ εὐπόρων μὲν ὄντων αὐτῶν, ἀντιποδιδόναι τὸ ἐξαρχῆς καταβληθὲν τίμημα· ἀπορούντων δὲ, πρὸς τὸ ταχὺ τῆς ἀναδόσεως μὴ † προσβιάζεσθαι, ὡς μὴ φορτικωτέραν αὐτοῖς ὀφθῆναι καὶ δυσαχθεστέραν τῆς πρὸς τὸ μέλλον ἐλπιζομένης ὠφελείας, τὴν νῦν ἐπιβαρυνομένην εἴσπραξιν. ἄλλως τε δὲ καὶ τὸ πανοῦργον καὶ ἀνελεύθερον τῆς τῶν πολλῶν γνώμης διὰ τῆς ταχείας εἰσπράξεως οὐκ ἐρυθριάσει μὴ οὐκ ἀπαράθραυστον μένειν τὴν τῶν πωληθέντων ἔκβασιν διαμηχανήσασθαι. τοῖς γὰρ ἀπληστίας πάθει καὶ ψυχικῇ πενίᾳ πρὸς τοσοῦτον πορισμὸν προσπεπτωκόσι, καὶ μηδὲν αἰσχρὸν τῶν εἰς χρηματισμὸν συντελούντων ὑπολογιζομένοις, καὶ τοσαύτης πολυπραγμοσύνης ἐφόδιον τὴν ἐλευθερίαν ἐπιφορτιζομένοις, οὐδὲν ἀτόλμητον, οὐδ᾽ ἀνεπιχείρητον παραλειφθήσεται εἰς τὴν τῆς οἰκείας συμβαλλόμενον προθέσεως συντέλειαν. ἀλλ᾽ εἰς κώλυσιν τῶν καινῶν ἐφευρημάτων καὶ ἐκπλήρωσιν τῶν διορισθέντων, ὁ τῆς τριετίας εἰς ἀναμονὴν προκείσθω χρόνος, καὶ τῷ ἀπόρῳ τὴν εὐπορίαν φέρειν δυνάμενος, καὶ τὴν ἀπόδοσιν ἀλύπως παρέχειν πειρώμενος. δεῖ γὰρ μετὰ δικαίου καὶ τοῦ συμφέροντος καὶ τὸ φιλάνθρωπον συνεξυφαίνεσθαι τοῖς θεσμοθετουμένοις, καὶ συνεισφέρεσθαι, καὶ ἄλλως δὲ τῆς τοῦ χρόνου ὑπερθέσεως εἰσαχθείσης. ἅπαξ γὰρ τῆς περὶ τούτων ἀποφάσεως ἐξενεχθείσης, τοὺς παρακοῇ τῶν προστεταγμένων ἑαλωκότας οὐ ξένον οὐδὲ ἀλλότριον τῶν οἰκείων * ἐπαπολαύειν πόνων τὰ ἐπίχειρα, καὶ τῶν προσόντων ἀλλοτριοῦσθαι δικαιωμάτων. ἀλλὰ γὰρ ἀεὶ φιλανθρώπῳ τὸ αὐστηρὸν τῆς ἀκριβείας κεραννῦντες γνώμῃ, ἀντὶ τῆς προσηκούσης ἐκπτώσεως τὴν τῆς τριετίας ἀναβολὴν διωρισάμεθα, μετρίως μὲν τοὺς ἐξημαρτηκότας κολάζοντες, ἀξίως δὲ καὶ τοὺς ἐλέους τυχεῖν ἀξίους πένητας τῇ ἀναβολῇ ἀγαθύνοντές τε καὶ παρηγοροῦντες, καὶ σύμμετρον ἑκατέροις τὴν

* καὶ ἀναγκαστῶς.

† προσεκβιάζεσθαι.

* ἀπολαβεῖν.

At si compertum fuerit, eos uicinis graues ac onerosos esse, puta qui grauia continuaque damna uicinis inferant: expellantur & exigãtur, illiusque molesti ac inexplebilis animi mercedem ferant, bonorum scilicet suorum amißionem. Ceterum pretij redditio, de qua supra dictum est, diligentioris ac subtilioris examinationis egens, non prauam nec alienam a ratione dijudicationẽ nancta est. quippe quum libera & uis expers uenditio celebrata est, iustaq; pretij solutio facta cõspicitur: non abs re ratio quoque restitutionis habebitur, modico quodam appendice sanctionis, inopiam pauperum sublenans: nimirum ut statim ipsa loca reddãtur & reuertantur ad eos, qui uendiderunt; uel ad eorum heredes, aut cognatos; uel ijs non existantibus, ad illos, qui sub eodem titulo uectigal pendunt. Qui sane si locupletes sunt solutum ab initio pretium uicißim praestent; at si soluendo non sunt, ni non cogantur ad celerem pretij refusionem: ut ne maiori sit eis oneri, molestiaque superet exactio, qua tunc grauantur, id commodum, quod in posterum sperãt. praesertim quum ceteroqui futurum sit, ut subdola improbitas et illiberalitas in multorum animis per acceleratam exactionem pretij non erubescat moliri, ne quid in peracta semel distractione innouetur. Etenim qui morbo auaritiae inexplebilis, & animi paupertate tãtum ad quaestum cõtabescunt, ac nihil eorum turpe ducunt, quae ad cogendam pecuniae copiam faciunt, tantiq; uiaticũ laboris & operae libertatem grauãt; ijs uero nihil inausum nec intentatum relinquetur, quod ad instituti sui consummationem aliquid adiumẽti adferat. Sed enim ut noua commenta coërceãtur, & ea quae statuta sunt, impleãtur: triennij tempus exspectationi destinatũ esto, quod & inopi facultatem soluẽdi adferre poterit, & efficere, quo pretij citra molestiã praestatio fiat. Oportet enim cum eo, quod iustũ & utile est, humanitatem quoq; coniũgi, eique locum ab ijs dari, qui leges cõdunt: praesertim quum & alioqui mora quaedam tẽporis introducta sit. Nam quũ decretum de his semel promulgatũ fuerit, non insolẽs nec alienũ foret eos, qui mãdatis non obtemperare deprahẽsi sunt, digna factis suis praemia cõsequi, et quidquid habebãt iuris, amittere. Verũ enimuero semper iuris stricti seueritatem leni quadã sententia tẽperantes, pro hac amißione, quae locũ habere debebat, triennij dilationẽ statuimus; modice quidẽ punientes eos, qui deliquerunt: pauperes uero dignos, qui commiserationem impetrẽt, ut dignũ est ipsa dilatione benigne fouentes & cõsolantes; adeoq; conuenientẽ utrisq;

 medici-

medicinam adhibentes & expedientes. Quoniam uero nõnullos ad tantam opum cupiditatem progressos accepimus, ut instituant etiã uili pretio pauperum possessiones, emere dicã? ac nõ potius hianti ore deglutire? ipsum animi factique discrimen effecit, ut & dissimilis hac in parte sentẽtia sit ab ijs, quæ præcessere. Quamobrẽ si reperitur iusta rerũ uenditarũ æstimatio, dati pretij duplũ excedere: nullo pretio reddito emtores expellãtur. Si uero non in tantũ, sed tamen in fraudẽ damnumq; uenditorũ; et iam lucrum prouenientis e fundo reditus pretij dati summã æquauit: nihil emtores præterea requirere debẽt. sin aliquid eis adhuc desit, reliquũ ab ijs capiãt, quib. prædiorũ suorũ recuperatio iure conceditur. Quin nec prætextu alicuius, qui monasticam sit amplexus, uel amplecti uelit, & possessionẽ suam sacræ meditantiũ scholæ addixerit, recte iã decretis quidquã confusionis inferatur: sed quantũ satis est emolumẽti de hac nostra cõstitutione percipiẽtes, iustũ fundi pretiũ sumãt; si quidẽ hoc reapse salutis caussa, non dolo malo, nõ fraude, nõ fucata uafricie factũ est Atq; hoc nõ minus ad utilitatẽ sacrarũ domuum, quam pauperũ fieri reputabitur, quod & a litibus, & contẽtionibus, & illiberali possessionis dominio liberẽtur, simulq; deuitent ac minime incurrãt in lucra & possessiones eiusmodi, quæ ruinarum caussas ijs prabẽt, qui & homines sunt, & carni adhuc alligati; nec tantũ sibi fidunt, ut se immunes a lapsibus humanis esse credant. Sed.n. hæc perhumane sancita sunt, quæ & habendi cupiditatem insatiabilẽ cum moderatione coercent; & quod expedit publice, suadent: ut nemo nec spectabilium magistrorũ aut patriciorum, nec magistratibus, aut potestatibus, aut principalibus omnino dignitatibus honoratorũ, uel ciuilium, uel militariũ, uel prouincialiũ præsidum, uel expræsidũ, uel metropolitanorũ, uel archiepiscoporũ, uel episcoporũ, uel antistitũ, uel eorũ, qui religiosis domibus præsunt, aut aliũ deniq; mundanum honorem cõsequuti sunt, emtionis, aut donationis, aut alio quouis titulo, in prædiorum uel agrorũ possessiones succedat. Eos enim, qui post hanc constitutionẽ, tale quid audere uoluerint; & pretio non restituto prædijs eijci iubemus, & operis impensisq; suis, quas ad rem pretiosiorẽ faciendã ornandamq; cõtulerunt, fraudari; & æstimationem prædij, si quidem illustres uiri sint, fisco applicari; nõ propter commodum aliquod uel reditum fisci, (nam qui auaritiam inexplebilẽ in alijs coërcere studemus, quonam pacto id lucri nostri caussa citra pudorem ullum statueremus, nosque declararemus non publicã,

θεραπείαν προσφέροντές τε καὶ ἀφοσιούμενοι. ἐπεὶ δὲ τινὰς καὶ πρὸς τοσαύτην χρηματισμῶν ἐληλακότας † πρόθεσιν ἀκηκόαμεν, ὡς εὐωνεῖς τὰς τῶν πενήτων, ἀλλὰ πῶς εἴπω; ἐξωνήσασθαι, καὶ μὴ χανδὸν καταπιεῖν κτήσεις προελέσθαι: τὸ τῆς γνώμης καὶ τῆς πράξεως διάφορον, οὐχ ὁμοίαν τῶν προλαβόντων τὴν διάκρισιν ἐξειργάσατο. εἴπερ οὖν εὑρίσκεται ὑπὲρ τὸ διπλάσιον ἡ δικαία τῶν πεπραμένων ἀποτίμησις, ἀναργύρως τοὺς ἀγοράσαντας ἀπελαύνεσθαι. εἰ δὲ καὶ μὴ πρὸς τοσοῦτον, ὅμως εἰς περιγραφὴν καὶ βλάβην τῶν πεπρακότων, ἔφθασε δὲ τῆς ἐκεῖθεν προσόδου τὸ κέρδος ἐξισωθῆναι τῇ καταβολῇ τοῦ τιμήματος, μηδὲν αὐτοὺς ἕτερον ἐπιζητεῖν: ἐλαττουμένους δέ, τὸ λεῖπον ἀπολαμβάνειν παρὰ τῶν δικαιουμένων εἰς τὴν τῶν τόπων ἀπόληψιν. ἀλλὰ μηδὲ προφάσει μονάζοντός τινος, ἢ μονάσαι βουλομένου, καὶ τὴν ἰδίαν προσκυρώσαντος τῷ ἱερῷ φροντιστηρίῳ κτῆσιν, τὰ καλῶς νῦν δόξαντα σύγχυσίν τινα δέχεσθαι: ἀλλ' ἱκανὴν ἐκ τῆς παρούσης διακρίσεως εὐμοιροῦντας ὠφέλειαν, τὴν δικαίαν τιμὴν τοῦ κτήματος ἀπολαμβάνειν, εἰ ἀληθῶς σωτηρίας ἕνεκα τοῦτο, καὶ μὴ δόλῳ καὶ περιεργίᾳ καὶ σεσοφισμένῃ διαπέπρακται περινοίᾳ. τοῦτο δὲ οὐχ ἧττον εἰς λυσιτέλειαν τῶν ἱερῶν οἴκων, ἢ τῶν πενήτων λογισθήσεται, ἀπαλλαττομένων μὲν ἔριδος καὶ φιλονεικιῶν καὶ ἀνελευθέρου κτήσεως, φευγόντων δὲ καὶ οὐκ ἐπιτρεχόντων πλωμάτων αἰτίους εὑρήσεις καὶ * κατίχεις, ἀνθρώποις τε οὖσι, καὶ ἔτι σαρκὶ συνδουμένοις, καὶ οὐκ ἀναλώτοις μένειν πεπιστευκόσι τοῖς ἀνθρωπείοις ὀλισθήμασιν. ἀλλὰ ταῦτα μὲν φιλανθρωπότερον διωρίσθη, καὶ τὸ τῆς φιλοκτημοσύνης ἀκόρεστον μετριώτερον ἐπιτιμώμενα, καὶ τὸ κοινῇ λυσιτελοῦν εἰσηγούμενα, ὡς μηδένα μηκέτι μήτε τῶν περιβλέπτων μαγίστρων ἢ πατρικίων, μήτε τῶν ἀρχαῖς ἢ ἐξουσίαις ἢ ὅλως βασιλικοῖς ἀξιώμασι τετιμημένων, ἢ πολιτικῶν, ἢ στρατιωτικῶν, ἢ θεματικῶν ἀρχόντων ἢ ἀπαρχόντων, μήτε μητροπολιτῶν, ἢ ἀρχιεπισκόπων, ἢ ἐπισκόπων, ἢ ἡγουμένων, ἢ τῶν εὐαγῶν οἴκων προεστώτων, ἤτε ἄλλως κοσμικῆς δόξης τυχόντων, ἀγορᾶς, ἢ δωρεᾶς, ἢ ἄλλῳ τινὶ τρόπῳ ὑπεισέρχεσθαι εἰς χωρίων ἢ ἀγρῶν κτήσεις. τοὺς γὰρ μετὰ τὴν παροῦσαν διάταξιν τοιοῦτόν τι κατατολμῆσαι βουληθέντας, καὶ ἀναργύρως ἐκεῖθεν ἐξελαύνεσθαι κελεύομεν, καὶ τῶν οἰκείων ἐμποιημάτων καὶ καλλιεργημάτων ἀποστερεῖσθαι, καὶ τῷ δημοσίῳ περιφανεῖς μὲν ὄντας τὴν τοῦ ἐπικτήματος τιμὴν † καταβαλλομένων, οὐκ ὠφελείας ἢ συνεισφορᾶς ἕνεκεν τοῦ δημοσίου, (εἰ γὰρ τὸ τῶν ἄλλων ἀκόρεστον τῆς φιλοκτημοσύνης ἀναστέλλειν σπουδάζοντες, πῶς ἂν εἰς οἰκεῖον κέρδος τοῦτο ἀνελευθερίας διωρισάμεθα, ἢ κοινὴν ὠφέλειαν,

ἀλλ'

† ἐθέσεως

* κατασχέσεις.

† καταβάλλεσθαι.

ἀλλ' ἰδίαν ποιεῖσθαι ἐλεγχόμενοι;) ἀλλὰ τῆς τῶν πενήτων ἕνεκα προμηθείας· τῶν εὐτελεστέρων καὶ ἀναργύρως ἐκδιωκομένων, καὶ διὰ τῆς πρεπούσης τιμωρίας σωφρονιζομένων. Ταῦτα κρατεῖν ὑπὲρ τῆς τῶν ὑπηκόων σωτηρίας βουλόμεθα, ὑπὲρ ὧν πολλὴ καὶ διηνεκὴς ἡμῖν πρόκειται πρόνοια. εἰ γὰρ τοσαύτην ἐθέμεθα τῶν ὑπὸ χεῖρα πρόνοιαν, ὡς μηδενὸς φείσασθαι τῶν συντελούντων εἰς ἐλευθερίαν, δι' ἃ καὶ χῶραι, καὶ κῶμαι, καὶ πόλεις, θεοῦ συνεργοῦντος, ἡμῖν προσετέθησαν τῶν ὑπεναντίων, αἱ μὲν ἔργον πολέμου γενόμεναι, αἱ δὲ τῷ τούτων ὑποδείγματι, καὶ τῷ τῆς ἁλώσεως, καὶ πρὸ τῆς πολεμικῆς ἀλλαγῆς φόβῳ σάλπιγγος προσρυεῖσαι, καὶ τοσαύτην ὑπηκόοις παρασχεθῆναι τῆς πολεμικῆς ἐφόδου τὴν ἐλευθερίαν θεοῦ συνεργοῦντος διηγωνισάμεθα, εὐχῆς καὶ σπουδῆς ἔργον προθέμενοι· οἱ τοίνυν πρὸς τὴν τῶν ἔξωθεν ἐχθρῶν ἐπιφορὰν τοσαῦτα κατεργασάμενοι, τοὺς οἰκείους ἔνδοθεν ὄντας ἐχθροὺς τῆς φύσεως, τῆς πλάσεως, τῆς εὐνομίας, πῶς οὐκ ἀποτριψόμεθα τῷ δικαίῳ τῆς ἐλευθερίας βουλήματι; τῷ τμητικῷ τῆς παρούσης νομοθεσίας ξίφει, δυσχεραίνοντες καὶ βαρυνόμενοι τὸ ἀκόρεστον, τὴν πλεονεκτικὴν ἀποτέμνοντες προαίρεσιν, καὶ τοῦ ζυγοῦ τῆς τυραννικῆς καὶ βαρείας καὶ χειρὸς καὶ γνώμης ἀπαυχενίζοντες τὸ ὑπήκοον. ταῦτα ἐπὶ τῆς αὐτῆς διηνεκῶς μένειν ἰσχύος ἕκαστος τῶν δικάζειν λαχόντων παρασκευαζέτω, εἰς θεοῦ θεραπείαν, καὶ τῆς ἐξ αὐτοῦ βασιλείας ἡμῶν εἰς μόνην λυσιτέλειαν καὶ ὠφέλειαν.

ΡΩΜΑΝΟΥ ΤΟΥ
ΓΕΡΟΝΤΟΣ ΝΕΑΡΑ β.

ΠΕΡΙ ΑΝΑΛΥΣΕΩΣ ΤΟΥ ΠΡΑΘΕΝΤΟΣ, καὶ τῶν κινούντων τὸν εἰς τὸ διπλοῦν ὑπερθεματισμόν.

Εἰ μὲν εὑρίσκονται οἱ ἐγκαλέσαντες μετὰ τὴν πρᾶσιν, τὴν γενομένην παρ' αὐτῶν, εἴπερ καὶ μαρτυρηθῇ ὅτι ἐγένετο, † ἔνδοθεν τετραετοῦς χρόνου κινήσαντες καὶ ἐπιμεμψάμενοι, βοηθοῦνται. βοηθοῦνται δὲ, οὐκ εἰς τὸ * ἀναλαβέσθαι τὰ προάστεια, ἀλλ' εἰ μὲν βούλεται ὁ ἀγοραστὴς παρασχεῖν καὶ τὸ λοιπὸν τίμημα πρὸς ἀναπλήρωσιν τοῦ δικαίου τιμήματος, ἵνα δύνηται τοῦτο ποιεῖν. καὶ ποιῶν τὴν ἀναπλήρωσιν τοῦ δικαίου τιμήματος, καὶ τὴν καταβολὴν τῆς δικαίας ποσότητος, ἵνα ἔχῃ μὲν τὰ προάστεια, † ἀπολαμβάνωσι δὲ οἱ ἐγκαλοῦντες τὸ δίκαιον τίμημα, καθ' ὅσον ἀξιοῦται τὸ κτῆμα. εἰ δὲ μὴ βούλεται ὁ ἀγοραστὴς τὴν ἀναπλήρωσιν τοῦ τιμήματος ποιήσασθαι, ἵνα ἀπολάβῃ μὲν παρὰ τῶν ἐγκαλούντων ὅπερ κατεβάλετο [ὁ προκάτοχος αὐτοῦ] τίμημα, καὶ τὰς ἐξόδους αὐτοῦ, καὶ ἀναχωρῇ ἐκ τοῦ κτήματος. τὸ δὲ κτῆμα * ἀποδίδοται τοῖς πωλήσασιν.

† ἔνδον.
* ἀναλαβεῖν.
† ἀναλαμβάνουσι.
* ἀποδίδωνται.

sed priuatim nostram utilitatem quaerere?) sed ut pauperibus prospiciatur: humilioribus absq. pretij restitutione pellendis, & merito praeterea supplicio castigandis. Haec nos pro salute subditorum esse rata uolumus, quorum caussa nobis ingens & perpetua sollicitudo incumbit. Nam si tantopere subiecti nostri curae nobis fuerunt, ut nulli eorũ pepercerimus, quae ad libertatem illorum conducunt; quapropter & hostium ditionibus, & uicis, & opidis, Deo nobis opitulante, potiti sumus; alijs belli iure captis, alijs & priorũ, & ipsius adeo captiuitatis exemplo metuque deditis ante, quam martia tuba clangeret; tantamque subditis ab impressione bellica liberationem, adiutore Deo, summa contentione uirium confecimus, proposito uoti studijque singularis opere: qui ergo aduersus extraneorũ hostium impetum talia tantaque perfecimus, nõ etiam domesticos & internos hostes naturae, creationis, aequitatis legum, iusto libertatis decreto eijceremus? acuto scilicet legis huiusce praesentis gladio, quum permoleste grauiterque cupiditatem illam inexplebilẽ feramus, auarum propositum resecantes, simulque subditorum nostrorum ceruices a iugo tyrannico, perque grauis tum manus, tum animi liberantes. Atq. haec uti perpetuo in eodem robore maneant, quilibet eorum, qui iudicum officijs funguntur, tam ad ipsius Dei cultum, quam imperij nobis ab ipso concessi commodum & utilitatem, efficiat.

ROMANI SENIORIS NOVELLA. II.

DE RESCINDENDA VENDITIONE, deque agentibus duplandi pretij nomine.

Si constet eos, qui post uenditionem a se celebratam, si modo testibus celebrata comprobetur, querelas instituunt, intra quadriennij spatium actione mota questos esse; subuentur eis, sed ita, non ut uendita suburbana recipiant, sed si quidem uelit emtor id quod reliquum est ad iusti pretij complementum, praestare; hoc ut ei facere liceat. atque ita iustum rei pretium supplens, iustaque summae solutionem perficiẽs, suburbana sibi retineat, & qui de uenditione facta queruntur, iustum precium accipiant, quanti praedium scilicet aestimatur. Sin emtor supplere pretium nolit, recipiat ab illis, qui querelas instituunt, id ipsum pretium, quod ab eo solutum fuit, una cum illius fructibus; atq. ita praedio cedat, quod ijs restituitur, qui distraxerant.

*Hæc quoque Romani nouellis adiũctæ reperiuntur. quippe Cosmas hic ex præcipuis apud principẽ erat.

COSMAE * MAGISTRI OFFICIORVM SENtentia I.

DE COLONIS.

Si uel emphyteutico iure, uel per locationem prædium quoddam ab episcopatu iuxta legitimam iuris formam alicui traditum fuerit, ipsaque locatio uel emphyteusis facta probetur: quod actum est robur habeat, & secundum uim eius in rei locatæ, uel per emphyteusim concessæ, tam possessione, quam fruitione maneat is, qui emphyteusin nanctus est, aut rem conduxit. Si uero nec locatio, nec emphyteusis est, sed colonario fortaßis iure locum ad episcopatum pertinentem consequuti sunt, qui ædificium ibidem exstruxerunt; ius illud colonarium tam diu, dum qui eos admisit dominus uoluerit, consistet, ac stabilitatem firmitatemque suam obtinebit. & colonus, qui eum in locum peruenit, non potest prædium sibi concessum alteri tradere. ac propterea si uelut coloni sunt introducti & constituti in locum aliquem episcopatus, nullo modo poterunt eiusmodi loca, licet etiam in eis ædificauerint, ad alios transmittere: sed ipsis migrantibus locum suum recipiat episcopatus, uelut earum rerum dominus; solas ædificij materias colonis restituens. At uero si iam antea quædam a colonis ad alios trãslata sunt, quum nullius momenti sit hæc alienatio, uelut quæ firmitatem ex iure nullam acceperit, ac præsertim quum præter rationem eiusmodi rerum a non domino facta fuerit alienatio; nisi per longi temporis hac præscriptionem confirmentur, puta post alienationem factam annis XL elapsis, adtestatione nulla interposita: suos episcopatus agros recuperabit. Nam alioquin eorum nomine agens, & a subtilitate iuris adiutus, nullo impedimento excluditur, extraquam spatio tanti temporis citra testationem decurso.

EIVSDEM SENTENtia II.

Si unus idemque loci census, & eadem pensitatio sit, partibus inter consortes tributis, nec adhuc anni XXX præterierint, ex quo diuisio facta fuit: rursum totus census effici communis poterit, & confundi limites, & in singulos partitio fieri, sortibus æqualiter ductis, ipsoque fundi solo non tantum iuxta quantitatem diuiso; uerumetiam ex qualitatis comparatione distributo.

ΤΟΥ † ΜΑΓΙΣΤΡΟΥ ΚΟΣΜΑ ΨΗΦΟΣ α.

† καὶ ταῦτα προστίθενται τοῖς τοῦ Ῥωμαϊκοῦ νεαραῖς εὑρίσκονται. ἦν γὰρ ὁ Κοσμᾶς ἕνος τῶν πρὸ χρόνων παρὰ τῷ βασιλεῖ.

ΠΕΡΙ ΠΑΡΟΙΚΩΝ.

Εἰ μὲν ἐμφυτευτικῶς ἢ μισθωτικῶς ἐξεδόθη ὁ τόπος ὑπὸ τῆς ἐπισκοπῆς κατὰ τὴν νομικὴν ἀκρίβειαν, καὶ δείκνυται ἡ μίσθωσις ἢ ἡ ἐμφύτευσις: ἔχειν τὴν ἰσχὺν τὸ γεγονός, καὶ κατὰ τὴν δύναμιν αὐτῆς τὸν ἐμφυτευσάμενον ἢ μισθωσάμενον ἐν κατοχῇ καὶ ἐν ἀπολαύσει γίνεσθαι τοῦ μισθωθέντος ἢ ἐμφυτευθέντος αὐτῷ. εἰ δὲ οὐκ ἔστι μίσθωσις ἢ ἐμφύτευσις, ἀλλὰ τυχὸν παροικικῷ δικαίῳ καθεστήκασιν εἰς τὸν τόπον τῆς ἐπισκοπῆς * οἱ ἐπικτήσαντες ἐν αὐτοῖς, τὸ παροικικὸν δίκαιον μέχρι τῆς τοῦ εἰσάγοντος κυρίου καὶ δεσπότου γνώμης καὶ θελήσεως καὶ τὴν σύστασιν, καὶ τὴν τάξιν, καὶ βεβαίωσιν ἔχει. καὶ ὁ εἰσελθὼν πάροικος οὐ δύναται ἐκποιεῖν ἢ μεταδιδόναι τὸν παραχωρηθέντα αὐτῷ τόπον. καὶ διὰ τοῦτο ἐὰν ὡς πάροικοι εἰσήχθησαν καὶ ἐκαθέστησαν εἰς τὸν τόπον τῆς ἐπισκοπῆς, ἵνα μὴ δύνωνται τοὺς τοιούτους τόπους, καθ' τάχα καὶ ἐν αὐτοῖς ἐπέκτισαν, εἰς ἑτέρους παραπέμπειν: ἀλλ' ἵνα ἀναχωρούντων αὐτῶν, ἀναλαμβάνηται ἡ ἐπισκοπή, κυριοπράγμων οὖσα καὶ δεσπότις, τὸν οἰκεῖον τόπον, παρέχουσα μόνας τὰς ὕλας τοῦ οἰκοδομήματος τοῖς παροίκοις. εἰ δὲ ἔφθασάν τινα προεκποιηθῆναι ὑπὸ τῶν παροίκων εἰς ἑτέρους, ἐπεὶ ἡ ἐκποίησις ἀσύστατος ὡς μὴ ἐκ τῆς νομικῆς ἀκριβείας τὴν βεβαίωσιν δεχομένη, ἄλλως τε καὶ παρὰ λόγον τὸ τοιοῦτον ὑπὸ τοῦ μὴ δεσπόζοντος ἐκποιούμενον, διὰ τοῦτο τὰ τοιαῦτα εἰ μὴ ἀπὸ χρόνου ἔλαβεν τὴν τάξιν, τυχὸν μετὰ τὴν ἐκποίησιν μ' ἐνιαυτῶν διελθόντων ἀνεπιφωνήτως, ἀναλαμβάνεσθαι τὴν ἐπισκοπὴν τὰ οἰκεῖα τόπια. ἄλλως γὰρ πρὸς κίνησιν αὐτῶν κινοῦσα, καὶ βοηθουμένη τῆς νομικῆς ἀκριβείας, οὐκ ἐμποδίζεται † ἀποκλείεσθαι, εἰ μὴ διὰ τῆς τοῦ τοσούτου χρόνου ἀνεπιφωνήτου παραδρομῆς.

* οἱ ἐπικτίσαντες.

† οὐκ ἀποκλείεται.

ΤΟΥ ΑΥΤΟΥ ΨΗΦΟΣ β.

Εἴπερ ἐστὶ τοῦ τόπου μία ὑποταγή, καὶ εἷς τελεσμός, καὶ αἱ μερίδες ἀνακεκοίνωνται, οὔπω δὲ διῆλθε τριακονταετία, ἀφ' οὗπερ γέγονε μερισμός: ἵνα καὶ πάλιν κοινῶται πᾶσα ἡ ὑποταγή, καὶ συγχέωνται * τὰ ὅρια, καὶ γίνηται μερισμὸς πρὸς ἕκαστον αὐτῶν, κατὰ κλήρων ἰσότητα, τῆς γῆς τοῦ ἀγροῦ οὐ μόνον † κατὰ ποιότητα μεριζομένης, ἀλλὰ καὶ κατὰ * σύγχυσιν ποιότητος διατιμωμένης.

* τὰ ἔργα.

† κατὰ ποσότητα.

* σύγκρισιν.

ΡΩΜΑ-

ῬΩΜΑΝΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ νεαρά.

ἘΚ ΤΟΥ ἘΚΦΩΝΗΘΈΝΤΟΣ ΒΑΣΙλικοῦ ἐδίκτου πρὸς τοὺς ἐν τῷ θέματι τῶν Θρᾳκησίων, μηνὶ μαρτίῳ, ἰνδικτιῶνος ε, ἔτους ς υ ο.

α. Θεσπίζομεν, ἐάν τινες μερίδας τινὰς ἀπὸ στρατιωτικῶν κατέχουσι τόπων, εἰ μὲν καλῇ πίστει, τουτέστιν ἀγορᾶς ἢ δωρεᾶς ἢ ἀνταλλαγῆς ἢ ἀντιλήψεως τρόπῳ ταύτας ἐκτήσαντο, καὶ οὐδεμίαν ἀπὸ τοῦ χρόνου † συνήθειαν ἔχωσι, ἐκ τῶν τοιούτων τοὺς μὲν τόπους μόνους ἀφαιρεῖσθαι, καὶ τοῖς ἐγκαλοῦσι στρατιώταις ἀναδιδόναι. ζημίαν δὲ μηδεμίαν τῷ κατεσχηκότι προσφέρειν. οὐδὲ γὰρ βούλεται ἡ βασιλεία ἡμῶν τὸν μὴ ἐξ ἁρπαγῆς καὶ βίας, ἀλλὰ καὶ καλῇ πίστει στρατιωτικοὺς τόπους κτησάμενον, ζημίαν ὑπομένειν, πλὴν μόνην τὴν ἀνάργυρον τῶν τοπίων * ἀνάδοσιν. εἰ δὲ καὶ ἐξ ἁρπαγῆς στρατιωτικοὺς τινὲς δεσπόζουσι τόπους, τότε κατὰ τὴν ἀναλογίαν τοῦ κατεχομένου τόπου καὶ τὴν ζημίαν τῷ καθαρπάσαντι ἐπιφέρεσθαι. ἐὰν δὲ καί τις στρατιώτης παρ᾽ ἑτέρου στρατιώτου στρατιωτικὸν ἐξωνήσατο τόπιον, ζημίαν μὲν οὐδεμίαν τὸν ἠγορακότα ὑφίστασθαι, ἐπεὶ καὶ αὐτὸς καλῇ πίστει κτησάμενος φαίνεται. πλὴν εἰ μὲν ὁ πωλήσας τὸ ἱκανὸν ἔχει τῆς στρατείας, ὁ δὲ ἐξωνησάμενος ἀπορεῖ, ἀποστρέφεσθαι πρὸς μὲν τὸν πωλήσαντα ὁ τόπος, πρὸς δὲ τὸν ἠγορακότα τὸ τίμημα. ἐὰν δὲ ὁ πωλήσας μᾶλλον ἀπορεῖ, ὁ δὲ ἠγορακὼς εὔπορος ᾖ, τότε ἀναργύρως τὸν πωλήσαντα ἀναλαμβάνειν τοὺς τόπους. εἰ δὲ καὶ ἀμφότεροι στρατιῶται ὄντες, ἀμφότεροι ἀποροῦσιν, ἀντιστρέφεσθαι μὲν πρὸς τὸν ἠγορακότα τὸ τίμημα, πλὴν μετά τινος προσδιορισμοῦ, τουτέστι τριετοῦς χρόνου.

β. Εἰ δὲ καί τινες παρὰ † ἐπισκόπου ἢ βασιλικοῦ στρατιωτικοὺς διὰ λιβέλλων ἐξωνήσαντο τόπους, καὶ τούτους διωρισάμεθα, εἰ μὴ βοηθοῦνται οἱ κατέχοντες ἀπὸ τοῦ χρόνου, ἐπεὶ στρατιωτικοὶ ὑπάρχουσιν, ἀναργύρως μὲν ἀντιστρέφειν, ζημίαν δὲ μὴ προσαπαιτεῖσθαι. τῷ γὰρ τῆς καλῆς πίστεως δικαιώματι καὶ αὐτοὶ ἐπερείδονται.

γ. Ἀλλὰ καὶ ἐάν τις ἀγορᾶς, ἢ δωρεᾶς, ἢ ἀνταλλαγῆς, ἢ ἀντιλήψεως τρόπῳ ἐκτήσατο τοὺς καρπούς, οὕτοι δὲ ἔτυχον ἢ μερικῶς, ἢ καθόλου στρατιωτικοὶ ὄντες, καὶ ὁ χρόνος οὐ βοηθεῖ τῷ κατέχοντι: αὐτὸν μὲν νῦν τὸν κατέχοντα, ἐπεὶ καλῇ πίστει φαίνεται δεσπόζων, μηδὲν ζημιοῦσθαι, χωρὶς τῆς τῶν τόπων ἀναργύρου ἀφαιρέσεως, ἀλλὰ πρὸς τὸν πωλήσαντα, ἢ δωρησάμενον, ἢ * ἀπαλλάξαντα, ἢ καὶ τῆς ἀντιλήψεως ἐπιτυχόντα, μετατίμασθαι τὴν ζημίαν.

† βοήθειαν.

* ἀπόδοσιν.

† ἐκκλησίας ἢ βασιλικοῦ οἴκου.

* ἀνταλλάξαντα.

ROMANI NATI IN PORPHYRA, NOuella.

EX EDICTO PRINCIPIS, AD EOS publicato, qui sunt in prouincia Thracensium, mense Martio, indictione V, anno ↀↀCIↃ CCCC LXX.

I. *Sancimus, ut ijs, qui partes quasdam prædiorum militarium posśident, si quidem eas bona fide, hoc eśt, emtionis, aut donationis, aut permutationis, aut defensionis titulo nancti sunt, nec præscriptionis auxiliū habent; ipsa prædia dumtaxat adimātur, & militibus querelas instituentibus reddātur; pœna uero possessori nulla inferatur. Non enim maiestas nostra uult, ut is, qui non rapina, nec ui, sed bona fide militares agros adquisiuit, pœnam aliquā sustineat; extra solam prædiorum absque refusione pretij restitutionem. Quod si qui dominium locorum militarium ex rapina consequuti fuerint, tum uero pro ratione loci, qui detinetur, pœna quoq; raptori infligatur. Si uero miles aliquis ab alio milite fundum militarem emerit, nullam quidem pœnam sustinebit emtor, quum & ipse bona fide comparasse uideatur: si tamen uenditor militiæ nomine satis habet, quum is soluendo nō sit, qui emit; ad uenditorem fundus reuertitur, ad emtorem datum pro fundo pretium. Sin minores illius facultates sunt, qui uendidit, quum emtor sit locupletior; non restituto pretio uenditor loca sua recipiat. Quod si milites ambo sint, & egeant ambo; pretium quidem ipsum ad emtorem reuertatur, sed cum præstituto quodam spatio temporis, uidelicet triennij.*

II. *Si uero quidam ab episcopali, uel augusta domo loca militaria per libellos emerint; hæc quoque sancimus, nisi possessoribus ob longi temporis præscriptionem subueniatur, quādoquidem militaria sunt, pretio quidem non restituto reuerti, sed pœnam præterea nullam exigi. Nam & illi bonæ fidei iure nituntur.*

III. *Quinetiam si quis emtionis, aut donationis, aut permutationis, aut defensionis titulo fructus adquisierit, qui forte uel ex parte, uel in uniuersum militares erant, nec temporis præscriptio possessori succurrat: ipse quidem possessor, quoniam bona fide dominium nanctus uidetur, nihil detrimenti capiet, præter amißionem locorum, sine pretij refusione; sed ad eum qui uendidit, aut donauit, aut permutauit, aut cui obtigit defensio, pœna transmittetur.*

Si uero

Si uero & illum bona fide possedisse cõperiatur,
IIII. *damni omnis expers esto. Ceterum si qui se sub-*
duxerint a militibus, & uniuersam heredita-
tem militarem parentibus, aut fratribus, aut
cõsortibus suis reliquerint, ut illi seruitutes ex-
hibeant, & ipsi prorsus condicione militari re-
licta quasdam ad personas sese contulerint: hos
qui susceperint, nihil propterea damni suis in
rebus capiant; si quidem, ceu dictum est, eorum
militia seruitus ab alijs praestatur, & nullam i-
psos partem ex illis militaribus bonis possidere
constat. Praeterea si qui forte milites quosdam
redactos ad egestatem extremam, quique nullo
modo militare onus subire possunt, denique lu-
gubriter flentes susceperint; nec horum caussa,
nec illorum, id est, militum ad inopiam reda-
ctorum, multam aliquam militarem sustine-
bunt; sed illi potius, qui milites ipsos expulerũt,
eisque tam inopiae, quam fugae & exsilij aucto-
res exstiterunt, poenam hanc ferant. At eum,
qui & locupletem, & saluum incolumemq; mi-
litem recepit, ac sciens prudensque detinet, pro-
clamatione iam a turmae ductore uel a Drun-
gario, uel comite, uel productore, uel ipsius con-
cilio facta, nec ad ignorantiae praetextum con-
fugere potest: eum igitur poenã sustinere suam
statuimus. Quippe si milites incolumes ab ex-
peditionum seruitute arceantur, plus quam ma
nifestum est, non exiguum inde detrimentum
nostros ad exercitus redundaturum.

εἰ δὲ καὶ † οὕτως καλῇ πίστει εὑρίσκεται κατασχὼν, † ὄντ.
μηδὲ αὐτὸν ζημιοῦσθαι. εἰ δέ τινες τῶν στρατιωτῶν δ.
διαιρεθέντες, καὶ τὸν μὲν στρατιωτικὸν ἅπαντα κλῆ-
ρον παρὰ τοῖς πατράσιν, ἢ ἀδελφοῖς, ἢ συνδόταις
αὐτῶν ἐκδουλεύεσθαι καταλελοιπότες, αὐτοὶ δὲ
τέλεον τῆς στρατιωτικῆς μοίρας ἀπαλλαγέντες, ἔν
τισι προσώποις προσῆλθον: μηδὲν τοὺς ὑποδεξα-
μένους αὐτοὺς ζημιοῦσθαι, εἴπερ, ὡς εἴρηται, ἡ στρα-
τεία αὐτῶν παρὰ τῶν ἄλλων ἐκδουλεύεται, καὶ μη-
δεμίαν ἐκεῖνοι μερίδα ἐκ τοῦ στρατιωτικοῦ εὑρί-
σκονται κατέχοντες κλήρου. πρὸς τούτοις καὶ ἐάν τι-
νας τῶν στρατιωτῶν εἰς ἐσχάτην καταστήσαντας
ἀπορίαν, καὶ μηδόλως δυναμένους τὸ στρατιωτι-
κὸν ὑπέρχεσθαι βάρος, ἀλλὰ καὶ * ἠδορδυ- * ὀλυρομέ-
μένους, ἐὰν ὑποδέξαιντό τινες, μήτε ὑπὲρ τούτων, νους.
μήτε ὑπὲρ ἐκείνων, τουτέστι τῶν ἠπορημένων στρα-
τιωτῶν, τὴν στρατιωτικὴν ὑφίστασθαι ζημίαν, ἀλ-
λὰ μᾶλλον τοὺς ἐκδιώξαντας τοὺς στρατιώτας, καὶ
τῆς ἀπορίας αὐτοῖς καὶ τῆς φυγῆς αἰτίους κατα-
στάντας, ἐκείνους καὶ τὴν ζημίαν ὑπομένειν. τὸν δὲ
εὔπορον καὶ σωζόμενον ὑποδεξάμενον στρατιώ-
την, καὶ ἐν γνώσει αὐτὸν κατέχοντα, παρὰ τοῦ τουρ-
μάρχου προφωνηθέντα, ἔτι παρὰ δρουγγαρίου, ἢ
κόμητος, ἢ προαγέτου, † ἔτι ὁ παρὰ συνόδου αὐ- † ἤτοι τοῦ
τοῦ, καὶ μὴ δυνάμενον εἰς ἄγνοιαν καταφεύγειν, παρὰ.
ἐκεῖνον καὶ διορισάμεθα τὴν ζημίαν ὑφίστασθαι.
ἐὰν γὰρ οἱ σωζόμενοι στρατιῶται τῆς τῶν ἐξπεδίτων
διακωλύονται δουλείας, πρόδηλόν ἐστιν ὡς οὐ μι-
κρὰ ἐντεῦθεν βλάβη τοῖς στρατεύμασιν ἡμῶν ἐπι-
νεχθήσεται.

NICEPHORI PHOCAE NOVELLA I.

DE FUNDIS ARMENICIS, ET homicidarum.

I. *Sancimus, ut quotquot ex Armenicis militi-*
bus, qui sese subduxerunt, alibi triennium exe-
gerint, si dati fuerint eorum fundi uel clienti-
bus, uel militibus qui se gessere fortiter, uel pro-
uincialibus aut legionarijs magistratibus, uel
ducibus, quorum uirtus enituit, uel alijs, ob u-
tiles publice seruitutes: elapso triennio reuer-
tentes, nullo modo facultatem habeant, eos fun
dos requirendi.
II. *Quotquot fundi Armeniorum, qui profu-*
gerunt, ex gratia uel adfectione quadam ad-
tributi sunt uel augustis, uel religiosis domibus,
uel monasterijs, uel magistratibus; eos fundos
non ipsi tantum elapso triennio redeuntes, sed
& heredes eorum intra trigesimum annum re-
uersi, recipiant. Ac tametsi libellos inspecto-
rum, & aureas bullas adferant, qui eos accepe-
runt; tamen id pro nihilo duci iubemus.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΦΩΚΑ ΝΕΑΡΑ α.

ΠΕΡΙ ἈΡΜΕΝΙΚΩΝ ΤΟΠΩΝ, καὶ φονευτῶν.

Θεσπίζομεν, ὅσοι τῶν ἀρμενικῶν στρατιωτῶν α.
ἀναχωρησάντων τριετίαν ἀλλαχοῦ πεποιήκασιν,
ἐὰν ἐδόθησαν οἱ τούτων τόποι ἢ πρόσφυξιν, ἔτι δὲ ἀρι-
στεύουσι στρατιώταις, ἢ καὶ ἄρχουσι θεματικοῖς καὶ
ταγματικοῖς, ἔτι στρατηγοῖς ἀνδραγαθήσασιν, ἢ καὶ
ἑτέροις, διὰ κοινωφελεῖς δουλείας, † μὴ ἔχειν ἐπ' † μὴ ἔχειν.
ἀδείας μετὰ τριετῆ χρόνον ἐπαναστρέφοντας τοὺς
ἀρμενίους ἐπιζητεῖν αὐτούς.
Ὅσοι ἐκ τῶν πεφευγότων Ἀρμενίων τόποι διὰ β.
χάριν ἢ προσπάθειαν ἐπεδόθησαν ἔτι βασιλι-
κοῖς οἴκοις, ἢ εὐαγέσιν, ἢ μοναστηρίοις, ἢ ἄρχουσι,
μὴ μόνον ὑποστρέφοντας, εἰ τριετία διῆλθεν, ἀλλὰ
καὶ οἱ τούτων κληρονόμοι ἔνδοθεν τριακονταετίας
ἐπανελθόντες, ἀναλαμβανέτωσαν τοὺς αὐτῶν τό-
πους. κἂν λιβέλλους ἐποπτῶν, καὶ χρυσόβουλλα ἐπι-
φέρωνται οἱ τούτους λαβόντες, ἀντ' οὐδενὸς κελεύο-
μεν λογίζεσθαι.

Ὅσαι

γ. Ὅσαι γεγόνασιν ἀνταλλαγαὶ στρατιωτικῶν τόπων, οἱ μὲν στρατιῶται ἐχέτωσαν τὰ ἴδια· οἱ δὲ ἀνταλλάξαντες δεηθήτωσαν βασιλέως, ἐπιζητοῦντες τὰ αὐτῶν. εἰ δὲ βελτιώσεις πεποιήκασιν ἐν αὐτοῖς, εἰ μὲν χρειώδεις εἰσὶν, οἷον μυλοστάσια, ἀχυρῶνες, οἰκήματα μὴ πολυτελῆ, ἀλλ' ἁρμόζοντα στρατιώταις· ὑπὲρ τῶν τοιούτων χρὴ παρέχειν τοὺς ἀπολαμβάνοντας τοὺς τόπους, τὰς ἀναλογούσας τιμάς. εἰ δὲ πρὸς κάλλος μόνον ἀφορῶσι, τῶν τοιούτων δεῖ τὴν ὕλην μόνην τοὺς κτίσαντας ἀναλαμβάνειν, τοῦ πρωτοτύπου σωζομένου.

δ. Ὅσοι τῶν Ἀρμενίων ηὐτομόλησαν πρὸς Συρίαν, οὗτοι μὴ πρὸ τῆς τριετίας μόνον, ἀλλὰ καὶ πρὸ χρόνου ἑνὸς ὑποστρέφοντες, μὴ τοὺς ἰδίους ἀπολαμβανέτωσαν τόπους, ἀλλὰ γινέσθω ἡ πρόνοια τούτων διὰ παροχῆς ἑτέρων τοπίων.

ε. Τὸν ἐργασάμενον μιαιφονίαν στρατιώτην, τιμωρεῖσθαι κατὰ τὸν νόμον κελεύομεν. τὴν δὲ τῆς στρατείας αὐτοῦ γῆν μὴ ἐπιδίδοσθαι εἰς παραμυθίαν τοῖς τοῦ φονευθέντος ἰδίοις καὶ συγγενέσιν, ἀλλ' * ἐκείνοις μὲν διά τινων κινητῶν παραμυθεῖσθαι· τὴν δὲ ἀκίνητον ὕπαρξιν εἰς στάσιν τῆς στρατείας συντηρεῖν. εἰ δὲ μὴ κινητὰ πράγματα εἶεν, καὶ οὕτως μὲν ὑποκεῖσθαι τοὺς τοῦ πεφονευκότος συγγενεῖς πρὸς ἐκπλήρωσιν τῶν ἀνηκόντων εἰς παραμυθίαν τῶν τοῦ ἀνῃρημένου συγγενῶν· οἱ δὲ τῆς στρατείας αὐτοῦ τόποι μὴ ἐκποιείσθωσαν. εἰ δὲ καὶ πάντες ἐκ τοῦ αὐτοῦ οἴκου τῷ τοῦ φόνου ἐνέχονται μύσει, οὗτοι τὰς προσηκούσας ἕκαστος παρὰ τοῦ νόμου ποινὰς ὑποδεχέσθωσαν· οἱ δὲ τῆς στρατείας τόποι ἀλλαχοῦ μὴ περιπιπτέσθωσαν. ἀλλὰ καθ' ὃ μή τις ὑπολειφθῇ κληρονόμος, ὁ τὴν στρατείαν ὑπελθεῖν μέλλων, ἕτερος τοὺς τόπους ἀναλαμβανέτω.

* ἱκανῶς.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΦΩΚΑ ΝΕΑΡΑ β.

ΠΕΡΙ ΜΟΝΑΣΤΗΡΙΩΝ, ΞΕΝΩΝΩΝ, καὶ γηρωκομείων.

ΥΠΟΘΕΣΙΣ.

Ἐκ τῶν Θεοδώρου τοῦ ἐπιλεγομένου Βαλσαμῶν, τοῦ πατριάρχου Ἀντιοχείας.

α. Ἡ νεαρὰ διορίζεται, μὴ κατασκευάζεσθαι νεωστὶ μοναστήρια, ἢ ξενῶνας, ἢ γηρωκομεῖα, ἢ ἄλλους εὐαγεῖς οἴκους· ἀλλὰ τῶν παρόντων ἐπιμελεῖσθαι.

Θεσπίζομεν, ὅσοι μοναστήρια, ξενῶνας, καὶ γηροκομεῖα συστῆσαι βουληθῶσιν, ἐκείνων οὗτοι ἐπιμελείσθωσαν, τῶν ἐκ τοῦ πολλοῦ χρόνου γεγενημένων· μὴ ἀγροὺς παρέχοντες, ἢ τόπους, ἢ οἰκοδομὰς ποιοῦντες. ἱκανὰ γὰρ τὰ φθάσαντα γενέσθαι. ἀλλ' ἐκείνων ἐπιμελείσθωσαν τῶν ἐξ ἀρχῆς προσόντων, δηλονό-

Quotquot facta fuerint fundorum militarium permutationes, sua quidē bona retineant milites: at ij, qui cum eis permutarunt, oblatis principi precibus itidem sua reposcant. Quod si meliorationes in eis quasdam fecerūt, siquidem illæ sunt utiles, puta si mola, palearia, non pretiosa, sed conuenientia militibus ædificia: pro ijs debent illi, qui fundos recipiunt, pretia iuste respondentia præstare. Sin ad pulcritudinē tantum spectant, earum solam materiam recipiāt ij, qui ædificarunt: nilla principali salua. III.

Quotquot Armeniorum in Syriam transfugerunt, ij non tantum ante triēnium, sed & ante spatium unius anni redeuntes, loca sua minime recipiant; sed eis ita prospiciatur, ut illorum loco fundos alios habeant. IIII.

Militem, qui homicidium perpetrauit, secundum legem puniri iubemus. At uero terram militia ipsius, minime propinquis & cognatis interfecti, solatij caussa, nolumus adtribui; sed eorum consolatio de quibusdam mobilibus fiat, & bona constituta in rebus soli, ad militia stationem reseruentur. Quod si nulla res mobiles sint, nihilo minus eius cognati, qui cadem admisit, obligati sint ad soluendum ea, quæ ad solamen cognatorum interfecti pertinent: at ipsius militia loca nequaquam alienētur. Quod si omnes ex una eademque domo perpetrata cædis scelere tenentur, meritas eorum quilibet ex lege pœnas subeat; uerum loca militia alium ad usum ne transmittantur. Quinetiam si nullus superstes fuerit heres, qui militiam subiturus sit; alius quispiam fundos ad se recipiat. V.

NICEPHORI PHOCAE NOVELLA II.

DE MONASTERIIS, HOSPITALIbus, & factis ad curandos senes ædificijs.

ARGVMENTVM.

Ex scriptis Theodori cognomento Balsamonis, Antiocheni patriarchæ.

Statuit hac nouella, ne de nouo monasteria, uel xenones, uel gerocomia, uel alia religiosa domus exstruantur: sed iam exstantium cura geratur.

Sancimus, ut quicumque monasteria, xenones, & gerocomia constituere uoluerint; eorum potius rationem habeant, quæ a longo tempore iam facta fuerunt: nec eis fundos aut loca donent, uel ædificia struant. Quippe sufficiunt ea, quæ iam ante facta sunt. Sed eorum bonorum curam gerant, quæ iamdudum possident; loca scilicet I.

scilicet propria mundanis uendentes, & ex eorum pretio restaurationem instituẽtes, hoc est, ædificia pro bobus atque gregibus, & mancipiorum emtiones, & si quid aliud tale fuerit. Eosdem arceri iubemus, ne mansiones nouas, aut
II. *xenones, aut gerocomia faciant. Adeout ab hoc tempore, quod initium est indictionis septimæ, nemini permissum sit agros, nec loca, nec uillas ad monasteria, uel gerocomia, uel xenones, quocumque modo, nec item ad metropoles uel episcopatus transmittere. Nihil enim hoc, nihil eis expedit.*

III. *At uero si quas iam antea conditas religiosas domus, uel monasteria, uel metropoles, uel episcopatus, adeo negligenter administrari curarique contigerit, ut omnes fundos amiserint: ijs de sententia & arbitratu principis, eorum quæ sufficiant, adquisitio non prohibebitur.*

IIII. *Cellas autem, & eas quæ lauræ uocantur, in locis desertis exstruere, non ad possessiones & agros alios se porrigentes, sed intra suum dumtaxat ambitum conclusas, tanto minus illis, qui uolent, prohibemus; quanto magis hanc ipsam rem in laude ponimus.*

NICEPHORI PHOCAE NOVELLA III.

DE IVRE PRAELATIONIS, ET quod potentes a potentibus emere debeant.

I. *Sancimus, ut lex ab ijs lata principibus, qui nos præcessere, uelut i rata ualeat, eamque confirmamus in omnibus; excepto, quod hac dumtaxat in parte iubeamus illam cessare, ne pauperes ad possessionem potentiorum, quæ distrahitur, ius prælationis habeãt, nec propter eiusdem tributi præstationem, nec consortij caussa; siue milites, siue municipes esse reperiantur: sed rursus in illius dominium persona proceris alicuius succedat, quæ uisa fuerit ad quietem & utilitatem pauperum adiacentium comparata.*

II. *Eam personam, si postea, quam prædium adquisiuit, damnũ dare uicinis intelligatur; tamquam uiolentam & malam, non hoc dumtaxat adquisito prædio, uerumetiam patritis expelli iubemus. Ac potentiores quidem cum solis potentioribus emtiones instituere uolumus, itidemque milites & pauperes cum ijs, qui sortis eiusdem cum ipsis sunt. Atque uti prohibuimus, ne hi prædia potentiorum emant: ita rursus illos arcemus, ne cũ pauperibus & militibus contrahant: neue census eiusdem præstatio, uel consortij ius allegetur, hac ipsa lege ad uniuersos lata.*

τι τὰς ἰδίας τόπους ἀπεμπωλοῦντες πρὸς κοσμικοὺς, καὶ ἐκ τῆς αὐτῶν τιμῆς τὴν ἐπανόρθωσιν ποιοῦντες, τουτέστιν οἰκοδομὰς βοῶν, καὶ ποιμνίων, καὶ οἰκετῶν ἐξωνήσεις, καὶ εἴ τι ἕτερον. εἴργεσθαι δὲ κελεύομεν, τοῦ μὴ νέας ἐργάζεσθαι μονὰς, ἢ ξενῶνας, ἢ γηροκομεῖα. ὥστε ἀπὸ τοῦ νῦν, ὅπερ ἐστὶν ἡ ἀρ- β.
χὴ τῆς ζ ἐπινεμήσεως, μηδενὶ ἐξεῖναι, μὴ ἀγροὺς, μὴ τόπους, μὴ οἰκίας μοναστηρίοις, ἢ γηροκομείοις, ἢ ξενῶσιν ὁπωσοῦν περιπέμπειν. ἀλλ᾽ οὐδὲ μητροπόλεσιν, ἢ ἐπισκοπείοις. οὐδὲν γὰρ οὐδὲ ἐκείνοις λυσιτελές.

Εἰ δέ τινα τῶν φθασάντων εὐαγῶν οἴκων, ἢ γ.
μοναστηρίων, ἢ μητροπόλεων, ἢ ἐπισκοπείων, τοιαύτης φαύλης ἔτυχε χειρὸς καὶ προνοίας, ὡς ἔρημα τόπων † καταλελεῖφθαι, τούτοις γνώμη βα- † κατειλημμένα.
σιλικῇ καὶ δοκιμασίᾳ ἡ τῶν ἀρκούντων κτῆσις οὐ κωλυθήσεται.

Κελλία δὲ, καὶ τὰς καλουμένας λαύρας ἐν ἐρή- δ.
μοις * οἰκοδομεῖν, μὴ πρὸς κτήσεις καὶ ἀγροὺς ἑτέ- * οἰκοδομεῖσθαι.
ρους ἐκτεινομένας, ἀλλὰ τῇ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένας, τοσούτῳ τοὺς βουλομένους οὐκ εἴργομεν, ὅσῳ καὶ δὴ ἐπαίνου μᾶλλον τὸ πρᾶγμα τίθεμεν.

ΝΙΚΗΦΟ'ΡΟΥ ΤΟΥ͂ ΦΩΚΑ͂ ΝΕΑΡᾺ γ.

ΠΕΡΙ' ΠΡΟΤΙΜΗ'ΣΕΩΣ, ΚΑΙ' περὶ τοῦ ἐξωνεῖσθαι δυνατοὺς ἀπὸ δυνατῶν.

Θεσπίζομεν τὴν παρὰ τῶν προβεβασιλευ- α.
κότων ἐκτεθεῖσαν νομοθεσίαν διενεργεῖν, καὶ ταύτην ἐπικυροῦμεν ἐν ἅπασι, πλὴν κατὰ τοῦτο μόνον ἀργεῖν αὐτὴν παρακελευόμεθα, ἵνα μὴ προτιμῶνται οἱ πένητες εἰς τὸ ἀπεμπολούμενον κτῆμα τῶν δυνατῶν, μήτε ἐξ ὁμοτελείας, μήτε ἐξ ἀνακοινώσεως, κἄν τε στρατιῶται, κἄν τε πολιτικοὶ ἐφευρίσκονται: ἀλλὰ τὴν τούτου πάλιν δεσποτείαν
† διαδέχεσθαι ἀρχοντικὸν πρόσωπον, τὸ πρὸς ἀνά- † διαδέχεσθαι.
παυσιν δηλονότι καὶ ὠφέλειαν τῶν συμπαρακειμένων ἐν τούτῳ πενήτων ἀναφαινόμενον.

Ὅπερ καὶ μετὰ τὸ δεσπόσαι τοῦ κτήματος πα- β.
ραβλάπτειν τοὺς γειτονοῦντας κατανοούμενον, ὡς βίαιον καὶ κακὸν, μὴ μόνον ἀπὸ τῆς ἐπικτήσεως, ἀλλὰ καὶ ἀπὸ τῶν γονικῶν ἐκδιώκεσθαι κελεύο-
μεν. καὶ τοὺς μὲν δυνατοὺς * ἐκ δυνατοῦ μόνου * ἐκ δυνατῶν μόνων.
ποιεῖσθαι τὰς ἐξωνήσεις βουλόμεθα, τοὺς δὲ στρατιώτας καὶ πένητας ἐκ τῶν τὴν ὁμοίαν τάξιν λαχόντων αὐτοῖς. καὶ ὥσπερ τούτους ἐκωλύσαμεν τοῦ μὴ ἐξωνεῖσθαι τὰ τῶν δυνατῶν, οὕτως πάλιν ἐκείνους ἀπείργομεν τοῦ μὴ ἐκ πενήτων τε καὶ στρατιωτῶν ἀπόρων ποιεῖσθαι τὰς ἐξωνήσεις, μηδὲ τὴν ὁμοτέλειαν ἢ ἀνακοίνωσιν προβάλλεσθαι εἰς δικαίωσιν, πρὸς ἅπαντας τὴν νομοθεσίαν ποιούμενοι.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΦΩΚΑ ΝΕΑΡΑ δ.

ΠΕΡΙ ΟΙΚΗΜΑΤΩΝ.

Ἐπειδήπερ τινὲς τῶν κεκωλυμένων ἀπὸ τῶν νεαρῶν νομοθεσιῶν ἐξωνεῖσθαι καὶ πλατύνεσθαι προσώπων, ἔτυχον ἐκ γονικῆς κληροδοσίας ἀκίνητον κτῆσιν ἐν χωρίοις ἢ ἀγριδίοις εἰληφότες, ἐξωνήσαντο δὲ μετὰ ταῦτα ἀπὸ τῶν συγχωριτῶν αὐτῶν σμικρά τινα καὶ ὀλιγοστὰ τόπια, ἐν οἷς οἰκήματα πολύτιμα, καὶ ἀπειρομεγέθη ἐδείμαντο, πλεῖστα εἰς ἀνοικοδομὴν αὐτῶν καταβαλλόμενοι: δεῖν ᾠήθημεν μὴ διὰ τὰ σμικρὰ ταῦτα καὶ ὀλιγοστὰ τόπια καταστρέφεσθαι τὰς ἐπ' αὐτοῖς δομηθείσας ἀπειρομεγέθεις καὶ πολυτίμους οἰκίας, ἀλλ' ἀντὶ τῶν πεπραμένων τόπων λαμβάνειν μὲν τοὺς πεπρακότας, εἴπερ ἐν τοῖς ζῶσιν εἰσὶν, ἢ μὴ ὄντων αὐτῶν, τοὺς τούτων κληρονόμους ἢ συγκληρονόμους, διπλοῦν τὸ ποσὸν τοῦ καταβληθέντος τιμήματος, ἢ γῆν διπλασίονα τῆς αὐτῆς τῶν πεπραμένων ποιότητος καὶ ποσότητος οὖσαν: καὶ μὴ ἀποστερεῖσθαι τοὺς ἠγορακότας τῶν ἰδίων ἐμπονημάτων.

NICEPHORI PHOCAE NOVELLA IIII.

DE AEDIFICIIS.

Quoniam persona quaedam ex earum numero, quae per nouellas constitutiones prohibentur emtiones instituere, praediaque dilatare, de patrita hereditate possessionem quãdam in rebus soli constitutam, uidelicet in fundis aut agris, adepta; postea perexigua minutaque loca quaedam a uicanis emerunt, in quibus pretiosas & ingentis magnitudinis uillas extruxerunt, plurimis in earum structuram expensis: minime committendum putauimus, ut propter istaec exigua minutaque loca, uillae magnitudinis infinitae ac pretiosae, quae in eis extructae sunt, diruantur; sed pro locis distractis uenditores, si quidem adhuc superstites sunt, aut ipsis non exstantibus, eorum heredes uel coheredes, duplam soluti pretij summam accipiãt, aut terram quae duplum eiusdem cum terra uendita qualitatis & quantitatis aequet; nec suis expensis emtores, quas ad res ornandas & pretiosiores reddendas contulerunt, fraudentur.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΦΩΚΑ ΝΕΑΡΑ ε.

ΒΟΗΘΟΥΣΑ ΤΟΙΣ ἘΞΩΝΗΣΑΜΕΝΟΙΣ πρὸ τοῦ καιροῦ τῆς ἐνδείας.

Ἐπεὶ ἡ τῶν τεσσαράκοντα χρόνων παραδρομὴ, ἀνέγκλητος μὲν καὶ ἀνεπιφώνητος παραδραμοῦσα, τὸ δίκαιον ἐπιβραβεύει τοῖς τὰ ἐκ τῶν στρατιωτῶν προσκτηθέντα κατέχουσι, παρεμποδιζομένη δὲ διὰ τῶν ἐπιφωνήσεων, καὶ ἀναποδίζουσα, καὶ τοὺς πρὸ τῆς ἐνδείας τὰς ἐπικτήσεις ποιησαμένους ἐβάρυνε, καὶ ἀποστερεῖσθαι τούτων ἐποίει πολλάκις, ἀδιαφόρως ἐνεργουμένη: διορίζόμεθα, τοὺς καλῇ πίστει πρὸ τοῦ καιροῦ τῆς ἐνδείας † εὑρισκομένης ποιῆσαι τὴν ἐπίκτησιν ἀπὸ στρατιωτῶν καὶ πολιτικῶν, ἀμερίμνους διάγειν, καὶ μὴ ἐνεργεῖν τὴν τεσσαρακονταετίαν, καὶ ἐν τούτῳ ἀναποδίζουσαν ἐξ ἐπιφωνήσεως. μηδὲ τὸ καθόλου παρασαλεύεσθαι καὶ μετακινεῖσθαι τὴν δεσποτείαν αὐτῶν, εἰ μὴ εἰς μόνους τοὺς ἐξ ἁρπαγῆς τὰς ἐπικτήσεις ποιησαμένους, καὶ ἐκ βιαίας νομῆς καὶ κακῆς πίστεως, ὡς ἐπιπηδῶντας τοῖς ἀλλοτρίοις, καὶ τοῦ πλείονος ἐφιεμένους.

† εὑρισκομένους.

NICEPHORI PHOCAE NOVELLA V.

QVAE SVBVENIT IIS, QVI ante penuriæ tempus emerunt.

Quandoquidem annorum quadraginta spatium, quod citra querelam & adtestatione nulla interueniente transcurrit, possessoribus eorum praediorum, quae a militibus emta sunt, ius suum tribuit; idemque per adtestationes interruptum, ac nullius momenti factum, etiam illos saepenumero, qui ante penuriae tempus adquisiuerant praedia, grauauit, & ijs ut fraudarentur effecit, dum licentius uim suam obtinet: statuimus, ut qui bona fide ante penuriae tempus comparasse quid a militibus & municipibus comperiuntur, securi sint; neue praescriptio annorum quadraginta locum habeat, etiam haec per adtestationem interrupta: nec in uniuersum proprietas & dominium eorum labefactetur, & transferatur: nisi tantum in illis, qui ex rapina, uiolentaque possessione, ac mala fide praedia quaedam adquisiuerunt, uelut qui res alienas inuadant, & aequo amplius adpetant.

BASILII NATI IN PORPHYRA, NOuella I.

DE STRVENDIS ECCLESIIS, & religiosis domibus.

ARGVMENTVM

Ex Balsamone Antiocheno patriarcha.

Basilius Iunior Nicephori Phocæ legẽ, qua ille statuerat, ne de nouo monasteria, uel xenones, uel gerocomia struerentur, per nouellam hanc abolet; quæ fuit edita mense Aprili, indictione I, anno ꟾↄↄ CIↄ CCCCXCV.

Diuinitus constituta maiestas nostra, quum & a monachis, quorum testata pietas atque uirtus est, & ab alijs multis cognouerit, legem a domino Nicephoro, qui ad imperium peruenit, de ecclesijs Dei, religiosisque domibus latam, quũ præsentium malorum, tum uniuersalis huius euersionis atque confusionis caussam & radicem exstitisse, ueluti non ad iniuriam cõtumeliamque dumtaxat ecclesiarum & religiosarum domuum, sed ipsius quoque Dei conditam; adeoq; re ipsa de hoc facta sit certior: (nam ex quo lex ista robur habuit, nihil boni penitus in hodiernum usque diem uitæ nostræ contigit, sed potius e contrario nullum omnino genus calamitatis intermisit) statuit per auream hanc bullam, cui subscripsit, legem indicatam ab hoc præsenti die cessare debere, ac deinceps irritam nullinsque momenti manere: conditis ante illam legibus, tam de ecclesijs, quam religiosis domibus, uim roburque suum obtinentibus.

BASILII NATI IN PORPHYRA, NOVELla constitutio II.

PVBLICATA MENSE IANVARIO, indictione IX, anno ꟾↄↄCIↄ Iↄ IIII.

ARGVMENTVM

Ex libris Constantini Harmenopuli.

Præscriptionem annorum quadraginta tollit imperator, statuens ne annorum XL præscriptio potentioribus inopes iniuste atque auare opprimentibus quidquam prosit; neue pauperes ab ijsdem potentioribus læsi per annorum XL præscriptionem submoueantur: ne deniq; præscriptiones ullæ robur habeãt, licet aureis bullis contineantur, quæ iniuste fraudulenterque sint impetratę. Fiscum quoque nullo temporis interuallo uult excludi, sed ab Augusto Cæsare ius suum repetere, idque merito recuperare.

ΒΑΣΙΛΕΙ'ΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗ'ΤΟΥ νεαρὰ α.

ΠΕΡΙ' ΚΤΙ'ΣΕΩΣ ΤΩ͂Ν Ε'ΚΚΛΗσιῶν, καὶ τῶν εὐαγῶν οἴκων.

ΥΠΟ'ΘΕΣΙΣ

Ἐκ τῶν Βαλσαμῶν τῦ Ἀντιοχείας.

Βασίλειος ὁ νέος τὴν Νικηφόρυ τῦ Φωκᾶ νομοθεσίαν, διοριζομένlω μὴ κατασκευάζεσθαι καινὰ μοναστήρια, ἢ ξενῶνας, ἢ γηροκομεῖα, διὰ νεαρᾶς ταύτης ἀναιρεῖ, ἀπολυθείσης κατὰ μῆνα ἀπρίλλιον, ἐπινεμήσεως α, τῦ ϛφϙε ἔτυς.

Ἡ ἐκ θεῦ βασιλεία ἡμῶν καὶ παρὰ μοναχῶν ἐπ' εὐλαβείᾳ καὶ ἀρετῇ μαρτυρυμένων, καὶ παρὰ πολλῶν ἄλλων ἀναμαθῦσα τὴν περὶ τῶν ἐκκλησιῶν τῦ θεῦ καὶ τῶν εὐαγῶν οἴκων παρὰ τῦ τῆς βασιλείας ἐπιβάντος κυρίυ Νικηφόρυ τεθεῖσαν νομοθεσίαν, αἰτίαν καὶ ῥίζαν τῶν παρόντων γενέσθαι κακῶν, καὶ τῆς οἰκυμενικῆς ταύτης ἀνατροπῆς καὶ συγχύσεως, ἅτε μὴ πρὸς ἀδικίαν καὶ ὕβριν τῶν ἐκκλησιῶν μόνον καὶ τῶν εὐαγῶν οἴκων, ἀλλὰ καὶ αὐτῦ τῦ θεῦ γινομένlω, ἄλλως τε δὲ καὶ ἔργοις τῦτο βεβαιωθεῖσα: (ἐξ ὅτυ γὰρ τὰ τῆς τοιαύτης ἐκράτησαν νομοθεσίας, ὐδ' ὁποιονῦν ὐδ' ὁτιῦν χρηστὸν ἄχρι καὶ τήμερον τῷ καθ' ἡμᾶς ἀπήντησε βίῳ, ἀλλὰ τοὐναντίον συμφορᾶς μᾶλλον ἐπέλιπεν εἶδος ὅλως ὐδέν) θεσπίζει διὰ τῦ παρόντος ἐνυπογράφυ χρυσοβύλλυ, τὴν παρῦσαν νομοθεσίαν ἀργεῖν ἀπὸ τῆς παρύσης ταύτης ἡμέρας, ἄκυρόν τι καὶ ἄπρακτον τῦ λοιπῦ διαμένειν. ἐνεργεῖν δὲ τὺς πρὸ ταύτης κειμένυς περί τε τῶν ἐκκλησιῶν καὶ τῶν εὐαγῶν οἴκων νόμυς.

ΒΑΣΙΛΕΙ'ΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗ'ΤΟΥ ΝΟμοθεσία νεαρὰ β.

Ε'ΚΦΩΝΗΘΕΙ͂ΣΑ ΚΑΤΑ ΤΟ'Ν ἰανυάριον μῆνα, τῆς θ ἰνδικτιῶνος, τῦ ϛφδ ἔτυς.

ΥΠΟ'ΘΕΣΙΣ

Ἐκ τῶν Κωνσταντίνυ τῦ Ἁρμενοπύλυ.

Ἀνατρέπει τὴν τεσσαρακονταετίαν, μηδὲν ὠφελεῖσθαι διοριζόμενος τὺς δυνατὺς ἀδικῦντας καὶ πλεονεκτῦντας τὺς πένητας τῇ τεσσαρακονταετίᾳ: μηδὲ τὺς πένητας ὑπὸ τύτων τῶν δυνατῶν ἀδικυμένυς ἀποκλείεσθαι τῇ τεσσαρακονταετίᾳ: μηδὲ ἰσχύειν τὰς προθεσμίας, εἰ καὶ χρυσοβύλλοις ἐντὸς εἰσιν, ἀδίκως καὶ πλεονεκτικῶς γεγενημένυς. μηδὲ τὸ δημόσιον ἀποκλείεσθαι χρόνῳ, ἀλλὰ ἀνακαλεῖσθαι τὸ ἴδιον δίκαιον ἀπὸ Αὐγύστυ καίσαρος, καὶ δικαιῦσθαι περὶ τὴν τύτυ ἀνάληψιν.

Ἐπειδὴ-

Ἐπειδήπερ ἡ βασιλεία μου, ἀφ' οὗ ηὐτοκρατόρησε, καὶ τὰς κινουμένας ὑποθέσεις παρά τε τῶν πλουσίων καὶ τῶν πτωχῶν ἐπιχείρησε ζητεῖν, εὗρεν ὅτι οἱ θέλοντες πλεονεκτεῖν δυνατοί, εὔλογον ἀφορμὴν ἔχουσι τὴν τεσσαρακονταετίαν, καὶ σπουδάζουσιν ἢ διὰ ξενίων, ἢ διὰ ἰδίας δυναστείας τὴν τοιαύτην τεσσαρακονταετίαν διαβῆναι, καὶ ἔκτοτε κατὰ πλείαν δεσποτείαν ἔχειν, ἅπερ κακῶς ἐπλεονέκτησαν τοὺς πένητας· ἐξέθετο τὴν παροῦσαν νομοθεσίαν, τοῦτο μὲν καὶ τὰ προγεγονότα διορθουμένη, τοῦτο δὲ καὶ τοὺς νῦν δυνατοὺς ἀναστέλλουσα, καὶ τοὺς μετέπειτα κωλύουσα, γινώσκοντας ὡς οὐδεμίαν ὠφέλειαν ἀπὸ τούτου εὑρήσουσιν, ἀλλ' ἀφαιρεθήσονται τὰ ἀλλότρια οὐχ αὐτοὶ μόνον, ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτῶν. ὅτι μὲν οὖν ἡ βασιλεία ἡμῶν οὐκ ἀσκόπως οὐδ' ἀδοκιμάστως τὴν τεσσαρακονταετίαν ἀναιρεῖ, ἀλλὰ τοὺς πένητας ἐλεοῦσα, καὶ τοῦ κοινοῦ καὶ τῆς συστάσεως αὐτοῦ φροντίζουσα, καὶ τὸ δίκαιον ἀγαπῶσα, καὶ τὴν πλεονεξίαν ἐκκόπτουσα, φανερὸν ἔσται ἐξ ὧν ἐθέλομεν εἰπεῖν. καὶ γὰρ καὶ πολλὰ παρηνωχλήθημεν παρὰ τῶν πτωχῶν χάριν τούτου, καὶ τὰς γινομένας εἰς αὐτοὺς καθ' ἑκάστην πλεονεξίας καὶ ἀδικίας τοῖς ἰδίοις ἡμῶν ὀφθαλμοῖς εἴδομεν, διερχόμενοι τὰ θέματα τῆς βασιλείας ἡμῶν, καὶ πρὸς τὰ ταξείδια ἀπερχόμενοι. πῶς γὰρ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐνεργήσει χρόνος, ὅτι δυνατὸς ὢν ὁ τὸν πένητα πλεονεκτήσας, πολὺν χρόνον ποιήσει δυναστεύων καὶ εὐημερῶν, καὶ τὴν δυναστείαν αὐτοῦ καὶ εὐημερίαν εἰς τοὺς διαδόχους αὐτοῦ παραπέμψει; καὶ τυχὸν οὗτος μὲν πατρίκιός ἐστιν, οἱ δὲ ἐξ αὐτοῦ, οἷον ἔγγονοι καὶ δισέγγονοι, ὁμοίως δυνατοὶ καὶ οἰκειότητα ἔχοντες πρὸς τοὺς βασιλεῖς, καὶ μέχρι τῶν ο ἢ ρ χρόνων τὴν εὐημερίαν αὐτῶν παρεκτεινομένην ἔχοντες. ἆρ' οὖν τούτους οὐ κωλύσομεν; καὶ τοῖς πένησι
† τότι γάρ. δώσομεν ἃ κακῶς ἐπλεονεκτήθησαν; † τοῦτο γὰρ εἰς κοινότητας χωρίων ἐπικρατουμένου, ἢ πλέον
* κτήσαντος. * ἐκτήσατο δυνατοῦ τυγχάνοντος, καὶ τῶν αὐτοῦ διαδόχων πάλιν μετὰ τῆς ὑποστάσεως καὶ τὴν δυναστείαν διαδεχομένων, καὶ μὴ διδόντων χώραν τῷ πένητι πρὸς τὸ κατ' αὐτῶν κινῆσαι περὶ ὧν κακῶς ἐπλεονέκτησαν αὐτόν: πάντως πρόδηλόν ἐστιν, ὅτι ὅσος ἂν χρόνος ἐπὶ τούτοις διαβῇ, ἀκώλυτος ὁ πένης ἔσται πρὸς τὸ ζητεῖν καὶ ἐπαίρειν τὸ ἴδιον. εἰ μὴ γὰρ τοῦτο ποιήσομεν, πρόοδον δώσομεν τῷ πλεονέκτῃ τοῦ λέγειν, ὅτι ἐπεὶ ἐγὼ σήμερον εὐημερῶ, καὶ οὐ δύναται κατ' ἐμοῦ ὁ πένης κινῆσαι, ἐὰν εὐημερήσῃ καὶ ὁ υἱός μου, καὶ διὰ τῆς εὐημερίας ἡμῶν διαβῇ τεσσαρακονταετία,

Quoniam maiestas mea comperit, ex quo cepit imperare, motasque tam ab opulentis, quam pauperibus caussas instituit cognoscere, locupletiores fraudandorum aliorum cupidos occasionem habere probabilem, nimirum XL annorum praescriptionem; & in hoc incumbere siue muneribus, siue uiribus suis, ut hoc annorum XL spatium transeant, & ab eo tempore pleno dominio possideant illa, quibus improbe pauperes fraudarunt: hanc ipsam legem tulit, partim ut ea, quae hactenus accidere, corrigat; partim ut potentes, qui iam uiuunt, reprimat; & uicturos deinceps coërceat: scituros, se nullum hinc commodum percepturos, sed futurum, ut res aliena non tantum ipsis, sed & ipsorum heredibus adimantur. Enimuero non inconsulto, nec absurde maiestatem nostram hanc annorum quadraginta praescriptionem tollere, sed commiseratione tactam erga pauperes, deque republica & statu eius sollicitam, & aequitatis amantem, & exscindendae auaritiae cupidam; perspicuum ex illis fiet, quae dicturi sumus. Magnas enim molestias a pauperibus hoc nomine pertulimus, & quibus cottidie circumueniantur fraudibus ac iniuriis, nostris ipsimet oculis uidimus, dum prouincias imperij nostri peragraremus, & ad expeditiones proficisceremur. Nam quo pacto simpliciter atque temere temporis habenda erit ratio, quum is qui pauperem circumscribit, opibus subnixus, diu potentia felicitateque sua fruatur, eamque potentiam & felicitatem suam ad successores suos transmittat? ac fortassis ipse quidem patricius sit, at nati ex eo, puta nepotes & pronepotes, similiter potentes & familiaritate principibus coniuncti, felicitatem suam ad LXX uel C annos porrectam retineant? non illos nos coërcebimus? non pauperibus ea dabimus, quibus male sunt defraudati? Quippe quum is, qui fundos communes adquirit, uel plus emit, potens est; eiusque heredes rursus tam in patrimonio, quam ipsa potestate succedunt, nec pauperis locum aduersus se experiundi rerum illarum nomine concedunt, quibus rebus eum nequiter fraudarunt: omnino manifestum est, quantumcumque temporis interea transeat, minime prohibendum esse pauperem, quo minus & requirat, & auferat id, quod suum est. Nam nisi hoc faciamus, auaro fenestram aperiemus, ut dicat; Quoniam ego prospera fortuna fruor hodie, nec pauper ille mecum experiri potest; si pari felicitate filius quoque meus utatur, & nobis hac prosperitate fruentibus anni quadraginta praetereant,

aut ipse diu res secundas continuem; inademta retinebimus, quæ adquisiuimus, adeoque mihi rapaciter agere proderit. atque hoc manifestũ est etiam de Maleinorum, itidemque de Phocadum familia. Quippe Constantinus Maleinus patricius, & Eustathius eius filius, officiorum magister, usque ad C, uel CXX annos felicitatem suam continuarunt; Phocades uero, etiam ultra hoc spatium. Nam & auus eorum, & deinceps pater, & postea filij, propemodum a nemine (ut sic dicam) interruptã ad nos usque potentiam obtinuerunt. Et quonam pacto talibus præscriptio temporis subueniet? quo rursum modo non reputabimus potentem pariter & imbecillum, qui ab initio quidem pauper est, deinceps autem honoratus, & ad gloriæ culmen euectus? imbecillum, quam diu est in numero inferiorũ; & tempus huic succurrere permittemus? potẽtem, ex quo tempore consequutus honorem fuerit; & nihil ei prodesse præscriptionem temporis ostendemus? qualia sane sæpenumero cottidie uidere est usuuenire, ac recens a nobis adeo compertum est. Inuenimus enim Philocalem, ab initio fortuna tenuis hominem, & unum ex uicanis; postea splendidum, & opulentum: qui quam diu plebeius erat, eadem cum suis conuicanis onera pẽsitationum sustinebat, nec quidquam in eos noui moliebatur. uerum ex quo Deus eum ad honorem Hebdomarij, deinde Cubicularij, postea Protouestiarij prouexit; totum paulatim prædium obtinuit, ac suburbanum suum reddidit, etiam appellatione prædij commutata. Quoniam igitur in hunc modum euectus fuit, eiusque rerum hic fuit status; fieri ne potest, ut hoc ipsum illi subuenire concedamus, & ea relinquamus ei, quibus nequiter alios fraudauit? non æquum hoc fuerit. ideoque maiestas nostra, quum locum ipsum transiret, ac rem de querelis pauperum cognouisset; uillas eius sane quam pretiosas ad ipsum usque solum diruit, ac pauperibus sua restituit: illi uero reliquit eum fundum publicum, quem initio habebat, & rursus unum ex uicanis effecit. Ceterum potentes existimantor, non huiusmodi dumtaxat homines; sed uniuersi, qui sigillatim perscripti sunt in constitutione proaui nostri & imperatoris Romani senioris. Hic enim & ipsos scholares potentes appellauit. quos sane nos quoque potentes dicimus, & centuriones primos adijcimus. nam & hos potentes esse iam reapse cognouimus. Ob hæc ergo sancimus hac præsenti constitutione nostra, ut quæcumque adquisiuerint bona potentes in communibus consortium prædijs, ante proauum nostrum & impe-

Nota qui dicantur potentes.

ἃ ἐγὼ χρονίσω εὐημερῶν, ἕξομεν ἀναφαίρετα τὰ ἐπικτηθέντα, καὶ συμφέρει μοι τὸ πλεονεκτεῖν. τοῦτο δὲ φανερόν ἐστι καὶ ἀπὸ τῆς γενεᾶς τῶν Μαλεΐνων, καὶ πάλιν τῶν Φωκάδων. ὁ μὲν γὰρ πατρίκιος Κωνσταντῖνος ὁ Μαλεΐνος, καὶ ὁ μάγιστρος Εὐστάθιος ὁ τούτου υἱὸς, μέχρι τῶν ρ χρόνων ἢ καὶ τῶν ρκ τὴν εὐημερίαν ἔσχον συμπαρεκτεινομένην αὐτοῖς. οἱ δὲ Φωκάδες πολὺ τούτων ἐπέκεινα. ὅ, τι γὰρ πάππος αὐτῶν, εἶτα καὶ ὁ πατὴρ, μετὰ δὲ ταῦτα καὶ οἱ τούτου υἱοὶ ἀδιάδοχον σχεδὸν εἰπεῖν ἕως ἡμῶν ἔσχον τὴν δυναστείαν. καὶ πῶς οἱ τοιοῦτοι βοηθοῦνται τὸν χρόνον ἔχουσι; πάλιν δὲ πῶς οὐ λογισόμεθα δυνατὸν καὶ ἀδύνατον, τὸν ἐξ ἀρχῆς μὲν πένητα, ὕστερον δὲ τιμώμενον, καὶ πρὸς ὕψος δόξης ἀναγόμενον; ἀδύνατον μὲν, ἕως ὑπάρχει τῶν κάτω, καὶ τὸν χρόνον βοηθεῖν αὐτῷ συγχωρήσομεν; δυνατὸν δὲ, ἀφ' οὗ καιροῦ τιμηθῇ, καὶ τὸν χρόνον μηδὲν αὐτὸν ὠφελοῦντα δείξομεν; οἷα πολλάκις καθ' ἑκάστην ἔστιν ἰδεῖν συμβαίνοντα, καὶ ἄρτι παρ' ἡμῶν εὑρέθη. καὶ γὰρ εὕρομεν τὸν Φιλοκάλην γενόμενον μὲν κατ' ἀρχὰς τῶν εὐτελῶν καὶ χωριτῶν ἕνα, ὕστερον δὲ τῶν περιδόξων καὶ πλουσίων. ὃς ἕως μὲν ὑπῆρχε τῶν κάτω, συνετέλει τοῖς ἑαυτοῦ συγχωρίταις, καὶ οὐδὲν αὐτοὺς ἐκαινοτόμει. ἀφ' οὗ δὲ τοῦτον εἰς τιμὴν ὁ Θεὸς † αὐήξεν ἑβδομαρίου, εἶτα κοιτωνίτου, καὶ μετὰ ταῦτα πρωτοβεστιαρίου, τὸ ὅλον ἐκ τοῦ κατ' ὀλίγον ἐκράτησε χωρίον, καὶ προάστειον ἴδιον ἐποίησεν, ἐναλλάξας καὶ τὴν ἐπωνυμίαν τοῦ τοιούτου χωρίου. ἐπεὶ οὖν οὕτως αὐήχθη, καὶ οὕτως ἐγένετο τὰ κατ' αὐτὸν, ἐνδεχόμενόν ἐστιν ἵνα δώσομεν τοῦτο εἰς βοήθειαν, καὶ καταλείψομεν ἔχειν ἃ κακῶς ἐπλεονέκτησεν; οὐκ ἔστι δίκαιον. ὅθεν καὶ ἡ βασιλεία ἡμῶν κατὰ τὸν τόπον διαβαίνουσα, καὶ τὸ πρᾶγμα ἐγκλήσει τῶν πενήτων διαγνοῦσα, τὰ τούτου οἰκήματα πολυτελῆ ὄντα κατέστρεψεν ἕως ἐδάφους, καὶ τοῖς πένησι τὰ ἑαυτῶν ἀποδέδωκεν· ἐκεῖνον δὲ κατέλιπεν, ὅπερ ἐξ ἀρχῆς εἶχε δημόσιον, καὶ τῶν χωριτῶν ἕνα πάλιν αὐτὸν ἐποίει. Δυνατοὶ δὲ λογιζέσθωσαν, μὴ μόνον οἱ τοιοῦτοι, ἀλλὰ καὶ ἅπαντες οἱ ἀναγραφόμενοι κατὰ μέρος ἐν τῇ διατάξει τοῦ προπάππου ἡμῶν καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος. οὗτος γὰρ καὶ αὐτοὺς τοὺς σχολαρίους δυνατοὺς ὠνόμασεν· ἡμεῖς δὲ λέγομεν καὶ τούτους δυνατοὺς, προστίθεμεν δὲ καὶ πρωτοκεντάρχους. καὶ γὰρ τούτους δυνατοὺς ἤδη πραγματικῶς ἐλέγξαμεν. Διὰ ταῦτα τοιγαροῦν θεσπίζομεν διὰ τῆς παρούσης ἡμῶν νομοθεσίας, * τοῦ προπάππου ἡμῶν

† αὐήγε

Χωριτῶν τίνες λέγονται δυνατοί.

* πρὸ τοῦ προπάππου.

† Διὰ ἐγγράφων.

καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος τὰ ἐπικτηθέντα τοῖς δυνατοῖς εἰς χωρίων κοινότητας, ἀλλὰ † διαγράφων δικαιωμάτων καὶ συστατικῶν μαρτυριῶν τὸ βέβαιον ἔχοντα, δεσπόζεσθαι παρ' αὐτῶν, καθὰ καὶ οἱ παλαιοὶ νόμοι λέγουσι. διὰ τοῦτο δὲ τὰ ἔγγραφα δικαιώματα καὶ τὰς συστατικὰς μαρτυρίας προκομίζεσθαι βουλόμεθα, ὅπως οἱ δυνατοὶ μὴ προφασίσωνται κατὰ πανουργίαν τὰ νεωστὶ αὐτοῖς ἐπικτηθέντα κρατεῖσθαι παρ' αὐτῶν ἀπὸ παλαιοῦ. ἀπὸ τότε δὲ καὶ μέχρι τοῦ νῦν, ἥτις ἐστὶν α τοῦ ἰαννουαρίου μηνὸς, τῆς θ ἰνδικτιῶνος, τοῦ ͵ςφδ ἔτους, ἀλλὰ καὶ εἰς τὸ ἑξῆς, ἐπεὶ καὶ παραγγελία ἔγγραφος ἐγένετο διὰ τῆς δηλωθείσης νομοθεσίας τοῦ προπάππου ἡμῶν καὶ βασιλέως Ῥωμανοῦ τοῦ γέροντος, μηδὲν τὸ σύνολον ἰσχύειν ἢ ἀκούεσθαι τὴν τεσσαρακονταετίαν, μήτι τὸ καθόλου κατὰ τῶν πενήτων ἐνέργειαν τινὰ ταύτην ἔχειν, ὅπου μετὰ τῶν δυνατῶν ἔχουσιν, ἀλλ' ἀντιστρέφεσθαι τοῖς πένησι τὰ ἴδια. μήτι μὴν τοὺς δυνατοὺς δικαιοῦσθαι εἰς τὸ ἀναλαβεῖν τὰ τιμήματα τῶν τοιούτων τόπων, ἢ τὰς βελτιώσεις: ἀλλ' ἀπόλλειν καὶ τὰ τιμήματα, καὶ τὰς βελτιώσεις, διότι καὶ τὴν εἰρημένην νομοθεσίαν παραβαίνοντες εὑρίσκονται, καὶ μᾶλλον ἄξιοι εἰσὶν εὐθύνεσθαι. γράψας γὰρ ὁ ῥηθεὶς πρόπαππος ἡμῶν καὶ βασιλεὺς Ῥωμανὸς ὁ γέρων, καὶ εἰπὼν, ὅτι ἀπὸ τοῦ νῦν κωλύω τοὺς δυνατοὺς τοῦ μὴ ποιεῖν ἐπικτήσεις εἰς κοινότητας χωρίων, ἔδειξεν ὅτι δι' ὅλου καὶ εἰς ἀπέραντον ἐκώλυσεν αὐτοὺς, καὶ τὴν τεσσαρακονταετίαν οὐ δέδωκεν αὐτοῖς εἰς βοήθειαν. οὐ μόνον δὲ εἰς τοὺς παρέμπροσθεν χρόνους ταύτην νομοθετοῦμεν, ἀλλὰ καὶ κατὰ τῶν διαβάντων χρόνων εἰσάγομεν τὴν νομοθεσίαν ταύτην: δηλονότι ἀφ' οὗ ἡ νομοθεσία τοῦ προπάππου ἡμῶν καὶ βασιλέως τοῦ κυρίου Ῥωμανοῦ τοῦ γέροντος ἐξετέθη. εἰ γὰρ μὴ διορθωσόμεθα ἄρτι ὅσα κινοῦνται ἀπὸ τῶν παρελθόντων, πῶς ἔχουσι φυλαχθῆναι τὰ μέλλοντα; καὶ πῶς ἔχουσι φοβηθῆναι καὶ ἀνασταλῆναι οἱ μετέπειτα;

*   *   *

& imperatorem Romanum seniorem, modo ea, quæ acta sunt, per instrumenta scriptis comprahensa, probabiliaque testimonia robur habeant, in eorum dominio maneant; quemadmodum & uetera iura tradunt. Propterea uero instrumenta scripta, cum probabilibus testimonijs proferri uolumus; ne potentiores uafre caussentur, ea quæ recens compararunt, iam olim ab se possideri. Verum ex eo tempore in hunc usque diem, qui primus est mensis Ianuarij, indictionis VIIII, *anni* IↃↃCIↃ IↃ IIII, *atque etiam deinceps, quandoquidem factum est interdictum scripto comprehensum per indicatam constitutionem proaui nostri & imperatoris Romani senioris, nihil in uniuersum ualeat, nec audiatur annorum* XL *præscriptio; nec prorsus ullam aduersus pauperes efficacitatem habeat, ubi prædia cum potentibus possident; sed sua pauperibus restituantur. Nec item quidquam iuris potentes habeant, ad recipiendum eiusmodi locorum pretia, uel meliorationes: sed tam ipsa pretia, quam meliorationes amittant propterea, quod indicatam constitutionem uiolasse comperiantur, adeoque pœna potius digni sint. Nam quum legem scripserit dictus ille noster proauus & imperator Romanus senior, eique inseruerit, deinceps prohibere se potentibus, ne quid de communitatibus prædiorum comparent; ostendit, in uniuersum & in infinitum se hoc illis prohibuisse, nec præscriptionem annorum* XL *concessisse, quæ ipsis succurreret. Neque tantum nos pro temporibus sequuturis hanc legem ferimus, uerumetiam aduersus ea, quæ præterierunt, eamdem introducimus: ex quo scilicet constitutio proaui nostri & imperatoris, domini Romani senioris, promulgata fuit. Quippe ni modo correxerimus, quæcumque de præteritis lites instituuntur: quonam pacto caueri futura poterunt? & quinam poterunt deterreri coercerique posteri?*

*   *   *

ΣΧΟΛΙΟΝ ΤΟΥ ΛΕΩΓΚΛΑΒΙΟΥ.

Λείπει τὸ τέλος τῆς νεαρᾶς. τοῦτο γὰρ δῆλον ἐκ τῶν Ἀρμενοπούλου, ὧν εἰσι φωναί· μηδὲ ἰσχύειν τὰς παραγραφὰς, ὃ καὶ χρυσοβούλλων ἔνδον ἐστὶν, ἀδίκως καὶ κακοτεχνικῶς γεγενημένων· μηδὲ τὸ δημόσιον ἀποκλείεσθαι χρόνῳ, ἀλλὰ ἀνακαλεῖσθαι τὸ ἴδιον δίκαιον ἀπὸ Αὐγούστου καίσαρος, καὶ δικαιοῦσθαι περὶ τὴν τούτου ἀνάληψιν. τούτων γὰρ τῶν κεφαλαίων οὐδαμῶς ἐνταῦθα μέμνηται.

SCHOLION LEVNCLAI.

Deest finis huius constitutionis. Hoc enim manifesto patet ex his Harmenopuli uerbis: Neue præscriptiones ullæ robur habeant, licet aureis bullis contineantur, quę iniuste fraudulenterque factæ sint. Fiscum quoque nullo temporis interuallo uult excludi, sed ab Augusto Cæsare ius suũ repetere, idque merito recuperare. Quorum capitum heic nulla mentio fit.

ISAACII COMNENI NOVELLA.

DE CONSVETVDINIBVS, QVAE pro ordinatione dantur, & de canonico.

Maiestas mea sancit, ut tam in ordinatione sacerdotum, quam in canonico forma uetus auctoritatem obtineat; neue quid amplius in ordinatione capiat episcopus, qui sacerdotem ordinat, praeter septem numos aureos praestantioris monetae maiestatis meae. uidelicet unum, quando eum simplicem papā siue lectorem facit; tres, quando diaconum ordinat; & alios tres, quando sacerdotem siue presbyterum perficit. Similiter nomine canonici, a uico habente triginta fumaria, similis numus aureus unus exigatur, argentei duo, aries unus, hordei modij sex, uini mēsura sex, farina modij sex, triginta gallina. Ab eo uero, qui fumaria uiginti habet, bes aurei, pro duobus argenteis argenteus unus, agnus dimidiatus, hordei modij quatuor, uini mensura quatuor, farina modij quatuor, gallina uiginti. A uico denique decem habente fumaria, quinq; argentei, agnus unus, hordei modij duo, uini mensura dua, farina modij duo, gallina decem: quemadmodum & in ueterum exactorum sigillis haec perscripta sunt, & maiestati meae consentiens omnium depositio prouincialium probauit.

ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ ΝΕΑΡΑ.

ΠΕΡΙ ΤΩΝ ΥΠΕΡ ΧΕΙΡΟΤΟΝΙΑΣ διδομένων συνηθειῶν, καὶ τοῦ κανονικοῦ.

Τυποῖ ἡ βασιλεία μου καὶ ἐπὶ τῇ χειροτονίᾳ τῶν ἱερέων, καὶ ἐπὶ τῷ κανονικῷ τὸν παλαιὸν ἐνεργεῖν τύπον. καὶ μηδὲν ἐπὶ τῇ χειροτονίᾳ λαμβάνειν πλέον τὸν χειροτονοῦντα τοῦτον ἐπίσκοπον, ἀλλ' ἢ μόνα τὰ ἑπτὰ χρυσοῦ νομίσματα τῆς προτιμωμένης χαραγῆς τῆς βασιλείας μου. ἤγουν, ἓν μὲν ὅτι ποιεῖ τοῦτον λιτὸν παπᾶν ἤτοι ἀναγνώστην· τρία δὲ, ὅτι χειροτονεῖ αὐτὸν διάκονον· καὶ ἕτερα τρία, ὅτι πληροῖ αὐτὸν ἱερέα ἤτοι πρεσβύτερον. ὡσαύτως καὶ ὑπὲρ τοῦ κανονικοῦ, ἀπὸ τοῦ ἔχοντος χωρίου τριάκοντα καπνοὺς, νόμισμα ἓν χρυσοῦν ὅμοιον, ἀργυρᾶ δύο, κριὸν ἕνα, κριθῆς μόδια ἕξ, οἴνου μέτρα ἕξ, ἀλεύρου μόδια ἕξ, καὶ ὄρνιθας τριάκοντα. ἀπὸ δὲ τοῦ ἔχοντος εἴκοσι καπνοὺς, τὸ δίμοιρον τοῦ νομίσματος, καὶ ἀντὶ τῶν β. ἀργυρῶν, ἀργυροῦν μέσαρνον ἓν, κριθῆς μόδια δ, οἴνου μέτρα δ, ἀλεύρου μόδια δ, καὶ ὄρνιθας κ. ἀπὸ δὲ τοῦ ἔχοντος ι καπνοὺς χωρίου, ἀργυρᾶ ε, ἀρνίον ἕν, κριθῆς μόδια β, οἴνου μέτρα β, ἀλεύρου μόδια β, καὶ ὄρνιθας ι· καθὼς καὶ ἐν τοῖς σιγιλλίοις τῶν παλαιῶν πρακτικῶν ἀναγράφονται, καὶ ἡ σύμφωνος κατάθεσις τῶν ὅλων θεματικῶν παρέστησε τῇ βασιλείᾳ μου.

AVREA BVLLA LAVDATI PRINCIPIS, DOMINI Nicephori Botaniatae

QVA CONFIRMANTVR DECRETA synhodalia, de incestis nuptijs atque sponsalibus, facta sub IOANNE XIPHILINO, sanctissimo & uniuersali patriarcha, post cuius mortem oblatum fuit ecclesiae subiectum heic aureae bullae scriptum.

» *Semper in maximis administrationibus*
» *Deum concurrere, diuina quadam & sapiens*
» *oratio confirmauit: atque ita perfici res maxi-*
» *mas, quae geruntur, nouimus omnes, minime-*
» *que dubitamus. Iam si quidem ex maximis*
» *Dei operibus etiam uita hominum est, & eo-*
» *rumdem tam procreatio, quam in hac uita*
» *incrementum ab ipsius gubernatione pendet;*
» *multo magis ex eiusdem tum cura, tum man-*
» *dato coniugium agnoscitur, quod legibus lici-*
» *tum sit, nec a Deo reiectum: quemadmodum*

ΧΡΥΣΟΒΟΥΛΛΟΝ ΤΟΥ ΜΑΚΑΡΙΣΤΟΥ ΒΑΣΙΛΕΩΣ, κυρίου Νικηφόρου τοῦ Βοτανειάτου·

ΕΠΙΚΥΡΟΥΝ ΤΑΣ ΣΥΝΟΔΙΚΑΣ ἀποφάσεις, τὰς περὶ τῶν ἀθεμίτων γάμων, καὶ τῆς μνηστείας, γεγενημένας ἐπὶ ΙΩΑΝΝΟΥ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου τοῦ ΞΙΦΙΛΙΝΟΥ, οὗ μετὰ θάνατον ἐπεβραβεύθη τῇ ἐκκλησίᾳ ὁ ὑποτεταγμένος χρυσοβούλλιος λόγος.

Τὸ τῆς μεγίστης τῶν διοικήσεων θεὸν ἀεὶ συνέρ- «
χεσθαι, λόγος θεῖος καὶ σοφὸς ἐπεκράτησε· καὶ «
οὕτω διεξάγεσθαι τὰ μείζονα τῶν πραττομένων «
οἴδαμεν ἅπαντες, καὶ οὐκ ἀμφιβάλλομεν. εἰ «
δὲ τῶν μεγίστων ἔργων τῶν ἐκ θεοῦ, καὶ ἡ τῶν «
ἀνθρώπων ἐστὶ ζωὴ, καὶ ἡ ἐκ τούτων παιδογόνη- «
σις καὶ εἰς τὸν βίον ἐπαύξησις οἰκονομίᾳ γίνεται «
τῇ ἐξ αὐτοῦ· πολλῷ μᾶλλον ἐκ τῆς τούτου κηδεμο- «
νίας καὶ προστάξεως γνωρίζεται ὁ γάμος, ὁ τοῖς νό- «
μοις θεμιτὸς καὶ μὴ ἐκ θεοῦ χωριζόμενος· ὥσπερ «

ἄρχη

ἄρα γε ἀλλότριός ἐστι καὶ ἐθνικὸς, ὁ τῆς αὐτοῦ προστάξεως ἀλλοτριούμενός τι καὶ διαιρούμενος. εἰ γὰρ αὐτὸς ῥητῶς οὑτωσὶ διετράνωσέ τι καὶ ἐξεφώνησε, τοὺς ἐκ θεοῦ συνηνωμένους παρὰ ἀνθρώπων μὴ χωρίζεσθαι, καθά φησιν ἡ εὐαγγελικὴ καὶ θεία φωνὴ, τίς ἂν ἀπιστήσειε μὴ κατὰ βούλησιν αὐτοῦ κωλύεσθαι τὰ ἀθέμιτα, προβαίνειν δὲ κατὰ τὴν ψῆφον, κατὰ τοὺς θείους καὶ ἐκκλησιαστικοὺς κανόνας συνηνωμένα, καὶ μὴ κωλυόμενα; † εἰ δ' εἴ τις ἀπαυθαδιάσοι τὸ πρὸς τὰ ἐκ τῆς τῶν θείων νόμων καὶ συνοδικῶν οἰκονομίας καὶ κελεύσεως * ἀρίστης οἰκονομουμένης, οὐκ ἄντικρύς ἐστιν ἀντίστασις θεοῦ, καὶ ἀπόστασις τὸ πραττόμενον; ἀλλὰ μὴ οὕτω τις μανείη, καὶ τῶν οἰκείων ἐκσταίη φρενῶν, ὡς ἐμπεσεῖν εἰς χεῖρας μείζονος καὶ ἀπαραιτήτου κριτοῦ, ἐκ τῆς ἀντινομίας τοῦ καλοῦ, καὶ πρὸς τὸ χεῖρον μεταφορᾶς. εἰ γοῦν ἅπαντας ὁ θεῖος νόμος καὶ συνοδικὸς καταναγκάζει καὶ μὴ βουλομένους μεταφέρεσθαι πρὸς τὰ κρείττονα, ὡς ἂν μὴ τῆς συνόδου τῆς θείας ψήφου ἐξοστρακίζοιντο, πολλῷ τι μᾶλλον ἄξιόν ἐστι μετὰ καὶ τῆς ψηφοφορίας τῆς συνοδικῆς καὶ ἀρχιερατικῆς καὶ τὸν κρατοῦντα ἐπιψηφίζεσθαι, καὶ ὥσπερ δὴ συμπαρεστάναι καὶ συνεδριάζειν τοῖς καλῶς παρὰ τῶν ἱερωτάτων καὶ θειοτάτων ἀρχιερέων, καὶ αὐτοῦ τοῦ πανιέρου πατριάρχου ψηφισθεῖσί τε καὶ οἰκονομηθεῖσι καλῶς. καὶ γὰρ ἐπεὶ διακρίσεως συνοδικῆς τοῦ μακαρίτου πατριάρχου κυροῦ Ἰωάννου τοῦ Ξιφιλίνου γεγενημένης κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς παρελθούσης τετάρτης ἰνδικτιῶνος, ἔτι τε καὶ τῶν τότε ἐνδημούντων κατὰ τὴν βασιλεύουσαν ἱερωτάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων, ἀνέμαθεν ἡ βασιλεία μου, ὅτι συνοδικῶς ἐκρίθη τὰ περὶ τῶν ἀθεμίτων γάμων, πῶς τε ὀφείλουσιν οἱ κεκωλυμένοι κατὰ τοὺς θείους κανόνας καὶ νόμους ἀνακαιτίζεσθαι, καὶ πῶς προβαίνειν οἱ κατὰ νόμους γινόμενοι, καὶ μὴ συνοδικῶς κωλυόμενοι, καὶ ὑπεμνήσθη τούτου ἕνεκεν ἡ βασιλεία μου, ὥστε ἐπικυρωθῆναι παρ' αὐτῆς τὴν τοιαύτην κρίσιν, ὡς ἂν μὴ παρά τινος κατὰ φόβον τυχὸν, ἢ δόλον, ἢ τρόπον ἄλλον οὐκ ἐπαινετὸν ἀνατρέποιτο, καὶ ἰδοὺ τὸ πρᾶγμα θεῖον καὶ εὐσεβές· ἐπήκουσε τῆς τῶν αἰτουμένων αἰτήσεως, καὶ ἐπεκράτυνε βασιλικῶς τὰ τῷ θεῷ ἀρέσαντα, καὶ κατὰ τοῦτο καὶ τῇ θείᾳ καὶ ἁγίᾳ συνόδῳ συνδοξάσαντα, ὡς ἂν τὰ πάλαι πεπραγμένα καλῶς, ἐκ καινῆς κακῶς μὴ ἀναμοχλεύοιντο, καὶ ἀκίνητα μετακινοῖντο, καὶ ὡς εἰπεῖν ἀνίερα γίνοιντο. Διορίζεται γὰρ ἡ βασιλεία μου διὰ τοῦ παρόντος χρυσοβουλλίου λόγου, τὴν γενομένην πατριαρχικὴν καὶ συνοδικὴν κρίσιν βεβαίαν εἶναι, καὶ μὴ παρά τινος ἄχρι καὶ ψιλοῦ τοῦ λόγου τολμᾶσθαι ἀνακρίνεσθαί τε καὶ ἀνατρέπεσθαι. αὐτόχρημα γὰρ ὁ ἀντιπίπτων ταύτῃ τῇ θείᾳ καὶ συνοδικῇ κρίσει, τῆς ἡμετέρας πίστεως προσανατρέπει τοὺς οἴακας, καὶ ἀναθέματι καθυποβέβληται,

† ἀ δέ τις ἀπαυθαδιάσαιτο.

* ἀρίστως οἰκονομούμενα.

& alienum, & paganũ est, quod ab ipsius mandato recedit atque disiungitur. Si enim ipse tam diserte rem exposuit, ac pronuntiauit; a Deo coniunctos, ab hominibus separari non debere, sicut euangelica diuinaque uox illa prodidit: quis neget secundum ipsius uoluntatem incestas nuptias prohiberi, deque sententia eiusdem illas habere locum, quæ iuxta sacros & ecclesiasticos canones coëunt, & non prohibentur? Quod si quis contumaciter ea reijciat, quæ de sacrarum & synhodalium legum præscripto & iussu optime geruntur; non id palam fuerit aduersari Deo, & ab eo deficere? Verum enimuero ne quis ita furiosus sit, adeoque de potestate exeat, ut in manus maioris & omni exceptione superioris iudicis, aduersando ei, quod bonum est, & ad malum declinando, incidere uelit. Itaque si cunctos diuina lex & synhodalis, etiam inuitos ad meliora traducit, ne per sacram synhodi sententiam excludantur: multo magis operæ pretium est, una cum suffragio synhodali & pontificali principem ipsum quoque decernere, quasique se præbere socium & adsessorem in ijs, quæ præclare a sanctissimis & diuinissimis pontificibus, ipsoque sanctissimo patriarcha decreta sunt, & præclare constituta. Quoniam ergo synhodale decretum Aprili mense, præterita indictione quarta, factum est a felicis memoriæ patriarcha, domino Ioanne Xiphilino, & a sanctissimis metropolitanis & archiepiscopis, quotquot id temporis ad urbem imperatricem erant; meaque maiestas intellexit, in ea synhodo de incestis nuptijs esse cognitum, quonam scilicet pacto prohibitæ nuptiæ secundum sacros canones atq; leges inhiberi debeant, & qui uicissim ea locum habere, quæ secundum leges fiunt, nec synhodi iudicio prohibentur; atque hoc nomine maiestati meæ suggestum, ut ab ea tale decretum confirmetur, ne ab aliquo forte metu, uel dolo malo, uel alio quodam modo nõ laudabili rescindatur: quum eiusmodi res diuina & pia sit, preces oblatas exaudiuit, & auctoritate principali corroborauit ea, quæ primum Deo placuerunt, postea sacra sancta synhodo comprobata sunt; ut ne recte olim facta, de nouo male subuertantur, neue loco moueantur immota, profanaque (ut ita dixerim) fiant. Sancit enim maiestas mea per hoc aurea bulla scriptũ, ut factũ illud a patriarcha pariter & synhodo decretũ, firmũ ratũq; sit, nec quisquam id uel nudo uerbo in dubium audeat reuocare ac rescindere. Nam qui huic sacræ synhodaliq; sentẽtiæ aduersatur, mox ipso facto fidei nostræ gubernacula subuertit, et anathemati subiacet,

& abdicatus a magna ecclesia remouetur, uelut inhumanus & conscileratus, qui & canonibus aduersetur, & eosdem rescindat atq; conuellat. Quippe maiestas mea præclare dyudicata gestaq; per ipsam synhodum obsignans, præsentem hanc auream bullā promulgauit, ad confirmandum & stabiliendum ea; cui bulla rubris litteris subscripsit, & per eas ueritatem clariorem dictans, uerum ei sigillum, quasi quoddā aureum corollarium, appendit. Anno CIƆ IƆ CIƆ IƆ LXXXVIII, hac ipsa tertia indictione, mense Ianuario; quo & pia diuinitusque constituta maiestas nostra subscripsit.

DECRETORVM SYNHODALIVM, QVAE AVREA BULLA IAM PRÆMISSA CONFIRMAT, PRIMUM.

Mense Aprili, die XXVI, indictione quarta, anni CIƆ IƆ CIƆ IƆ LXXIIII, præsidente Ioanne sanctissimo domino nostro & uniuersali patriarcha, ad dextram Catechumeniorū partem; adsidētibus ei sanctissimis metropolitanis, Cæsariensi, Ephesino, Heracliensi, Ancyrano, Cyziceno, Chalcedonensi, Sebastiensi, Gangrano, Philippensi, Hierapolitano, Cataniensi, Mityleneo, Chonarum, Nacoliensi: & archiepiscopis, Maroneæ, Præconesi, Garellæ, Lemni, Bosporano, Gotthiæ, Heracl.... uenientibus ad extremum & Amasiensi, & Melitenensi, & Claudiopolitano, & Iconiensi, & Hydruntino.

*Quamuis euidenter & expressis uerbis in synhodali tomo, promulgato a clarissimo patriarcha, domino Sisinnio, de prohibitis & incestis nuptijs, nihil de spōsalibus quoq; sit comprahensum; * tamen quum ius ciuile patris atque filij spōsam, filio uel patri omnino coniūgi propterea uetet, quod illa nouercæ locū habeat, hæc nurus, licet nuptiæ sequutæ nō sint; idemque ualeat in sponsa filij adoptiui, licet adoptio soluta sit, ut eā pater adoptiuus uxorē accipere nequeat, ueluti nurum & filij sui coniugem; quum obtinuerit denique in hunc usq; diem, ut qui uirginem sibi desponderit, eamq; uel morte amiserit, uel repudio, uel consensu, pœnarumq; legitimarū solutione, ac deinde duxerit aliā; neq; sacerdos, neque diaconus, aut subdiaconus ordinari possit, quasi qui secūdas cōtraxisse nuptias reputetur: uisum est nūc quoq; mediocritati nostræ, totiq; sanctissimæ synhodo præsenti, ualere in omnibus incestis prohibitisq; nuptijs debere, ut nō modo si nuptiæ sacræq; preces intercesserint, eiusmodi cōtractus prohibeatur, et illicitus appelletur; sed & si spōsalia secūdū legē peracta sint, nuptijs nō impletis,*

* l. 12. §. 1. D. de rit. nupt. Instit. de nupt. §. si uxor.

καὶ ἀποκήρυκτος παρὰ τῆς μεγάλης ἐκκλησίας ἀποκαθίσταται, † καὶ ἀνατρέπων τοῖς κανόσι, καὶ ἀνατρέπων τούτους καὶ διασαλεύων, ἀπάνθρωπός τε καὶ παρανομώτερος. καὶ γὰρ ἐπισφραγίζουσα ἡ βασιλεία μου τὰ κεκριμένα καλῶς καὶ οἰκονομηθέντα συνοδικῶς, καὶ τὸ παρὸν ἐξέθετο χρυσόβουλλον, εἰς ἐπικύρωσίν τε καὶ στερεότητα, ὑποσημειωσαμένη ἐν αὐτῷ διὰ ἐρυθρῶν γραμμάτων, καὶ διὰ τούτων τὴν ἀλήθειαν φανωτέραν ὑπαγορεύουσα, κορωνὴν ὥσπερ δή τινα χρυσῆν τὴν ἀληθῶς σφραγῖδα τούτῳ ἀπαιωρήσασα, ἐν ἔτει τῷ ςφπη, τῆς παρούσης τρίτης ἰνδικτιῶνος, τοῦ ἰανουαρίου μηνὸς, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

† ὡς καὶ ἀντιπίπτων τοῖς.

ΤΩ͂Ν ΣΥΝΟΔΙΚΩ͂Ν ἈΠΟΦΑ'ΣΕΩΝ, ἋΣ ΤῸ προεπιταγμένον ἐπικυροῖ χρυσόβουλλον, ἡ α.

Μηνὶ ἀπριλλίῳ, κς ἡμέρα, δ ἐπινεμήσεως, ἔτους ςφοδ, προκαθημένου Ἰωάννου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς δεξιοῖς μέρεσι τῶν † κατηχουμένων, συνεδριαζόντων αὐτῷ * πανιερωτάτων μητροπολιτῶν, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Ἀγκύρας, τοῦ Κυζίκου, τοῦ Χαλκηδόνος, τοῦ Σεβαστείας, τοῦ Γαγγρας, τοῦ Φιλίππων, τοῦ Ἱεραπόλεως, τοῦ † Κατανάτου, τοῦ Μιτυλήνης, τοῦ Χωνῶν, τοῦ Νακωλείας: καὶ ἀρχιεπισκόπων, τοῦ Μαρωνείας, τοῦ Προικοννήσου, τοῦ Γαρέλλης, τοῦ Λήμνου, τοῦ Βοσπόρου, τοῦ Γοτθίας, τοῦ Ἡρακλ.... εἰσελθόντων καὶ ἐν ὑστέρῳ τοῦ Ἀμασείας, τοῦ Μελιτηνῆς, τοῦ Κλαυδιουπόλεως, τοῦ Ἰκονίου, καὶ τοῦ Ὑδροῦντος.

† κατηχουμενείων.
* ἱεροφιλτάτων.
† Καταναίου.

Εἰ καὶ μὴ προδήλως καὶ κατὰ λέξιν ἐν τῷ ἐκτεθέντι συνοδικῷ τόμῳ παρὰ τοῦ ἀοιδίμου πατριάρχου κυρίου Σισιννίου, ἐπὶ τῶν κεκωλυμένων καὶ ἀθεμίτων γάμων, διείληπται καὶ περὶ τῆς μνηστείας: ἀλλ' ἐπεὶ καὶ τὴν τοῦ πατρὸς μνηστὴν καὶ τὴν * τοῦ ἀδελφοῦ κωλύει παντάπασιν ὁ † πολιτικὸς νόμος τῷ υἱῷ ἢ τῷ * ἀδελφῷ ζεύγνυσθαι, διὰ τὸ τὴν μὲν μητρυιᾶς τάξιν ἔχειν, τὴν δὲ νύμφης, κἂν ὁ γάμος μὴ προβέβηκε: τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῆς μνηστῆς τοῦ θετοῦ υἱοῦ, κἂν † ἡ θέλησις λυθῇ, μὴ δυναμένου τοῦ θετοῦ πατρὸς ταύτην λαβεῖν, ὡς νύμφην καὶ τοῦ ἰδίου υἱοῦ γαμετήν: ἐκράτησε δὲ καὶ μέχρι τοῦ δεῦρο τὸν μνηστευσάμενον κόρην, καὶ ἢ θανάτῳ ταύτην ἀποβαλόντα, ἢ διαζυγίῳ, ἢ συναινέσει, καὶ * προστίμων καταβολῇ, εἶτα ἑτέραν ἀγαγόμενον μὴ δύνασθαι ἱερέα, ἢ διάκονον, ἢ ὑποδιάκονον χειροτονεῖσθαι, δίγαμον δηλαδὴ λογιζόμενον: ἔδοξε καὶ νῦν τῇ ἡμῶν μετριότητι καὶ πάσῃ τῇ ἐνδημούσῃ ἱερωτάτῃ συνόδῳ, τοῦ κρατεῖν ἐπὶ πάντων τῶν ἀθεμίτων καὶ κεκωλυμένων, μὴ μόνον εἰ γάμος καὶ ἱερολογία † φθάσει προβῆναι, κωλύεσθαί τε καὶ ἄθεσμον τὸ συνάλλαγμα ὀνομάζεσθαι· ἀλλὰ κἂν μνηστεία κατὰ τὸν νόμον τετέλεσται, γάμος δὲ οὐκ ἀπήρ-

* τοῦ υἱοῦ καὶ.
† πρακτικός.
* πατρὶ ἢ υἱῷ.
† ὁ δεσμ.
* νομίμων προστίμων.
† φθάσῃ συμβῆναι.

* διαλύεται. ἀπήρτισαι, θανάτῳ δὲ ἢ ἑτέρῳ τρόπῳ * διαλέλυται, μὴ ἐξὸν εἶναι θατέρῳ τῶν προσώπων τῷ κατὰ τὴν συγγένειαν ἑνωμένῳ αὐτοῦ προσώπῳ, ἐξ ἧς αἰτίας κώλυμα γίνεται γάμου, ἢ κατὰ ἄλλον τινὰ τρόπον τὸ ἀθέμιτον παρεισάγεται, συνάπτεσθαι τι κατὰ τὸν νόμιμον γάμον καὶ νόμοις ἐγνωσμένον, ἢ θείοις κανόσι τὸ συνάλλαγμα ἢ τὴν συνοίκησιν κεκλῆσθαι τι καὶ ὅλως καθίστασθαι: τῆς νομίμου μνηστείας τοῦ γάμου τάξιν τε καὶ κατάστασιν ἐχούσης. Διὰ τοῦτο γὰρ καὶ προστίμου ἄνευ λύεσθαι ταύτην οὐκ ἔξεστιν, ἀλλ' ἐπὶ μὲν τῶν ἀθεμίτων νομικὸς διορίζεται κανὼν, ὡς ἔνθα τὸ συνάλλαγμα νόμοις ἀπρόσδεκτον, ποινὴν ἀπαιτεῖσθαι οὐκ ἔξεστιν. ἐπὶ δὲ τῶν ἐρρωμένων καὶ νομίμων, ὥσπερ ἐν τοῖς γάμοις, αἱ ποιναὶ ἀντιδίδονται: εἰ μὲν ἐξ αἰτίας δηλονότι τῆς γυναικὸς τὸ διαζύγιον πέμπεται, τοῦ ἀνδρὸς κερδαίνοντος. εἰ δὲ παρ' αἰτίαν τοῦ ἀνδρὸς, τῆς γυναικὸς ἀποφερομένης τὸ κέρδος. οὕτω καὶ ἐν ταῖς μνηστείαις, τῆς λύσεως μετὰ προστίμου συνισταμένης, πρόδηλον ὡς ὁ μνηστείαν συστησάμενος καὶ κατὰ νόμους διαλυσάμενος, εἶτα ἑτέραν ἀγαγόμενος, δίγαμός τε ἐστὶ, καὶ οὕτω νῦν καὶ εἰς τὸ ἑξῆς ὀνομασθήσεταί τε καὶ ἔσται. τὸ δ' αὐτὸ πάντως καὶ ἐπὶ τῶν θηλειῶν. ἐπεὶ τὰ αὐτὰ ἐφ' ἑκατέρας φύσεως οἱ νόμοι κρατεῖν κἂν τοῖς γάμοις κἂν τοῖς ἑτέροις συναλλάγμασι θεσπίζουσι. Διαῤῥήδην τοίνυν ἀποφαινόμεθα, ὅσα καὶ οἷα πρόσωπα ἀπὸ τῶν πολιτικῶν νόμων, ἢ ἀπὸ τῶν θείων κανόνων, ἢ ἀπὸ τοῦ δηλωθέντος συνοδικοῦ τόμου, ἢ ἀπὸ ἑτέρου τοῦ περὶ τριγαμίας συνοδικοῦ τε ἅμα [διὰ ταῦτα] καὶ βασιλικοῦ θεσπίσματος, εἰς γάμου κοινωνίαν κεκώλυται, τὰ αὐτὰ καὶ ἐπὶ τῶν μνηστειῶν τὴν κώλυσιν † ἐναργεστάτην ἔχειν, καὶ μηδὲν εἶναι γάμου τε καὶ μνηστείας διάφορον, εἰς σύστασιν τοῦ θεμιτοῦ καὶ ἐρρωμένου.

† ἐναργεστάτην.

sed morte uel alio modo solutis, ne fas sit alterutri harum personarum, iuncta sibi per cognationem persona, cuius caussa nuptiarum nascitur impedimentum, uel alio quodam modo incestus admittitur, copulari iusto legibusque comprobato matrimonio; neue per sacros canones contractus hic uel cōiugium nuncupetur, aut ullo modo subsistat; quum legitima sponsalia matrimonij locum & condicionem obtineant. Nam propterea nec absque pœnis hac dissoluere licet, quū de incestis * regula iuris definiat, ubi contractus legibus interdictus sit, non licere pœnā exigere. In ijs autem, quæ iure legibusque ualent, quemadmodum in nuptijs, pœnæ persoluuntur; ut lucrum uir consequatur, si quidem per caussam mulieris repudium mittatur; sin culpa uiri lucrum mulier auferat. Sic & in sponsalibus, si quidem cum pœna consistat eorum dissolutio, manifestißimum est eum, qui sponsalia contraxit, & secundum leges dissoluit, alia deinceps uxore ducta digamum esse, atque ita nunc, & in posterum nominatum iri, & futurum. Idem uero & in feminis omnino locū habebit, quum eadem in utroque sexu tam in nuptijs, quam ceteris contractibus obtinere, leges sanciant. Itaque diserte pronuntiamus, quæ & qualescumque personæ per iura ciuilia, uel sacros canones, uel iudicatum synhodalem tomum, uel aliam de tertijs nuptijs synhodalem pariter & imperialem sanctionem, a consortio matrimoniali arceantur: easdem & in sponsalibus prohibitionem manifestißimam habere, nec ullum esse nuptiarum & sponsalium discrimen in hoc, ut licite iusteque contrahantur.

* L.5.C.de sponsalib.

ἈΠΌΦΑΣΙΣ ΣΥΝΟΔΙΚΗ β.

Μηνὶ μαρτίῳ, ιθ ἐπινεμήσεως, ἔτους ϛ φ π ε, προκαθημένου Ἰωάννου † τοῦ ἁγιωτάτου οἰκουμενικοῦ πατριάρχου ἐν τῷ μικρῷ σεκρέτῳ, συνεδριαζόντων αὐτῷ καὶ τινῶν ἀρχόντων συγκλητικῶν, πρὸς τούτοις δὲ * πανιερωτάτων μητροπολιτῶν, τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ † Τιτάνων, τοῦ Νεοκαισαρείας, τοῦ Ἀμωρίου, τοῦ * Κοτυαείου, τοῦ Ἀμάστριδος, τοῦ † Κελσηνῆς, τοῦ Κολωνείας· καὶ ἀρχιεπισκόπων, τοῦ Σηλυβρίας, τοῦ Ῥωσίου, καὶ τοῦ Γοτθίας.

† τοῦ ἁγ. ἡμῶν δεσπότου, καὶ.

* ἱερωτάτων.

† Τυάνων.

* Κοτυάου.

† Κελεσηνῆς.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν συγκλητικῶν ἁπάντων ὑποχωρησάντων, ἐλθόντος δὲ καὶ τοῦ μητροπολίτου Πατρῶν, καὶ συγκέλλου Νικήτα, προετέθη τὸ τῆς μνηστείας ἀμφιβαλλόμενον· ἆρα χρὴ ἐν τοῖς γαμικοῖς συναλλάγμασιν, ἔνθα συγγενείας ἐστὶ νόμος, κώλυσιν ἐπάγων, * ἀντὶ γάμου ταύτην λογίζεσθαι· καὶ ἢ ἐπιτρέπεσθαι τὸ μετὰ τοῦτο μέλλον προβῆναι συνοικέσιον, ἢ ἀποτρέπεσθαι, ὡς ἀθέσμιόν τι

* ἀντὶ ἀγάμου.

DECRETVM SYNHODALE II.

Mense Martio, indictione XIX, anni ↀCIↃ IↃ LXXV, præsidente Ioanne sanctißimo domino nostro, & uniuersali patriarcha, in minore secreto, adsidētibus ipsi magistratibus quibusdam ordinis senatorij, præterq; hos sanctißimis metropolitanis, Cæsariensi, Heracliensi, Nicæno, Chalcedonēsi, Tyanensi, Neocæsariensi, Amoriensi, Cotyæi, Amastridis, * Celsena, Colonēsi: & archiepiscopis, uidelicet archiepiscopo Selybriæ, Rusij, & Gotthiæ.

* al. Celesena.

Eodem die, quū omnes ordinis senatorij proceres abscessissent, et aduenisset metropolitanus Patrensis, ac Nicetas syncellus, de spōsalibus est proposita quæstio: num scilicet in contractibus nuptialibus, ubi cognationis lex impedimētum adfert, sponsalia pro nuptijs habenda sint; ut uel promittatur, quod subsequuturum est, coniugium; uel prohibeatur, tamquam illicitum, & legibus

& legibus contrarium, & in sacros canones impingens. Interrogati uero cuncti, qui aderant, sanctissimi pontifices, communi sententia de quaestione controuersa responderunt; eiusmodi contractum prohibendum esse, quoties celebratis sponsalibus, nec sequutis nuptijs, cum persona quapiam uel ob cognationem, uel ob adfinitatem manifestam uetita, contractus alius instituitur: partim, quod nonagesimus octauus canon sanctae uniuersalis sextae synhodi sic ad uerbum statuat; QVI ALII desponsatam, uiro adhuc superstite, duxerit uxorem, adulterij crimine tenetor: (quippe nisi patres illi diuini sponsalia loco nuptiarum habuissent, sed pro re quadam diuersa; quonam modo adulterij crimen impegissent ei, qui cum desponsata cum altero matrimonium cōtrahit? Nam haud dubie cum nupta committitur adulterium, nec citra discrimen eamdem poenarum rationem ac modum tam in adulterio, quam scortatione, canones statuunt) partim, quod & ius ciuile titulo V, libri XXVIII Basilicorum, in hanc sententiam loquatur; * Patris filijue mei sponsam, uxorem ducere non possum, licet eorum uxores non fuerint. Nam illa nouerca, haec nurus locum habet. Item post capita quaedam; † Quamuis multas pater meus habuit, nullam earum duco. * nec matrem sponsae quondam meae, quippe mea socrus fuit. Igitur & in hoc perspicuum est, legum conditores habuisse sponsalia pro nuptijs, & illicitum existimasse, quod cōsequitur, sanxisseque non posse coniungi. atque haec de adfinitate dicuntur. nam post enumerata sanguinis impedimenta, subijciunt: Sunt & aliae nuptiae, quae non ob ius cognationis, sed propter adfinitatem non procedunt. & in huiusmodi impedimentorum enumeratione, praedicta quoque capita collocantur. Ac praesentes una sanctissimi pontifices in hanc canonicam legalemque sententiam consenserunt, ita se sentire ac dicere professi; nec diuersum quid se uel cogitatione, uel facto probare, uelut una uoce pronuntiarūt: quandoquidem & in edictis, quae ad sacerdotiū pertinent, ita se tū facere, tum manus imponere dicerent; ut quū quis aliqua sibi desponsata, nec matrimonio copulata, quocunque modo eam deserēs aliud deinde legitimum matrimonium contraxerit; nec sacerdos ordinetur, nec forte per ignorantiam ordinatus, quidquam fructus inde ferat; sed sacerdotio, ueluti digamus, excidat. Nā & qui desponsatā alij duxerit, ad sacerdotij gradum adscendere prohibetur. Sic se tum indicare, tum dicere, pariter omnes deposuerunt, & sic ab omnibus faciundum pronuntiarunt.

* l.12.§.1.D. de rit. nupt.

† l.14.§.nunc uideamus. D. eod.

* d.l.14.§.ult.

καὶ νόμοις ἐναντιούμενον, καὶ θείοις κανόσι προσκόπτον. καὶ ἠρωτήθησαν οἱ † παρουσιάζοντες ἅπαντες πανιερώτατοι ἀρχιερεῖς, καὶ εἶπον κοινῇ γνώμῃ κατὰ τὸ * ἀναμφίβολον, κωλυτέον εἶναι τὸ συνάλλαγμα, ἔνθα μνηστείας προβάσης, καὶ γάμου μὴ ἐπακολουθήσαντος, πρός τι πρόσωπον ἢ ἀπὸ συγγενείας, ἢ ἀπὸ ἀγχιστείας προφανοῦς εἰργόμενον, μέλλει ἕτερον τελεσθῆναι συνάλλαγμα: τοῦτο μὲν, τοῦ ἐνενηκοστοῦ ὀγδόου κανόνος τῆς ἁγίας οἰκουμενικῆς ἕκτης συνόδου, οὕτω κατὰ ῥῆμα διαλαμβάνοντος. ὁ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἔτι τοῦ ἀνδρὸς ζῶντος εἰς γάμον † ἀγόμενος, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι: (εἰ γὰρ μὴ ἐλογίζοντο οἱ θεῖοι πατέρες τὴν μνηστείαν εἰς γάμου τάξιν, ἀλλ' ἄλλο τι, πῶς ἂν μοιχείας ἐγκλήματι τὸν συναπτόμενον τῇ ἑτέρῳ μνηστευσαμένῃ ὑπέβαλον; πρὸς ὕπανδρον γὰρ * προδήλως καὶ ἡ μοιχεία πλημμελεῖται, καὶ ἀδιαφόρως οἱ κανόνες τὸν τῶν ἐπιτιμίων λόγον καὶ † τρόπον ἐπί τε τῆς μοιχείας καὶ τῆς πορνείας οὐ τίθενται.) τοῦτο δὲ, καὶ τοῦ πολιτικοῦ νόμου ἐν τῷ ε τίτλῳ τοῦ κη βιβλίου τῶν βασιλικῶν οὕτω λέγοντος. τὴν τοῦ πατρός μου, ἢ * τοῦ ἀδελφοῦ μου μνηστὴν οὐ δύναμαι λαμβάνειν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν. ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει. καὶ μετά τινα κεφάλαια. κἂν πολλὰς ἔσχεν ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω. οὐδὲ μητέρα τῆς ποτέ μου μνηστῆς. γέγονε γάρ μου πενθερά. Δῆλον οὖν καὶ ἐπὶ τούτου, ὡς αὐτὴ γάμου τὴν μνηστείαν οἱ νομοθέται ἔθεντο, καὶ ἄθεσμον τὸ συμβαῖνον ἡγήσαντο, καὶ μὴ οἷόν τε συναπτεσθαι ἐθέσπισαν. καὶ ταῦτα ἐπὶ ἀγχιστείας. μετὰ γὰρ τὸ ἀριθμήσασθαι τὰς ἐξ αἵματος κωλύσεις, ἐπάγουσιν· εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες. καὶ ἐν τῷ καταλόγῳ τῶν τοιούτων κωλυμάτων συντάττονται καὶ τὰ εἰρημένα κεφάλαια. καὶ οἱ συμπαρόντες † πανιερώτατοι ἀρχιερεῖς τῇ τοιαύτῃ κανονικῇ τε καὶ νομικῇ γνώμῃ ὁμογνωμόνησαν, καὶ οὕτω φρονεῖν τε καὶ λέγειν ἀνωμολόγησαν, καὶ μηδέν τι ἐναντίον φρονεῖν ἢ πράττειν, * ὁμοφώνως ἐξεῖπον. ἐπεὶ καὶ ἐν ταῖς εἰς ἱερωσύνην παραγγελίαις οὕτω ποιεῖν καὶ χειροθετεῖν ἔφασαν, ὡς ὅτε τις μνηστευσάμενός τινα, καὶ μὴ κατὰ γάμον συναφθεὶς, ἀποσταίη ταύτης οἰῳδήποτε τρόπῳ, † εἶτα καὶ ἑτέρῳ νομίμῳ γάμῳ συναφθῇ, οὔτε ἱερέως χειροτονίαν * ἀναδέχεται, οὔτε χειροτονούμενος ἴσως ἐξ ἀγνοίας ὠφέλειαν τινὰ ἔχει, ἀλλὰ τῆς ἱερωσύνης, ὡς δίγαμος, ἀλλοτριοῦται. ἐπεὶ καὶ τὴν ἑτέρῳ μνηστευθεῖσαν ἐάν τις ἀγάγηται, εἰς ἱερωσύνης βαθμὸν ἐμποδίζεται ἀναβαίνειν. οὕτω καὶ γινώσκειν καὶ λέγειν ὁμοῦ πάντες κατέθεντο, καὶ οὕτω πράττεσθαι ἐκ πάντων χρεὼν ἐξεφώνησαν.

† παρρησιάζοντες.

sortis hospitalitate ...

* ἀμφίβολον.

† ἀναγόμενος.

* προέβαλε ὁ.

† λόγον καί τι.

* τοῦ υἱοῦ.

† εὑρεθέντες.

* ὁμόφρονες.

† ἀναιρέσει.

* δέχεται.

ΑΛΕ-

ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ ΝΕΑΡΑ α.

ΠΕΡΙ ΗΛΙΚΙΑΣ ΤΩΝ ΛΑΜΒΑΝΟΝΤΩΝ ὀφφίκια.

Πολλοὶ προσαγγείλαντες ὠφέλειαν τῷ δημοσίῳ τινὰ, ἢ αἰτούμενοι κατὰ φιλοτιμίαν λαβεῖν, ἢ ἀνταλλάξαι, ἢ πωλῆσαι ἀξίωμα εἰσοδήποτε, ἢ ὀφφίκιον, μεταβιβάζουσι ταῦτα εἰς παῖδας μικρούς. ἵνα οὖν μὴ τοῦτο γίνηται, μηδὲ δοκῶσι φενακίζειν ἢ ἀπατᾶν οἱ τοιοῦτοι, διορίζεται ἡ βασιλεία μου, ἵνα ὃς ἂν λάβῃ ἀξίωμα ἢ ὀφφίκιον, εἴτε διὰ προσαγγελίας, εἴτε διὰ εὔνοιάν τινα, εἴτε κατὰ ἐναλλαγὴν, εἴτε δωρεὰν καὶ φιλοτιμίαν τῆς βασιλείας μου, ἢ ψυχικὸν αὐτῆς, μὴ δέχεσθαι πρόσωπον τὸ τιμώμενον ἔλαττον τῶν εἴκοσι χρόνων. ἀλλὰ πάντες οἱ διὰ τὰς αὐτὰς αἰτίας ἢ ἀξίωμα, ἢ ὀφφίκιον λαμβάνοντες, ἔστωσαν μείζους τῶν εἴκοσι χρόνων. ὅτε δὲ ἡ βασιλεία μου οὐ διὰ τοιαύτην αἰτίαν, ἀλλὰ ἀμέσως τιμήσῃ τινὰ, ἢ δωρήσηται ὀφφίκιον τινὶ, κἂν ἐλάττων ᾖ τῶν εἴκοσι χρόνων ὁ τιμώμενος, καταστρωννυέσθω † οὕτως ἀναμφιβόλως. καταστρωθήτω οὖν τὸ παρὸν πιττάκιον ἐν τοῖς τῶν ὑφ' ἡμᾶς σεκρέτων χαρτίοις, εἰς δήλωσιν τῆς προστάξεως καὶ οἰκονομίας τῆς βασιλείας μου, ὡς ἂν οὕτως ἐνεργῆται ἀπὸ τοῦ νῦν καὶ ἐπὶ τὰ ἔμπροσθεν. ὀφείλει δὲ προσκεῖσθαι εἰς τὸ πιττάκιον τοῦ ἀμέσως τιμωμένου, τὸ, ΚΑΤΑΣΤΡΩΘΗΤΩ: μὴ κωλυομένου ἀπὸ τῆς γεγονυίας προστάξεως παρὰ τῆς βασιλείας μου, περὶ τῶν τιμωμένων ἐλαττόνων τῶν εἴκοσιν ἐτῶν. καὶ ἔστω γνώρισμα τοῦτο τῶν ἀμέσως ὡς εἴρηται τιμωμένων, ὡς ἐν εἰδήσει τούτου γινομένης τῆς βασιλείας μου. τῷ μηνὶ ἰανουαρίῳ, ἐπινεμήσεως ε, διὰ τοῦ βασιλέως.

† ὄντως.

ALEXII COMNENI NOVELLA I.

DE ILLORVM AETATE, QVI officia consequuntur.

Multi, commodo quodam fisci nuntiato, uel petentes ex liberalitate nostra quamcumque dignitatem officiumue consequi, uel permutare, uel uendere; uoti compotes facti, ad paruos ea pueros transferunt. Itaque ne hoc fiat, neue tales imponere uel fallere uideãtur; maiestas mea statuit, ut quicumque dignitatem uel officium, siue propter nuntiationem, siue beneuolentiam quamdam, siue per commutationem, siue donationem & liberalitatem maiestatis meæ, siue quasi solatium eius, consequutus fuerit: ne persona, quæ honorem apiscitur, uiginti annis minor admittatur; sed quotquot ob has ipsas caussas dignitatem officiumue consequuntur, annis uiginti maiores sint. Quoties uero maiestas mea nõ ex huiusmodi caussa, sed citra medium aliquod honorem alicui obtulerit, aut officium donauerit: licet is, qui honorem accipit, annis XX *minor fuerit, citra dubitationem inscribitor. Itaq. præsens breuis secretorum nostrorum chartis inseratur, ad indicationẽ edicti ac dispositionis maiestatis meæ; ut ab hoc tempore, deinceps quoq. sic obseruetur. Debet autem in illius breui, qui nulla interueniẽte caussa honoratur, adijci hoc uerbum;* INSERITOR. *atq. hic nõ arcebitur ex edicto, quod a maiestate mea de ijs, qui minores uiginti annis honorẽ cõsequuntur, factum est. adeoq. hoc indicium illorũ esto, qui citra medium aliquod (ceu diximus) honorẽ nãciscũtur; quasi maiestate mea sciẽte res gesta sit. Mẽse Ianuario, indictiõe* V, *per imperatorẽ.*

ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ ΝΕΑΡΑ β, ἐκτεθεῖσα κατὰ τὸν ἰούλιον μῆνα, τῆς ζ ἐπινεμήσεως, τοῦ ἐνενηκοστοῦ δευτέρου ἔτους.

ΠΕΡΙ ΜΝΗΣΤΕΙΑΣ

Ἡ μὲν παλαιὰ καὶ πρεσβυτέρα νομοθεσία πόρρω τὰ μνηστείας καὶ γάμου ὁρίσματα ἔθετο, καὶ μᾶλλον τούτων τὸ μέσον, ἤπερ τὰ Μυσῶν καὶ Φρυγῶν ἡ παροιμία ἐγνώρισεν: ἡ δ' ἐπὶ τοῦ μακαρίτου πατριάρχου κυροῦ Ἰωάννου τοῦ Ξιφιλίνου † συνοδικῇ διασκέψει συντελεσθεῖσα σημείωσις, ἣ καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κύριος Νικηφόρος ὁ Βοτανειάτης διὰ * χρυσοβούλλου γραφῆς τὸ κῦρος εὑρίσκει) χαριζόμενος, τὰ διεστῶτα χωρὶς ἀλλήλων, εἰς ἓν συνάπτουσα φαίνεται). καὶ τοῦθεν ὅπερ ἐπὶ τῶν γάμων ὁ συνοδικὸς † ἐξέθετο τόμος, τοῦτο ἐπὶ τῆς μνηστείας

παροιμία. χωρὶς τὰ μυσῶν καὶ φρυγῶν ὁρίσματα. ὁ Naz.
† συνοδικῶς διασκέψεως.
* χρυσοβούλλου.
† ἐψήφισεν. ὅμως, οὕτω,

ALEXII COMNENI NOVELLA II, PROMVLGATA mense Iulio, indictione VII, anni ∞ XCII.

DE SPONSALIBVS.

*Vetus quidem illud, ac superioris ætatis ius, longe fines sponsalium & nuptiarũ a se inuicem remouit; & maius inter hæc discrimen, quam de Mysorum Phrygumque finibus in prouerbio sit, agnouit: uerum quæ sub felicis memoriæ patriarcha, domino Ioanne Xiphilino, confecta est synhodalis deliberationis notatio, quam & clarissimum principem, dominum Nicephorum Botaniatã per aurea bulla scripturam confirmasse constat, a se inuicẽ diremta in unam cõiunxisse cernitur. Eaq. de caussa quod de nuptijs lex synhodalis * sanciuerat, id ista (notatio) de spõsalib. quoque*

Prouerbium. Sunt separati fines Mysorũ & Phrygum. Nazianzenus.

* lata sub patriarcha Sisinnio. de qua supra in principio 1. decreti synhodalis.

quoq; diserte pronuntiat, duobus fratribus duas consobrinas sibi desponsare non permittens. Ac promiscua quidem plebs inconsulto rem aggrediens, & eo non pertingẽs, ut synhodalis statuti mente se prorsus imbueret; imprudenter errabat, nec quid proprie sponsalia forent, & quo pacto potissimũ rata sint, subtiliter perspicere poterat. Nonnumquam & incõsiderantia, quæ in ipsorum hærebat intelligentia, subtilitatem ecclesiasticam insimulabat. Verum maiestatis nostræ pietas cõsiderationem aggressa peritius, ea contrarietate, quæ esse uidetur, recte (quantum eius fieri potuit) ac tuto disceptata; per legẽ hãc, optimam sane conciliationem reperit. Quum enim ius quidem uetus sponsalia dumtaxat in contrahentium uoluntate constituat, nec quidquam amplius, quam de consensu, & subsequentibus hunc instrumentis, ac sponsalicijs arris sol-
* Verba nouellæ Leonis 89. licitum sit; * nobis autem per Dei gratiam ad multo elegantius atque sanctius incrementum uitæ negotia peruenerint, ideoq; non in nuptijs tantum, uerumetiam in spõsalibus sacræ preces concipiantur & adiungantur; quumque per recentiorem sapientissimi principis, domini Leo-
† Nouel. 74. Coniunge 109. nis, † sanctionem certum tempus primæ contrahentium coniunctioni sit promulgatum, uidelicet in marib. decimus & quintus ætatis annus,
* §. 1. Instit. de nupt. in femillis decimus tertius; quod * sane tempus ad plenam coniugum cohabitationem sufficere, ueteris iuris præcepta statuunt: necessarium duxit imperialis nostra potestas, ut per hãc ipsam sanctionem certo definiret, illa esse proprie sponsalia, dubioque procul eãdem cum nuptijs uim habentia, secundum synhodalis subtilitatis considerationem, quæcumque tẽpus illud, quod imperatoris Domini Leonis constitutio determinauit, integrũ habuerunt, sacrasque preces comitantes agnouerunt; quibus in sponsalibus tomi synhodalis obseruatio locũ habere debet. Quippe si fortassis alterutram partium contrahentium morte, uel alio fortunæ casu, uel mutatione sententiæ, recedere contigerit a contractu, & ad aliud uitæ consortiũ transferri; non exiguus heic absurditatis tractus exiſtet, præambulas scilicet nuptiarũ preces in sponsalibus peractas, uelutí uanum quiddã & temere accumulatum duci, & licentius hanc rem accipi; quasi si Deus inter personas coniungendas per sponsalia non foret introductus. Hoc enim princeps ille dignus æterna memoria, cuius mentionẽ fecimus, non abs re sequutus; sanctæ ac uniuersalis sextæ synhodi canonem, qui desponsatam, superstite adhuc sponso, cum alio in matrimonij consuetudinem coire uetuit, manifesto statuẽs, eam rem

διαῤῥήδην αὐτὴ ἀποφαίνεται, δύο ἀδελφοὺς ἐξαδέλφας δύο πρώτας μὴ * ἐφιέναι μνηστεύεσθαι. * ἀφιέναι.
καὶ ὁ μὲν πολὺς ἄνθρωπος ἀνεξετάστως τῷ πράγματι ἐπιβάλλων, καὶ † βάπτων ὅλως μὴ † βλάπτων.
ἐξικνούμενος εἰς τὸν νοῦν τῆς * συνοδικῆς διαγνώσεως, ἀσυλλογίστως ἐπλάζετο, ὅ,τι ποτὲ [κυρίως] ἐστὶν ἡ μνηστεία, καὶ ὅπως ἔχει μᾶλλον τὸ ἀσφαλὲς, διακριβοῦν μὴ δυνάμενος. * ἐκκλησιαστικῆς διασκέψεως.
καί που τάχα τὸ τῆς ἰδίας ἀνεπίσκεπτον διανοίας κατὰ τῆς ἐκκλησιαστικῆς ἐπεγράφετο ἀκριβείας. ἡ δὲ τῆς ἡμετέρας βασιλείας εὐσέβεια ἐπισκεπτικώτερον ἐπιβαλοῦσα τῇ διασκέψει, καὶ τῇ δοκούσῃ ταύτῃ ἐναντιώσει, καλῶς ὡς οἷόν τι καὶ ἀσφαλῶς διαιτήσασα, ἀρίστην τὴν συμφωνίαν διὰ τῆς παρούσης θεσμοθεσίας † ἐξεῦρεν. † ἐξεύρηκε.
ἐπεὶ γὰρ ὁ μὲν παλαιὸς νόμος τὴν μνηστείαν ἐν μόνῃ τῇ τῶν συναλλαττόντων γνωρίζει βουλήσει, καὶ πλέον οὐδὲν διαθέσεως, καὶ τῶν * ἐπὶ ταύτῃ ἀκολουθούντων συμβολαίων καὶ μνήστρων περιεργάζεται· * ἐπὶ ταύτης.
ἡμῖν δὲ Θεοῦ χάριτι πρὸς κοσμιωτέραν πολλῷ καὶ ἱερωτέραν ἐπίδοσιν τὰ τοῦ βίου † προεληλύθασι πράγματα, κἀντεῦθεν οὐχ ὁ γάμος μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ μνηστεία ἱερὰν εὐλογίαν ἐπιπλεκομένην ἔχει παρ' ἑαυτῇ· † προεληλύθασι.
καὶ ὁ καιρὸς ὡρισμένος διὰ νεαρωτέρου θεσπίσματος τοῦ φιλοσοφωτάτου βασιλέως κυρίου Λέοντος ἐπὶ τῇ πρώτῃ τῶν συμβαλλόντων συναρμογῇ ἐξετέθη, ἤγουν ἐπὶ μὲν ἀῤῥένων ὁ πεντεκαιδέκατος τῆς ἡλικίας ἐνιαυτὸς, ἐπὶ δὲ θηλειῶν ὁ τρισκαιδέκατος, ὃν δή που χρόνον καὶ πρὸς γαμικὴν συναυλίαν τελείαν ἀποχρῶντας ἔχειν ὁ παλαιὸς νόμος ἐπέσκηψε· † δέον ἔγνω † διέγνω.
διὰ τοῦ παρόντος * θεσπίσματος τὸ ἡμέτερον κράτος ἀσφαλῶς ἀποφήνασθαι, ἐκείνας εἶναι κυρίως μνηστείας, καὶ ἀτέχνως ἰσοδυναμούσας τῷ γάμῳ, κατὰ τὴν τῆς συνοδικῆς ἀκριβολογίας διάσκεψιν, ὅσαι καὶ τὸν χρόνον ὃν ἡ τοῦ βασιλέως κυρίου Λέοντος θεσμοθεσία ὥρισε, ἀκέραιον ἔσχον παρ' ἑαυταῖς, καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν. καὶ * θεσπίσματος ἀσφαλῶς.
† κατ' ἐκείνας τὴν τοῦ συνοδικοῦ τόμου ὀφείλουσι κρατεῖν παρατήρησιν. εἰ γὰρ καὶ θάτερον ἴσως τῶν συμβαλλόντων μερῶν θανάτῳ ἢ περιστάσει τύχης ἑτέρας, ἢ γνώμης μεταβολῇ ἀποδιαστῆναι συμβαίη, καὶ πρὸς ἑτέραν βίου συγκλήρωσιν μεταπήξασθαι, οὐκ ὀλίγον ἐνταῦθα τὸ ἄτοπον ἐπισυρήσεται, τὰς προεισοδίους τῶν γάμων εὐχὰς ἐπὶ μνηστείᾳ συντελεσθείσας † κατ' ἐκείνας.
* ὡς εἰκαίων καὶ συμπεφορημένων λογίσασθαι, καὶ ἀδιαφόρως ἐκλαβέσθαι τόδε τὸ πρᾶγμα. ὥσπερ ἂν εἰ μὴ θεὸς μέσον τῶν συναπτομένων προσώπων διὰ τῆς μνηστείας εἰσήγετο. * ὡς δή τι, ἐνόντα.
τούτῳ γὰρ καὶ † ὁ προμνημονευθεὶς ἀείμνηστος βασιλεὺς ἐπιβόλως ἀκολουθήσας, τὸν τῆς ἁγίας καὶ καθολικῆς ἕκτης συνόδου κανόνα, ὃς τὴν μεμνηστευμένην ἔτι τοῦ μνηστῆρος ἐν ἀνθρώποις ὄντος πρὸς γαμικὴν ὁμιλίαν ἑτέρῳ συνέρχεσθαι ἀπεκώλυσε, μοιχείαν τὸ πρᾶγμα † ὁ μνημονευθεὶς ἀοίδιμος βασιλεὺς συνετιβόλως.

πρᾶγμα διορθωσάμενος σαφῶς, πρὸς τὴν ἐμφαινομένην * τοῦ παλαιγενοῦς ἐναντίωσιν νόμου, καλῶς † συνεβίβασεν. ὅτι καὶ ἡ μετὰ τὴν ἐπὶ τοῖς μνηστῆρσι γεγενημένην εὐλογίαν διάστασις, αὕτη ἐστὶ κατὰ τὴν ἐκείνου φωνὴν μνηστείας ἀληθὴς λύσις. εἰ δὲ μνηστεῖαί τινες κατὰ τὴν τοῖς * πολλοῖς συνήθη ἀκολουθίαν ἤδη γεγόνασι, καὶ συμβόλαια μὲν ἐξετέθησαν, οὔπω δὲ ὁ τακτὸς ἐπέστη καιρὸς, καθ᾽ ὃν ἡ τοῖς χριστιανοῖς ὀφειλομένη εὐλογία εἴωθε γίνεσθαι· καὶ οὐδ᾽ αἱ συνήθεις ἐπὶ τοῖς μνηστευομένοις εὐχαὶ διὰ τοῦ ἱερέως ἐξεφωνήθησαν: † ταύτας μνηστείας μὲν ἀκριβεῖς, ὅσον κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβολογίαν, μηδὲ εἶναι, μηδὲ ὀνομάζεσθαι, μήτε μὴν τὴν συνοδικὴν σημείωσιν κατὰ τούτων ἔχειν τὸ ἐνεργὸν· ὡς * ἁπλῶς δὲ ἀρεσκείας ἀνθρώπων διὰ † ἐπερωτήσεως κατησφαλισμένας τὸ ἐνεργὸν ἀποφέρεσθαι, καὶ τὴν παλαιὰν ἔχειν νομοθεσίαν ἐπὶ τούτων τὸ κύριον. τούτῳ γὰρ τῷ τρόπῳ καὶ ὁ πρεσβυγενὴς φυλαχθήσεται νόμος ἀκέραιος, ὃς ἐπὶ τῶν μνηστειῶν τὸ πρώην ἐξεφωνήθη, καὶ ἡ τῆς συνόδου διάγνωσις * ἀθιγὴς καθόλου καὶ ἀνεπιχείρητος συντηρηθήσεται, νοουμένη καὶ ἑρμηνευομένη κατὰ τὴν ἐνταῦθα παρατήρησιν. καὶ ἐπεὶ ταῦτα τοῦτον ἡρμηνεύθη τὸν τρόπον, καὶ ἡ διάγνωσις καλῶς ὡς οἷόν τε γέγονε καὶ ἀνεπισφαλῶς, καὶ μνηστείας μὲν † ἀκριβεῖς τε εἶναι καὶ ἀληθεῖς ἐτυπώθησαν, ὅσαι μετὰ τῆς ἱερᾶς εὐλογίας κατὰ τὸν ὡρισμένον δηλονότι καιρὸν τελεσθεῖσαι γνωρίζονται, αἱ δὲ κατὰ τὴν πρεσβυτέραν * νομοθεσίαν γενόμεναι ἀνθρώπων ἀρέσκειαι διὰ ἐπερωτήσεων κατησφαλισμέναι τὸ ἐνεργὸν ἔχειν ἐφείθησαν, καὶ μόνος ὁ παλαιγενὴς ἐπὶ τούτων συνεχωρήθη νόμος κρατεῖν, ὃς ὡρισμένα τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζυγεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα διετάξατο: δεῖ τι προσθεῖναι καὶ τῷ παρόντι νῦν θεσπίσματι, τῆς χριστιανοῖς πρεπούσης εὐκοσμίας ἐχόμενον. ἐπεὶ γὰρ οὐ κατὰ τὸν ἀκριβῆ καὶ προσήκοντα λόγον τὰ τῆς παλαιᾶς τε καὶ νέας νομοθεσίας ἐκρατεῖτο, ἀλλ᾽ ὁ μὲν πολὺς ὄχλος τῇ παλαιᾷ καὶ † πρεσβυτέρᾳ τῶν νόμων αὐθεντίᾳ ἑπόμενος, μετὰ τὸν * ἑπταετῆ χρόνον τελεσιουργῶν τὰς μνηστείας ἀνυποστόλως ἐτύγχανε, καὶ ἀδεῶς ἐπὶ τὰς μνηστευομένας εἰσήρχοντο, ἑκάστοτε † τῇ συνεχεῖ θέᾳ καὶ τῷ ἐλευθερίῳ τῆς εἰς ὁμιλίαν συνόδου τὸ τοῦ ἔρωτος φλεγμαῖνον προσαναχαίοντες· ἡ δὲ ἱερωτέρα * μερὶς τῇ νεαρᾷ τοῦ βασιλέως ἀκολουθοῦσα διαταγῇ, διαφορὰν μὲν μνηστείας καὶ γάμου ἐτίθετο, τὰς ἐπὶ τοῖς μνηστῆρσιν εὐχὰς πρῶτον, καὶ οὕτως τὰς ἐπὶ τῷ γάμῳ τοῖς συναπτομένοις ἐπᾴδουσα· ταῦτα δὲ ἑνουμένοις ἅμα καὶ κατὰ ταυτὸν ἐτελεῖτο, καὶ μνηστεία καὶ γάμος ἑνὶ † διαστήματι κατεπράττετο, ἀκαριαίου τινὸς ἐν τῷ μεταξὺ συμπίπτοντος: διορθουμένη τοῦτο ὡς ἀβασανίστως γινόμενον ἡ ἡμετέρα εὐσέβεια, θεσπίζει διὰ τοῦ παρόντος γενικοῦ διατάγματος, τὰ μὲν κατὰ τὸν ἑπταετῆ τῶν συμβαλλόντων χρό-

Margin notes: * τοῦ παλαιοῦ. † ἐνεβίβασεν. * πολλοῖς συνήθη ἀκολουθίαν. † ταύτας μὲν μνηστείας ἀληθεῖς. * ἁπλῶς δὲ. † ἐπερωτήσεων. * ἀληθὴς καθόλου. † ἀκριβῶς τε εἶναι καὶ ἐνομίσθησαν καὶ ἀκριβεῖς. * νομοθεσίαν. † τῇ πρεσβυτέρᾳ. * ἑξαετῆ συντετελεσμένα. † τῇ συνεχείᾳ καὶ τῷ ἐλευθέρῳ τῆς ὁμιλίας τὸ τοῦ ἔρ. * κατάστασις τῇ νεαρωτέρᾳ. † διαστήματι χρόνου συνεγράφοντο.

adulterium esse; cum antiqui iuris contrarietate, qua quidem contrarietatis speciem habet, perpulcre conciliauit. quippe secundum ipsius uocem, separatio facta post conceptas pro sponsis preces, uera sponsalium est solutio. Quod si sponsalia quædam, secundum ordinem ac seriem passim peruulgatam, iam contracta, & instrumenta quidem exposita sint, sed nondum statutum tempus aduenerit, quo debita Christianis benedictio fieri consueuit; nec sollemnes pro desponsatis preces ab sacerdote pronuntiata fuerint: ea sponsalia, quod ecclesiasticam subtilitatem accuratamque loquẽdi rationem adtinet, iusta nec sunt, nec appellantur; neque notatio synhodalis ullam in his uim & efficaciam habet; sed simpliciter uelut hominũ placita, per stipulationes confirmata, robur suum cõsequuntur, & ius uetus in eis ualet. Hoc enim modo tũ prisca lex, quæ de sponsalibus dudum lata fuit, integra seruabitur: tum synhodi iudicium prorsus intactum & intẽtatum custodietur, eo cum intellectu & interpretatione, quã exposita heic obseruatio declarat. Et quoniã hæc ita sunt explicata, recteq; ac citra temeritatem, quantum sane fieri potuit, sic facta dijudicatio; ut accurate contracta ueraque sponsalia esse sancita sint, quæcumq; cum benedictione sacra statuto tempore peracta noscuntur; & ut hominum placita per interpositas stipulationes confirmata, secundum ius uetus habere uim suã permissa sint, & cõcessum, ut prisca lex in his ualeat, quæ certas personas cum repudiata spõsa in matrimonium coire prohibitas ordine recensuit: adijciendũ aliquid erit huic sanctioni, cũ honestate Christianos decente coniũctum. Nam quia non secundũ accuratam & conuenientem rationẽ hactenus tum ueteris tum noui iuris decretis obtemperatum est, sed promiscuũ quidem uulgus hominũ antiquã ueterum legũ auctoritatẽ sequutum, post annũ septimum spõsalia libere cum omni licentia celebrabat, ita ut quisq; pro animi arbitrio ad despõsatas accederet, ac per intuitũ continuum, & liberũ ad colloquia mutua congressum, ipsam amoris flammam magis accẽderet; pars autem religiosior imperatoris nouellæ constitutioni parens, discrimen illa quidẽ inter sponsalia nuptiasq; statuebat, primũ uota spõsalicia, deinceps nuptialia matrimonio copulãdis accinens; sed hæc tamen coniũctim eodemq; tẽpore peragebat, ita ut eodẽ spatio temporis sponsalia nuptiæq; celebrarẽtur, momẽto quasi quodã intercedẽte: hoc ipsum pietas nostra corrigẽs, quã si quod inconsiderate fiat, hac generali constitutione sancit, ut quæ anno contrahentium septi-

mo, & deinceps, usq; ad XIIII uel XII ætatis eorum annum, quasi sub forma spõsalium fiunt instrumẽta; prorsus legitimorũ firmorũq; sponsalium locum non obtineant, sed tantum ueluti cõfirmatæ stipulationes habeantur, & secundũ aliorũ contractuum naturã obligent, nec aliter hæc apud subditos nostros uniuersos obseruẽtur; ueteri lege, quæ de spõsalibus est publicata, integrã retinente suam efficacitatẽ in eas personas, quibus cum repudiata sponsa in matrimonium coire prohibitũ est, idq; propter eius status, qui apud Christianos uigere debet, incrementum. Nam tametsi subtili ratione non sint hæc perfecta spõsalia, quia tamen id, quod agitur, sponsalium finem habere uidetur, & nuptiarum inde fundamentũ incipit iaci; magna profectò ratio est, quamobrem a lege prohibitæ personæ rursus impedimentũ habeant, nec adeo quisquã impudenter iuuenari audeat, ut eã ducere præsumat uxorẽ, quam lex uetus spõsam alicuius factam, solutis sponsalibus in alterius matrimoniũ coire non permisit. Verũtamen ubi tempus aduenit, quod aptum esse sponsalibus pariter atq; nuptijs agnoscimus, (nimirum ubi femilla quidẽ duodecimũ agit, masculus uero decimum & quartũ annum excessit) tunc spõsalia primum cũ sacro precum carmine, cumq; sollẽnibus obseruationibus, ad ea pertinẽtibus, arra uidelicet ac grato spõsis osculo, peragantur; atq; ita uel exiguo, uel longiusculo tẽporis spatio, prout ipsis contrahẽtibus uisum fuerit, interiecto; citra recusationem legitimas quoq; nuptias succedere uolumus, nec in idem tempus, puta in unum diem, uel horam quoq;, ceu sæpius accidit, rerũ magnopere diuersarum effectus cõcurrere. Sic enim ordine quodam in nuptijs locũ habente, lex prisca seruabitur, quæ prohibitas personas recẽsuit, neq; permittit, ut eã cũ repudiata persona proxima spõsa in matrimoniũ coëant; & nouella sapientissimi principis constitutio decenter in omnib. uim suã obtinere, ac uigere uidebitur; & personæ contrahentes ab intẽpestiuis ac indecoris congressibus coërcitæ, castam uitam agent, ac opportuno tempore cum inuocatione sacra cõuenient, quãdo scilicet eis tam sponsalia, quam nuptiæ perficiendæ erũt. Quod si quis aliter, atque præsenti potestatis nostræ cõstitutione sancitum est, sponsalia cõficere fuerit ausus, nec dictæ cõstitutioni generaliter & de uniuersis promulgatæ, ac deinceps ualituræ, parere uisus fuerit, ab ipsis kalendis adpetentis mensis Iulij, septimæ indictionis, quæ instat, anni ꟾↃↃCꟾↃ ꟾↃ LXXXXII, & ante legitimũ tempus sacrãque benedictionẽ arras pacisci præsumserit, aut etiã mutuum ad

νον, καὶ εἰς τὸ ἑξῆς ἄχρι τοῦ ιδ. ἢ τοῦ ιβ τῆς ἡλικίας ἐνιαυτοῦ γενόμενα ὡς ἐν τύπῳ μνηστείας συμβόλαια, μὴ τάξιν ὅλως μνηστείας * ἐννόμου καὶ ἀσφαλοῦς ἀποφέρεσθαι, ἀλλ' ὡς ἐπερωτήσεις μόνον ἠσφαλισμένας κρίνεσθαί τι καὶ ἐνεργεῖν, κατὰ τὴν φύσιν τῶν ἄλλων συναλλαγμάτων, καὶ οὕτως αὐτὰ παρὰ πᾶσι τοῖς † ἐφ' ἡμᾶς πολιτεύεσθαι· τοῦ παλαιοῦ νόμου, ὃς ἐπὶ τῶν μνηστειῶν ἐξεφωνήθη, τὸ ἐνεργὸν εἰς τὰ κεκωλυμένα ἐπὶ τὴν ἀποζευχθεῖσαν μνηστὴν εἰσέρχεσθαι πρόσωπα, ἔχειν ὀφείλοντος τέλεον, διὰ τὸ περιούσιον τῆς παρὰ τοῖς χριστιανοῖς πρεπούσης ἐμπολιτεύεσθαι καταστάσεως. εἰ γὰρ καὶ μὴ μνηστεία ἐστὶ κατὰ τὸ ἀκριβὲς ἐντελὴς τὸ γινόμενον, ἀλλ' ὅτι σκοπὸν μνηστείας ἔχειν δοκεῖ τὸ πραττόμενον, καὶ θεμέλιος γάμου ἐντεῦθεν προκαταβάλλεσθαι ἄρχεται, πολὺ ἂν εἴη τὸ εὔλογον, τὰ κεκωλυμένα τοῦ νόμου πρόσωπα, καὶ αὖθις ἔχειν τὸ κώλυμα. καὶ μηδένα θαρρεῖν νεανιεύεσθαι ἀναιδῶς, ὡς εἰς γυναῖκα λαμβάνειν ἀποτολμᾶν, ἣν ὁ παλαιὸς νόμος μνηστὴν τινὸς γενομένην οὐκ ἀφῆκεν ἑτέρῳ λυομένων τῶν μνήστρων κατὰ γάμον συνέρχεσθαι. ἐνισταμένου μέντοι τοῦ χρόνου, ὃν εἰς μνηστείαν ἅμα καὶ γάμον ἁρμόδιον εἶναι γνωρίζομεν, (ἤγουν τῆς μὲν θηλείας τὸν δωδέκατον * χρόνον διατρεχούσης, τοῦ δὲ ἄρρενος τὸν τεσσαρεσκαιδέκατον ὑπερβαίνοντος) τηνικαῦτα τὴν μνηστείαν πρώτως μετὰ τῆς ἱερᾶς τῶν εὐχῶν ἐπῳδῆς ἐκτελεῖσθαι, καὶ τῆς συνήθους ταύτῃ παρατηρήσεως, ἤγουν τοῦ ἀρραβῶνος καὶ τοῦ φιλίου τοῖς μνηστῆρσι φιλήματος. καὶ οὕτω βραχέος ἢ πλείονος καιροῦ διαλείποντος, καθὼς ἂν δόξῃ τοῖς συναλλάττουσιν, † ἀπαρατηρήτως καὶ τὸν ἔννομον γάμον * προβαίνειν, καὶ μὴ κατὰ ταυτὸν συμπίπτειν ἐν ἡμέρᾳ ἢ καὶ ὥρᾳ πολλάκις μιᾷ πραγμάτων διῃρημένων ἐκ πλείονος ἀποτέλεσμα. οὕτω γὰρ τῆς ἀκολουθίας προβαινούσης ἐν γάμοις, ὅ τε παλαιὸς φυλαχθήσεται νόμος, ὃς κεκωλυμένων προσώπων ἀπαρίθμησιν ἐποιήσατο, μὴ ἐφιεὶς ταῦτα εἰς τὴν ἀποζευχθεῖσαν μνηστὴν τοῦ ἐγγίζοντος προσώπου εἰσέρχεσθαι· καὶ τὸ νεαρὸν τοῦ φιλοσοφωτάτου βασιλέως διάταγμα κοσμίως ἐν ἅπασι δόξει † κρατεῖν καὶ πολιτεύεσθαι· καὶ τὰ συμβάλλοντα πρόσωπα τῶν ἀώρων καὶ ἀπρεπῶν κωλυόμενα συνελεύσεων, ἁγνεύουσαν ποιήσονται τὴν ἀναστροφήν· ἐν εὐθέτῳ καιρῷ μεθ' ἱερᾶς ἐπικλήσεως * συνερχόμενα, ἡνίκα δέοι μνηστείαν καὶ γάμον αὐτοῖς καταρτίζεσθαι. καὶ εἴ τις παρὰ τὰ διηγορευμένα τῇ παρούσῃ τοῦ κράτους ἡμῶν διατάξει ἄλλως τολμήσειε διαπράξασθαι μνηστείαν, καὶ μὴ ταύτῃ τῇ γενικῶς καὶ κατὰ πάντων ἐκφωνηθείσῃ, καὶ εἰς τὸ ἑξῆς ὀφειλούσῃ κρατεῖν, φανείη ἑπόμενος, ἀπ' αὐτῆς τῆς πρώτης ἡμέρας τοῦ εἰσιέναι μέλλοντος Ἰουλίου μηνὸς, τῆς ἐνεστώσης ζ ἐπινεμήσεως, τοῦ ςφ καὶ ἐνενηκοστοῦ δευτέρου ἔτους· καὶ ἀρραβῶνας πρὸ τοῦ νενομισμένου καιροῦ καὶ τῆς ἱερᾶς εὐλογίας τολμήσειε διαπράξασθαι, ἢ καὶ εἰς θίαν ἀλλήλοις

* ἐννόμου ἀσφαλοῦς ἀποφέρεσθαι.

† ὑφ' ἡμῶν.

* ὅλον χρόνον διαδραμούσης.

† ἀπαρατηρήτως.

* προβαίνειν κελεύομεν.

† κρατεῖν καὶ τὰ συμβαλλ.

* ἐν ἄλλοις σύνεχ.

† ἴφθασι. λήλοις † ἐφήσει τὰ συναλλάττοντα συνέρχεσθαι πρόσωπα, καὶ ἀδιαφορίαν ἔχειν ἐν ἑαυτοῖς· ὁ μὲν συμβολαιογράφος ὁ τὸ ἀρραβωνικὸν συμβόλαιον ἐκτιθέμενος, τῆς ἰδίας στατίωνος μετακινηθήσεται· οἱ δὲ τὴν μνηστείαν πρὸ ὥρας κατεργαζόμενοι, ἀνθρωπίνῳ καὶ θείῳ ἴστωσαν ἑαυτοὺς ἐνοχοποιοῦντας μηνίματι. ὁ μὲν γὰρ δημόσιος διὰ τοῦ σεκρέτου τῶν οἰκειακῶν τὸ τοῖς συμβολαίοις ἐγκείμενον ἐξ ἐπερωτήσεως πρόστιμον * ἐφ' ἑκάστῳ αὐτῶν εἰσπράξεται κατὰ τὸ ὁλόκληρον, διὰ τὴν τοῦ παρόντος διατάγματος περιφρόνησιν. πιστεύομεν δὲ καὶ αὐτὸν τὸν θεὸν κατὰ τούτων διαναστήσεσθαι, † ὅτι πορνείαν κατὰ προαίρεσιν ἄντικρυς ἐπὶ μέσον τῶν νέων εἰσαγαγεῖν οὐκ ἐνάρκησαν. εἰ μὲν γὰρ ὁ παλαιὸς νόμος κατήργηται, καὶ μνηστείαν τελείαν οὐ δύναται * κατεπράξασθαι, τὰ δὲ τῆς νεωτέρας νομοθεσίας εἰς ἔργον ἐξάγειν οἱ συναλλάττοντες ἀπαναίνονται, τί ἄλλο ποιοῦσιν, ἢ ἀνθρώπους οὐδὲν ἀλλήλοις κατὰ νόμον προσήκοντας, ἑαυτοῖς συγχωροῦσι παρὰ τὸν νόμον συμφθείρεσθαι, ἔρωτας ἀσελγεῖς ταῖς τῶν νέων ψυχαῖς διὰ τῆς ἀνέτου κατεργαζόμενοι συναναστροφῆς;

* ἀφ' ἑαυτ.

† ὅτι πορνείαν.

* διαπράξασθαι.

ΥΠΟΜΝΗΜΑ

ΤΟΥ ΚΟΥΡΟΠΑΛΑΤΟΥ ΚΑΙ ΜΕΓΑΛΟΥ Δρουγγαρίου τῆς Βίγλας, κυρίου Ἰωάννου τοῦ Θρᾳκησίου· ἐφ' ᾧ καὶ μηνὶ μαρτίῳ, ἐπινεμήσεως ιε, ἔτους ςχ, λύσις ἐξεφωνήθη τοῦ βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, τὴν προγεγονυῖαν παρ' αὐτοῦ νεαρὰν περὶ τοῦ γάμου ἐπικυροῦσα, καὶ ἄλυτον μένειν ἐπιτάττουσα τὴν μεθ' ἱερολογίας προβαίνουσαν μνηστείαν.

Δέσποτά μου ἅγιε, μνηστείας γάμων ἐπὶ παισὶν ἰδίοις συστησαμένων τινῶν, εἶτα ἀπαρεσθέντων πρὸς τὰ συναλλάγματα, καὶ πειρωμένων λῦσαι τὰ τῆς μνηστείας συμβόλαια· δεηθέντων τε τῆς ἁγίας βασιλείας σου, καὶ τῷ δικαστηρίῳ τοῦ ἱπποδρόμου παραπεμφθέντων, καὶ ἐπειγομένων τὰ ἐγκείμενα τοῖς τῶν μνηστειῶν συμβολαίοις πρόστιμα δοῦναι, καὶ διαρρῆξαι τὰς μνηστείας· τῶν δὲ ἀπ' ἐναντίας μαχομένων, ἄλυτα ταῦτα δεῖν εἶναι, καὶ μὴ ὡς τὸ πρότερον προστίμου δόσει διαρρήγνυσθαι· καὶ τὸ νεαρὸν θέσπισμα τῆς βασιλείας σου προβαλλομένων εἰς βοήθειαν, τὸ περὶ μνηστείας πρό τινος καιροῦ ἐκφωνηθέν, ὅπερ ἀπὸ τῶν παλαιῶν νόμων ἀποστὰν, δέδωκε τὴν μνηστείαν μὴ ἄλλως τελεῖσθαι, εἰ μὴ ὁ ἄρρην τὸν τεσσαρεσκαιδέκατον χρόνον τῆς ἡλικίας ὑπερβῇ, τὸν δωδέκατον δὲ ἡ θήλεια, τῆς εἰωθυίας εὐχῆς ἐπὶ τῇ μνηστείᾳ τότε ἐπιτελεῖσθαι ὀφειλούσης, μετὰ καὶ τῶν ἄλλων συνήθων παρατηρήσεων, (φαμὲν δὴ τοῦ ἀρραβῶνος καὶ τοῦ φιλήματος, ὡς που καὶ τῷ ἀοιδίμῳ βασιλεῖ κυρίῳ Λέοντι τῷ φιλοσόφῳ νενομοθέτηται) † καὶ βραχὺ διάλειμμα χρόνου, ἢ καὶ ἱκανὸν ἴσως, καθὼς ἂν δόξῃ τοῖς συναλλάττουσι,

† καὶ κατὰ βραχύ.

conſpectum peruenire perſonas contrahentes, atq; omnia inter ſe habere promiſcua permiſeris: tabellio quidem is, qui arrabonicum inſtrumentum confecerit, a ſtatione ſua remouebitur; qui uero ante tempus ſpõſalia peregerint, tã ira diuinæ, quam humanæ culpæ ſe ſua ſciant obnoxios futuros. Fiſcus enim propter huiuſce conſtitutionis contemtũ, inſtrumentis inſertam ex ſtipulatione pœnã per rerum priuatarum ſecretarium a ſingulis eorum in ſolidum exiget; atque præterea credimus ipſum Deum aduerſus hos inſurrecturũ ob eã cauſſam, quod cõſulto manifeſtæ ſcortationis inter perſonas iuniores haud impigri auctores exſtiterint. Quippe ſi lex quidẽ uetus irrita facta ſit, nec plena ſpõſalia poſſit efficere; recẽtioris autẽ ſanctionis decreta cõtrahentes ad effectũ deducere recuſent: quid aliud faciunt, quã quod homines mutuo ſibi nullo uinculo iuris obſtrictos, habere ſtupri cõſuetudinem inter ſe permittant, perq; profanã conuerſationem laſciuos amores in animis iuniorũ excitẽt?

SVGGESTIO CVROPALATIS MAGNIQVE DRVNgarij Viglæ, domini Ioannis Thracenſis; propter quam menſe Martio, indictionis XV, anni ↄↄCIↄ IↄC, promulgata eſt imperatoris Dn. Alexij Comneni explicatio, quæ prius ab ipſo factam nouellam de nuptijs confirmat, & ſponſalia precibus ſacris interuenientibus contracta minime ſoluenda ſtatuit.

Quum quidã, domine mi ſancte, nuptiarum repromiſſiones nomine liberum ſuorum contraxiſſent, deinde pacta conuenta reprobaſſent, & in conatu reſcindendi ſponſaliũ inſtrumẽta ſanctæ maieſtati tuæ preces obtuliſſent, & ad Circi forum remiſſi urgerẽt, ut inſerta ſponſalium inſtrumentis pœna præſtarentur, ipſaq; ſponſalia dirimerẽtur; aduerſaria uero pars e diuerſo contenderet, hæc minime diſſolui debere, nec (uti prius factũ ſit) pœnæ præſtatione dirimi, & ijdẽ nouellã maieſtatis tuæ ſanctionem de ſpõſalibus ante tẽpus aliquod publicatã ſui tuendi cauſſa proferrẽt, quæ a legibus antiquis recedẽs, aliter celebrari ſpõſalia non permiſit, quam ſi mas decimumquartum ætatis annum exceſſerit, duodecimum femina; quo quidem tempore preces in ſponſalibus uſitatæ peragi debeant, una cum ſollẽnibus alijs obſeruationibus, (arra inquam, & oſculo, ſicut a clariſſimo quoque principe, domino LEONE *philoſopho conſtitutum fuit) & modico temporis interiecto ſpatio, uel etiam maiuſculo, prout contrahentibus uiſum fuerit,*

nuptiæ succedere, non eadem die uel hora cõcurrere: diuersas in sententias diuisum iudicium fuit. Nam alij pœnas esse præstandas, dirimendaq; sponsalia censent; allegantes, nisi locum hoc habeat, quodnam futurum sit nuptiarũ & sponsalium discrimẽ? si quidem id, quod nuptijs eximium est, sponsalia quoq; consequantur; præsertim quum talem arra naturã habeat, quemadmodum * lex ait, ut si quidem is, qui eam dedit, pacta conuenta non impleat, datis excidat: sin is qui accepit, duplata restituãtur. E contrario putant alij, debere spõsalia indiremta manere, quum minime conuenire dicãt, ut quæ post liberorum plenam ætatem simul parentibus placuerunt, tam ipsorũ consensu, quam sacris precibus obsignata, pœna præstita rescindantur. Id enim fieri par esse, quoties nudum præcedat uinculũ, aut spõsalia post annum septimum peracta fuerint secundũ ueterem ritum; quæ sponsalia non esse, lex maiestatis tuæ pronuntiat. Sic igitur diuiso tribunali, maiestati tuæ refero, seruus eius indignus; ad utram sententiam sit accedẽdum, quærens. Nam utraq; pars ea proferre uidetur, quæ speciem sane probabilem habeãt. Ac per adorandum rescriptum ut declarationẽ consequar, oro; quæ quidem perspicue pureque dubitationẽ hanc soluat. Quippe legis ea locum deinceps habebit. Et oportet omnino dilucidißimam atq; puram esse sententiam, ne in posterum quoq; rursus in controuersiam reuocetur. Ac de mea quidem interrogatione sacra maiestas tua quod æquius melius erit, statuet. Ego uero etiã de tempore audacter refero. Nã indignus seruus tuus arbitror, nõ æquum esse, ut eodem tempore tam sponsalia, quam nuptias metiamur; sed ut exiguam quamdam prærogatiuam uel in tempore nuptiæ consequantur, & a sponsalib. differant, quæ nuptijs in hoc sint inferiora. Quippe plurimum istuc reipublicæ profuturũ puto. Nam parentes ab amore suos erga liberos uicti, dum quamprimum eis prospicere, seq; curis liberare student; grauiter molesteq; ferunt, a tempore se impediri. Sunt etiã qui pusillanimitate quadã mentiuntur annos, ad periuria liberum amore compulsi. quod si sublatum fuerit, & sponsaliorũ tempus imminutum; tam orta de pusillanimitate parẽtum anxietati remediũ adhibebitur, quam quæ inde prouenire mala ueremur, mendacium atq; periurium, cõuenienti repreßione coërcebuntur: sacra deniq; maiestas tua gloria, magnificentia, prædicationis inexplicabilẽ fructum, una cum adsiduis enixisque uotis animorum, feret; quod semper ea subditis suis conducibilia, fructuosa, salutariaque procuret.

* L. 5. C. de sponsalib.

προβαίνειν τὸν γάμον, καὶ μὴ κατὰ τὴν αὐτὴν συμπίπτειν ἡμέραν τι ἢ ὥραν: διεσχίσθη τὸ δικαστήριον εἰς διαφόρους γνώμας. τοῖς μὲν γὰρ δοκεῖ δεῖν εἶναι τὰ πρόστιμα δίδοσθαι, καὶ λύεσθαι τὰς μνηστείας, προβαλλομένοις ὡς εἰ τοῦτο μὴ προβαίνει, τί αὖ διοίσει γάμος μνηστείας; εἴπερ καὶ τὸ τοῦ γάμου πρεσβεῖον ἔχει καὶ ἡ μνηστεία· καὶ μᾶλλον, ὅτι καὶ ὁ ἀρραβὼν φύσιν ἔχει τοιαύτην, (ὡς ὁ νόμος φησὶν) ἵνα εἰ μὲν ὁ δεδωκὼς μὴ πληροῖ τὰ συνδόξαντα, ἐκπίπτῃ τῶν δεδομένων. εἰ δὲ ὁ λαβὼν, ἀντιστρέφῃ ταῦτα εἰς τὸ διπλοῦν. τοῖς δὲ ἐξ ἐναντίας, ἀλύτους μένειν τὰς μνηστείας νομίζεται, φάσκουσι μὴ προσήκειν τὰ μετὰ τὸν ἐντελῆ χρόνον τῶν νέων συνδόξαντα τοῖς γονεῦσι, συναινέσει καὶ αὐτῶν, καὶ ἱεραῖς εὐχαῖς ἐπισφραγισθέντα, δόσει προστίμου διαλύεσθαι. τοῦτο γὰρ πρέπον εἶναι καὶ πλεῖσθαι ὁπηνίκα δεσμὸς προβῇ μόνος, ἢ καὶ μνηστεία μετὰ τὸν ἑπταετῆ χρόνον ἀποτελεσθῇ κατὰ τὸν παλαιὸν τύπον· ἣν οὐδὲ μνηστείαν εἶναι ὁ τῆς βασιλείας σου νόμος ἀποφαίνεται· οὕτω δὴ καὶ τοῦ δικαστηρίου σχισθέντος, ἀναφέρω τῇ βασιλείᾳ σου ὁ ἀνάξιος δοῦλος αὐτῆς, ἐρωτῶν ὁποτέρᾳ δεῖ τῶν γνωμῶν προστεθῆναι. φαίνεται γὰρ ἑκάτερον μέρος εὐλογοφανῆ προτεινόμενον. καὶ ἑρμηνείαν λαβεῖν ἐξαιτῶ διὰ προσκυνητῆς ἀντιγραφῆς, σαφῶς καὶ καθαρῶς λυούσης τὸ ἀμφισβήτημα. νόμου γὰρ τάξιν ἐπέχειν μέλλει εἰς τὸ μετέπειτα. καὶ δεῖ πάντως εὐκρινεστάτην εἶναι καὶ καθαρὰν τὴν ἀπόφασιν, ἵνα μὴ καὶ αὖθις ἐς ὕστερον ζυγομαχῆται. καὶ περὶ μὲν τῆς πεύσεως τῇ ἁγίᾳ βασιλείᾳ σου δόξει πάντως φιλανθρωπότερα· ἐγὼ δὲ τολμηρῶς ἀναφέρω καὶ περὶ τοῦ χρόνου. ὑπολαμβάνω γὰρ ὁ ἀνάξιος δοῦλός σου, ὡς οὐκ ἔστι δίκαιον τῷ αὐτῷ χρόνῳ τὴν μνηστείαν καὶ τὸν γάμον μετρεῖσθαι, ἀλλὰ μικρόν τι γέρας κἂν τῷ χρόνῳ τὸν γάμον ἀποφέρεσθαι, καὶ διαφέρειν μνηστείας, τὴν δὲ μνηστείαν ὑπόβασιν * ἔχειν ἐν τούτῳ. καὶ γὰρ δὴ καὶ μάλα λυσιτελήσειν οἶμαι τῷ πολιτεύματι † τούτῳ. οἱ γὰρ γονεῖς τῇ πρὸς τὰ ἑαυτῶν τέκνα φιλοστοργίᾳ κρατούμενοι, καὶ σπεύδοντες ὡς τάχιστα τὴν τούτων ποιῆσαι πρόνοιαν καὶ ἀμεριμνῆσαι, ὑπὸ τοῦ χρόνου δὲ κωλυόμενοι, δυσφόρως καὶ βαρέως φέρουσιν. εἰσὶ δὲ οἱ ἐξ ὀλιγωρίας καὶ χρόνων καταψεύδονται, εἰς ἐπιορκίας διὰ φιλοτεκνίαν συνελαυνόμενοι. ὅπερ εἰ περιαιρεθῇ, καὶ ἐλάττωσιν ὁ τῆς μνηστείας δέξηται χρόνος, ἥ τε ἐξ ὀλιγωρίας ἀθυμία τῶν γονέων ἐξιαθήσεται, καὶ τὰ ἐκ ταύτης ἐπισυμβαίνειν ὑποπτευόμενα κακὰ, ψεῦδος καὶ ἐπιορκία, ἀνασταλὴν τὴν προσήκουσαν δέξονται, καὶ ἡ ἁγία βασιλεία σου δόξαν καὶ μεγαλοπρέπειαν καὶ κλέος καρπώσεται ἄρρητον, καὶ εὐχὰς ἀδιαλείπτους καὶ ἐκτενεῖς, τὰ λυσιτελῆ τοῖς ὑπηκόοις ἀεὶ πραγματευομένη, καὶ ἐπωφελῆ, καὶ σωτήρια.

* ἔχειν ἴσ.

† τοῦτο. οἱ γάρ.

ΑΛΕ-

ἈΛΕΞΊΟΥ ΤΟΥ͂ ΚΟΜΝΗΝΟΥ͂ ΝΕΑΡᾺ γ.

ΠΕΡῚ ΔΙΑΛΎΣΕΩΣ ΜΝΗΣΤΕΊΑΣ.

